[1]ὁ δὲ ὄφις ὑπῆρξε περιφρονέστερος παντὸς ζώου τοῦ ἀγροῦ ὅπερ ἐποίησεν ὁ ὀντωτὴς ὁ ϑεός. ἔφη τοίνυν πρὸς τὴν γυναῖκα· ἄρ' οὖν ἔφη ὁ ϑεός· οὐκ ἔδεσϑον ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου; [2]καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ὄφιν· ἀπὸ τοῦ καρποῦ τοῦ ξύλου τοῦ παραδείσου ἐδόμεσϑον· [3]ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου τοῦ ἔσω τοῦ παραδείσου εἶπεν ὁ ϑεός· οὐκ ἔδεσϑον ἀπ' αὐτοῦ οὔϑ' ἅψεσϑον αὐτοῦ, μήποτ' ἀποϑάνοιτον. [4]εἶπε δ' ὁ ὄφις πρὸς τὴν γυναῖκα· οὐ τῷ ϑνήσκειν τεϑνήξεσϑον· [5]οἶδε γὰρ ὁ ϑεὸς ὅτιπερ ἐν τῇ ἡμέρᾳ τοῦ φαγεῖν σφὼ πρὸς αὐτοῦ, διαρϑήσονταί ϑ' οἱ ὀφϑαλμοὶ σφῷν καὶ τελέσετον ὡς ϑεώ, εἰδότε χρηστὸν καὶ πονηρόν. [6]εἶδεν οὖν ἡ γυνὴ ὅτι χρηστὸν τὸ ξύλον εἰς ἐδωδήν, ὅτι τ' ὄρεξις ἦν τοῖς ὄμμασιν, ἐφετόν τε τὸ ξύλον εἰς τὸ ξυνιέναι· κἄλαβεν ἀπὸ τοῦ κείνου καρποῦ κἄφαγεν, ἔδωκέ τ' ἔτι τῷ ταύτης ἀνδρὶ ξὺν ἑαυτῇ, κἄφαγεν. [7]ἀνεῴγασιν οὖν οἱ ὀφϑαλμοὶ ἀμφοῖν αὐτοῖν, κἀγνώτην ὅτι γυμνὼ ἐτελείτην· ἐρραψάτην τε φύλλον συκῆς κἀποιησάτην ἑαυτοῖν περιζώματα. [8]ἐπυϑέσϑην δὲ τὴν φωνὴν τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ διϊόντος ἐν τῷ παραδείσῳ τῷ πνεύματι τῆς ἡμέρας· ἐκρύβη ϑ' ὁ ἄνϑρωπος ἥ τε γυνή οἱ ἀπὸ προσώπου τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. [9]κἀβόησεν ὁ ὀντωτὴς ὁ ϑεὸς πρὸς τὸν ἄνϑρωπον ἔφη τέ οἱ· ποῦ σύ; [10]εἶπεν οὖν· τὴν σὴν φωνὴν ἐπυϑόμην ἐν τῷ παραδείσῳ καὶ πεφόβημαι, γυμνὸς γάρ εἰμι, καὶ κέκρυμμαι. [11]ἔφη δέ· τίς ἤγγειλέ σοι ὅτι γυμνὸς εἶ; ἆρα πρὸς τοῦ ξύλου οὗ ἐκέλευσά σοι μὴ φαγεῖν πρὸς ἐκείνου ἔφαγες; [12]ἔφη ϑ' ὁ ἄνϑρωπος· ἡ γυνὴ ἣν ἔδωκας ξὺν ἐμοί, αὕτη δέδωκέ μοι πρὸς τοῦ ξύλου, κἄφαγον. [13]ἔφη γοῦν ὁ ὀντωτὴς ὁ ϑεὸς

III.

---

pars (cf. XXIX, 14). Ed. καὶ σὰρξ ταύτῃ cod., non τῷ τε ut ed. 25. αἰσχύνοισϑον] sic cod., non αἰσχύνεισϑον ut ed.

III. 2. ἐδόμέσϑον] codicis scripturam, quamvis inauditam, mutare non ausi sumus. Ed. ἐδόμεϑον 3. οὔϑ' ex corr. (pro οὔτ' vel οὔτε) cod., ac dein ἅψεσϑον in ras. μή ποτε c. ed. ed. 5. τῇ rursus supra lineam scriptum. 7. κἀγνώτην cod., non κἄγνωτον ut ed. 10. εἶπεν οὖν· τὴν] nihil horum reliquit ignis nisi particulam compendii ει. Ed. καὶ ἔφη· τὴν

τῇ γυναικί· τί τόδ' ἐποίησας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. [14]ἔφη τοίνυν ὁ ὀντωτὴς πρὸς τὸν ὄφιν· ἐπειδὴ πεποίηκας τοῦτο, καταρατώτερος εἶ παντὸς κτήνους καὶ παντὸς ζώου τοῦ ἀγροῦ· ἐπὶ κοιλίας σου πορεύσῃ καὶ χοῦν ἔδῃ πάσαις ταῖς ἡμέραις τῆς ζωῆς σου. [15]καὶ ἔχϑραν ϑήσω μεταξὺ σοῦ καὶ μεταξὺ τῆς γυναικὸς, ἀνὰ τὸ σπέρμα σοῦ κἀνὰ τὸ σπέρμα ταύτης· ἐκεῖνο πλήξει σου κεφαλὴν, σὺ δὲ πλήξεις αὐτοῦ πτέρναν.

[16]Πρὸς τὴν γυναῖκα ἔφη· πλήϑει πληϑυνῶ τὰς σὰς λύπας καὶ τὴν σὴν κύησιν· ἐν λύπῃ τέξῃ υἱεῖς, πρός τε τὸν σὸν ἄνδρα ἡ σὴ ἔφεσις, κἀκεῖνος ἄρξει ἐν σοί.

[17]Τῷ δ' ἀνϑρώπῳ εἶπεν· ἐπείπερ ὑπήκουσας τῇ φωνῇ τῆς σῆς γυναικὸς κἀδήδοκας ἀπὸ τοῦ ξύλου οὗπερ ἐκέλευσά σοι τῷ φάναι· οὐκ ἔδῃ πρὸς αὐτοῦ, κατάρατος ἡ γῆ χάριν σοῦ· ἐν λύπῃ ταύτην ἔδῃ πάσαις ταῖς ἡμέραις τῆς σῆς ζωῆς· [18]ἄκανϑάν τε καὶ τρίβολον φύσει σοι, καὶ ἔδῃ τὴν βοτάνην τοῦ ἀγροῦ. [19]ἐν ἱδρῶτι τῶν σῶν μυκτήρων ἔδῃ ἄρτον ἄχρι τοῦ ὑποστρέψαι σε πρὸς τὴν γῆν· ἐξ αὐτῆς γὰρ εἴληψαι. χοῦς γὰρ εἶ καὶ πρὸς χοῦν ὑποστρέψεις. [20]ἐκάλεσε δ' ὁ ἄνϑρωπος τοὔνομα τῆς αὐτοῦ γυναικὸς χαυάν· ἐκείνη γὰρ ὑπῆρξε μήτηρ παντὸς ζῶντος. [21]ἐποίησέ ϑ' ὁ ὀντωτὴς ὁ ϑεὸς τῷ ἀνϑρώπῳ καὶ τῇ γυναικί οἱ χιτῶνα δέρματος, καὶ περιέβαλέ σφε.

[22]Καὶ εἶπεν ὁ ὀντωτὴς ὁ ϑεός· αὐτίχ' ὁ ἄνϑρωπος ὑπῆρξεν ὡς εἷς ἐξ ἡμῶν, ὥστ' εἰδέναι χρηστὸν καὶ πονηρόν· νῦν οὖν μήπως πέμψῃ τὴν χεῖρά οἱ καὶ λάβῃ ἔτι πρὸς τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσῃ ἐς αἰῶνα. [23]ἐξέπεμψεν οὖν ἐκεῖνον ὁ ὀντωτὴς ὁ ϑεὸς τοῦ παραδείσου τῆς τρυφῆς, ὡς ἐργάζοιτο τὴν γῆν ἧπερ εἴληπται ἐκεῖϑεν. [24]κἀξήγαγε τὸν ἄνϑρωπον, κατῴκισέ τ' ἀπ' ἀνατολῶν τοῦ παραδείσου τῆς τρυφῆς τοὺς κερούβους καὶ τὴν φλόγα τοῦ ξίφους τὴν στρεφομένην, ὥστε φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

---

14. ὁ ὀντωτὴς] אֱלֹהִים **om. Item cod. Kenn. 103.** καταρατώτερος **cod., non** καταρώτ. **ut ed. 15.** καὶ ἔχϑραν **recte ed. Nescio unde Mor. habeat** τὴν [ἔχϑρ.] μεταξύ σου **c. cd. ed.; item** σπέρμα σου **16.** ἄρξει ἐν σοί **cod., non ut ed.** ἄρξειέν σοι **20.** αὐτοῦ γυναικὸς] α'........κὸς **(lacuna ut supra) cod.** ἀυάν **corr.** χαυάν **cod. 21.** χιτῶνα] כתֹּנֶת **pro** כָּתְנוֹת **22.** μήπως **deest. Cf. Prol. I, 2, b.**

[1] Ὁ δ' ἄνθρωπος ἔγνω χαβὰν τὴν ἑαυτοῦ γυναῖκα, κἀκύησεν **IV.** ἔτεκέ τε τὸν κάϊν. καὶ εἶπεν· ἐκτησάμην ἄνδρα ξὺν τῷ ὀντωτῇ. [2] προσέθηκέ τε τῷ τίκτειν τὸν ἀδελφὸν ἐκείνου τὸν ἔβελον. καὶ ὑπῆρξεν ἔβελος ποιμὴν προβάτων· κάϊν δ' ὑπῆρξεν ἐργάτης γῆς. [3] ἐτέλεσε δ' ἀπ' ἄκρου ἡμερῶν, καὶ ἤνεγκε κάϊν ἀπὸ τοῦ καρποῦ τῆς γῆς ξένιον τῷ ὀντωτῇ· [4] καὶ ἔβελος ἤνεγκεν ἔτι κεῖνος ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων ἑαυτοῦ καὶ ἀπὸ τῶν ἐκείνων στεάτων. καὶ προσένευσεν ὁ ὀντωτὴς πρὸς ἔβελον καὶ πρὸς τὸ κείνου ξένιον· [5] πρὸς δὲ κάϊν πρός τε τὸ κείνου ξένιον οὐ προσένευσεν. ὤργισται τοίνυν τῷ κάϊνι καὶ πέπτωκε τὸ κείνου πρόσωπον. [6] ἔφη γοῦν ὁ ὀντωτὴς πρὸς κάϊνα· τοῦ χάριν ὤργισταί σοι, καὶ διατί πέπτωκε τὸ σὸν πρόσωπον; [7] ἆρ' οὐκ ἢν ἀγαθύνῃς, ἄρσις, κἂν μὴ ἀγαθύνῃς, ἐς πύλην τῆς ἁμαρτίας σηκοῖ; πρὸς σὲ δ' ἡ ἔφεσις αὐτοῦ, σύ τ' ἄρξεις αὐτοῦ. [8] καὶ εἶπε κάϊν πρὸς ἔβελον τὸν ἑαυτοῦ ἀδελφόν. ὑπῆρξέ τ' ἐν τῷ εἶναί σφε ἐν τῷ ἀγρῷ, ἀνέστη τε κάϊν πρὸς ἔβελον τὸν ἀδελφὸν ἑαυτοῦ καὶ διηργάσατο κεῖνον. [9] ἔφη τοίνυν ὁ ὀντωτὴς πρὸς κάϊνα· ποῦ ἔβελος ὁ σὸς ἀδελφός; καὶ εἶπεν· οὐκ ἔγνων· ἆρα φύλαξ τοῦ ἀδελφοῦ μου τελῶ; [10] κἄφη· τί πεποίηκας; φωνῇ τὰ αἵματα τοῦ σοῦ ἀδελφοῦ κραυγάζουσι πρός με πρὸς τῆς γῆς. [11] νῦν οὖν κατάρατος εἶ ἀπὸ τῆς γῆς, ἥπερ ἔχηνε τὸ στόμα ταύτης ὡς λάβοι τὰ αἵματα τοῦ σοῦ ἀδελφοῦ πρὸς ταῖν σαῖν χεροῖν· [12] ἐργάσῃ γὰρ αὐτήν, οὐ προσθήσει δοῦναι τὴν ἑαυτῆς ἰσχύν σοι· κινούμενος καὶ μεταφερόμενος τελέσεις ἐν τῇ γῇ. [13] ἔφη δὲ κάϊν πρὸς τὸν ὀντωτήν· μεῖζον τοὐμὸν ἀμπλάκημα ἢ ὥστε αἴρειν. [14] αὐτίκ' ἐξήγαγές με τήμερον ἄνωθεν τοῦ προσώπου τῆς γῆς, ἀπό τε τοῦ σοῦ προσώπου κρυβήσομαι, τελέσω τε κινούμενος καὶ μεταφερόμενος ἐν τῇ γῇ· τελέσει

IV. 1. κάϊν cod., non καῒν ut ed. Cf. Mor. ad v. 5. **5.** τῷ κάϊνι] בְּקַיִן om. **6.** διατί cod., nec uspiam aliter. Ed. διὰ τί **7.** ἄρσις Ammonio probante (cf. not. ad h. l.) ipsoque codice poscente (cf. Mor.) reposuimus pro ἀρθῆς, quod ed.; item σηκοῖ pro ἥκοις **8.** διῇ(?) corr. διηργάσατο cod. Ed. διεργ. Ceterum quae Adlerus (cf. ejus *Kurze Uebersicht seiner biblisch-kritischen Reise nach Rom* p. 22) a textu Hebraico discrepantia lectuque difficilia huic versui inesse ait, eorum nihil repperi. **10.** πρός με] hoc accentu (etsi non sine aliquo discrimine) utitur cod. Ed. constanter πρὸς μὲ **11.** ἔχηνε, non ἔχανε, cod. Cf. Thr. III, 46. Deut. XI, 6. **12.** αὐτὴν] exspectaveris τὴν γῆν (אֶת־הָאֲדָמָה). Cf. Hieron.

γοῦν ὁστισοῦν εὑρίσκων με ἀνελεῖ με. [15]καὶ εἶπεν αὐτῷ ὁ ὀντωτής· διόπερ ὁστισοῦν ἀναιρῶν κάϊνα, ἑπτάκις ἐκδικηϑήσεται. κἄϑηκεν ὁ ὀντωτὴς τῷ κάϊνι σημεῖον ὥστε μὴ πλήττειν αὐτὸν ὀντιναοῦν αὐτὸν εὑρίσκοντα. [16]ἐξῆλϑεν οὖν ὁ κάϊν ἀπὸ προσώπου τοῦ ὀντωτοῦ καὶ ἐκαϑέσϑη ἐν τῇ γῇ τοῦ νώδου πρὸς ἀνατολὰς τῆς τρυφῆς. [17]ἔγνω δὲ κάϊν τὴν γυναῖκά οἱ, κἀκύησεν ἔτεκέ τε τὸν χανῶχον. ἐδομεῖτο δὲ πόλιν, ἐκάλεσέ τε τοὔνομα τῆς πόλεως ἐν ὀνόματι τοῦ ἑαυτοῦ υἱέως χανῶχον. [18]γεγέννηται δὲ τῷ χανώχῳ ὑράδης, ὑράδης δ' ἐγέννησε τὸν μεχουϊαέλον, καὶ μεχουϊαέλος ἐγέννησε τὸν μεϑουσαέλον, μεϑουσαέλος δ' ἐγέννησε τὸν λάμεχον. [19]ἔλαβέ ϑ' ἑαυτῷ λάμεχος δύο γυναῖκε· τοὔνομα τῆς μιᾶς ἀδά, τὸ δ' ὄνομα τῆς δευτέρας σιλά. [20]τέτοκε δὲ ἀδὰ τὸν ἰαβέλην· ἐκεῖνος ὑπῆρξε πατὴρ καϑεζομένου σκηνῇ καὶ κτήσει. [21]ὄνομα δὲ τοῦ ἀδελφοῦ οἱ ἰαρέδης· ἐκεῖνος ὑπῆρξε πατὴρ παντὸς λαμβάνοντος κιϑάραν καὶ ψαλτῆρα. [22]ἥ τε σιλὰ ἔτι κείνη τέτοκε τὸν τουβαλκάϊν, ϑήγοντα πᾶν τέχνημα χαλκοῦ καὶ σιδήρου· καὶ ἀδελφὴ τοῦ τουβαλκάϊνος νααμά. [23]ἔφη δὲ λέμεχος ταῖν γυναικοῖν ἑαυτοῦ· ἀδὰ καὶ σιλά, ἀκούσατον τῆς ἐμῆς φωνῆς, γυναῖκε λεμέχου, ὠτοϑετήσατον τῷ ἐμῷ ῥήματι· ἄνδρα γὰρ διεχρησάμην εἰς τραῦμά μου καὶ παιδίον εἰς μώλωπά μου· [24]ἐπείπερ ἑπτάκις ἐκδικηϑήσεται κάϊν, ὁ δὲ λέμεχος ἑβδομηκονταχαιεπτάκις. [25]ἔγνω δ' ὁ ἄνϑρωπος ἔτι τὴν ἑαυτοῦ γυναῖκα, τέτοκέ ϑ' υἱόν, κέκληκέ τε τοὔνομά οἱ σέϑην· ἔϑετο γάρ μοι ὁ ϑεὸς σπέρμα ἕτερον ἀντὶ ἐβέλου, ἐπεὶ διεχρήσατό ἑ κάϊν. [26]τῷ δὲ σέϑῃ ἔτι κείνῳ γεγέννηται υἱεύς, ἐκάλεσέ τε τοὔνομά οἱ ἐνώς. τότε ἤρκται καλεῖν ἐν ὀνόματι τοῦ ὀντωτοῦ.

V. [1]Αὕτη ἡ βίβλος τῶν γεννήσεων τοῦ ἀνϑρώπου. ἐν τῇ ἡμέρᾳ τοῦ κτίσαι τὸν ϑεὸν ἄνϑρωπον, ἐν ὁμοιότητι ϑεοῦ ἐποίησεν αὐτόν· [2]ἄρρενα καὶ ϑήλειαν ἔκτισέ σφε καὐλόγησέ σφε, καὶ ἐκάλεσε τοὔνομα σφοῖν ἀδάμης, ἐν τῇ ἡμέρᾳ τοῦ κτισϑῆναί σφε. [3]ἔζησε δὲ ἀδάμης τριάκοντα καὶ ἑκατὸν ἔτεσι, κἀγέννησεν ἐν ὁμοιότητί οἱ ἐν εἰκόνι οἱ· καὶ ἐκάλεσε

---

14. εὑρίσκων cod., non εὑρίσκη ut ed. 17. ἐν ὀνόματι] בְּשֵׁם pro כְּשֵׁם. Sic codd. nonn. Kenn. et Ross. LXX. Syr. Hier. Saad. 18. ὑράδης (1) ex corr. (pro ὕραδος) cod. 20. κτήσεως c. cd. ed. 21. ἰαρέδης] ecce mira confusio (יוּבָל)! 22. τοῦ τουβ. cod. Ed. τοῦ om. 23. λάμ. corr. λέμεχος cod.

V. 3. ἐν εἰκόνι οἱ] בְּצַלְמוֹ pro כְּצ juxta multos codd. et edd. Item Hier. et Ar.

τοῦνομά οἱ σέϑης. [4]ὑπῆρξαν δ' αἱ ἡμέραι τοῦ ἀδάμου μετὰ τὸ γεγεννηκέναι ἑ τὸν σέϑην ὀκτακόσια ἔτη, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας. [5]ὑπῆρξαν δὲ πᾶσαι αἱ ἡμέραι τοῦ ἀδάμου αἷς ἐβίωσεν ἐννεακόσια ἔτη καὶ τριάκοντα ἔτη, καὶ τέϑνηκεν.

[6]Ἐβίωσε δὲ σέϑης πέντε ἔτεσι καὶ ἑκατὸν ἔτεσι κἀγέννησε τὸν ἐνώσην. [7]ἔζησε δὲ σέϑης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ἐνώσην ἑπτὰ ἔτεσι καὶ ὀκτακοσίοις ἔτεσιν, ἐγγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας. [8]ὑπῆρξάν τε πᾶσαι αἱ ἡμέραι τοῦ σέϑου δυοκαίδεκα ἔτη καὶ πεντακόσια ἔτη, καὶ τέϑνηκεν.

[9]Ἔζησε δ' ἐνώσης ἐννενήκοντα ἔτεσι καὶ ἐγέννησε τὸν καϊνᾶνα. [10]ἔζησε δὲ ἐνώσης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν καϊνᾶνα πεντεκαίδεκα ἔτεσι καὶ ὀκτακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας. [11]καὶ ὑπῆρξαν πᾶσαι αἱ ἡμέραι τοῦ ἐνώσου πέντε ἔτη καὶ ἐννεακόσια ἔτη, καὶ τέϑνηκεν.

[12]Ἔζησε δὲ καϊνὰν ἑβδομήκοντα ἔτεσι καὶ ἐγέννησε τὸν μααλαλεέλον. [13]καὶ ἔζησε καϊνὰν μετὰ τὸ γεννῆσαί ἑ τὸν μααλαλεέλον τετταράκοντα ἔτεσιν ὀκτακοσίοις τ' ἔτεσιν, ἐγέννησέ ϑ' υἱεῖς καὶ ϑυγατέρας. [14]καὶ ὑπῆρξαν πᾶσαι αἱ ἡμέραι τοῦ καϊνᾶνος δέκα ἔτη καὶ ἐννεακόσια ἔτη, καὶ τέϑνηκεν.

[15]Ἔζησε δὲ μααλαλεέλος πέντε ἔτεσι καὶ ἑξήκοντα ἔτεσι κἀγέννησε τὸν ἰαρέδην. [16]ἔζησέ τε μααλαλεέλος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ἰαρέδην τριάκοντα ἔτεσι καὶ ὀκτακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱεῖς καὶ ϑυγατέρας. [17]καὶ ὑπῆρξαν πᾶσαι αἱ ἡμέραι μααλαλεέλου πέντε καὶ ἐννενήκοντα ἔτη καὶ ὀκτακόσια ἔτη, καὶ τέϑνηκεν.

[18]Ἔζησε δ' ἰαρέδης δυσὶ καὶ ἑξήκοντα ἔτεσι καὶ ἑκατὸν ἔτεσι καὶ ἐγέννησε τὸν χανῶχον. [19]ἔζησέ τ' ἰαρέδης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν χανῶχον ὀκτακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας. [20]ἐτέλεσάν τε πᾶσαι αἱ ἡμέραι ἰαρέδου δύο καὶ ἑξήκοντα ἔτη καὶ ἐννεακόσια ἔτη, καὶ τέϑνηκεν.

[21]Ἔζησε δὲ χανῶχος πέντε καὶ ἑξήκοντα ἔτεσι καὶ ἐγέννησε τὸν μεϑουσάλαχον. [22]πεπόρευται δὲ χανῶχος ξὺν τῷ ϑεῷ μετὰ τὸ γεγεννηκέναι ἑ τὸν μεϑουσάλαχον τριακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ'

---

6. ἔτεσιν ἑκατόν τ' corr. ἔτεσι καὶ ἑκατὸν cod. Ed. ἔτεσι om. 8. δύο καὶ δέκα c. cd. ed. πεντακόσια] scribendum erat ἐννεακόσια (תְּשַׁע מֵאוֹת). Cf. Prol. II, 2, 1.

υἱέας καὶ ϑυγατέρας. [23]ἐτέλεσάν τε πᾶσαι αἱ ἡμέραι τοῦ χανώχου πέντε καὶ ἑξήκοντα ἔτη καὶ τριακόσια ἔτη. [24]πεπόρευται δὲ χανῶχος ξὺν τῷ ϑεῷ· καὶ ἥκιστα ἦν, ἔλαβε γὰρ αὐτὸν ὁ ϑεός.

[25]Ἔζησε δὲ μεϑουσάλαχος ἑπτὰ καὶ ἑβδομήκοντα ἔτεσι καὶ ἑκατὸν ἔτεσι καὶ ἐγέννησε τὸν λέμεχον. [26]ἔζησέ τε μεϑουσάλαχος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν λέμεχον δυσὶ καὶ ἑβδομήκοντα ἔτεσι καὶ ἑπτακοσίοις ἔτεσι, καὶ ἐγέννησεν υἱέας καὶ ϑυγατέρας. [27]ὑπῆρξάν τε πᾶσαι αἱ ἡμέραι τοῦ μεϑουσαλάχου ἐννέα καὶ ἑξήκοντα ἔτη καὶ ἐννεακόσια ἔτη, καὶ τέϑνηκεν.

[28]Ἔζησε δὲ λέμεχος δυσὶ καὶ ὀγδοήκοντα ἔτεσι καὶ ἑκατὸν ἔτεσι καὶ ἐγέννησεν υἱόν, [29]ἐκάλεσέ τε τοὔνομά οἱ νώαχον τῷ φάσκειν· οὗτος παραμυϑήσεται ἡμᾶς ἀπὸ τοῦ ἔργου ἡμῶν ἀπό τε τῆς λύπης τῶν ἡμετέρων χειρῶν ἀπὸ τῆς γῆς ἥπερ ἠράσατο ὁ ὀντωτής. [30]ἔζησε δὲ λέμεχος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν νώαχον πέντε καὶ ἐννενήκοντα ἔτεσι καὶ πεντακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας. [31]ὑπῆρξάν τε πᾶσαι αἱ ἡμέραι λεμέχου ἑπτὰ καὶ ἑβδομήκοντα ἔτη καὶ ἑπτακόσια ἔτη, καὶ τέϑνηκεν.

[32]Ἐτέλεσε δὲ νώαχος πεντακοσίων ἐτῶν· κἀγέννησε νώαχος τὸν σέμην, τὸν χάμην καὶ τὸν ἰάφετον. VI. [1]ὑπῆρξέ τ' ἐπείπερ ἤρξατο ὁ ἄνϑρωπος πληϑύνειν ἐπὶ τοῦ προσώπου τῆς γῆς, καὶ ϑυγατέρες γεγέννηνται σφίσι· [2]τεϑέανται γοῦν οἱ υἱεῖς τοῦ ϑεοῦ τὰς ϑυγατέρας τοῦ ἀνϑρώπου ὅτι καλαὶ ἐτέλουν, καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν εἵλοντο. [3]ἔφη τοίνυν ὁ ὀντωτής· οὐ κρινεῖ πνεῦμα τοὐμὸν ἐν τῷ ἀνϑρώπῳ ἐς αἰῶνα, ἐφοῖς ἔτιπέρ ἐστι σάρξ· τελέσουσι δ' αἱ ἡμέραι αὐτοῦ ἑκατὸν καὶ εἴκοσιν ἔτη. [4]οἱ γίγαντες ὑπῆρξαν ἐν τῇ γῇ ἐν ταῖς ἡμέραις ἐκείναις, ἔτι τε μεταταῦτα, οὓς ἔρχοιντο οἱ υἱεῖς τοῦ ϑεοῦ πρὸς τὰς ϑυγατέρας τοῦ

---

24. πεπώρευται c. cd. ed. 25. ἑβδομήκοντα] שִׁבְעִים pro שְׁמֹנִים; item v. sq. 29. νώαχον ex corr. (pro νωάχην?) cod. παραμυϑήσεται cod., non παραμυϑήσει ut ed., nec παραμύϑησον ut compendio falsus Mor. legit. 30. [νώα]χον in ras.

VI. 1. ἔπειπερ c. cd. ed. Item v. 12. 3. ἐφοῖς dedimus ut scriptum est in codice; item 4. μεταταῦτα. Cf. Prol. I, 4, d. οὓς ἔρχοιντο] Amm.: „Censor Jenensis optime ex conjectura ὡς ἔρχοιντο". At si revera error subest per scripturam factus, ex usu translatoris praeferendum videtur οἷς ἔρχ. Cf. XIII, 16. XXX, 18. Deut. XI, 6.

ἀνϑρώπου καὶ γεννήσαιεν ἑαυτοῖς· ἐκεῖνοι οἱ κραταιοὶ οἱ ἀπ' αἰῶνος ἄνδρες τοῦ ὀνόματος.

[5]Εἶδεν οὖν ὁ ὀντωτὴς ὅτιπερ ἐπλήϑυνεν ἡ κακία τοῦ ἀνϑρώπου ἐν τῇ γῇ, καὶ παντὸς πλάσματος οἱ λογισμοὶ τῆς καρδίας αὐτοῦ μόνον κακὸν πάσῃ τῇ ἡμέρᾳ· [6]καὶ μετενόησεν ὁ ὀντωτὴς ὅτιπερ ἐποίησε τὸν ἄνϑρωπον ἐν τῇ γῇ, ἠχϑέσϑη τε πρὸς τὴν ἑαυτοῦ καρδίαν. [7]καὶ εἶπεν ὁ ὀντωτής· ἀπομάξω τὸν ἄνϑρωπον ὃν ἐποίησα ἄνωϑεν τοῦ προσώπου τῆς γῆς, ἀπ' ἀνϑρώπου μέχρι κτήνους, μέχρις ἑρπετοῦ καὶ μέχρι πτηνοῦ τοῦ οὐρανοῦ· μετέγνω γὰρ ὅτιπερ ἐποίησε ταῦτα. [8]νώαχος δ' εὗρε χάριν ἐν ὄμμασι τοῦ ὀντωτοῦ.

[9]Αἵδε γεννήσεις τοῦ νωάχου. νώαχος ἀνὴρ δίκαιος, *μερίς* τέλειος ὑπῆρξεν ἐν ταῖς αὐτοῦ γενεαῖς· ξὺν τῷ ϑεῷ πεπόρευται νώαχος. [10]ἐγέννησε δὲ νώαχος τρεῖς υἱέας, τὸν σέμην, τὸν χάμην καὶ τὸν ἰάφετον. [11]ἐφϑάρη δ' ἡ γῆ ἐνώπιον τοῦ ϑεοῦ, πέπλησταί ϑ' ἡ γῆ ἀδικίας. [12]τεϑέαται γοῦν ὁ ϑεὸς τὴν γῆν, καὶ ϑεῶ ἔφϑορεν, ἐπείπερ ἔφϑειρε πᾶσα σὰρξ τὴν ὁδὸν ἑαυτῆς ἐπὶ τῆς γῆς.

[13]Καὶ εἶπεν ὁ ϑεὸς τῷ νωάχῳ· τέλος ἁπάσης σαρκὸς ἀφικνεῖται ἐνώπιόν μου, πέπλησται γὰρ ἡ γῆ ἀδικίας ἀπὸ προσώπου σφῶν· ἰδοὺ τοίνυν ἐγὼ φϑείρω σφᾶς ξὺν τῇ γῇ. [14]ποίησον σαυτῷ κιβωτὸν ξύλων κέδρου· φωλεοὺς ποιήσεις τὴν κιβωτὸν, πιττώσεις τ' αὐτὴν ἔσωϑεν καὶ ἔξωϑεν ἐν πίττῃ. [15]τοῦτο δ' ὃ ποιήσεις αὐτήν· τριακόσιοι πήχεις τὸ μῆκος τῆς κιβωτοῦ, πεντήκοντα πήχεις τὸ ταύτης εὖρος, καὶ τριάκοντα πήχεις τὸ ταύτης ὕψος. [16]φωταγωγὸν ποιήσεις τῇ κιβωτῷ, καὶ πρὸς πῆχυν τελέσεις αὐτὴν ἄνωϑεν· τὴν δὲ πύλην τῆς κιβωτοῦ ἐν τῷ πλαγίῳ ταύτης ϑήσεις, κατώγεα δύο καὶ τρία ποιήσεις. [17]ἐγὼ δὲ ἰδοὺ ἐγὼ φέρω τὸν κατακλυσμὸν τῶν ὑδάτων ἐπὶ τὴν γῆν, ὡς φϑείραιμι πᾶσαν σάρκα ἥπερ ἐν αὐτῇ πνεῦμα ζωῆς κάτωϑεν τοῦ οὐρανοῦ· πᾶν τὸ ἐν τῇ γῇ ἀποψύξει. [18]ἐγερῶ δὲ τοὐμὸν συμφώνημα ξὺν σοί· ἐλεύσῃ τοίνυν πρὸς τὴν κιβωτὸν, σὺ οἵ ϑ' υἱεῖς οἱ σοὶ καὶ γυνὴ ἡ σὴ καὶ αἱ γυναῖκες τῶν σῶν υἱέων σὺν σοί. [19]πρὸς μέντοι παντὸς τοῦ ζώου, πρὸς

7. μετέγνω — ταῦτα] **tertia persona nescio qua ratione pro prima (כִּי נִחַמְתִּי כִּי עֲשִׂיתִם) usus est.** 12. τεϑέαται γοῦν **in ras.**

πάσης σαρκὸς, δύο πρὸς παντὸς ἄξεις πρὸς τὴν κιβωτὸν ὡς ζωώης ξὺν σαυτῷ· ἄρρην θήλειά τε τελέσουσι. [20]πρὸς τοῦ πτηνοῦ πρὸς εἶδος αὐτοῦ, πρός τε τοῦ κτήνους πρὸς εἶδος αὐτοῦ, πρὸς παντὸς ἑρπετοῦ τῆς γῆς πρὸς εἶδος αὐτοῦ· δύο πρὸς πάντων ἐλεύσεσθον πρὸς σὲ ὡς ζωώης. [21]σὺ γοῦν λάβε σαυτῷ πρὸς παντὸς βρώματος ὃ βιβρώσκοιτο καὶ ξυναθροίσεις παρὰ σαυτῷ, τελέσει τε σοὶ κἀκείνοις εἰς βρῶσιν. [22]ἐποίησεν οὖν νώαχος κατὰ πᾶν ὅπερ ἐκέλευσεν αὐτῷ ὁ θεὸς, τῇδε ἐποίησεν.

VII. [1]ἔφη θ' ὁ ὀντωτὴς τῷ νωάχῳ· ἄφιξο σὺ καὶ ὁ σὸς οἶκος πρὸς τὴν κιβωτόν· σὲ γὰρ εἶδον δίκαιον ἐπίπροσθέν μου ἐν τῇ γενεᾷ τῇδί. [2]πρὸς παντὸς τοῦ κτήνους τοῦ καθαροῦ λήψῃ σαυτῷ ἑπτὰ ἑπτὰ, ἄνδρα καὶ τὴν ἐκείνου γυναῖκα· πρὸς δὲ τοῦ κτήνους ὃ μὴ καθαρόν ἐστι δύο, ἄνδρα καὶ τὴν ἐκείνου γυναῖκα· [3]ἔτι πρὸς τοῦ πτηνοῦ τοῦ οὐρανοῦ ἑπτὰ ἑπτὰ, ἄρρεν καὶ θῆλυ, ὡς ζωώης σπόρον ἐπὶ προσώπου πάσης τῆς γῆς. [4]ἐς γὰρ ἡμέρας ἔτι ἑπτὰ ἔγωγ' ὕω ἐπὶ τῆς γῆς τετταράκοντα ἡμέραις τετταράκοντά τε νυξὶν, ἀπομάξω τε πᾶν τὸ ἔγερμα ὅπερ ἐποίησα ἄνωθεν τοῦ προσώπου τῆς γῆς. [5]ἐποίησε τοίνυν νώαχος κατὰ πᾶν ὅπερ ἐκέλευσέν οἱ ὁ ὀντωτής. [6]ὁ δὲ νώαχος υἱεὺς ἑξακοσίων ἐτῶν, καὶ ὁ κατακλυσμὸς ὑπῆρξεν ὕδατα ἐπὶ τῆς γῆς. [7]ἦλθεν οὖν νώαχος οἵ θ' υἱεῖς ἐκείνου καὶ ἡ κείνου γυνὴ καὶ αἱ γυναῖκες τῶν υἱέων ἐκείνου ξὺν ἐκείνῳ εἰς τὴν κιβωτὸν ἀπὸ προσώπου τῶν ὑδάτων τοῦ κατακλυσμοῦ. [8]πρὸς τοῦ κτήνους τοῦ καθαροῦ καὶ πρὸς τοῦ κτήνους ὅπερ οὐκ ἔστι καθαρὸν, πρός τε τοῦ πτηνοῦ καὶ παντὸς ὅπερ ἕρπει κατὰ τῆς γῆς, [9]δύο δύο ἀφικέσθην πρὸς νώαχον πρὸς τὴν κιβωτὸν, ἄρρην καὶ θήλεια, καθὼς ἐκέλευσεν ὁ θεὸς τῷ νωάχῳ. [10]ὑπῆρξέ τε τῇ ἑβδόμῃ τῶν ἡμερῶν, καὶ τὰ ὕδατα τοῦ κατακλυσμοῦ ἐτέλεσαν ἐπὶ τῆς γῆς. [11]ἐν ἔτει τῷ ἑξακοσιοστῷ ἔτει τῆς ζωῆς τοῦ νωάχου ἐν μηνὶ τῷ δευτέρῳ, ἐν τῇ ἑπτακαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός· ἐν τῇ ἡμέρᾳ τῇδὶ ἐρρώγασι πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ ἀνεώγασιν. [12]ὑπῆρξέ θ' ὁ ὄμβρος ἐπὶ τῆς γῆς τετταράκοντα ἡμέραις τεττα-

---

21. λάβε] hoc accentu utitur, neque aliter edi debuit. Ed. λαβὲ. Cf. Prol. I, 4, c.

VII. 1. καὶ ὁ σὸς οἶκος] כָּל־ om. 4. ἔγερμα] primo ἑστῶς scriptum erat (cf. Deut. XI, 6), tum superscriptum ἔγερμα 7. κατακλύσμου c. cd. ed. 10. τῶν ἡμερῶν cod., non τῆς ἡμέρας ut ed. 11. [ἐρρ]ώγασι ex corr. (pro ἐρράγησαν?) cod. τῆς ἀβύσσου] רַבָּה om. Item LXX.

ράκοντά τε νυξίν. [13]ἐν τῷ χρήματι τῆς ἡμέρας ταύτης ἀφῖκται νώαχος, καὶ σέμης χάμης τε καὶ ἰάφετος, υἱεῖς τοῦ νωάχου, ἥ τε γυνὴ τοῦ νωάχου καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱέων ἐκείνου ξὺν ἐκείνῳ εἰς τὴν κιβωτόν· [14]αὐτοὶ καὶ πᾶν τὸ ζῶον πρὸς εἶδος αὐτοῦ καὶ πᾶν τὸ κτῆνος πρὸς εἶδος αὐτοῦ, πᾶν ϑ' ἑρπετὸν τὸ ἕρπον ἐπὶ τῆς γῆς εἰς εἶδος αὐτοῦ καὶ πᾶν τὸ πτηνὸν ἐς εἶδος αὐτοῦ, πᾶς ὄρνις παντὸς πτεροῦ, [15]παρεγένοντο τοίνυν πρὸς νώαχον πρὸς τὴν κιβωτὸν, δύο δύο πρὸς πάσης σαρκὸς ᾗπερ ἐν αὐτῇ πνεῦμα ζωῆς. [16]καὶ τὰ παραγεγονότα ἄρρην καὶ ϑήλεια πρὸς πάσης σαρκὸς παρεγένοντο, καϑάπερ ἐκέλευσεν αὐτῷ ὁ ϑεός· ἔκλεισέ ϑ' ὁ ὀντωτὴς χάριν αὐτοῦ. [17]κάτέλεσεν ὁ κατακλυσμὸς τετταράκοντα ἡμέραις ἐπὶ τῆς γῆς· ἐπλήϑυνάν τε τὰ ὕδατα καὶ ἦραν τὴν κιβωτὸν, καὶ ὕψωται ἄνωϑεν τῆς γῆς. [18]ἴσχυσάν τε τὰ ὕδατα κἀπλήϑυναν ἄγαν ἐπὶ τῆς γῆς· καὶ ἀπῆλϑεν ἡ κιβωτὸς ἐπὶ προσώπου τῶν ὑδάτων. [19]τά ϑ' ὕδατα κεκράτυνται ἐπιεικῶς ἐπιεικῶς ἐπὶ τῆς γῆς, ἐκαλύφϑησάν τε πάντα τὰ ὄρη τὰ ὑψηλὰ τὰ ὑπὸ πᾶσι τοῖς οὐρανοῖς. [20]πεντεκαίδεκα πήχεσιν ἄνωϑεν ἐκεκράτυντο τὰ ὕδατα, καὶ ἐκαλύφϑησαν τὰ ὄρη. [21]καὶ ἀπέψυκται πᾶσα σὰρξ ἡ ἕρπουσα κατὰ τῆς γῆς, ἐν πτηνῷ κἀν κτήνει κἀν ζώῳ κἀν παντὶ τῷ ἐκβράσματι τῷ ἐκβράζοντι κατὰ τῆς γῆς, καὶ πᾶς ὁ ἄνϑρωπος· [22]πᾶν ᾧπερ πνοὴ πνεύματος ζωῆς ἐν τοῖς αὐτοῦ μυκτῆρσιν ἀπὸ παντὸς τοῦ ἐν τῇ ξηρᾷ τεϑνάσιν. [23]ἀπήλειψέ τε ξύμπαν τὸ ἀνάστημα τὸ ἐπὶ προσώπου τῆς γῆς, ἀπ' ἀνϑρώπου μέχρι κτήνους, μέχρις ἑρπετοῦ καὶ μέχρις ὄρνιϑος τοῦ οὐρανοῦ· καὶ ἀπηλείφϑησαν τῆς γῆς. περιλέλειπται δὲ μόνον νώαχος οἵ τε ξὺν αὐτῷ ἐν τῇ κιβωτῷ. [24]ἴσχυσάν τε τὰ ὕδατα ἐπὶ τῆς γῆς πεντήκοντα καὶ ἑκατὸν ἡμέραις. VIII. [1]ἐμνήσϑη δ' ὁ ϑεὸς τοῦ νωάχου ξύμπαντός τε τοῦ ζώου καὶ ξύμπαντος τοῦ κτήνους τῶν σὺν αὐτῷ ἐν τῇ κιβωτῷ· καὶ διήνεγκεν ὁ ϑεὸς πνεῦμα ἐπὶ τῆς γῆς, ἐπαύσαντό τε τὰ ὕδατα. [2]ἐκλείσϑησάν ϑ' αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ καταρράκται τοῦ οὐρανοῦ, κἀπίσχηται ὁ ὄμβρος ἀπὸ τοῦ

---

13. ξὺν ἐκείνῳ] legit אִתּוֹ (ut cod. Kenn. 136 pr.) pro אִתָּם t. rec. Item LXX (μετ' αὐτοῦ). 15. [παρεγέ]νοντο inr as. 21. ζωῷ rursus c. cd. ed. κατὰ (2) in ras. 22. πᾶν cod., non πᾶς ut ed. τεϑνάσιν] sic cod., non τεϑνᾶσιν. Cf. Prol. I, 4, c. 23. ἀπέλειψε c. cd. ed.

VIII. 1. τῶν cod., non τοῦ ut ed. 2. κἀπίσχηται, non κἀπέσχ., cod. Cf. Num. XVII, 13. 15.

οὐρανοῦ, [3]ὑπέστρεψάν τε τὰ ὕδατα ἄνωθεν τῆς γῆς τῷ ἀπιέναι καὶ ὑποστρέφειν· ἐπέλιπόν τε τὰ ὕδατα ἀπ' ἄκρου τῶν πεντήκοντα καὶ ἑκατὸν ἡμερῶν. [4]καὶ ἀναπέπαυται ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, ἐν τῇ ἑπτακαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, κατὰ τῶν ὀρέων τῆς ἀραράτης. [5]τὰ δ' ὕδατα ἐτέλεσαν τῷ ἀπιέναι καὶ ἐπιλείπεν ἄχρι τοῦ μηνὸς τοῦ δεκάτου· ἐν τῷ δεκάτῳ, ἐν τῇ πρώτῃ τοῦ μηνὸς, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. [6]ὑπῆρξε δ' ἀπ' ἄκρου τῶν τετταράκοντα ἡμερῶν, ἤνοιξέ τε νώαχος τὴν θυρίδα τῆς κιβωτοῦ ἣν ἐποίησεν, [7]ἔπεμψέ τε τὸν κόρακα· ἐξῆλθεν οὖν τῷ ἐξιέναι καὶ ὑποστρέφειν ἄχρι τῆς ξηρασίας τῶν ὑδάτων ἄνωθεν τῆς γῆς. [8]ἔπεμψέ τε τὴν περιστερὰν ἀφ' ἑαυτοῦ ὡς ἴδοι ἆρα κεκουφίκαται τὰ ὕδατα ἄνωθεν τοῦ προσώπου τῆς γῆς· [9]οὐχ εὗρε δ' ἡ περιστερὰ παῦλαν τῷ πέλματι τοῦ ταύτης ποδός· ὑπέστρεψεν οὖν εἰς αὐτὸν πρὸς τὴν κιβωτὸν, ὕδατα γὰρ ἐπὶ τοῦ προσώπου τῆς γῆς. ἔπεμψεν οὖν τὴν ἑαυτοῦ χεῖρα κἄλαβεν αὐτὴν, ἤγαγέ τ' αὐτὴν πρὸς ἑαυτὸν πρὸς τὴν κιβωτόν. [10]περιέμεινε δ' ἔτι ἑπτὰ ἡμέραις ἑτέραις, καὶ προσέθηκε πέμπειν τὴν περιστερὰν ἀπὸ τῆς κιβωτοῦ. [11]ἀφῖκται δὲ πρὸς αὐτὸν ἡ περιστερὰ τῷ καιρῷ τῆς ἑσπέρας, αὐτίκα τε πέταλον ἐλαίας ἥρπασεν ἐν τῷ στόματι ταύτης. ἔγνω γοῦν νώαχος ὅτι κεκουφίκαται τὰ ὕδατα ἄνωθεν τῆς γῆς. [12]καὶ περιέμεινεν ἔτι ἑπτὰ ἡμέραις ἑτέραις, ἔπεμψέ τε τὴν περιστεράν· καὶ οὐ προσέθηκεν ὑποστρέψαι πρὸς αὐτὸν ἔτι. [13]τοιγαροῦν ἐτέλεσεν ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει, ἐν τῷ πρώτῳ ἐν τῇ μιᾷ τοῦ μηνὸς, ἐξηράνθησαν τὰ ὕδατα ἄνωθεν τῆς γῆς· ἀφείλετο γοῦν νώαχος τὸ πῶμα τῆς κιβωτοῦ, καὶ εἶδε, θεῶ τ' ἐξηράνθη τὸ πρόσωπον τῆς γῆς. [14]ἐν δὲ μηνὶ τῷ δευτέρῳ, ἐν τῇ εἰκοσθεβδόμῃ ἡμέρᾳ τοῦ μηνὸς ἐξηράνθη ἡ γῆ.

[15]Διείλεκται γοῦν ὁ θεὸς πρὸς νώαχον τῷ φάναι· [16]ἔξελθε πρὸς τῆς κιβωτοῦ, σὺ ἥ τε σὴ γυνὴ οἵ θ' υἱεῖς οἱ σοὶ καὶ αἱ γυναῖκες τῶν σῶν υἱέων ξὺν σοί· [17]πᾶν τὸ ζῶον τὸ ξὺν σοὶ πρὸς πάσης σαρκὸς, ἐν πτηνῷ κἀν κτήνει κἀν παντὶ τῷ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς γῆς, ἐξάγαγε ξὺν σαυτῷ· καὶ γονιμώ-

---

4. κατὰ cod., non ἐπὶ ut ed. 9. δ' ἡ cod., non δὲ ἡ εἰς αὐτὸν cod., non εἰς αὐτὴν τῆς γῆς] rursus כָּל־ om. πρὸς ἑαυτὸν πρὸς cod. Ed. πρὸς ἑαυτὸν om. 14. εἰκοσθεβδόμῃ cod., non εἰκοκεβδ. ut ed. 17. ξὺν (2) ex corr. cod. Ed. σὺν

σουσιν ἐν τῇ γῇ, αὐξήσουσί τε καὶ πληϑυνοῦσιν ἐπὶ τῆς γῆς. [18]ἐξῆλϑεν οὖν νώαχος οἵ ϑ' υἱεῖς ἐκείνου καὶ ἡ γυνή οἱ καὶ αἱ γυναῖκες τῶν υἱέων ἐκείνου ξὺν ἐκείνῳ· [19]πᾶν ζῶον, πᾶν ἑρπετὸν ἅπας τ' ὄρνις, πᾶν ἕρπον ἐπὶ τῆς γῆς, κατὰ γενεὰς αὐτῶν ἐξῆλϑον ἀπὸ τῆς κιβωτοῦ. [20]κάδείματο νώαχος ϑυτήριον τῷ ὀντωτῇ, κἄλαβε πρὸς παντὸς τοῦ κτήνους τοῦ καϑαροῦ πρός τε παντὸς τοῦ πτηνοῦ τοῦ καϑαροῦ, καὶ ἀνήνεγκεν ἀναφορὰς ἐν τῷ ϑυτηρίῳ. [21]ὠσφράνϑη γοῦν ὁ ὀντωτὴς ὀδμὴν ἀναπαύματος, ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς τὴν ἑαυτοῦ καρδίαν· οὐ προσϑήσω καταράσασϑαι ἔτι τῇ γῇ χάριν τοῦ ἀνϑρώπου, τὸ γὰρ πλάσμα τῆς καρδίας τοῦ ἀνϑρώπου κακὸν ἀπὸ νεότητος αὐτοῦ· οὔτε προσϑήσω ἔτι βαλεῖν ξύμπαν ζῶν καϑάπερ ἐποίησα. [22]ἔτι πάσαις ταῖς ἡμέραις τῆς γῆς σπόρος ἀμητός τε, ψύχος καὶ ϑέρος, ὀπώρα τε καὶ χειμὼν, ἡμέρα τε καὶ νὺξ οὐ παύσουσιν. IX. [1]εὐλόγησεν οὖν ὁ ϑεὸς τὸν νώαχον τούς ϑ' υἱέας ἐκείνου, καὶ ἔφη σφίσιν· αὔξετε καὶ πληϑύνετε καὶ πληροῦτε τὴν γῆν. [2]ὅ τε φόβος ὑμῶν καὶ ἡ πτῆξις ὑμῶν εἴη κατὰ παντὸς ζώου τῆς γῆς καὶ κατὰ παντὸς πτηνοῦ τοῦ οὐρανοῦ, ἐν παντὶ ὅπερ ἂν ἕρποι ἐπὶ τῆς γῆς ἔν τε πᾶσι τοῖς ἰχϑύσι τῆς ϑαλάττης· ἐν τῇ χειρὶ ὑμῶν δέδονται. [3]πᾶν ἑρπετὸν ὅ ἐστι ζῶν ὑμῖν τελέσει εἰς ἐδωδήν· ὡς χλόην βοτάνην ἔδωκα ὑμῖν ξύμπαντα. [4]μόνον κρέας ἐν ψυχῇ οἱ, τῷ αἵματί οἱ, οὐκ ἔδεσϑε· [5]καὶ μόνον τὸ αἷμα ὑμῶν ταῖς ψυχαῖς ὑμῶν ζητήσω, πρὸς χειρὸς παντὸς ζώου ζητήσω αὐτό· πρός τε χειρὸς τοῦ ἀνϑρώπου, πρὸς χειρὸς ἀνδρὸς τοῦ ἀδελφοῦ αὐτοῦ ζητήσω τὴν ψυχὴν τοῦ ἀνϑρώπου. [6]ὁ χέων τὸ αἷμα τοῦ ἀνϑρώπου, ἐν τῷ ἀνϑρώπῳ τὸ αἷμα αὐτοῦ χεϑήσεται· ἐν γὰρ εἰκόνι ϑεοῦ ἐποίησε τὸν ἄνϑρωπον. [7]ὑμεῖς δὲ αὔξετε καὶ πληϑύνετε, βρύετε ἐν τῇ γῇ καὶ πληϑύνετε ἐν αὐτῇ.

[8]Ἔφη τε ὁ ϑεὸς πρὸς νώαχον πρός τε τοὺς υἱέας αὐτοῦ ξὺν αὐτῷ τῷ φάναι· [9]κἀγὼ αἰτίκ' ἐγὼ κυρῶ τοὐμὸν στοίχημα ξὺν ὑμῖν τῷ ϑ' ὑμῶν σπέρματι μεϑ' ὑμᾶς, [10]ξύν τε πάσῃ ψυχῇ τοῦ ζώου τοῦ ξὺν ὑμῖν, ἐν τῷ πτηνῷ

---

20. ἀναφορὰς cod., non ἀναφορὰν ut ed. 21. καταρᾶσαι c. ed. ed. τὸ γὰρ πλάσμα in ras. ζῶν ex corr. cod., non ζῶον ut ed. 22. ἀμητός, non ἄμ., cod. (cf. XXX, 16 etc.); item ψύχος, non ψῦχος. Cf. Prol. I, 4, c.

IX. 3. ἐδωδήν in ras. βοτάνης? Cf. I, 30. 4. τῷ αἵματι ex corr. cod. Ed. τῷ om. 6. χεϑήσεται cod., non σχεϑ. ut Mor. indicat. 9. τῷ ϑ' ὑμῶν in ras. 10. ξύν τε πάσῃ cod., non ξυμπάσῃ ut ed.

κἀν τῷ κτήνει κἀν παντὶ τῷ ζώῳ τῆς γῆς ξὺν ὑμῖν πρὸς πάντων τῶν ἐξιόντων τὴν κιβωτὸν, παντὶ τῷ ζώῳ τῆς γῆς. [11]βεβαιώσω τε τὴν ἐμὴν ξυνθήκην ξὺν ὑμῖν· οὔκουν ὀλοθρευθήσεται πᾶσα σὰρξ ἔτι πρὸς τῶν ὑδάτων τοῦ κατακλυσμοῦ, οὔτ' ἔσται ἔτι κατακλυσμὸς ὡς φθεῖραι τὴν γῆν. [12]ἔφη τε ὁ θεός· τοδὶ τὸ σημεῖον τῆς ξυνθήκης ὃ δίδωμι ἀν' ἐμὲ καὶ ἀν' ὑμᾶς ἀνά τε πᾶσαν ψυχὴν ζώου τοῦ ξὺν ὑμῖν εἰς γενεὰς αἰῶνος· [13]τόξον τοὐμὸν ἔδωκα ἐν τῇ νεφέλῃ, τελέσει τ' εἰς σημεῖον στοιχήματος ἀν' ἐμὲ κἀνὰ τὴν γῆν. [14]τελέσει τ' ἐπὰν νεφελώην νεφέλην ἐπὶ τῆς γῆς, ὀφθήσεται γοῦν τὸ τόξον ἐν τῇ νεφέλῃ, [15]καὶ μνημονεύσω τοῦ ἐμοῦ στοιχήματος τοῦ ἀν' ἐμὲ καὶ ἀν' ὑμᾶς ἀνά τε πᾶσαν ψυχὴν ζώου ἐν ἁπάσῃ σαρκί· οὔκουν τελέσει ἔτι τὸ ὕδωρ εἰς κατακλυσμὸν ὡς φθεῖραι πᾶσαν σάρκα. [16]τελέσει τε τὸ τόξον ἐν τῇ νεφέλῃ, ὄψομαί τ' αὐτὸ ὡς μνημονεύοιμι στοιχήματος αἰῶνος ἀνὰ τὸν θεὸν κἀνὰ πᾶσαν ψυχὴν ζώου ἐν πάσῃ σαρκὶ τελούσῃ κατὰ τῆς γῆς. [17]ἔφη τε ὁ θεὸς πρὸς τὸν νώαχον· τοδὶ τὸ σημεῖον τοῦ ξυμφωνήματος ὃ κεκύρωκα ἀν' ἐμὲ κἀνὰ πᾶσαν σάρκα τὴν κατὰ τῆς γῆς.

[18]Ὑπῆρξαν δ' υἱεῖς τοῦ νωάχου οἱ ἐξιόντες ἀπὸ τῆς κιβωτοῦ σέμης, χάμης καὶ ἰάφετος· χάμης δ' ἐστὶν ὁ πατὴρ τοῦ κεναᾶνος. [19]τρεῖς οὗτοι υἱεῖς τοῦ νωάχου· ἀπὸ δ' αὐτῶν ἐσκόρπισται πᾶσα ἡ γῆ. [20]ἤρξατο δὲ νώαχος ἀνὴρ τῆς γῆς, κἀφύτευσεν ἀμπελῶνα. [21]τέθεικέ τ' ἀπὸ τοῦ οἴνου καὶ μεμέθυσται, κεκύλισται γοῦν ἐν μέσῳ τῆς σκηνῆς ἑαυτοῦ. [22]τεθέαται δὲ χάμης ὁ πατὴρ κεναᾶνος τὴν ἀνακάλυψιν τοῦ πατρὸς ἑαυτοῦ, καὶ ἤγγειλε τοῖν δυοῖν ἀδελφοῖν ἑαυτοῦ θύρησιν. [23]ἔλαβε τοίνυν σέμης ἰάφετός τε τὸ ἔνδυμα κἀθηκάτην ἐπ' ὤμου ἄμφω αὐτὼ, καὶ ἀπηλθέτην ὀπισθίως ἐσκεπασάτην τε τὴν ἀνακάλυψιν τοῦ σφοῖν πατρός· τὼ δὲ προσώπω σφοῖν ὀπισθίως, τήν γε μὴν ἀνακάλυψιν τοῦ πατρὸς οὐ τεθέασθον. [24]ἀνένηψε δὲ νώαχος πρὸς τοῦ οἴνου οἱ, ἔγνω θ' ἅπερ ἐποίησεν αὐτῷ ὁ υἱεὺς αὐτοῦ ὁ ἥττων, [25]ἔφη τε· κατάρατος κεναάν· οἰκέτης οἰκετῶν τελοίη τοῖς ἑαυτοῦ ἀδελφοῖς.

---

11. καταχλύσμου rursus c. cd. ed. 13. ἔδωκα ex corr. (pro δέδωκα?) cod. 21 τέθεικέ τ' (non θ' ut ed.)] וַיֵּשְׁתְּ pro וַיֵּשְׁתְ κεκύλισται cod., non ἐκυλίσθη ut ed. 23. ἐπὶ τοῦ ὤμου (quod ed.) corr. ἐπ' ὤμου cod. ὀπισθίως bis cod., non ὄπισθεν ut ed. σφοῖν (2) ex corr. cod. Ed. σφῶϊν τοῦ πατρὸς] suff. om. (אֲבִיהֶם). 25. τοῖν ἑαυ. ἀδελφοῖν c. cd. ed.

[26]καὶ εἶπεν· εὐλογητὸς ὁ ὀντωτὴς ὁ ϑεὸς τοῦ σέμου, τελέσειέ τε κεναὰν οἰκέτης αὐτοῦ. [27]εὐρύνοι ὁ ϑεὸς ἰαφέτῳ, καὶ οἰκήσειεν ἐν σκηναῖς σέμου· τελοίη τε κεναὰν οἰκέτης σφοῖν. [28]ἐβίωσε δὲ νώαχος μετὰ τὸν κατακλυσμὸν τριακοσίοις ἔτεσι καὶ πεντήκοντα ἔτεσιν. [29]ὑπῆρξάν τε πᾶσαι αἱ ἡμέραι τοῦ νωάχου ἐννεακόσια ἔτη καὶ πεντήκοντα ἔτη, καὶ τέϑνηκεν.

[1]Αἵδὶ τοίνυν αἱ γεννήσεις τῶν υἱέων νωάχου, σέμης, χάμης καὶ ἰάφετος· γεγέννηνται δὲ σφίσιν υἱεῖς μετὰ τὸν κατακλυσμόν. X. [2]υἱεῖς ἰαφέτου γόμερος, μαγώγης τε καὶ μαδάϊς, ἰαυάν τε καὶ ϑουβάλης, μέσεχός τε καὶ ϑιράμης. [3]υἱεῖς δὲ γομέρου ἀσκενέζης, ῥιφέϑης τε καὶ ϑογάρμας. [4]υἱεῖς δ' ἰαυᾶνος ἐλίσας καὶ ϑαρσίς, κιταῖοι καὶ δωδαναῖοι. [5]πρὸς τούτων ἐμερίσϑησαν αἱ νῆσοι τῶν ἐϑνῶν ἐν ταῖς γαίαις αὐτῶν, ἕκαστος κατὰ τὴν γλῶτταν αὐτοῦ, εἰς τὰς γενεὰς αὐτῶν ἐν τοῖς ἔϑνεσι σφῶν. [6]υἱεῖς δὲ χάμου κούσης μισεράϊμός τε, φούτης τε καὶ κεναάν. [7]υἱεῖς δὲ κούσου ξεβάης καὶ χαυΐλας καὶ ξαβέτας, ῥαέμας τε καὶ ξαβετέχας. υἱεῖς δὲ ῥαέμου σεβάος καὶ δεδάν. [8]κούσης δ' ἐγέννησε τὸν νιμερώδην· ἐκεῖνος ἤρξατο τελεῖν κραταιὸς ἐν τῇ γῇ. [9]κεῖνος ὑπῆρξε κραταιὸς ϑηρατὴρ ἐνώπιον τοῦ ὀντωτοῦ· διὸ λέγοιτο· καϑάπερ νιμερώδης κραταιὸς ϑηρατὴρ ἐνώπιον τοῦ ὀντωτοῦ· [10]ὑπῆρξε δ' ἡ ἀρχὴ τῆς βασιλείας ἐκείνου βαβέλη καὶ ἐρέχη, ἀβάδης τε καὶ χαλενὴ ἐν τῇ γῇ τοῦ σινεάρου. [11]πρὸς τῆς γῆς ἐκείνης ἐξῆλϑεν ἀσσοῦρος· κάδείματο τὴν νινευὴν τάς τε πλατείας τῆς πόλεως καὶ τὴν καλάχην, [12]καὶ τὴν δάξην ἀνὰ τὴν νινευὴν κἀνὰ τὴν καλάχην· αὕτη ἡ πόλις ἡ μεγάλη. [13]μισεράϊμος δ' ἐγέννησε τοὺς λυδοὺς καὶ τοὺς ἀναμοὺς, τούς τε λεαβοὺς καὶ τοὺς νεπτούχους, [14]τούς τε παϑρώξους καὶ τοὺς καξελούχους, ὧν ἐξῆλϑον ἐκεῖϑεν οἱ πελιστῖνοι, καὶ τοὺς καπτορούς. [15]Κεναὰν δ' ἐγέννησε τὸν σιδῶνα τὸν πρωτότοκον ἑαυτοῦ καὶ τὸν χέϑην,

26. καὶ τελ. corr. τελέσειέ τε cod.

X. 1. γεγέννυνται typ. vit. ed. 2. ϑιράμης] תִּירָם pro תִּירָס 3. ἀσκενάζης, ῥιφάϑης c. cd. ed. 4. ταρ. corr. ϑαρσὶς cod. 5. ἑαυ. corr. αὐτοῦ 7. σεβ. corr. ξεβάης σεβάης corr. σεβάος 10. ἀβάδης] אַבַּד pro אַכַּד. Ceterum illud ς atramento fusciore postea videtur adpictum. 11. νινεύην c. cd. ed. Item v. sq. 12. δάξην] רָסֶן t. rec. Cf. LXX (δασῃ, A δασεμ). 13. μισράϊμος c. cd. ed.

[16]τόν τ' ἰεβούξιον καὶ τὸν ἐμόριον, τὸν γιργάσιόν τε [17]καὶ τὸν χευαῖον, τόν τ' ἀρκαῖον καὶ τὸν ξιναῖον, [18]τὸν ἀρευαδαῖόν τε καὶ τὸν σεμάριον καὶ τὸν χαμάϑιον· ἔπειτα δὲ διεσκορπίσϑησαν αἱ γενεαὶ τοῦ κεναανίου. [19]ὑπῆρξέ ϑ' ὅριον τῷ κεναανίῳ ἀπὸ σιδῶνος τῷ ἀφικνεῖσϑαί σε γεράραδε μέχρις ἀζᾶς, τῷ ἥκειν σε ξεδόμηνδε καὶ ἀμορὰν, ἀδαμάν τε καὶ ξεβοοὺς ἄχρι λασᾶς. [20]οὗτοι υἱεῖς χάμου κατὰ τὰς γενεὰς αὐτῶν, κατὰ τὰς γλώττας αὐτῶν, ἐν ταῖς γαίαις αὐτῶν, ἐν τοῖς ἔϑνεσιν αὐτῶν.

[21]Τῷ δὲ σέμῳ γεγέννηται· ἔτι κεῖνος πατὴρ πάντων τῶν υἱέων ἐβέρου τοῦ ἀδελφοῦ ἰεφέτου τοῦ μεγάλου. [22]υἱεῖς σέμου αἰλάμης, ἀσσούρης τε καὶ ἀρφαξάδης, λυδός τε καὶ ἀράμης· [23]υἱεῖς δ' ἀράμου οὔσης χοῦλός τε, γέϑερός τε καὶ μάσης. [24]ἀρφαξάδης δ' ἐγέννησε τὸν σάλαχον· ὁ δὲ σάλαχος ἐγέννησε τὸν ἔβερον· [25]τῷ δ' ἐβέρῳ ἐγεγεννήσϑην δύο υἱώ· τοὔνομα τοῦ ἑνὸς πέλεγος, ἐπειδήπερ ἐν ταῖς ἡμέραις ἐκείνου μεμέρισται ἡ γῆ· τοὔνομα δὲ τοῦ ἀδελφοῦ οἱ ἰακτάν. [26]ὁ δ' ἰακτὰν ἐγέννησε τὸν ἀλμοδάδην, τὸν σάλεφόν τε καὶ τὸν χασαρμάυετον καὶ τὸν ἰαράχην, [27]τόν τ' ἀδοράμην καὶ τὸν οὐζάλην καὶ τὸν δικλάην, [28]τόν τ' ὠβάλην καὶ τὸν ἀβιμαέλην καὶ τὸν σεβάον, [29]τὸν ὠφάρην τε, τὸν χαυϊλάην τε καὶ τὸν ἰωβάβαν· πάντες οὗτοι υἱεῖς ἰακτᾶνος. [30]ὑπῆρξε δ' ἡ καϑέδρα σφῶν ἀπὸ μασάης τῷ ἀφικνεῖσϑαί σε ξεφάρηνδε, ὄρος τῶν ἀνατολῶν. [31]οὗτοι υἱεῖς σέμου κατὰ τὰς γενεὰς αὐτῶν, κατὰ τὰς γλώττας αὐτῶν, ἐν ταῖς γαίαις αὐτῶν, κατὰ τὰ ἔϑνη σφῶν. [32]αἵδί αἱ γενεαὶ τῶν υἱέων νωάχου κατὰ τὰς γεννήσεις αὐτῶν, ἐν τοῖς ἔϑνεσιν αὐτῶν· ἀπὸ δ' αὐτῶν διεστάλησαν τὰ ἔϑνη ἐν τῇ γῇ μετὰ τὸν κατακλυσμόν.

XI. [1]Ὑπῆρξε δὲ πᾶσα ἡ γῆ χεῖλος ἓν καὶ λόγοι μονοειδεῖς. [2]ἀλλ' ἐτέλεσεν ἐπεὶ μετάροιεν ἀπ' ἀνατολῶν, εὗρόν τε ῥαγάδα ἐν τῇ γῇ σινεάρος καὶ ἐκαϑέσϑησαν ἐκεῖ. [3]εἶπον δ' ἕκαστος πρὸς τὸν ἑταῖρον ἑαυτοῦ· ἄγε πλινϑουργήσωμεν πλίνϑους καύσωμέν τε

---

18. ἀρευαδαῖον] ita, ni fallor, ex corr. cod. Ed. ἀρυαδ. 19. ξεβοούς (non ξεβοὺς ut ed.)] quasi סְבוֹיִם scriptum esset, non צְבוֹיִם 21. γεγέννηται c. cd. ed. 22. ἀσούρης c. cd. ed. 23. γέϑερος cod., non γέϑρ. ut ed., nec γέδαρ. ut Mor. legit. 25. δὲ ἐβέρῳ c. cd. ed. δύω typ. vit. ed. τοὔνομα δὲ cod. Ed. δὲ om. 28. σέβαον c. cd. ed.

XI. 1. Ὑπῆρ δὲ cod. 2. μετάροιεν cod., non μετήρ. ut ed. σινεάρου corr. σινεάρος cod. 3. ἑαυτοῦ cod., non αὐτοῦ ut ed.

καύσει. ἐτέλεσέ τε σφίσιν ἡ πλίνϑος εἰς λίϑον, καὶ ἡ τίτανος ὑπῆρξε σφίσιν εἰς πηλόν. [4]κἄφησαν· ἄγε δειμώμεϑα ἑαυτοῖς πόλιν καὶ πύργον, τήν γε μὴν αὐτοῦ κεφαλὴν ἐν οὐρανοῖς, ποιήσωμέν ϑ' ἑαυτοῖς ὄνομα μήπως σκορπισϑῶμεν ἐπὶ προσώπου πάσης τῆς γῆς. [5]κατέβη δ' ὁ ὀντωτὴς ϑεάσασϑαι τὴν πόλιν τόν τε πύργον ὃν ἐδείμαντο οἱ υἱεῖς τοῦ ἀνϑρώπου. [6]καὶ εἶπεν ὁ ὀντωτής· ϑεῶ λεὼς εἷς χεῖλός ϑ' ἓν ξύμπασι· τόδε γοῦν ἦρκται σφίσιν ὡς ποιήσαιεν· νῦν οὖν οὐκ ἐπισχεϑήσεται πρὸς αὐτῶν ὁτιοῦν ὃ λογιοῦνται ποιεῖν. [7]δεῦρο καταβῶμεν συγχέωμέν τ' ἐκεῖ τὸ χεῖλος αὐτῶν, ᾗπερ οὐκ ἀκούσονται ὁστισοῦν τὸ χεῖλος τοῦ ἑαυτοῦ ἑταίρου. [8]ἐσκέδασεν οὖν ὁ ὀντωτὴς ἐκείνους ἐκεῖϑεν ἐπὶ προσώπου πάσης τῆς γῆς, ἐπαύσαντό τε δομούμενοι τὴν πόλιν. [9]διὸ κέκληκε τοὔνομα ταύτης βαβέλην· ἐκεῖ γὰρ συνέχεεν ὁ ὀντωτὴς τὸ χεῖλος ἁπάσης τῆς γῆς, κἀκεῖϑεν ἐσκέδασεν ὁ ὀντωτὴς ἐπὶ προσώπου πάσης τῆς γῆς.

[10]Αἵδἰ αἱ γεννήσεις τοῦ σέμου· σέμης υἱεὺς ἑκατονταετής, ἐγέννησέ τε τὸν ἀρφαξάδην διέτει μετὰ τὸν κατακλυσμόν. [11]ἔζησε δὲ σέμης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ἀρφαξάδην πεντακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας.

[12]Ἀρφαξάδης δ' ἔζησε πέντε καὶ τριάκοντα ἔτεσι κἀγέννησε τὸν σέλαχον. [13]ἔζησε δ' ἀρφαξάδης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν σέλαχον τρισὶν ἔτεσι καὶ τριακοσίοις ἔτεσιν, ἐγέννησέ ϑ' υἱέας καὶ ϑυγατέρας.

[14]Σέλαχος δ' ἔζησε τριάκοντα ἔτεσιν, ἐγέννησέ τε τὸν ἔβερον. [15]ἔζησε δὲ σέλαχος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ἔβερον τρισὶν ἔτεσι καὶ τετρακοσίοις ἔτεσι, κἀγέννησεν υἱέας καὶ ϑυγατέρας.

[16]Ἔζησε δ' ἔβερος τέτταρσι καὶ τριάκοντα ἔτεσι κἀγέννησε τὸν πέλεγον. [17]ἔζησέ τ' ἔβερος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν πέλεγον τριάκοντα ἔτεσι καὶ τετρακοσίοις ἔτεσι, κἀγέννησεν υἱέας καὶ ϑυγατέρας.

[18]Ἔζησε δὲ πέλεγος τριάκοντα ἔτεσιν, ἐγέννησέ τε τὸν ῥεοῦντα. [19]ἔζησέ τε πέλε-

---

καύσει cod., non καῦσιν ut ed. 7. συγχεῶμεν c. cd. ed. ἀκούσονται cod., non εἰκάσονται ut ed. 9. ἐσκέδασεν] suff. om. (הֱפִיצָם). 10. διετεῖ corr. διέτει cod. 13. τριακοσίοις] haud scio an casu conveniat cum Sam. (שלש) et Hieron. (אַרְבַּע מֵאוֹת t. rec.). 17. τετρακοσίοις cod., non τριακ. ut ed. ἔτεσιν corr. ἔτεσι cod. 18. ῥεοῦντα cod., non ῥεοῦνα ut ed. Item v. sq.

γος μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ῥεοῦντα ἐννέα ἔτεσι καὶ διακοσίοις ἔτεσι, κἀγέννησεν υἱέας καὶ θυγατέρας.

[20]Ἔζησε δὲ ῥεοῦς δυσὶ καὶ τριάκοντα ἔτεσι κἀγέννησε τὸν σερούγην. [21]ἔζησέ τε ῥεοῦς μετὰ τὸ γεγεννηκέναι ἑ τὸν σερούγην ἑπτὰ ἔτεσι καὶ διακοσίοις ἔτεσι, κἀγέννησεν υἱέας καὶ θυγατέρας. [22]Ἔζησε δὲ σερούγης τριάκοντα ἔτεσι κἀγέννησε τὸν ναχῶρα. [23]κἄζησε σερούγης μετὰ τὸ γεγεννηκέναι ἑ τὸν ναχῶρα διακοσίοις ἔτεσιν, ἐγέννησέ θ' υἱέας καὶ θυγατέρας. [24]Ἔζησε δὲ ναχὼρ ἐννέα καὶ εἴκοσιν ἔτεσι κἀγέννησε τὸν τέραχον. [25]ἔζησέ τε ναχὼρ μετὰ τὸ γεγεννηκέναι ἑ τὸν τέραχον ἐννεακαίδεκα ἔτεσι καὶ ἑκατὸν ἔτεσι, κἀγέννησεν υἱέας καὶ θυγατέρας.

[26]Ἔζησε δὲ τέραχος ἑβδομήκοντα ἔτεσιν, ἐγέννησέ τε τὸν ἀβράμην, τὸν ναχῶρα καὶ τὸν ἀρᾶνα. [27]αἵδὶ δ' αἱ γεννήσεις τοῦ τεράχου· τέραχος ἐγέννησε τὸν ἀβράμην, τὸν ναχῶρα καὶ τὸν ἀρᾶνα· ἀρὰν δ' ἐγέννησε τὸν λῶτον. [28]τέθνηκε μὲν οὖν ἀρὰν ἐπὶ προσώπου τεράχου τοῦ πατρὸς ἑαυτοῦ ἐν τῇ γῇ τῆς πατρίδος αὐτοῦ, ἐν οὔρῳ χασδαίων. [29]ἔλαβε δ' ἀβράμης καὶ ναχὼρ σφοῖν γυναῖκε· τοὔνομα τῆς γυναικὸς ἀβράμου σαράϊς, τὸ δ' ὄνομα τῆς γυναικὸς ναχῶρος μιλεκὰ, θυγάτηρ ἀρᾶνος τοῦ πατρὸς μιλεκᾶς καὶ πατρὸς ἰξεκᾶς. [30]ὑπῆρξε δὲ σαράϊς στεῖρα, οὐκ ἴσχε τέκνον· [31]ἔλαβε δὲ τέραχος ἀβράμην τὸν υἱὸν ἑαυτοῦ καὶ λῶτον τὸν υἱὸν ἀρᾶνος, τὸν υἱὸν τοῦ υἱέως αὐτοῦ, καὶ σαράϊν τὴν νύμφην αὐτοῦ, τὴν γυναῖκα ἀβράμου τοῦ υἱέως αὐτοῦ· κἀξῆλθον σὺν αὐτοῖς ἀπ' οὔρου χασδαίων ὡς ἀπέρχοιντο εἰς γῆν χεναᾶνος. ἀφίκοντο τοίνυν ἄχρι χαρᾶνος, ἐκαθέσθησάν τ' ἐκεῖ. [32]ὑπῆρξαν δ' αἱ ἡμέραι τοῦ τεράχου πέντε ἔτη καὶ διακόσια ἔτη· τέθνηκέ τε τέραχος ἐν χαρᾶνι.

XII. *μερίς* [1]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς ἀβράμην· ἄπιθι σαυτῷ πρὸς τῆς σῆς γῆς πρός τε τῆς σῆς πατρίδος καὶ πρὸς τοῦ δόμου τοῦ σοῦ πατρὸς, πρὸς τὴν γῆν ἣν σοι δείξω. [2]ποιήσω τέ σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε, μεγαλυνῶ τε τὸ σὸν ὄνομα, τέλει δ' εὐλογία. [3]εὐλογήσω

---

21. ἔτεσι (1) cod., non ἔτη ut ed. 25. γεγεννηκέναι ἑ cod. Ed. ἑ om. ἐννέα καὶ δέκα c. cd. ed.

XII. 1. ἣν (ἥν σοὶ ed.) corr. ἥν [σοι] cod. 2. καὶ τέλει corr. τέλει δ' cod.

τε τοὺς εὐλογοῦντάς σε, τοῖς δὲ βλασφημοῦσί σε καταράσομαι· καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ γενεαὶ τῆς γῆς. [4]ἀπῆλθεν οὖν ἀβράμης καθὰ διείλεκται πρὸς ἐκεῖνον ὁ ὀντωτὴς, ἀπῆλθέ τε ξὺν αὐτῷ λῶτος. ὁ δ' ἀβράμης υἱεὺς πεντέτης ἑβδομηκοντούτης τ' ἐν τῷ ἐξιέναι ἑ πρὸς τοῦ χαρᾶνος. [5]ἔλαβέ θ' ἀβράμης σαράϊν τὴν ἑαυτοῦ γυναῖκα καὶ λῶτον τὸν υἱὸν τοῦ ἀδελφοῦ οἱ, ξύμπασάν τε τὴν περιουσίαν ἑαυτῶν ἣν περιεποιήσαντο, καὶ τὴν ψυχὴν ἣν ἐποίησαν ἐν χαρᾶνι, κἀξῆλθον ὡς ἀπέρχοιντο ἐς γῆν κεναᾶνος· ἀφίκοντό τ' ἐς γῆν κεναᾶνος. [6]καὶ διέβη ἀβράμης ἐν τῇ γῇ μέχρι τοῦ τόπου σεχέμου, μέχρι τῆς δρυὸς τοῦ μορέως. ὁ δὲ κεναάνιος τότε ἐν τῇ γῇ. [7]ὤπται δ' ὁ ὀντωτὴς πρὸς τὸν ἀβράμην εἴρηκέ τε· τῷ σῷ σπέρματι δώσω τὴν γῆν ταυτηνί. δεδόμηται γοῦν ἐκεῖ θυτήριον τῷ ὀντωτῇ τῷ ὀφθέντι πρὸς αὐτόν. [8]καὶ μετήνεγκεν ἐκεῖθεν πρὸς τὸ ὄρος ἀπ' ἀνατολῶν ἐς δόμον θεοῦ, κἄκλινε τὴν ἑαυτοῦ σκηνὴν τῷ δέμῳ θεοῦ πρὸς θαλάττης, ἡ δ' ἆϊς ἀπ' ἀνατολῶν· ἐδείματό τ' ἐκεῖ θυτήριον τῷ ὀντωτῇ, κέκληκέ τ' ἐν ὀνόματι τοῦ ὀντωτοῦ. [9]μετῆρέ θ' ἀβράμης τῷ ἀπιέναι μεταίρειν τε πρὸς νότον.

[10]Ὑπῆρξε δὲ λιμὸς ἐν τῇ γῇ, κατέβη θ' ἀβράμης αἴγυπτόνδε ὡς παροικήσειεν ἐκεῖ· ἔβρισε γὰρ ὁ λιμὸς ἐν τῇ γῇ. [11]ὑπῆρξεν οὖν ἐπείπερ ἤγγισεν ὡς ἔρχοιτο αἴγυπτόνδε, εἶπε γοῦν πρὸς σαράϊν τὴν ἑαυτοῦ γυναῖκα· αὐτίκα δὴ ἔγνων ὅτι γυνὴ καλὴ τὴν ὄψιν εἶ. [12]τελέσει τοίνυν ἐπὰν θεάσαιντό σε οἱ αἰγύπτιοι, φήσουσί τε· γυνή οἱ ἡδί· διαχρήσονται γοῦν με, σὲ δὲ ζωώσουσι. [13]φάθι δὴ, ἀδελφή μου τελεῖς, ὡς ἂν ἀγαθυνθῇ μοι χάριν σοῦ, ζῇ θ' ἡ ἐμὴ ψυχὴ διὰ σέ. [14]ἐτέλεσε τοίνυν ἐν τῷ παραγίνεσθαι ἀβράμην αἴγυπτόνδε, τεθέανται γοῦν οἱ αἰγύπτιοι τὴν γυναῖκα ὅτιπερ εὐειδεστάτη ἐτύγχανε. [15]τεθέανται γοῦν ἐκείνην οἱ ἄρχοντες τοῦ παρεῶνος, ἐπήνεσάν τ' ἐκείνην πρὸς παρεῶνα· καὶ εἴληπται ἡ γυνὴ οἴκοι τοῦ παρεῶνος. [16]τῷ δ' ἀβράμῃ ἠγαθύνθη δι' αὐτὴν, ὑπῆρξάν τέ οἱ πρόβατα βόες τ' ὄνοι τε καὶ οἰκέται οἰκέτιδές τε ὀνίδες τε

---

3. τοῖς δὲ βλασφημοῦσί σε] וּמְקַלְלֶיךָ pro וּמְקַלֶּלְךָ, ut cod. Kenn. 206. Item Sam. LXX. Syr. Hieron. 5. Ante σαράϊν erasum videtur τὴν 7. δεδόμηται] formam וַיִּבֶן cave suspiceris perperam pro fut. apoc. Nif. habuisse interpretem. Immo vero significatione activa hoc perfecto utitur. Cf. Prov. IX, 1. 8. ἆϊς cod., non ἀΐς ut ed. 9. μεταιρεῖν c. cd. ed. 11. σαραῗν c. cd. ed. 13. χάριν σου (ut etiam III, 17) c. cd. ed. 16. ὀνιδές c. cd. ed.

καὶ κάμηλοι. [17]ἔπληξε δ' ὁ ὀντωτὴς τὸν παρεῶνα πληγὰς μεγάλας καὶ τὸν ἐκείνου δόμον ἐπὶ τῷ χρήματι σαραΐδος τῆς γυναικὸς ἀβράμου· [18]κέκληκεν οὖν παρεὼν τὸν ἀβράμην εἴρηκέ τέ οἱ· τί τόδ' ἐποίησάς μοι; τοῦ χάριν οὐκ ἤγγειλάς μοι ὡς γυνή σοι τελεῖ; [19]τοῦ χάριν ἔφης· ἀδελφή μοι τελεῖ; κἄλαβον ταύτην ἐμαυτῷ εἰς γυναῖκα· νῦν οὖν αὐτίχ' ἡ γυνή σου, λάβε καὶ ἄπιθι. [20]ἐκέλευσε δ' ὑπὲρ αὐτοῦ παρεὼν ἀνδράσι, κἄπεμψαν αὐτὸν τήν τ' αὐτοῦ

XIII. γυναῖκα ξύμπαντά θ' ἅπερ ἴσχεν. [1]ἀνέβη τοίνυν ἀβράμης ἀπ' αἰγύπτου, κεῖνος ἥ τε γυνή οἱ καὶ ξύμπανθ' ἅπερ ἴσχε, λῶτός τε ξὺν ἐκείνῳ, πρὸς νότον. [2]ὁ δ' ἀβράμης ἔβρισεν ἄγαν ἐν κτήσει, ἐν ἀργύρῳ κἀν χρυσῷ. [3]ἀπῆλθε δ' εἰς τὰς μετάρσεις αὐτοῦ πρὸς νότου καὶ μέχρι δόμου θεοῦ, μέχρι τοῦ τόπου οὗπερ ὑπῆρξεν ἐκεῖ ἡ σκηνή οἱ ἐν ἀρχῇ, ἀνὰ δόμον θεοῦ κἀνὰ τὸν ἄϊνα, [4]πρὸς τὸν τόπον τοῦ θυτηρίου ὅπερ ἐποίησεν ἐκεῖ τοπρῶτον· ἐκάλεσέ τ' ἐκεῖ ἀβράμης ἐν ὀνόματι τοῦ ὀντωτοῦ. [5]κἄτι τῷ λώτῳ τῷ ἀπιόντι ξὺν ἀβράμῃ ὑπῆρξαν πρόβατα βόες τε καὶ σκηναί. [6]τοιγαροῦν οὐχ ἤνεγκέ σφε ἡ γῆ ὡς καθέζοισθον ἅμα, ὑπῆρξε γὰρ ἡ σφοῖν περιουσία πολλή· οὔκουν ἰσχυσάτην καθέζεσθαι ἅμα. [7]τοιγαροῦν ἐτέλεσεν ἔρις ἀνὰ τοὺς ποιμένας τῆς κτήσεως ἀβράμου κἀνὰ τοὺς ποιμένας τῆς κτήσεως λώτου. ὁ δὲ κεναάνιος ὅ τε περέζιος τότε ἐκαθέζετο ἐν τῇ γῇ. [8]ἔφη γοῦν ἀβράμης πρὸς λῶτον· μὴ δὴ τελείτω ἔρις ἀν' ἐμὲ κἀνὰ σέ, ἀνά τε τοὺς ἐμοὺς ποιμένας κἀνὰ τοὺς σοὺς ποιμένας· ἄνδρε γὰρ ἀδελφὼ χρηματίζομεν. [9]ἆρ' οὐ πᾶσα ἡ γῆ ἐνώπιόν σου; χωρίσθητι δὴ ἄνωθέν μου· ἦν τὰ εὐώνυμα, δεξιώσω γοῦν· ἦν δὲ τὰ δεξιά, εὐωνυμιῶ γοῦν. [10]ἦρε τοίνυν λῶτος τὼ ὀφθαλμώ οἱ καὶ τεθέαται ξύμπαν τὸ πεδίον τοῦ ἰαρδένου· πᾶσαν γὰρ αὐτὴν ἤρδευε πρὸ τοῦ φθεῖραι τὸν ὀντωτὴν τὴν ξεδόμην καὶ τὴν ἀμορὰν ὡς παράδεισον τοῦ ὀντωτοῦ, ὡς γῆν αἰγύπτου, τῷ ἀφικνεῖσθαί σε σόαρον. [11]εἵλετο τοίνυν ἑαυτῷ λῶτος ξύμπαν τὸ πεδίον τοῦ ἰαρδένου, καὶ μετῆρε λῶτος ἀπ' ἀνατολῶν· ἐχωρισθήτην θ' ἑκάτερος ἄνωθεν τοῦ ἀδελφοῦ οἱ. [12]ἀβράμης ἐκαθέσθη ἐν

---

18. εἴρηκέ τέ οἱ] לו abest a t. rec. 20. ἀνδρασὶ c. cd. ed.

XIII. 1. ἴσχε cod., non ἴσχει ut ed. 4. τὸ πρῶτον c. cd. ed. 6. σφε] ita, ni fallor, ex corr. cod. Ed. σφίσιν [καθέζοι]σθον in ras. (non καθεζοίσθην). Cf. II, 25. Deut. XXI, 15. 18 sq. 7. περέξιος c. cd. ed. 8. ἀδελφοὶ corr. ἀδελφὼ cod. 10. ἀφικνεῖσθαι in ras.

γῇ κεναᾶνος· λῶτος δ' ἐκαϑέσϑη ἐν ταῖς πόλεσι τοῦ πεδίου κάσκήνωσεν ἄχρι ξεδόμης. [13]οἱ δ' ἄνϑρωποι τῆς ξεδόμης πονηροὶ καὶ ἁμαρτωλοὶ τῷ ὀντωτῇ λίαν. [14]ὁ δ' ὀντωτὴς ἔφη πρὸς ἀβράμην μετὰ τὸ κεχωρίσϑαι λῶτον ἀπ' αὐτοῦ· ἆρον δὴ τὼ σὼ ὀφϑαλμὼ ϑέασαί τ' ἀπὸ τοῦ τόπου οὗ τυγχάνεις ἐκεῖ πρὸς ἄρκτους καὶ πρὸς νότον, πρός τ' ἀνατολὰς καὶ πρὸς ϑάλατταν· [15]ξύμπασαν γὰρ τὴν γῆν ἣν σὺ ϑεᾷ, σοὶ δώσω ταύτην καὶ τῷ σῷ σπέρματι μέχρις αἰῶνος. [16]ϑήσω τε τὸν σὸν σπόρον κατὰ τὸν χοῦν τῆς γῆς· οἷς εἴπερ δυνήσοιτο ἀνὴρ ἀριϑμῆσαι τὸν χοῦν τῆς γῆς, ἔτι τὸν σὸν σπόρον ἀριϑμήσει. [17]ἔγειραι πορεύϑητι ἐν τῇ γῇ ἐς τὸ ταύτης μῆκος ἔς τε τὸ ταύτης εὖρος· σοὶ γὰρ δώσω ταύτην. [18]ἐσκήνωσε δ' ἀβράμης, ἧκει τε καὶ ἐκαϑέσϑη ἐν ταῖς δρυσὶ μαμερέως ταῖς ἐν χεβρῶνι, ἐδείματό τ' ἐκεῖ ϑυτήριον τῷ ὀντωτῇ.

XIV. [1]Ἐτέλεσε δ' ἐν ταῖς ἡμέραις ἀμεραφέλου τοῦ βασιλέως σινεάρος, ἀριῶχος βασιλεὺς ἐλαξάρου, κεδορλαομέρης ὁ βασιλεὺς αἰλάμης καὶ τιδάλης ὁ βασιλεὺς τῶν ἐϑνῶν [2]ἐποίησαν πόλεμον σὺν βεράῳ τῷ βασιλεῖ ξεδόμης καὶ σὺν βιρσάῳ τῷ βασιλεῖ ἀμορᾶς, σινάβῳ τῷ βασιλεῖ τῆς ἀδαμᾶς καὶ σεμεαβίρῳ τῷ βασιλεῖ σεβωῶν καὶ τῷ βασιλεῖ βελάης, αὕτη σόαρ. [3]πάντες οὗτοι ξυνεμορίασαν πρὸς τὴν κοιλάδα τῶν σιδῶν, αὕτη ἡ ϑάλαττα τοῦ ἁλός. [4]δυοκαίδεκα ἔτεσιν ἐδούλευσαν τῷ κεδαρλαομέρῃ, τῷ δὲ τρισκαιδεκάτῳ ἔτει ἀντέστησαν. [5]ἐν μέντοι τῷ τέτταρεσκαιδεκάτῳ ἔτει παρεγένετο κεδαρλαομέρης καὶ οἱ βασιλεῖς οἱ ξὺν ἐκείνῳ, κἄβαλον τοὺς γίγαντας ἐν ταῖς ἀσταραῖς τῶν κεράτων καὶ τοὺς ζουζοὺς ἐν αὐτοῖς καὶ τοὺς αἰμοὺς ἐν πεδίῳ διπόλεως, [6]τόν τε χωραῖον ἐν τῷ σφῶν ὄρει σεῆρι μέχρις αἰλου παρᾶνος τοῦ ἐπὶ τῆς ἐρήμου. [7]καὶ ὑπέστρεψαν ἀφίκοντό τε πρὸς τὴν πηγὴν τῆς κρίσεως, αὕτη ἡ καδέση, κἄβαλον ξύμπαν τὸ πεδίον τοῦ ἀμαλεκίτου κἄτι τὸν ἐμόριον τὸν καϑεζόμενον ἐν χασεσῶνι τοῦ φοίνικος. [8]ἐξῆλϑεν οὖν ὁ βασιλεὺς ξεδόμης ὅ τε βασιλεὺς ἀμορᾶς, ὁ βασιλεύς τ' ἀδαμᾶς

---

14. πρός τ' cod. Ed. τ' om. 16. κατὰ cod., non καϑὰ. Cf. Amm. ad h. l. οἷς ex corr. (pro οὓς? cf. VI, 4) cod. δυνήσαιτο c. cd. ed.

XIV. 1. [σινε]άρος in ras. Cf. X, 10. XI, 2. 5. παρεγένοντο c. cd. ed. ἐν αὐτοῖς] non est cur credatur בָּהֶם legisse interpretem pro בְּהָם (cf. *Allg. Lit. Z.* a. 1790. 4. p. 246). Cf. LXX (ἅμα αὐτοῖς), Hieron. (*cum eis*). αἰμ. corr. αἱμοὺς cod.

ὅ τε βασιλεὺς σεβωῶν καὶ ὁ βασιλεὺς βελάης, αὕτη σόαρ, ἔταξάν τε ξὺν αὐτοῖς πόλεμον ἐν τῇ κοιλάδι τῶν σιδῶν [9]σὺν κεδαρλαομέδῃ τῷ βασιλεῖ αἰλάμης καὶ τιδάλῃ τῷ βασιλεῖ τῶν ἐϑνῶν, ἀμεραφέλῳ τε τῷ βασιλεῖ σινεάρου καὶ ἀριώχῳ τῷ βασιλεῖ ἐλαξάρου, οἵ τέτταρες βασιλεῖς ξὺν τοῖς πέντε. [10]ἡ δὲ κοιλὰς τῶν σιδῶν φρέατα φρέατα πηλοῦ. ἔφυγον δ' ὁ βασιλεὺς ξεδόμης καὶ ἀμορᾶς, κἄπεσον ἐκεῖ· οἱ δὲ περιλειφϑέντες ἐς τὸ ὄρος ἔφυγον. [11]ἔλαβον οὖν ξύμπαντα τὸν ὄλβον ξεδόμης καὶ ἀμορᾶς ξύμπαν τε τὸ βρῶμα κείνων, καὶ ἀπῆλϑον. [12]ἔλαβόν τε λῶτον καὶ τὴν αὐτοῦ περιουσίαν, τὸν υἱὸν τοῦ ἀδελφοῦ τοῦ ἀβράμου, καὶ ἀπῆλϑον· ἐκεῖνος δὲ καϑῆστο ἐν ξεδόμῃ. [13]ἀφῖκται γοῦν ὁ ἀπαλλαγείς, ἤγγειλέ τε τῷ ἀβράμῃ τῷ ὑβραίῳ· κεῖνος δὲ κατῴκει ἐν ταῖς δρυσὶ τοῦ μαμερέως τοῦ ἀμορίου, τοῦ ἀδελφοῦ ἐσκώλου καὶ ἀδελφοῦ ἀνέρου· ἐτέλουν δ' ἄρχοντες ξυνϑήκης τοῦ ἀβράμου. [14]τοιγαροῦν ἤκουσεν ἀβράμης ὡς ἠνδραπόδισται ὁ κείνου ἀδελφός· ἐκένωσεν οὖν τοὺς ἐγκαινιστοὺς αὐτοῦ, τὰ τέκνα τοῦ δόμου οἱ, ὀκτωκαίδεκα καὶ τριακοσίους, ἐδίωξέ τε μέχρι δανός. [15]ἐμερίσϑη δ' ἐπ' αὐτῶν νύκτωρ κεῖνος οἵ τε κείνου δοῦλοι, κἄβαλε σφᾶς ἐδίωξέ τε σφᾶς ἄχρι χαβᾶς τῆς ἀπ' εὐωνύμων τῇ δαμεσέκῳ. [16]κἄστρεψε ξύμπασαν τὴν περιουσίαν· ἔτι τε λῶτον τὸν ἑαυτοῦ ἀδελφὸν τήν τε κείνου περιουσίαν ἔστρεψεν, ἔτι τε τὰς γυναῖκας καὶ τὸν λεών. [17]ἐξῆλϑε γοῦν ὁ βασιλεὺς ξεδόμης εἰς ὑπάντησίν οἱ, μετὰ τὸ ὑποστρέψαι ἕ πρὸς τοῦ βαλεῖν τὸν κεδαρλαομέδην τούς τε βασιλεῖς τοὺς ξὺν ἐκείνῳ, πρὸς τὴν κοιλάδα τὴν ἴσην, αὕτη ἡ κοιλὰς τοῦ βασιλέως. [18]ὁ δὲ μαλχισέδεκος ὁ βασιλεὺς σαλέμης ἐξήνεγκεν ἄρτον καὶ οἶνον· ἦν ϑ' ἱερεὺς ϑεῷ τῷ ὑψίστῳ. [19]εὐλόγησέ τέ ἕ καὶ εἶπεν· εὐλογημένος ἀβράμης ϑεῷ τῷ ὑψίστῳ τῷ κεκτημένῳ τὸν οὐρανὸν καὶ τὴν γῆν, [20]εὐλογητός τε ϑεὸς ὁ ὕψιστος, ὃς ἀπήσπισε τοὺς σοὺς ἐχϑροὺς ἐν χειρί σοι. κἄδωκέν οἱ δεκάτην.

---

8. ὅ, τε bis cod. Cf. Prol. I, 4, a. 9. κεδαρλαομέδῃ] en quanta negligentia! Cf. v. 1. 4 sq. ἀμεραφέλῃ c. cd. ed.; item ἀρρώχῳ ἐλα. corr. ἐλαξάρου cod. Sed cf. v. 1. τέττ. corr. οἱ τέτταρες cod. 10. καὶ ἀμορᾶς in ras. 13. ὑβραίῳ] sic exprimit nomen עִבְרִי, non ἑβρ. ut mira cum constantia ed. Cf. Mor. ad XL, 15. κατῷκει c. cd. ed. [ἐσκ]ώλου in ras. 15. χαβᾶς] exspectaveris χωβ. (חוֹבָה). τῷ δαμέσκῳ c. cd. ed. 16. λεών cod., non λεόν 17. κεδαρλαομέδην] sic iterum cod. 18. τ' corr. ϑ' cod. 19. [εὐλογη]μένος in ras.

πρὸς πάντων. [21]ἔφη δ' ὁ βασιλεὺς ξεδόμης πρὸς ἀβράμην· δὸς ἐμοὶ τὴν ψυχὴν, τὸν δ' ὄλβον λάβε σαυτῷ. [22]ἔφη δ' ἀβράμης πρὸς τὸν βασιλέα ξεδόμης· ὕψωσα τὴν ἐμὴν χεῖρα πρὸς ὀντωτὴν θεὸν τὸν ὕψιστον τὸν κεκτημένον τὸν οὐρανὸν καὶ τὴν γῆν, [23]ἣν ἀπὸ μίτου καὶ μέχρις ἱμάντος ὑποδήματος, κἂν λάβω πρὸς πάντων ἅπερ ἴσχεις· οὔτ' ἐρεῖς· ἐγὼ πεπλούτικα τὸν ἀβράμην. [24]πλὴν μόνων ἅπερ ἔφαγον οἱ νέοι καὶ τῆς μερίδος τῶν ἀνδρῶν οἳ πεπόρευνται ξὺν ἐμοί, ἀνέρου, ἐσκώλου καὶ μαμερέως· αὐτοὶ λήψονται τὴν ἑαυτῶν μερίδα.

XV. [1]Μετὰ τὰ πράγματα ταδὶ ὑπῆρξε λόγος τοῦ ὀντωτοῦ πρὸς ἀβράμην ἐν θεωρίᾳ τῷ φάναι· μὴ δείσῃς, ἀβράμη· ἐγὼ ἀσπίς σοι, ὁ σὸς μισθὸς πολὺς ἄγαν. [2]ἔφη δ' ἀβράμης· δέσποτ' ἐμέ, τί δώσεις μοι; κἀγὼ ἄπειμι ἄτεκνος· ὁ δ' υἱεὺς τῆς ἀφέσεως τοῦ ἐμοῦ δόμου ἐστὶ δαμέσεκος ἐλιέζερος. [3]εἶπέ θ' ἀβράμης· ἄθρει, ἐμοὶ οὐκ ἔδωκας σπέρμα, αὐτίκα δ' υἱεὺς τοῦ ἐμοῦ δόμου κληρονομεῖ μου. [4]αὐτίκα τε λόγος τοῦ ὀντωτοῦ πρὸς αὐτὸν τῷ φάσκειν· οὐ κληρονομήσει σου οὗτος· ἀλλ' ὃς ἐξελεύσεται πρὸς τῶν σῶν χολάδων, ἐκεῖνος κληρονομήσει σου. [5]τοιγαροῦν ἐξήγαγέν ἑ θύραζε κἄφη· ἀτένισον δὴ πρὸς οὐρανὸν ἀρίθμησόν τε τοὺς ἀστέρας, εἰ δυνήσοιό γ' ἀριθμῆσαι σφᾶς. κἄφη οἱ· τῇδε τελέσει τὸ σὸν σπέρμα. [6]πεπίστευκεν οὖν ἐν τῷ ὀντωτῇ, καὶ λελόγισται τοῦτό οἱ δικαιοσύνην. [7]ἔφη τε πρὸς αὐτόν· ἔγωγ' ὁ ὀντωτὴς ὃς ἐξήγαγόν σε πρὸς οὔρου κασδαίων, ὡς δοίην σοι τὴν γῆν τηνδὶ ὡς ταύτην κληρώσαιο. [8]ἔφη τοίνυν· ὀντωτὰ δέσποτ' ἐμέ, ἐν τίνι εἴσομαι ὅτι κληρώσομαι ταύτην; [9]κἄφη πρὸς αὐτόν· λάβε μοι δάμαλιν τριπλῆν αἶγά τε τριπλῆν καὶ κριὸν τριπλοῦν, τρυγόνα τε καὶ περιστερίδα. [10]ἔλαβεν οὖν οἱ ξύμπαντα τάδε, καὶ διεῖλεν αὐτὰ μέσον, ἔδωκέ θ' ἕκαστον διχοτόμημά οἱ ἀντικρὺ τοῦ ἑταίρου οἱ· τὸν ὄρνιν γε μὴν οὐ διεῖλε. [11]κατέβη δὲ τοὔρνεον ἐπὶ τὰ νεκρά, ἐφύσησε δὲ ταῦτα ἀβράμης. [12]ὑπῆρξέ θ' ὁ ἥλιος τῷ δύνειν, κῶμά τ' ἔπεσεν ἐφ' ἀβράμου·

---

21. σαὐτῷ c. cd. ed. 24. μόνων cod., non μόνον ut ed.

XV. 2. δέσποτ' ἐμὲ] יְהוִה om. ἀφέσεως cod., non αἱρέσ. ut ed. 3. κληρονομεῖ cod., non κληρονομία 6. δικαιοσύνην] Amm. „Sive excidit εἰς ante δικαιοσύνην, sive legendum esse putem δικαιοσύνη". Quasi vero λελόγισται significet *imputatum est* ac non *imputavit* (cf. L, 20). Praepositione autem non utitur, quia ל abest a textu Hebr. (צְדָקָה). 9. αἶγά τε cod., non τ' αἶγά τε ut ed.

ϑεῶ τε ϑάμβος καὶ σκοτισμὸς μέγας πίπτων ἐπ' αὐτοῦ. [13]καὶ ἔφη τῷ ἀβράμῃ· τῷ εἰδέναι εἴσῃ ὅτι πάροικος τελέσει σπόρος ὁ σὸς ἐν γῇ οὐκ αὐτῶν, δουλώσονταί τ' αὐτοὺς καὶ ταπεινώσουσιν αὐτοὺς τετρακοσίοις ἔτεσιν. [14]ἔτι μέντοι τὸ ἔϑνος ᾧ δουλεύσουσι κρίνω ἐγώ· μετέπειτα δ' ἐξελεύσονται ἐν περιουσίᾳ μεγάλῃ. [15]σὺ δ' ἐλεύσῃ πρὸς πατέρας τοὺς σοὺς ἐν εἰρήνῃ, ταφήσῃ τ' ἐν πολιᾷ χρηστῇ. [16]γενεὰ δὲ τετάρτῃ στραφήσονται ἐνϑάδε· οὐ γὰρ τετέλεσται τοὔγκλημα τοῦ ἐμορίου μέχρι τουτῇδε. [17]ὑπῆρξε δ' ὁ ἥλιος δύνων, γνόφος τ' ἐτέλεσεν· αὐτίκα τε κλίβανος, καπνὸς καὶ σπινϑὴρ πυρὸς, ὃς διῆλϑε διὰ τῶν διχοτομημάτων τούτων. [18]ἐν τῇ ἡμέρᾳ κείνῃ τέτμηκεν ὁ ὀντωτὴς ξὺν ἀβράμῃ ξυνϑήκην τῷ φάναι· τῷ σῷ σπόρῳ δέδωκα τὴν γῆν ταυτηνὶ, πρὸς ποταμοῦ αἰγύπτου μέχρι τοῦ ποταμοῦ τοῦ μεγάλου, τοῦ ποταμοῦ εὐφράτου· [19]τὸν καΐνιον τόν τε κενίζιον καὶ τὸν ἀνατολικὸν, [20]τόν τε χηταῖον τόν τε περεζαῖον καὶ τοὺς γίγαντας, [21]τόν τ' ἐμόριον τόν τε κεναάνιον καὶ τὸν γιργάσιον καὶ τὸν ἰεβούξιον.

XVI. [1]Σαραΐς δ' ἡ γυνὴ τοῦ ἀβράμου οὐκ ἔτεκέν οἱ· ἴσχε δ' οἰκέτιν αἰγυπτίαν, τοὔνομά τε κείνης ἀγάρη. [2]τοιγαροῦν ἔφη σαραΐς πρὸς ἀβράμην· ἰδοὺ δὴ ἐπέσχε με ὁ ὀντωτὴς πρὸς τοῦ τίκτειν· ἄφιξο δὴ πρὸς τὴν ἐμὴν οἰκέτιν, τυχὸν τεκνώσομαι πρὸς αὐτῆς. ὑπήκουσε δ' ἀβράμης τῇ φωνῇ σαράϊδος. [3]ἔλαβέ τε σαραΐς ἡ γυνὴ ἀβράμου ἀγάρην τὴν αἰγυπτίαν τὴν ἑαυτῆς οἰκέτιν, ἀπ' ἄκρου δέκα ἐτῶν τοῦ καϑέζεσϑαι ἀβράμην ἐν τῇ γῇ κεναᾶνος, κἄδωκε ταύτην ἀβράμῃ τῷ ταύτης ἀνδρὶ αὐτῷ εἰς γυναῖκα. [4]ἀφῖκται τοίνυν πρὸς ἀγάρην, κἀκύησεν· εἶδε δ' ὅτιπερ ἐκύησε, περιπεφρόνηται γοῦν ἡ ταύτης δεσπότις ἐν τοῖς αὐτῆς ὄμμασιν. [5]ἔφη τοίνυν σαραΐς πρὸς ἀβράμην· ἡ ἀδικία μου ἐπὶ σοῦ· ἔγωγ' ἔδωκα τὴν ἐμὴν ϑεράπαιναν ἐν τῷ σῷ κόλπῳ· τεϑέαται δ' ὡς ἐκύησε, καὶ περιπεφρόνημαι ἐν τοῖς αὐτῆς ὄμμασι. κρίναι ὁ ὀντωτὴς ἀν' ἐμὲ κἀνὰ σέ. [6]ἔφη τοίνυν ἀβράμης πρὸς σαραΐν· αὐτίχ'

---

13. δουλώσονταί τ' αὐτοὺς] forsitan quispiam cogitaverit de lectione quadam varia, quam secutus sit noster, veluti וְהֶעֱבִידוּם (cf. de Ross. ad h. l.) pro וַעֲבָדוּם. Quo quidem omnino mihi opus non esse videtur. Cf. LXX.
14. δὲ ἐξελ. e. cd. ed. 16. τοῦ τῇδε corr. τουτῇδε cod. Cf. Prol. I, 4, d.
20. γιγάντας e. cd. ed.

XVI. 2. οἰκέτιν cod., non οἰκέτην ut ed.

ἡ σὴ θεράπαινα ἐν χειρί σοι, ποίει ταύτῃ τὸ χρηστὸν ἐν ὄμμασί σοι. ἐκάκωσεν οὖν αὐτὴν σαραΐς, ἀπέδρα τ' ἀπὸ τοῦ κείνης προσώπου. [7]εὗρε δ' αὐτὴν ἄγγελος τοῦ ὀντωτοῦ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ σούρου, [8]καὶ εἶπεν· ἀγάρη θεραπαινὶ σαραΐδος, πόθεν ἀφῖξαι ποῖ τ' ἀπελεύσῃ; ἔφη τοίνυν· ἀπὸ προσώπου σαραΐδος τῆς ἐμῆς δεσπότιδος ἔγωγ' ἀποδιδράσκω. [9]ἔφη δὲ ταύτῃ ὁ ἄγγελος τοῦ ὀντωτοῦ· ὑπόστρεψον πρὸς τὴν σὴν δεσπότιν καὶ ταπεινώθητι ὑπὸ ταῖν ἐκείνης χεροῖν. [10]ἔφη τ' αὐτῇ ὁ ἄγγελος τοῦ ὀντωτοῦ· τῷ πληθύνειν πληθυνῶ τὸν σὸν σπόρον, οὔτ' ἀριθμηθήσεται πρὸς τοῦ πλήθους. [11]ἔφη τε ταύτῃ ὁ ἄγγελος τοῦ ὀντωτοῦ· θεῷ σὺ κύεις, τέξῃ θ' υἱὸν, καλέσεις τε τοὔνομά οἱ ἰσμαέλον· ἤκουσε γὰρ ὁ ὀντωτὴς πρὸς τὴν σὴν ταλαιπωρίαν. [12]αὐτὸς δ' ὑπάρξει ἄγριος ἄνθρωπος· ἡ χεὶρ αὐτοῦ ἐς πάντα καὶ χεὶρ παντὸς ἐς αὐτὸν, κἀπὶ προσώπου πάντων τῶν αὐτοῦ κασιγνήτων οἰκήσει. [13]κέκληκε τοίνυν τοὔνομα τοῦ ὀντωτοῦ τοῦ διειλεγμένου πρὸς ταύτην· σὺ θεὸς ὁρῶν με, ἔφη γάρ· ἆρ' ἔτι ἐνταυθοῖ τεθέαμαι κατόπιν τοῦ ὁρῶντός με; [14]διὸ κέκληκε τὸ φρέαρ φρέαρ τοῦ ζῶντος ὁρῶντός με· θεῶ μέσον καδέσης καὶ μέσον βαρέδης. [15]τέτοκε δ' ἀγάρη τῷ ἀβράμῃ υἱὸν, κέκληκέ θ' ἀβράμης τοὔνομα τοῦ υἱοῦ οἱ, ὃν τέτοκεν ἀγάρη, ἰσμαέλον. [16]ἀβράμης δ' υἱεὺς ἑβδομηκοντούτης ἑξέτης τε ἐν τῷ τετοκέναι ἀγάρην τὸν ἰσμαέλον τῷ ἀβράμῃ.

XVII.

[1]Ὑπῆρξέ θ' ἀβράμης υἱεὺς ἐννενηκοντούτης ἐνναετής τε, κἄβλεψεν ὁ ὀντωτὴς πρὸς ἀβράμην ἔφη τε πρὸς αὐτόν· ἐγὼ θεὸς ὁ κραταιός· πορεύου ἐνώπιόν μου καὶ τύγχανε τέλειος· [2]δώσω γοῦν τὴν ἐμὴν ξυνθήκην ἀν' ἐμὲ κἀνὰ σέ, πληθυνῶ τέ σε ἐσταλίαν λίαν. [3]ἔπεσε γοῦν ἀβράμης ἐπὶ πρόσωπον ἑαυτοῦ, καὶ διείλεκται ξὺν αὐτῷ ὁ θεὸς τῷ φάναι· [4]ἐγὼ θεῶ ἡ ἐμὴ ξυνθήκη σὺν σοί· τελέσεις τ' εἰς πατέρα ὄχλου ἐθνῶν. [5]οὔτε κληθήσεται ἔτι τοὔνομα τὸ σὸν ἀβράμης, τελέσει δ' ὄνομά σοι ἀβραάμης·

---

8. θεραπαινὶς corr. θεραπαινὶ cod. 9. δεσπότην c. cd. ed. 11. [ταλαιπω]ρίαν ex corr. cod. 13. διαλεγομένου c. cd. ed. ἆρ' ἔτι cod., non ἆρ ἔστι ut ed. 16. ἑβδομηκοντάτης c. cd. ed. At scribendum erat ὀγδοηκοντ. (שְׁמֹנִים שָׁנָה).

XVII. 1. κἄβλεψεν] וַיַּרְא pro וַיֵּרָא. Cf. XVIII, 1 etc. 2. ἐς τὰ λίαν corr. ἐσταλίαν cod. Item v. 6. Cf. Prol. l. c. 3. προσώπου c. cd. ed.

πατέρα γὰρ ὄχλου ἐθνῶν ἔδωκά σε. [6]καὶ αὐξήσω σε ἐσταλίαν λίαν, δώσω τέ σε εἰς ἔθνη, καὶ βασιλεῖς πρὸς σοῦ ἐξελεύσονται. [7]κυρώσω τε τὴν ἐμὴν ξυνθήκην ἀν' ἐμὲ κἀνὰ σὲ ἀνά τε σπόρον τὸν σὸν μετὰ σὲ ἐς τὰς αὐτῶν γενεὰς εἰς ξυνθήκην αἰῶνος, ὡς εἴην σοι εἰς θεὸν καὶ τῷ σῷ σπόρῳ μετὰ σέ. [8]δώσω τέ σοι καὶ τῷ σῷ σπόρῳ μετὰ σὲ τὴν γῆν τῆς σῆς παροικίας, ξύμπασαν τὴν γῆν κενᾶνος εἰς κατοχὴν αἰῶνος· ἔσομαί τε σφίσιν εἰς θεόν. [9]ἔφη τε ὁ θεὸς πρὸς ἀβραάμην· καὶ σὺ τοὐμὸν στοίχημα τηρήσεις, ὅ τε σὸς σπόρος μετὰ σὲ ἐς τὰς αὐτῶν γενεάς. [10]τοδὶ τοὐμὸν στοίχημα ὅπερ τηρήσετε ἀν' ἐμὲ καὶ ἀν' ὑμᾶς ἀνά τε τὸν σὸν σπόρον μετὰ σέ, τὸ περιτέμνεσθαι ὑμῖν πάντα ἄρρενα. [11]περιτμηθήσεσθε γοῦν τὴν σάρκα τῆς ἀκροποσθίας ὑμῶν, τελέσει τ' εἰς σημεῖον ξυνθήκης ἀν' ἐμὲ ἀνά θ' ὑμᾶς. [12]υἱεύς τ' ὀκταήμερος περιτμηθήσεται ὑμῖν πᾶς ἄρρην ἐς τὰς ὑμετέρας γενεάς, οἰκογεννὴς ὤνιόν τ' ἀργύρου πρὸς οὑτινοσοῦν υἱέως ἀλλοτρίου ὃς οὐκ ἐκ τοῦ σοῦ σπόρου τελεῖ· [13]τῷ περιτέμνεσθαι περιτμηθήσεται γέννημα τοῦ σοῦ δόμου καὶ ὤνιον ἀργύρου τοῦ σοῦ, τελέσει θ' ἡ ἐμὴ ξυνθήκη ἐν τῇ ὑμετέρᾳ σαρκὶ εἰς ξυνθήκην αἰῶνος. [14]ἀκρόποσθος δ' ἄρρην ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροποσθίας αὐτοῦ, ὀλοθρευθήσεται γοῦν ἡ ψυχὴ κείνη πρὸς τῶν σῶν λεῶν· τὴν ἐμὴν ξυνθήκην ἔπαυσεν.

[15]Ἔφη τε ὁ θεὸς πρὸς ἀβραάμην· σαραΐς γυνή σοι, οὐ καλέσεις τοὔνομα ταύτης σαραΐς, ξαρὰ γὰρ τοὔνομα ταύτης. [16]εὐλογήσω τ' αὐτήν, κἄτι δώσω πρὸς αὐτῆς σοι υἱόν· εὐλογήσω τ' αὐτὴν καὶ τελέσει εἰς ἔθνη, βασιλεῖς λεῶν πρὸς αὐτῆς τελέ-

---

8. κὲνᾶνος, non κεναᾶνος (cf. IX, 18. 22 sqq. XI, 31 cet.), cod. κατάσχ[εσιν] corr. κατοχὴν cod. 9. ὅ τε (ὅ, τε cod.) σὸς σπόρος (σοι de suo add. Mor.)] אַתָּה om. 10. τοδὶ cod., non τόδε, ut Mor. ait. 12. οἰκογενὴς c. cd. ed. σπόρου τελεῖ] invito codice ed. sic distinguit: σπόρου. (13) τελεῖ 13. γέννημα in ras. τοῦ ἀργ. corr. ἀργύρου τοῦ cod. 14. [ἀκρό]ποσθος ex corr. cod. Ed. ἀκροπόσθιος ὃς οὐ οὐ cod. 15. οὐ καλέσεις bis legitur in codice: semel post ἀβραάμην (ubi ed. falso οὐ καλέσεται), iterum ante τοὔνομα (1). Ad hoc σαραΐς in rasura scriptum est. Primo enim post ἀβρ. (pro σαραΐς γυνή σοι) antecepit οὐ καλέσεις τοὔνομα. Quo errore intellecto τοὔνομα erasit ejusque in locum σαραΐς posuit, sed reliqua (οὐ καλ.) itidem exstinguere neglexit. ξαρὰ] vix aliter cod.; Vill., alterum α pro compendio habens quo ει exprimi solet, et hic et v. 17. ξαρεὶ exscripsit. Cf. v. 19. 21. XVIII, 13 cet.

σουσιν. [17] ἔπεσεν οὖν ἀβραάμης ἐπὶ πρόσωπον ἑαυτοῦ κἀγέλασεν, ἔφη τ' ἐν καρδίᾳ οἱ· μῶν τῷ ἑκατοντούτει γεννηϑήσεται; ἆρά τε ξαρὰ ϑυγάτηρ ἐννενηκοντούτις τέξεται; [18] ἔφη δ' ἀβραάμης πρὸς τὸν ϑεόν· εἴϑε ἰσμαέλος ζῴη ἐνώπιόν σου. [19] ἔφη δ' ὁ ϑεός· ἀλλὰ ξαρὰ ἡ γυνή σοι τίκτει σοι υἱὸν, καλέσεις τε τοὔνομά οἱ ἰσχάκην· ἐγερῶ τε τὴν ἐμὴν ξυνϑήκην σὺν ἐκείνῳ εἰς ξυνϑήκην αἰῶνος, τῷ σπόρῳ οἱ μετ' αὐτόν. [20] εἰς δ' ἰσμαέλον ἤκουσά σου· ϑεῶ εὐλόγησά ἑ, αὐξήσω τ' αὐτὸν πληϑυνῶ τ' αὐτὸν ἐσταάγαν ἄγαν· δυοκαίδεκα ἡγεμόνας γεννήσει, δώσω τ' αὐτὸν εἰς ἔϑνος μέγα. [21] καὶ τὴν ἐμὴν ξυνϑήκην ἐγερῶ ξὺν ἰσχάκῃ, ὃν τέξεταί σοι ξαρὰ τῷ καιρῷ τῳδὶ ἐν ἔτει τῷ ἑτέρῳ. [22] ἐτελεύτησε δὲ διαλεγόμενος ξὺν αὐτῷ, καὶ ἀνέβη ὁ ϑεὸς ἄνωϑεν ἀβραάμου. [23] τοιγαροῦν ἔλαβεν ἀβραάμης ἰσμαέλον τὸν υἱὸν ἑαυτοῦ ξύμπαντά τε τὰ γεννήματα τοῦ δόμου οἱ καὶ ξύμπαν ὤνιον ἀργύρου οἱ, πάντα ἄρρενα ἐν τοῖς ἀνϑρώποις τοῦ δόμου ἀβραάμου, καὶ περιέτεμε τὴν σάρκα τῆς ἀκροποσϑίας αὐτῶν ἐν τῷ χρήματι τῆς ἡμέρας ταυτησί, καϑὰ διείλεκται ξὺν αὐτῷ ὁ ϑεός. [24] ὁ δ' ἀβραάμης υἱεὺς ἐννενηκονταкαιενναέτης ἐν τῷ περιτέμνεσϑαί ἑ τὴν σάρκα τῆς ἀκροποσϑίας αὐτοῦ· [25] ἰσμαέλος δ' ὁ κείνου υἱεὺς υἱεὺς τρισκαιδεκέτης ἐν τῷ περιτέμνεσϑαί ἑ τὴν σάρκα τῆς ἀκροποσϑίας αὐτοῦ. [26] ἐν τῷ χρήματι τῆς ἡμέρας ταύτης περιτέτμηται ἀβραάμης ἰσμαέλος ϑ' ὁ κείνου υἱεὺς, [27] καὶ πάντες ἄνδρες τοῦ δόμου οἱ, οἰκογεννὴς καὶ ἀργυρώνητος πρὸς υἱέως ἀλλοτρίου, περιτέτμηνται ξὺν ἐκείνῳ.

XVIII. *μερίς*

[1] Ὤπται τοίνυν πρὸς αὐτὸν ὁ ὀντωτὴς ἐν ταῖς δρυσὶ τοῦ μαμερέως, αὐτὸς δὲ καϑῆστο τῇ πύλῃ τῆς σκηνῆς κατὰ τὴν ϑέρμην τῆς ἡμέρας. [2] ἦρε δὲ τὼ ὀφϑαλμώ οἱ καὶ τεϑέαται, ϑεῶ τε τρεῖς ἄνδρες εἱστήκεισαν ἐπ' αὐτοῦ. τεϑέαται γοῦν, ἔδραμέ τ' εἰς ὑπάντησιν αὐτῶν πρὸς τῆς πύλης τῆς σκηνῆς καὶ προσεκύνησεν ἐς γῆν, [3] ἔφη τε· δέσποτ' ἐμὲ, εἰδήπερ εὗρον χάριν ἐν ὄμμασί σου, μὴ δὴ παρέλϑῃς ἄνωϑεν τοῦ σοῦ οἰκέτου· [4] ληφϑήσεται δὴ ὀλίγον ὕδατος καὶ νίψουσι τοὺς ὑμετέρους πόδας, ἐρείσϑητε γοῦν ὑπὸ

---

17. σα. corr. ξαρὰ cod. ἐννενηκοντάτης c. cd. ed. 20. ἐσταάγαν] sic cod. Cf. v. 2. 6. 25. ἑαυτοῦ (ut ed.) corr. αὐτοῦ cod. 27. οἰκογενὴς rursus c. cd. ed.

XVIII. 2. αὐτῶν cod., non αὐτῆς ut relatum erat Ammonio. Ed. αὐτοῖς
4. νίψουσι] רָחֲצוּ pro רַחֲצוּ

τῷ ξύλῳ· [5]λήψομαι δὲ βλωμὸν ἄρτου, στηρίξατε γοῦν τὴν ὑμῶν καρδίαν, εἶτα διαβήσεσϑε· διατάδε γὰρ διήλϑετε ἐπὶ τοῦ ὑμῶν οἰκέτου. εἶπον οὖν· ὧδε ποιήσομεν ὥσπερ διείλεξαι. [6]τοιγαροῦν ἐτάχυνεν ἀβραάμης ἐς τὴν σκηνὴν πρὸς ξαρὰν ἔφη τε· τάχυνον τρία τριτομέδιμνα ἀλφίτων σεμιδάλεως, πέψον ποίησόν τε πελάνους. [7]πρός τε τὸ βουκόλιον ἔδραμεν ἀβραάμης, ἔλαβέ ϑ' υἱὸν βουκολίου τέρενα καὶ χρηστὸν κἄδωκε πρὸς τὸν νέον, ἐτάχυνέ τε ποιῶν αὐτόν. [8]ἔλαβέ τε βούτυρον καὶ γάλα τόν ϑ' υἱὸν τοῦ βουκολίου ὅνπερ ἐποίησε, κἄδωκε πρόσϑεν αὐτῶν· αὐτὸς δ' ἵστατο ἐπ' αὐτοῖς ὑπὸ τῷ ξύλῳ, κἄφαγον. [9]εἰπόν τε πρὸς αὐτόν· ποῦ ξαρὰ ἡ γυνή σοι; κἄφη· ϑεῶ ἐν τῇ σκηνῇ· [10]καὶ εἶπε· τῷ ὑποστρέφειν ὑποστρέψω πρὸς σὲ κατὰ καιρὸν ζώου, ἰδοὺ ϑ' υἱεὺς ξαρᾷ τῇ γυναικί σοι. ξαρὰ δ' ἤκουσε τῇ πύλῃ τῆς σκηνῆς, κἀκεῖνος μετ' αὐτόν. [11]ἀβραάμης δὲ καὶ ξαρὰ γέροντε ἀφικνείσϑην ἐν ἡμέραις· ἐπαύσατο τελεῖν τῇ ξαρᾷ ἡ ὁδὸς ὡς τῶν γυναικῶν. [12]ἐγέλασε τοίνυν ξαρὰ ἐν μέσῳ ἑαυτῆς τῷ φάσκειν· μετὰ τὸ πεπαλαιῶσϑαί με ὑπῆρξέ μοι τρυφή· καίτοι οὑμὸς δεσπότης γέρων. [13]ἔφη γοῦν ὁ ὀντωτὴς πρὸς ἀβραάμην· τοῦ χάριν τοδὶ ἐγέλασε ξαρὰ τῷ φάσκειν· ἆρ' ἔτι ὄντως τέξομαι, καίτοι ἐγὼ γεγήρακα; [14]μῶν ϑαυμασϑήσεται πρὸς τοῦ ὀντωτοῦ πρᾶγμα; ἐς ὅρον ὑποστρέψω πρὸς σὲ κατὰ καιρὸν ζώου, καὶ τῇ ξαρᾷ υἱεύς. [15]ἠρνήσατο δὲ ξαρὰ τῷ φάσκειν· οὐκ ἐγέλασα· πεφόβηται γάρ. ἔφη γε μήν· οὔκ, ἐπείπερ ἐγέλασας. [16]ἀνέστησαν δ' ἐκεῖϑεν οἱ ἄνδρες κἄκυψαν ἐπὶ πρόσωπον ξεδόμης· ἀβραάμης δ' ἀπῄει ξὺν αὐτοῖς ὡς προπέμψειε σφᾶς. [17]ὁ δ' ὀντωτὴς ἔφη· ἆρα καλύπτω ἐγὼ πρὸς ἀβραάμου ἅττ' ἐγὼ ποιῶ; [18]ὅ γε μὴν ἀβραάμης τῷ ζῆν ζήσεται εἰς ἔϑνος μέγα καὶ κραταιὸν, καὶ εὐλογηϑήσονται ἐν αὐτῷ πάντα τὰ ἔϑνη τῆς γῆς. [19]οἶδα γὰρ αὐτὸν χάριν οὗπερ κελεύσει τοῖς υἱέσιν αὐτοῦ τῷ ϑ' ἑαυτοῦ δόμῳ μετ' αὐτὸν, καὶ τηρήσουσι τὴν ὁδὸν τοῦ ὀντωτοῦ ὥστε ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ἵν' ἐνέγκῃ ὁ ὀντωτὴς ἐφ' ἀβραάμου ἅττα διείλεκται περὶ αὐτοῦ. [20]τοιγαροῦν εἶπεν ὁ ὀντωτής· κραυγὴ ξεδόμης καὶ ἀμορᾶς ὅτιπερ ἐπληϑύνϑη, καὶ σφῶν

5. διατάδε] codicis scripturam retinuimus. Cf. Prol. I, 4, d. ποιήσομεν] נַעֲשֶׂה pro תַּעֲשֶׂה 10. εἶπε cod., non εἶπον ut ed. 11. [γέρον]τε in ras. 16. ὡς cod., non καὶ ut ed. 18. τῷ ζῆν ζήσεται] חָיוֹ יִחְיֶה pro הָיוֹ יִהְיֶה

ἁμαρτία ὡς ἔβρισεν ἄγαν· [21] καταβήσομαι δὴ καὶ ὄψομαι μῶν κατὰ τὴν ταύτης κραυγὴν τὴν ἀφικνουμένην πρός με ἐποίησαν ὄλεθρον· εἴτε μή, εἴσομαι. [22] τοιγαροῦν ἔκλιναν ἐκεῖθεν οἱ ἄνδρες ἀπῆλθόν τε ξεδόμηνδε· ἀβραάμης δ' ἔτι κεῖνος ἐτύγχανεν ἑστὼς πρόσθεν τοῦ ὀντωτοῦ. [23] ἤγγισε δ' ἀβραάμης ἔφη τε· μῶν ἔτι φθερεῖς δίκαιον σὺν ἀσεβεῖ; [24] ἴσως εἰσὶ πεντήκοντα δίκαιοι ἔσω τῆς πόλεως· ἆρ' ἔτι φθερεῖς, οὔτ' ἀρεῖς τῷ τόπῳ χάριν τῶν πεντήκοντα δικαίων τῶν ἐν μέσῳ ταύτης; [25] βεβήλωσίς σοι πρὸς τοῦ ποιεῖν κατὰ τὸ πρᾶγμα τοδὶ ὥστε θανατοῦν δίκαιον σὺν ἀσεβεῖ, τελέσει θ' οὕτως ὁ δίκαιος ὡς ὁ ἀσεβής· βεβήλωσίς σοι· ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσει κρίσιν; [26] ἔφη τοίνυν ὁ ὀντωτής· εἴπερ εὕροιμι ἐν ξεδόμῃ πεντήκοντα δικαίους ἔσω τῆς πόλεως, ἀρῶ γοῦν παντὶ τῷ τόπῳ χάριν ἐκείνων. [27] ἀποκέκριται δ' ἀβραάμης ἔφη τε· θεῶ δὴ βεβούλημαι διαλέγεσθαι πρὸς τὸν ἐμὸν δεσπότην, καὶ μὴν ἔγωγε χοῦς καὶ σποδός· [28] ἴσως δεήσουσιν οἱ πεντήκοντα δίκαιοι πέντε· ἆρα φθερεῖς ἐν τοῖς πέντε ξύμπασαν τὴν πόλιν; ἔφη γοῦν· οὐ φθερῶ ἣν εὕρω ἐκεῖ τετταράκοντα καὶ πέντε. [29] προσέθηκε δ' ἔτι διαλέγεσθαι πρὸς ἐκεῖνον ἔφη τε· ἴσως εὑρεθήσονται ἐκεῖ τετταράκοντα. κἄφη· οὐ ποιήσω χάριν τῶν τετταράκοντα. [30] ἔφη δέ· μὴ δὴ ὀργισθείη τῷ ἐμῷ δεσπότῃ καὶ διαλέξομαι· ἴσως εὑρεθήσονται ἐκεῖ τριάκοντα. εἶπεν οὖν· οὐ ποιήσω ἣν εὕρω ἐκεῖ τριάκοντα. [31] κἄφη· θεῶ δὴ τεθέληκα διαλέγεσθαι πρὸς τὸν ἐμὸν δεσπότην· ἴσως εὑρεθήσονται ἐκεῖ εἴκοσιν. εἶπεν οὖν· οὐ φθερῶ χάριν τῶν εἴκοσιν. [32] ἔφη τε· μὴ δὴ ὀργισθείη τῷ ἐμῷ δεσπότῃ, διαλέξομαί τε μόνον ἅπαξ· ἴσως εὑρεθήσονται ἐκεῖ δέκα. ἔφη τοίνυν· οὐ φθερῶ χάριν τῶν δέκα. [33] ἀπῆλθεν οὖν ὁ ὀντωτὴς ἐπείπερ ἐτελεύτησε διαλεγόμενος πρὸς ἀβραάμην· ἀβραάμης δ' ὑπέστρεψεν εἰς τὸν ἑαυτοῦ τόπον. [1] ἀφικέσθην τοίνυν τὼ δύο ἀγγέλω ξεδόμηνδε ἐν ἑσπέρᾳ· λῶτος δὲ καθῆστο ἐν τῇ πύλῃ ξεδόμης. εἶδε γοῦν λῶτος, κἀγήγερται εἰς ὑπάντησιν σφῶν προσεκύνησέ τε προσώπῳ ἐς γῆν, [2] ἔφη τε· θεῶ δή, δέσποτ' ἐμέ, XIX.

---

22. ἔτι κεῖνος ἐτύγχανεν in ras. 24. ἔσω, quod codici deest, ex v. 26 reposuimus. Primo enim scriptum erat πέντε δίκ. κτλ., tum adhibita rasura correctum est πεντήκοντα κτλ., sed adverbium illud (vel aliquid simile) excidit. 25. ὁ κρίνων] הַשֹּׁפֵט pro הֲשֹׁפֵט. Cf. LXX. 26. [ἔφη]γοῦν (ut ed.) corr. τοίνυν cod. 30. [ὀργι]σθείη ex corr. cod.

κλίνατον δὴ πρὸς τὸν δόμον τοῦ σφῶϊν οἰκέτου καὶ μείνατον, πλυνοῦτόν τε τοὺς πόδας σφῶϊν, καὶ ὀρϑριεῖτον ἀπελεύσεσϑόν τε ἐς τὴν σφῶϊν ὁδόν. ἐφάτην δέ· πώ μαλα, ἐν γὰρ τῇ πλατείᾳ μενοῦμεν. [3]ἠνάγκασε δ' ἐν αὐτοῖν ἄγαν, ἔκλινάν τε πρὸς αὐτὸν ἀφίκοντό τε πρὸς τὸν αὐτοῦ δόμον· ἐποίησεν οὖν σφῶϊν πότον, ψήττας ϑ' ἥψησε, κἀφαγέτην. [4]πρὶν ἀνακλιϑεῖτον, οἵ γε μὴν ἄνδρες τῆς πόλεως οἱ ἄνδρες ξεδόμης κεκύκλωνται κατὰ τῆς οἰκίας ἀπὸ νέου καὶ μέχρι γέροντος, ἅπας ὁ λεὼς ἀπ' ἄκρου, [5]κἀβόησαν πρὸς λῶτον ἔφησάν τέ οἱ· ποῦ τὼ ἄνδρε ὥπερ ἀφῖχϑον πρὸς σὲ νύκτωρ; ἐξάγαγέ σφε πρὸς ἡμᾶς, καὶ γνωσόμεϑά σφε. [6]ἐξῆλϑεν οὖν πρὸς ἐκείνους λῶτος ϑύραζε, τὴν δὲ πύλην ἔκλεισε κατόπιν ἑαυτοῦ, [7]κἄφη· μὴ δή, ἀδελφοί μου, κακοῦτε· [8]ἰδοὺ δή μοι δύο ϑυγατέρε ἅπερ οὐκ ἐγνώτην ἄνδρα· ἐξάξω δὴ ταύτα πρὸς ὑμᾶς, καὶ ποιήσατε ταύταιν ὡς χρηστὸν ἐν ὑμετέροις ὄμμασι· μόνον τοῖν ἀνδροῖν τούτοιν μὴ ποιήσητε πρᾶγμα, διατάδε γὰρ ἀφῖχϑον ἐς τὴν σκιὰν τῆς ἐμῆς δοκοῦ. [9]ἔφησαν δέ· ἔγγισον ἐπέκεινα. κἄφησαν· ἆρ' εἷς ἀφῖκται παροικεῖν, κρινεῖ δὲ τῷ κρίνειν; νῦν κακώσομέν σε ὑπὲρ αὐτώ. κἀβιάσαντο εἰς τὸν ἄνδρα εἰς λῶτον ἄγαν, ἤγγισάν τε ϑραύειν τὴν ϑύραν. [10]ἐτεινάτην δὲ τὼ ἄνδρε τὴν χεῖρα σφοῖν καὶ ἠγαγέτην τὸν λῶτον πρὸς ἑαυτὼ οἴκαδε, τὴν δὲ ϑύραν ἐκλεισάτην· [11]τούς γε μὴν ἄνδρας τοὺς ϑύρησι τοῦ δόμου βεβληκάτην ἐν ἀορασίαις ἀπὸ μικροῦ καὶ μέχρι μεγάλου· ἠσϑένησαν οὖν εὑρεῖν τὴν πύλην. [12]εἰπέτην δὲ τὼ ἄνδρε πρὸς λῶτον· ἔτι τίς σοι ὧδε; γαμβρὸν τούς τε σοὺς υἱεῖς τὰς σάς τε ϑυγατέρας καὶ πάνϑ' ἅττ' ἴσχεις ἐν τῇ πόλει, ἐξάγαγε πρὸς τοῦ τόπου· [13]φϑείρομεν γὰρ ἡμεῖς τὸν τόπον τουτονί· μεγάλη γὰρ ἡ κραυγὴ σφῶν παρὰ τῷ προσώπῳ τοῦ ὀντωτοῦ, κἄπεμψε νὼ ὁ ὀντωτὴς φϑεῖραι ταύτην. [14]ἐξῆλϑε τοίνυν λῶτος καὶ διείλεκται πρὸς τοὺς γαμβροὺς ἑαυτοῦ τοὺς λαβόντας τὰς αὐτοῦ ϑυγατέρας ἔφη τε· ἐγείρεσϑε ἐξέλϑετε πρὸς τοῦ τόπου τουδί, φϑείρει γὰρ ὁ

XIX. 2. σφῶϊν (1) ex corr. cod. Ed. σφῶν   [μείνα]τον ex corr. (pro μείνατε?) cod., item [πλυνοῦ]τον et [ὀρϑριεῖ]τον   ὑμετέρους πόδας corr. πόδας σφῶϊν cod.   4. ἀνακλιϑῆτον?   τὴν οἰκίαν c. cd. ed.   6. καϑ' corr. κατόπιν cod.   8. ἅπερ] vix aliter cod. Ed. αἵπερ   ταύτα cod., non ταύτας ut ed.   διατάδε] cf. XVIII, 5.   9. κρίνειν νῦν; ed. Sed ipse cod. distinguit ante νῦν   αὐτώ cod., non αὐτῶν ut ed.   10. ἔκλεισαν corr. ἐκλεισάτην cod.   12. γαμβρὸν σὸν καὶ σοὺς c. cd. ed.

ὀντωτὴς τὴν πόλιν. ὑπῆρξε δ' ὡς παίζων ἐν ὄμμασι τῶν ἑαυτοῦ γαμβρῶν. [15]ἐπεὶ δ' ὁ ὄρθρος ἀνέβη ἐπεσπευσάτην τὼ ἀγγέλω ἐν λώτῳ τῷ φάσκειν· ἔγειραι λάβε τὴν σὴν γυναῖκα τά τε δύο σου θυγατέρε τὰ εὑρισκόμενα, μήπως φθαρῇς ἐν τῷ ἀλιτήματι τῆς πόλεως. [16]ὑπερέθετο δέ· τοιγαροῦν ἐλαβέσθην τὼ ἄνδρε ἐν τῇ χειρί οἱ κἀν τῇ χειρὶ τῆς κείνου γυναικὸς ἔν τε τῇ χειρὶ ταῖν δυοῖν θυγατέροιν, ἐν σπλαγχνισμῷ τοῦ ὀντωτοῦ ἐπ' αὐτοῦ, κἀξηγαγέτην αὐτὸν ὡδηγησάτην τέ ἑ θύραθεν τῆς πόλεως. [17]ὑπῆρξε δ' ἐν τῷ ἐξάγειν σφε σφᾶς θύραζε, καὶ εἶπεν· ἀπαλλάττου ἐπὶ τῇ ψυχῇ σου, μὴ ἀτενίσῃς κατόπιν σου μήτε στῇς ἐν ὅλῳ τῷ πεδίῳ· ἐς τὸ ὄρος ἀπαλλάττου μήποτε φθαρῇς. [18]ἔφη δὲ λῶτος πρὸς αὐτώ· μὴ δή, δέσποτ' ἐμέ. [19]θεῶ δὴ εὗρεν ὁ σὸς οἰκέτης χάριν ἐν ὄμμασί σου, κἀμεγέθυνας τὸν σὸν ἔλεον ὃν ἐποίησας ξὺν ἐμοί ὡς ζωώσειας τὴν ἐμὴν ψυχήν· ἐγὼ δ' οὐ δυνήσομαι ἀπαλλαγῆναι πρὸς τὸ ὄρος, μήπως κολληθῇ μοι ἡ κάκωσις καὶ ἀποθάνω. [20]θεῶ δὴ πόλις ἡδὶ ἐγγὺς ὥστε φυγεῖν ἐκεῖσε, κεῖνό τε μικρόν· ἀπαλλαγῶ δὴ ἐκεῖσε· ἆρ' οὐ μικρόν ἐστι; καὶ ζήσεται ἡ ἐμὴ ψυχή. [21]τοιγαροῦν ἔφη πρὸς αὐτόν. αὐτίκ' ἦρα τὸ σὸν πρόσωπον ἔτιπερ εἰς τὸν λόγον τονδὶ ὥστε μὴ ἀντιστρέψαι με τὴν πόλιν ἣν εἴρηκας· [22]τάχυνον ἀπαλλάγηθι ἐκεῖσε· οὐ γὰρ ἰσχύσω ποιῆσαι πρᾶγμα μέχρι τοῦ ἀφῖχθαί σε ἐκεῖσε. διὸ κέκληκε τοὔνομα τῆς πόλεως σόαρον. [23]ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τῆς γῆς, λῶτός τ' ἀφῖκται σοάρονδε. [24]καὶ ὁ ὀντωτὴς ἔβρεξε κατὰ ξεδόμης κατά τ' ἀμορᾶς θεῖον πῦρ τε πρὸς τοῦ ὀντωτοῦ οὐρανόθεν, [25]κἀντέστρεψε τὰς πόλεις ταύτας ξύμπαν τε τὸ πεδίον καὶ ξύμπαντας τοὺς καθέδρους ταῖν πόλεοιν καὶ τὴν βλάστην τῆς γῆς. [26]ἠτένισε δ' ἡ γυνή οἱ πρὸς τῶν κατόπιν ἐκείνου, κατέλεδε στήλη ἁλός. [27]ὤρθρισε δ' ἀβραάμης ἐν ἕῳ πρὸς τὸν τόπον ᾧπερ ἔστη ἐκεῖ ξὺν τῷ προσώπῳ τοῦ ὀντωτοῦ, [28]κἄκυψεν ἐπὶ πρόσωπον ξεδόμης καὶ ἀμορᾶς ἐπί τε ξύμπαν τὸ πρόσωπον τῆς γῆς τοῦ πεδίου· τεθέαται γοῦν,

---

16. θυγατέροιν (θυγατέραιν c. cd. ed.)] suff. om. (בְּנֹתֶיךָ). σπλαγχνισμῷ cod., non σπλαγχνισκίοις ut ed. 19. εὗρεν cod., non εὑρῶν 20. ἀπαλλ. δ' ἐκ. c. cd. ed. 22. διὸ cod., non δι' ὃ 23. ἀφῖκται cod., non ἀφῖχθαι ut ed. σόαρ. corr. σοάρονδε cod. 25. τὰς πόλεις ταύτας] literas propter rasuram atque correctionem non satis cognoscere potui, sed vix aliter legendum. De scriptura in margine repetita (cf. Prol. I, 1, d) nihil superest nisi τ'. Ed. κἀντ. ταύτα κατοίκους corr. καθέδρους cod. 26. ἠτένησε cod.

αὐτίκα τ' ἀνέβη καπνὸς τῆς γῆς ὡς καπνὸς τῆς καμίνου. [29]κάτέλεσεν ἐν τῷ φθείρειν τὸν θεὸν τὰς πόλεις τοῦ πεδίου, ἐμνήσθη γε μὴν ὁ θεὸς τοῦ ἀβραάμου, κἄπεμψε τὸν λῶτον ἔσωθεν τῆς ἀντιστροφῆς ἐν τῷ ἀντιστρέφειν τὰς πόλεις ἃς ἐκαθέσθη ἐν αὐταῖς λῶτος. [30]ἀνέβη δὲ λῶτος ἀπὸ σοάρου καὶ ἐκαθέσθη ἐν τῷ ὄρει, τὰ δύο τ' αὐτοῦ θυγατέρε ξὺν αὐτῷ· ἐδεδίει γὰρ καθέζεσθαι ἐν σοάρῳ. ἐκαθέσθη τοίνυν ἐν σπηλαίῳ κεῖνος τά τε δύο κείνου θυγατέρε. [31]ἔφη δ' ἡ πρωτότοκος πρὸς τὴν ἥττω· ὁ πατὴρ νῶϊν γέρων, ἀνὴρ δ' ἥκιστ' ἐν τῇ γῇ ὥστ' ἀφικέσθαι ἐπὶ νὼ κατὰ τὴν ὁδὸν ἁπάσης τῆς γῆς· [32]δεῦρο ποτίσωμεν τὸν νωΐτερον πατέρα οἶνον, ἀνακλιθῶμέν τε ξὺν αὐτῷ· ζωώσομεν οὖν πρὸς τοῦ πατρὸς νῶϊν σπόρον. [33]ἐποτισάτην οὖν τὸν ἐκείναιν πατέρα οἶνον ἐν τῇ νυκτὶ κείνῃ. ἀφῖκται γοῦν ἡ πρωτότοκος καὶ ἀνακέκλιται ξὺν τῷ ἐκείνης πατρί· οὐ μὴν ἔγνω ἐν τῷ ἀνακεκλίσθαι ταύτην ἔν τε τῷ ταύτην ἐγείρεσθαι. [34]ὑπῆρξε δ' ἀπαύριον, ἔφη θ' ἡ πρωτότοκος πρὸς τὴν ἥττω· θεῶ ἀνακέκλιμαι χθὲς ξὺν τῷ πατρί μου· ποτίσωμεν αὐτὸν οἶνον ἔτι τῇ νυκτὶ, καὶ ἄφιξο ἀνακλίθητι ξὺν ἐκείνῳ· ζωώσομεν οὖν πρὸς τοῦ πατρὸς νῶϊν σπέρμα. [35]τοιγαροῦν ἐποτισάτην ἔτι ἐν τῇ νυκτὶ κείνῃ τὸν ἑαυταῖν πατέρα οἶνον, ἐγήγερταί θ' ἡ ἥττων καὶ ἀνακέκλιται ξὺν ἐκείνῳ· οὔ γε μὴν ἔγνω ἐν τῷ ἀνακεκλίσθαι ταύτην ἔν τε τῷ ταύτην ἐγηγέρθαι. [36]ἐκυησάτην δ' ἄμφω τὰ θυγατέρε λώτου πρὸς τοῦ σφετέρου πατρός. [37]κἄτεκεν ἡ πρωτότοκος υἱὸν, ἐκάλεσέ τε τοὔνομά οἱ μωάβης· οὗτος ὁ πατὴρ μωάβου μέχρι τήμερον. [38]ἡ δ' ἥττων ἔτι κείνη τέτοκεν υἱὸν, ἐκάλεσέ τε τοὔνομά οἱ βεναμῖνα· οὗτος πατὴρ τῶν υἱέων ἀμῶνος μέχρι τήμερον.

XX. [1]Μετῆρε δ' ἐκεῖθεν ἀβραάμης ἐς γῆν τοῦ νότου, καὶ ἐκαθέσθη μεταξὺ καδέσης μεταξύ τε σούρου· παρῴκησέ τ' ἐν γεράρῃ· [2]ἔφη δ' ἀβραάμης πρὸς ξαρὰν

---

29. ἀντιστροφῆς] ita, ni fallor, ex corr. cod. Ed. ἀναστρ. 30. ἐδεδίει in ras. τοιγαροῦν ἐκαθ. corr. ἐκαθέσθη τοίνυν cod. 31. δ' ἥκιστ' (non δ' ἥκιστα) in ras. νὼ ex corr. (pro νῶϊν?) cod. 32. ἀνακλίθωμεν c. cd. ed. ἐκ[είνῳ] corr. αὐτῷ cod. 33. ἀφῖχθαι rursus c. cd. ed. [ἐγ]είρεσθαι ex corr cod. De punctis verbis ἔν τε — ἐγείρ. impositis cf. Prol. II, 2, k. 34. ἀπαύριον] sic cod. Cf. Exod. IX, 6. Lev. XXIII, 16. Prol. I, 4, d. ἀνακλήθητι cod. et ed. 37. τῆς ἡμέρας corr. τήμερον cod. 38. ἔτ' ἐκείνη c. cd. ed. βεναμῖνα cod., non βινιαμ. ut ed., nec βενιαμ. ut Mor. ait.

XX. 1. Μεθῆρε c. cd. ed.

τὴν ἑαυτοῦ γυναῖκα· ἀδελφή μοι τυγχάνει. κἄπεμψεν ἀβιμέλεχος ὁ βασιλεὺς γεράρης, ἔλαβέ τε τὴν ξαράν. [3]ἀφῖκται δ' ὁ ϑεὸς πρὸς ἀβιμέλεχον ἐν ὀνείρῳ νύκτωρ ἔφη τέ οἱ· αὐτίκα σὺ ϑνήσκεις ἐπὶ τῇ γυναικὶ ἥνπερ ἔλαβες· τελεῖ δὲ γαμετὴ γήμαντος. [4]ἀβιμέλεχός γε μὴν οὐκ ἤγγισε πρὸς αὐτὴν, ἔφη τε· δέσποτ' ἐμὲ, ἆρ' ἔϑνος ἔτι δίκαιον ἀνελεῖς; [5]ἆρ' οὐχ οὗτος ἔφη μοι· ἀδελφή μοι τυγχάνει; καὶ αὕτη ἔτι αὕτη ἔφη· ἀδελφός μοι τυγχάνει; ἐν τελειότητι καρδίας ἐμῆς κἀν ἀκραιφνείᾳ παλαμῶν ἐμῶν ἐποίησα τόδε. [6]ἔφη τοίνυν πρὸς αὐτὸν ὁ ϑεὸς ἐν ὀνείρῳ· ἔτιπερ ἔγωγ' ἔγνων ὡς ἐν τελειότητι τῆς σῆς καρδίας ἐποίησας τόδε, κἀπέσχον ἔτιπερ ἐγὼ σὲ πρὸς τοῦ ἁμαρτεῖν μοι· διαταῦτ' οὐκ ἔδωκά σε ψαῦσαι πρὸς αὐτήν. [7]νῦν οὖν στρέψον τὴν γυναῖκα τοῦ ἀνδρὸς, ὅτι προφήτης ἐστὶ καὶ εὔξεται ὑπὲρ σοῦ· τελέσει δὲ κἂν μὴ σὺ στρέφῃς, ἴσϑι ὡς τῷ ϑνήσκειν τεϑνήξῃ σὺ καὶ πάνϑ' ἅτταπερ ἴσχεις. [8]ὤρϑρισεν οὖν ἀβιμέλεχος ἐν ἕῳ κἀβόησε πᾶσι τοῖς οἰκέταις ἑαυτοῦ καὶ διείλεκται ξύμπαντας τοὺς λόγους τούτους ἐν τοῖς ἐκείνων ὠσίν· ὠρρώδησαν οὖν οἱ ἄνδρες ἄγαν. [9]κέκληκέ τ' ἀβιμέλεχος τὸν ἀβραάμην ἔφη τέ οἱ· τί πεποίηκας ἡμῖν; τί ϑ' ἥμαρτόν σοι ὅτιπερ ἤνεγκας ἐπ' ἐμὲ κἀπὶ τὴν ἐμὴν βασιλείαν ἁμαρτίαν μεγάλην; πράγμαϑ' ἅπερ οὐ πεπράξοιντο πέπραχας ξὺν ἐμοί. [10]καὶ εἶπεν ἀβιμέλεχος πρὸς ἀβραάμην· τί τεϑέασαι ἐπεὶ πέπραχας τὸ πρᾶγμα τοδί; [11]τοιγαροῦν εἶπεν ἀβραάμης· ὅτι ἔφην· μόνον οὐκ ἔστι φόβος ϑεοῦ ἐν τῷ τόπῳ τῳδί· διαχρήσονται γοῦν με ἐπὶ τῷ χρήματι τῆς ἐμῆς γυναικός. [12]ἔτι τ' ἀληϑές ἀδελφή μοι, ϑυγάτηρ πατρὸς τοῦ ἐμοῦ τυγχάνει, οὐ μὴν ϑυγάτηρ μητρὸς τῆς ἐμῆς, ὑπῆρξέ τέ μοι εἰς γυναῖκα. [13]ὑπῆρξε δ' ἐπείπερ ἐπλάνησάν με οἱ ϑεοὶ πρὸς τοῦ δόμου τοῦ ἐμοῦ πατρὸς, ἔφην οὖν αὐτῇ· τοδὶ τοὔλεος τὸ σὸν ὃ ποιήσεις ξὺν ἐμοί· πρὸς πάντα τὸν τόπον ᾧ ἀφιξόμεϑα ἐκεῖσε, φάϑι μοι· ἀδελφὸς ἐμός ἐστιν. [14]ἔλαβε τοίνυν ἀβιμέλεχος πρόβατα βόας τε καὶ οἰκέτας ϑεράπαινάν τε, κἄδωκε τῷ ἀβραάμῃ· κἄστρεψέν οἱ τὴν ξαρὰν τὴν αὐτοῦ γυναῖκα. [15]ἔφη τ'

---

6. διαταῦτ'] sic cod. Cf. XVIII, 5. XIX, 8. 7. τελέσει δὲ] rursus literarum similitudo eum fefellit (וֶחְיֵה). Cf. XVIII, 18. μὴ cod., non μὲν ut ed. ἅπερ corr. ἅτταπερ cod. 9. ἐπείπερ (ut ed.) corr. ὅτιπερ cod. ἐμοῦ corr. ἐμὲ πρᾶγμαϑ' c. cd. ed. 11. γυναῖκος c. cd. ed. 13. μοι in ras. 14. ϑεράπαιναν, non ϑεραπαίνας (שְׁפָחֹת), cod. 15. κἄφη corr. ἔφη τ' cod. Perperam ed. κἄφη τ'

ἀβιμέλεχος· θεῶ ἡ ἐμὴ γῆ πρόσθεν σου· ἐν τῷ χρηστῷ ἐν ὄμμασί σοι καθέζου. [16]τῇ ξαρᾷ δ' ἔφη· θεῶ δέδωκα χιλίους ἀργυροῦς τῷ σῷ ἀδελφῷ· θεῶ αὐτός σοι κάλυψις ὀμμάτων, πᾶσι τοῖς ξὺν σοί, τὰ πάντα τε καὶ ὁδηγία. [17]προσηύξατο τοίνυν ἀβραάμης πρὸς τὸν θεόν, κἀθεράπευσεν ὁ θεὸς τὸν ἀβιμέλεχον τήν τε κείνου γυναῖκα καὶ τὰς θεραπαίνας ἐκείνου, κἄτεκον· [18]τῷ γὰρ ἐπίσχειν ἐπέσχεν ὁ ὀντωτὴς διὰ πάσης νηδύος τῷ δόμῳ ἀβιμελέχου ἐπὶ τῷ χρήματι ξαρᾶς τῆς γυναικὸς ἀβραάμου.

XXI. [1]Ἀλλ' ὁ ὀντωτὴς ἐπέσκεπται τὴν ξαρὰν καθὼς ἔφη, κἀποίησεν ὁ ὀντωτὴς τῇ ξαρᾷ καθὰ διείλεκται. [2]τοιγαροῦν ἐκύησεν, ἔτεκέ τε ξαρὰ τῷ ἀβραάμῃ υἱὸν τῷ γήρᾳ οἱ, τῷ καιρῷ ᾧ διείλεκται ξὺν αὐτῷ ὁ θεός. [3]ἐκάλεσέ θ' ἀβραάμης τοὔνομα τοῦ ἑαυτοῦ υἱέως τοῦ τεχθέντος αὐτῷ, ὃν ἔτεκέν οἱ ξαρά, ἰσχάκην. [4]περιέτεμέ θ' ἀβραάμης ἰσχάκην τὸν ἑαυτοῦ υἱὸν υἱὸν ἑπτὰ ἡμερῶν, καθάπερ ἐκέλευσεν αὐτῷ ὁ θεός. [5]ἀβραάμης δ' υἱεὺς ἑκατοντούτης ἐν τῷ τετέχθαι οἱ ἰσχάκην τὸν αὐτοῦ υἱόν. [6]ἔφη τε ξαρά· γέλωτα πεποίηκέ μοι ὁ θεός· ἅπας ὁ ἀκούων γελάσεταί μοι. [7]κἄφη· τίς εἴρηκε τῷ ἀβραάμῃ· τεθήλακεν υἱεῖς ξαρά; τέτοκα γὰρ υἱὸν τῷ γήρᾳ οἱ. [8]ἐμεγεθύνθη γοῦν τὸ παιδίον καὶ ἀπεγαλακτίσθη· κἀποίησεν ἀβραάμης πότον μέγαν ἐν τῇ ἡμέρᾳ τοῦ ἀπογεγαλακτίσθαι τὸν ἰσχάκην. [9]τεθέαται δὲ ξαρὰ τὸν υἱὸν ἀγάρης τῆς αἰγυπτίας, ὃν ἔτεκε τῷ ἀβραάμῃ, παίζοντα· [10]κἄφη τῷ ἀβραάμῃ· ἐξάγαγε τὴν θεράπαιναν τηνδὶ καὶ τὸν ταύτης υἱόν· οὐ γὰρ κληρονομήσει ὁ υἱεὺς τῆς θεραπαίνης τησδὶ ξὺν τῷ ἐμῷ υἱεῖ ξὺν τῷ ἰσχάκῃ. [11]ἐκακύνθη δ' ὁ λόγος ἄγαν ἐν ὄμμασιν ἀβραάμου ἐπὶ τῷ χρήματι τοῦ αὐτοῦ υἱέως. [12]εἶπε δ' ὁ θεὸς πρὸς ἀβραάμην· μὴ κακυνέσθω ἐν ὄμμασί σοι ἐπὶ τῷ νέῳ κἀπὶ τῇ σῇ οἰκέτιδι· πάνθ' ἅττ' ἐρεῖ πρὸς σὲ ξαρά, ὑπάκουσον τῇ ταύτης φωνῇ· ἐν γὰρ ἰσχάκῃ κεκλήσεταί σοι σπέρμα. [13]κἄτι τὸν υἱὸν τῆς οἰκέτιδος εἰς ἔθνος θήσω ἑ, ἐπεὶ σὸς σπόρος τυγχάνει. [14]τοιγαροῦν ὤρθρισεν ἀβραάμης ἐν ἕῳ, κἄλαβεν ἄρτον ἀσκόν θ' ὕδατος κἄδωκε πρὸς ἀγάρην ἐκεῖ ἐπὶ τοῦ κείνης ὤμου, τό τε παιδίον, κἄπεμψε ταύτην· ἀπῆλθεν οὖν κἀπλανήθη ἐν τῇ ἐρήμῳ τοῦ φρέατος τοῦ

XXI. 5. τὸν ἰσχάκην ed. Sed articulus in codice deletus est. ἑαυ. corr. αὐτοῦ cod. 7. τέτοκε c. cd. ed. 11. ἐκάκυνε corr. ἐκακύνθη cod. 12. ἅττα ἐρεῖ c. cd. ed. 14. ἐκεῖ] שָׂם pro שָׁם

ὅρκου. [15]ἐτελεύτησε δὲ τὸ ὕδωρ πρὸς τοῦ ἀσκοῦ, κἄρριψε τὸ παιδίον ὑφ' ἑνὶ τῶν δένδρων· [16]ἀπῆλθέ τε καὶ ἐκαθέσθη ἑαυτῇ ἀπαντικρὺ τῷ μακρύνειν κατὰ βολὰς τόξου· ἔφη γάρ· μὴ ἴδω ἐν τῷ θνήσκειν τὸ παιδίον. ἐκαθέσθη τοίνυν ἀντικρύθεν, ἦρέ τε τὴν ἑαυτῆς φωνὴν κἄκλαυσε. [17]πέπυσται δ' ὁ θεὸς τὴν φωνὴν τοῦ νέου, κἀβόησεν ἄγγελος θεοῦ πρὸς ἀγάρην πρὸς τοῦ οὐρανοῦ κἄφη ταύτῃ· τί σοι, ἀγάρη; μὴ δείσῃς, πέπυσται γὰρ ὁ θεὸς πρὸς τὴν φωνὴν τοῦ νέου ἐν ᾧ τυγχάνει ἐκεῖ. [18]ἔγειραι ἆρον τὸν νέον, στήριξόν τε τὴν σὴν χεῖρα ἐν αὐτῷ· εἰς γὰρ ἔθνος μέγα θήσω ἕ. [19]ἀνέπτυξέ θ' ὁ θεὸς τὼ ταύτης ὀφθαλμώ, καὶ τεθέαται φρέαρ ὕδατος· ἀπῆλθεν οὖν ἔπλησέ τε τὸν ἀσκὸν ὕδατος κἀπότισε τὸν νέον. [20]κάτελεσεν ὁ θεὸς ξὺν τῷ νέῳ· ἐμεγεθύνθη γοῦν, ἐκαθέσθη τ' ἐν ἐρήμῳ, κάτελεσε βάλλων τόξῳ. [21]ἐκαθέσθη δ' ἐν τῇ ἐρήμῳ παρᾶνος· ἔλαβέ τέ οἱ ἡ μήτηρ αὐτοῦ γυναῖκα πρὸς γῆς αἰγύπτου.

[22]Ὑπῆρξε δ' ἐν τῷ καιρῷ κείνῳ, καὶ εἶπεν ἀβιμέλεχος τό τε στόμα παντὸς ἄρχοντος τῆς κείνου στρατιᾶς πρὸς ἀβραάμην τῷ φάναι· ὁ θεὸς ξὺν σοὶ ἐν ἅπασιν ἅττα σὺ ποιεῖς. [23]νῦν οὖν ὄμοσόν μοι ἐν τῷ θεῷ ἐνταῦθα, εἰ ψεύσαιό μοι τῷ θ' υἱεῖ μοι καὶ τῷ ἐγγόνῳ μοι· κατὰ τὸν ἔλεον ὃν ἐποίησα ξὺν σοὶ ποιήσεις ξὺν ἐμοὶ ξύν τε τῇ γῇ ᾗ παρῴκησας ἐν αὐτῇ. [24]ἔφη τοίνυν ἀβραάμης· ἔγωγ' ὀμόσομαι. [25]καὶ ἤλεγξεν ἀβραάμης τὸν ἀβιμέλεχον ἐπὶ τῷ χρήματι τοῦ φρέατος ὅπερ ἥρπασαν οἱ οἰκέται ἀβιμελέχου. [26]ἔφη δ' ἀβιμέλεχος· οὐκ ἔγνων τίς ἐποίησε τὸ πρᾶγμα τοδί, κἄτι σὺ οὐκ ἤγγειλάς μοι, ἔτι τ' ἔγωγ' οὐκ ἤκουσα πλὴν τήμερον. [27]τοιγαροῦν ἔλαβεν ἀβραάμης πρόβατα καὶ βόας ἔδωκέ τ' ἀβιμελέχῳ· κάτεμέτην ἄμφω κείνω ξυνθήκην. [28]ἔστησέ θ' ἀβραάμης τὰς ἑπτὰ ὄϊας τῶν προβάτων μόνας αὐτάς. [29]ἔφη δ' ἀβιμέλεχος πρὸς ἀβραάμην· τί τελοῦσιν αἱ ἑπτὰ ὄϊες αἱδὶ ἃς ἔστησας μόνας αὐτάς; [30]ἔφη γοῦν· ὅτι τὰς ἑπτὰ ὄϊας λήψῃ πρὸς ἐμῆς χειρός, ὡς εἴης μοι εἰς μαρτυρίαν ὅτιπερ ὤρυξα τὸ φρέαρ τοδί. [31]διὸ κέκληκε

---

16. ἑαυτῆς cod., non ἑαυτοῦ ut ed. κἄκλαυσεν corr. κἄκλαυσε cod. 17. ἐκεῖ cod., non ἐκεῖνος 19. τὼ cod., non σὺν ut ed. 20. γοῦν recte ed.; Mor. compendio deceptus γὰρ tribuit codici. 21. αἰγυπτίου c. cd. ed. 22. τό, τε cod., at v. 32 τό τε 25. τοῦ φρέατος] הַמַּיִם om. 27. κάτεμον corr. κάτεμέτην cod. κεῖνοι corr. κείνω

τὸν τόπον ἐκεῖνον φρέαρ ὅρκου· ἐκεῖ γὰρ ὠμοσάτην ἄμφω σφώ. [32]κἄτεμον ξυνθήκην ἐν τῷ φρέατι τοῦ ὅρκου. ἐγήγερται γοῦν ἀβιμέλεχος τό τε στόμα παντὸς ἄρχοντος τῆς κείνου στρατιᾶς, ὑπέστρεψάν τε πρὸς τὴν γῆν τῶν πελιστίνων. [33]ἐφύτευσε δ' ἄλσος ἐν τῷ φρέατι τοῦ ὅρκου, κέκληκέ τ' ἐκεῖ ἐν ὀνόματι τοῦ ὀντωτοῦ τοῦ θεοῦ τοῦ αἰῶνος. [34]παρῴκησε δ' ἀβραάμης ἐν τῇ γῇ τῶν πελιστίνων ἡμέραις πολλαῖς.

XXII. [1]Ὑπῆρξε δὲ μετὰ τὰ πράγματα ταῦτα, καὶ ὁ θεὸς ἐπείρασε τὸν ἀβραάμην ἔφη τε πρὸς αὐτόν· ἀβραάμη ἀβραάμη. εἶπε δέ· αὐτίκ' εἰμί. [2]κἄφη· λάβε δὴ τὸν σὸν υἱὸν τὸν μονογεννῆ σοι ὃν ἠγάπησας, τὸν ἰσχάκην, ἄπιθί τε σαυτῷ πρὸς γῆν τὴν μοσχῖτιν, ἀνένεγκέ τ' αὐτὸν ἐκεῖ εἰς ἀναφορὰν ἐφ' ἑνὸς τῶν ὀρέων ὅπερ ἐρῶ πρὸς σέ. [3]τοιγαροῦν ὤρθρισεν ἀβραάμης ἐν ἕῳ κἄσαξε τὸν ἴδιον ὄνον, ἔλαβέ τε τὼ δύο νέω οἱ ξὺν ἑαυτῷ καὶ ἰσχάκην τὸν ἑαυτοῦ υἱόν· ἔσχισέ τε ξύλα ἀναφορᾶς, ἠγέρθη τε καὶ ἀπῆλθε πρὸς τὸν τόπον ὃν ἔφη οἱ ὁ θεός. [4]ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἦρέ θ' ἀβραάμης τὼ ὀφθαλμώ οἱ καὶ τεθέαται τὸν τόπον πόρρωθεν· [5]ἔφη γοῦν ἀβραάμης πρὸς τὼ νέω οἱ. καθέζεσθον σφῶϊν ὡδὶ ξὺν τῷ ὄνῳ, ἐγὼ δὲ καὶ ὁ νέος ἀπελευσόμεθον μέχρις ἐνθαδί, προσκυνήσομέν τε καὶ ὑποστρέψομεν πρὸς σφῶϊ. [6]ἔλαβεν οὖν ἀβραάμης τὰ ξύλα τῆς ἀναφορᾶς ἔθηκέ τ' ἐπ' ἰσχάκου τοῦ ἰδίου υἱέως, ἔλαβέ τ' ἐν χειρί οἱ τὸ πῦρ καὶ τὴν μάχαιραν, ἀπηλθέτην τ' ἄμφω κείνω ἅμα. [7]ἔφη δ' ἰσχάκης πρὸς ἀβραάμην τὸν ἑαυτοῦ πατέρα κἄφη· πάτερ ἐμέ. ἔφη γοῦν· αὐτίκ' ἔγωγ' υἱεῦ ἐμέ. ἔφη τοίνυν· θεῶ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ δὲ ἀρνὸς εἰς ἀναφοράν; [8]ἔφη δ' ἀβραάμης· ὁ θεὸς ὄψεται ἑαυτῷ τὸν ἀρνὸν εἰς ἀναφορὰν, υἱεῦ ἐμέ. καὶ ἀπηλθέτην ἄμφω κείνω ἅμα, [9]καὶ ἀφικέσθην πρὸς τὸν τόπον ὃν ἔφη οἱ ὁ θεός. ἐδείματό τ' ἐκεῖ ἀβραάμης τὸ θυτήριον, ἔταξέ τε τὰ ξύλα· περιηγκώνισε δ' ἰσχάκην τὸν ἐκείνου υἱὸν κἄθηκεν ἐκεῖνον ἐπὶ τοῦ θυτηρίου ἄνωθεν τῶν ξύλων. [10]ἔτεινεν οὖν ἀβραάμης τὴν χεῖρά οἱ κἄλαβε τὴν μάχαιραν, ὡς θύσειε τὸν ἑαυτοῦ

---

31. κείνω corr. σφώ cod. 33. ἄλσος ex corr. (pro ἄρουραν?) cod. 34. ἐν ἡμέραις c. cd. ed.

XXII. 1. ἀβραάμη (2)] אַבְרָהָם bis habent cod. Kenn. 69, Ross. 16. Item LXX et Hier. 2. μονογενῆ c. cd. ed. γῆν τὴν cod., non τὴν γῆν ut ed. ἀνένεγκέ τ' cod. Ed. τ' om. 5. ἀπελευσόμεθα (ut ed.) corr. ἀπελευσόμεθον cod. 9. περιηγκώνισε δ'] τ' (ut ed.) corr. δ' cod.

υἱόν· [11]ἐβόησε δὲ πρὸς αὐτὸν ἄγγελος τοῦ ὀντωτοῦ πρὸς τοῦ οὐρανοῦ καὶ εἶπεν· ἀβραάμη ἀβραάμη. ἔφη γοῦν· αὐτίκ' εἰμί. [12]κἄφη· μὴ τείνῃς τὴν σὴν χεῖρα πρὸς τὸν νέον μήτε ποιήσῃς αὐτῷ ὁτιοῦν· νῦν γὰρ ἔγνων ὅτι δέδιας τὸν ϑεὸν σὺ, οὔκουν ἐπέσχες τὸν σὸν υἱὸν τὸν μονογεννῆ σοι πρὸς ἐμοῦ· [13]ἦρε δ' ἀβραάμης τὼ ὀφϑαλμώ οἱ καὶ τεϑέαται, ϑεῶ τε κριὸς εἷς ξυνείχετο ἐν ξυνηρεφεῖ ἐν τοῖς ἑαυτοῦ κέρασιν. ἀπῆλϑεν οὖν ἀβραάμης ἔλαβέ τε τὸν κριὸν, ἀνήνεγκέ τ' αὐτὸν εἰς ἀναφορὰν ἀντὶ τοῦ ἑαυτοῦ υἱέως. [14]ἐκάλεσέ ϑ' ἀβραάμης τοὔνομα τοῦ τόπου κείνου· ὁ ὀντωτὴς ὄψεται· ᾧ λέγοιτο τήμερον· ἐν ὄρει ὁ ὀντωτὴς ὄψεται. [15]ἐβόησέ ϑ' ὁ ἄγγελος τοῦ ὀντωτοῦ πρὸς ἀβραάμην αὖϑις πρὸς τοῦ οὐρανοῦ [16]καὶ εἶπεν· ὅτιπερ ὤμοσα, φησὶν ὁ ὀντωτής, ὡς ἀνϑῶν ἐποίησας τὸ πρᾶγμα τοδὶ καὶ οὐκ ἐπέσχες τὸν σὸν υἱὸν τὸν μονογεννῆ σοι, [17]ὅτι τῷ εὐλογεῖν εὐλογήσω σε, καὶ τῷ πληϑύνειν πληϑυνῶ τὸν σὸν σπόρον κατὰ τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ κατὰ τὴν ἅμμον τὴν ἐπὶ τοῦ χείλους τῆς ϑαλάττης· κληρονομήσει τε τὸ σὸν σπέρμα τὴν πύλην τῶν ἐχϑρῶν αὐτοῦ, [18]κεὐλογηϑήσονται ἐν τῷ σῷ σπέρματι πάντα τὰ ἔϑνη τῆς γῆς, ἀνϑῶν ὑπήκουσας τῇ ἐμῇ φωνῇ. [19]ὑπέστρεψε δ' ἀβραάμης πρὸς τὼ νέω οἱ, ἀνέστησάν τε καὶ ἀπῆλϑον ἅμα πρὸς τὸ φρέαρ τοῦ ὅρκου. καὶ ἐκαϑέσϑη ἀβραάμης ἐν τῷ φρέατι τοῦ ὅρκου.

[20]Κάτελεσε μετὰ τὰ πράγματα τάδε, καὶ ἤγγελται τῷ ἀβραάμῃ τῷ φάναι· ϑεῶ τέτοκε μιλκὰ ἔτι κείνη υἱεῖς ναχῶρι τῷ σῷ κασιγνήτῳ, [21]οὖσον τὸν πρωτότοκον αὐτοῦ καὶ βούζην τὸν ἀδελφὸν ἐκείνου, κεμουέλον τε τὸν πατέρα ἀράμου, [22]τόν τε κέσεδον καὶ τὸν χαζῶνα τόν τε πιλεδάσην καὶ τὸν ἰδελέφην καὶ τὸν βεϑουέλον. [23]βεϑουέλος δ' ἐγέννησε τὴν ῥιβεκάν. ὀκτὼ τούτους ἔτεκε μιλεκὰ ναχῶρι τῷ ἀδελφῷ τοῦ ἀβραάμου. [24]ἥ τ' ἐκείνου παλλακὴ, τὸ δ' ὄνομα

---

12. ἐπέσχες cod., non ἐπέσχε ut ed. μονογεννῆ rursus c. cd. ed. Item v. 16. 13. εἷς] legit אֶחָד pro אַחַר t. rec. Item Sam. LXX. Syr. ὑπὸ corr. ἀντὶ cod. 16. ὅτιπερ] כִּי pro בִּי ἀνϑῶν] sic cod., non αὐϑῶν ut relatum erat Ammonio. Ed. ἀνϑ' ὧν. Item v. 18. 17. ἅμμον] hoc spiritu utitur. Cf. Prol. I, 4, c. τὴν πύλην cod. Ed. τὴν om. 18. καὐ. corr. κεὐλογ. cod. (cf. I, 28. V, 2). Ed. καὶ εὐλ. τὴν corr. τῇ cod. 21. αὐτοῦ cod., non αὐτῆς ut ed. βοῦζον (ut ed.) corr. βούζην cod. 23. τὴν cod., non τὸν ut ed. τῷ ναχῶρι (ut ed.) corr. ναχῶρι cod.

κείνης ῥεουμὰ, τέτοκε γοῦν κἀκείνη τὸν τέβαχον τόν τε γαχάμην καὶ τὸν τάχασον καὶ τὴν μαακάν.

XXIII. *μερίς* [1] Ὑπῆρξε δ' ὁ βίος ξαρᾶς ἑκατὸν ἔτη καὶ εἴκοσιν ἔτη καὶ ἑπτὰ ἔτη, τὰ ἔτη τῆς βιοτῆς ξαρᾶς. [2] τέθνηκε δὲ ξαρὰ ἐν τῇ πόλει τῶν τεττάρων, αὕτη χεβρὼν ἐν τῇ γῇ κεναᾶνος· ἀφῖκται δ' ἀβραάμης πενθῆσαι ξαρὰν κλαῦσαί τ' αὐτήν. [3] ἀνέστη θ' ἀβραάμης ἄνωθεν τοῦ προσώπου τοῦ νεκροῦ οἵ καὶ διείλεκται πρὸς τοὺς υἱεῖς χέθου τῷ φάναι· [4] πάροικος κάτοικός τ' εἰμὶ παρ' ὑμῖν· δότε μοι κατοχὴν τάφου παρ' ὑμῖν, θάψω τε τὸν ἐμὸν νεκρὸν ἀπέμπροσθέν μου. [5] ἀπεκρίναντο δ' οἱ υἱεῖς χέθου τῷ ἀβραάμῃ τῷ φάναι οἱ· [6] ἄκουσον ἡμῶν, δέσποτ' ἐμέ. ἄρχων θεοῦ τελεῖς ἐν μέσῳ ἡμῶν, ἐν τῷ ἐξαιρέτῳ τύμβῳ ἡμῶν θάψον τὸν σὸν νεκρόν· ἀνὴρ ἐξ ἡμῶν τὸν ἴδιον τύμβον οὐκ ἐφέξει πρὸς σοῦ πρὸς τοῦ θάψαι τὸν σὸν νεκρόν. [7] ἐγήγερται δ' ἀβραάμης καὶ προσεκύνησε τὸν λεὼν τῆς γῆς τῶν υἱέων χέθου, [8] διείλεκταί τ' αὐτοῖς τῷ φάναι· εἴπερ ἐστὶ παρὰ τῇ ὑμετέρᾳ ψυχῇ θάψαι τὸν ἐμὸν νεκρὸν πρόσωθέν μου, ἀκούσατέ μου καὶ λιτανεύσατέ μοι εἰς ἐφρῶνα τὸν υἱὸν σοχάρου· [9] δώσει γοῦν μοι τὸ ἄντρον τοῦ διπλώματος ὅπερ ἴσχει, ὅπερ ἐστὶν ἐν ἄκρῳ τοῦ ἀγροῦ οἱ· ἐν ἀργύρῳ πλήρει δώσει κεῖνό μοι ἐν μέσῳ ὑμῶν εἰς κατοχὴν τύμβου. [10] ἐφρὼν δὲ καθῆστο μέσον τῶν υἱέων χέθου. ἀποκέκριται γοῦν ἐφρὼν ὁ χιταῖος τῷ ἀβραάμῃ ἐν ὠσὶ τῶν υἱέων χέθου, πᾶσι τοῖς ἀφιγμένοις τῇ πύλῃ τῆς ἑαυτοῦ πόλεως, τῷ φάναι· [11] ἥκιστα, δέσποτ' ἐμέ· ἄκουσόν μου. τὸν ἀγρὸν ἔδωκά σοι, τό τ' ἄντρον τὸ ἐν αὐτῷ, σοὶ ἔδωκα κεῖνο· ἐν ὄμμασι τῶν υἱέων τοῦ λεώ μοι δέδωκα κεῖνό σοι· θάψον τὸν σὸν νεκρόν. [12] προσεκύνησεν οὖν ἀβραάμης ἐνώπιον τοῦ λεὼ τῆς γῆς, [13] διείλεκται μέντοι πρὸς ἐφρῶνα ἐν ὄμμασι τοῦ λεὼ τῆς γῆς τῷ φάναι· πλὴν εἴπερ σὺ εἶθε, ἄκουσόν μου· δέδωκα ἄργυρον τοῦ ἀγροῦ, λάβε πρὸς ἐμοῦ, θάψω τε τὸν ἐμὸν νεκρὸν ἐκεῖ. [14] ἀποκέκριται γοῦν ἐφρὼν τῷ ἀβραάμῃ τῷ φάναι οἱ· [15] δέσποτ' ἐμέ, ἄκουσόν μου· γῆ τετρακοσίων στατήρων ἀργύρου ἀν' ἐμὲ κἀνὰ σέ, τί ἐστι; τὸν οὖν σὸν νεκρὸν θάψον. [16] ἤκουσεν οὖν ἀβραάμης πρὸς ἐφρῶνα·

XXIII. 5. χέτου c. cd. ed. 6. τὸν ἴδιον cod. Ed. τὸν om. 8. λιτανεύσατε in ras. 9. σπ[ήλαιον] corr. ἄντρον cod. μοι κεῖνο corr. κεῖνό μοι cod. 12. λεῶ c. cd. ed. Item v. sq.

κάστησεν ἀβραάμης ἐφρῶνι τὸν ἄργυρον ὃν διείλεκται ἐν ὠσὶ τῶν υἱέων χέθου, τετρακοσίους στατῆρας ἀργύρου διϊόντος τῷ ἐμπόρῳ. [17]κεκύρωται γοῦν ὁ ἀγρὸς ἐφρῶνος ὁ ἐν τῷ διπλώματι τῷ πρόσθεν μαμερέως, ὁ ἀγρὸς τό τ' ἄντρον τὸ ἐν αὐτῷ πᾶν τε τὸ ξύλον τὸ ἐν τῷ ἀγρῷ, τὸ ἐν παντὶ τῷ ὅρῳ οἱ κύκλῳ, [18]τῷ ἀβραάμῃ εἰς ὠνὴν ἐν ὄμμασι τῶν υἱέων χέθου, ἐν ἅπασιν ἥκουσι τῇ πύλῃ τῆς κείνου πόλεως. [19]εἶτά τ' ἔθαψεν ἀβραάμης ξαρὰν τὴν ἑαυτοῦ γυναῖκα πρὸς τὸ ἄντρον τοῦ ἀγροῦ τοῦ διπλώματος ἐπὶ προσώπου μαμερέως, αὕτη χεβρὼν ἐν τῇ γῇ κεναᾶνος. [20]βεβαίωταί θ' ὁ ἀγρὸς τό τ' ἄντρον τὸ ἐν αὐτῷ τῷ ἀβραάμῃ εἰς κατοχὴν τύμβου πρὸς τῶν υἱέων χέθου.

XXIV.

[1]Ὁ δ' ἀβραάμης γέρων ἀφικνούμενος ἐν ἡμέραις, ὅ τ' ὀντωτὴς εὐλόγησε τὸν ἀβραάμην ἐν ἅπασιν. [2]ἔφη δ' ἀβραάμης πρὸς τὸν ἑαυτοῦ οἰκέτην τὸν πρέσβυν τοῦ δόμου οἱ, τὸν ἄρχοντα ἐν πᾶσιν οἷς ἴσχε· θὲς δὴ τὴν σὴν χεῖρα ὑπὸ τῷ ἐμῷ μηρῷ, [3]ὁρκιῶ τέ σε ἐν ὀντωτῇ τῷ θεῷ τοῦ οὐρανοῦ καὶ θεῷ τῆς γῆς, ὡς μὴ λάβῃς γυναῖκα τῷ υἱεῖ μου πρὸς τῶν θυγατέρων τοῦ κεναανίου ᾧπερ ἐγὼ καθέζομαι μέσον αὐτοῦ· [4]πρὸς γὰρ τὴν ἐμὴν γῆν πρός τε τὴν ἐμὴν πατρίδα πορεύσῃ, λήψῃ τε γυναῖκα τῷ ἐμῷ υἱεῖ τῷ ἰσχάκῃ. [5]κἄφη πρὸς αὐτὸν ὁ οἰκέτης· ἴσως οὐκ ἐθελήσει ἡ γυνὴ πορευθῆναί μου κατόπιν πρὸς τὴν γῆν ταυτηνί, μῶν τῷ ἀποστρέφειν ἀποστρέψω τὸν σὸν υἱὸν πρὸς τὴν γῆν ἧπερ ἐξῆλθες ἐκεῖθεν; [6]ἔφη δὲ πρὸς ἐκεῖνον ἀβραάμης· πεφύλαξο σαυτῷ μήποτε στρέψῃς τὸν ἐμὸν υἱὸν ἐκεῖσε. [7]ὁ ὀντωτὴς ὁ θεὸς τοῦ οὐρανοῦ, ὃς ἔλαβέ με οἴκοθεν τοῦ ἐμοῦ πατρὸς πρός τε τῆς γῆς τῆς ἐμῆς πατρίδος, ὅς τε διείλεκταί μοι καὶ ὃς ὤμοσέ μοι τῷ φάναι· τῷ σῷ σπόρῳ δώσω τὴν γῆν ταυτηνί· κεῖνος πέμψει τὸν ἄγγελον ἑαυτοῦ πρόσθεν σου, λήψῃ τε γυναῖκα τῷ ἐμῷ υἱεῖ ἐκεῖθεν. [8]ἢν δὲ μὴ ἐθελήσῃ ἡ γυνὴ ἐπισπέσθαι σοι, ἀθωωθήσῃ γοῦν πρὸς τοῦ ὅρκου μου τουδί· πλὴν τὸν ἐμὸν υἱὸν οὐ στρέψεις ἐκεῖσε. [9]τέθεικεν οὖν ὁ οἰκέτης τὴν ἑαυτοῦ χεῖρα ὑπὸ τῷ μηρῷ ἀβραάμου τοῦ κείνου δεσπότου, καὶ ὀμώμοκέν οἱ ἐπὶ τῷ πράγματι τῷδε. [10]τοιγαροῦν

---

19. τὴν ξαρὰν (ut ed.) corr. ξαρὰν cod.

XXIV. 1. ἐν (2) ex corr. (pro κατὰ?) cod. 3. τῷ θεῷ μου c. cd. ed. κεναᾶνος corr. κεναανίου cod. 6. σαυτῷ c. cd. ed. 7. πέμψεν typ. vit. ed. 9. Inter τῷ et μηρῷ expunctum κείνου

ἔλαβεν ὁ οἰκέτης δέκα καμήλους πρὸς τῶν καμήλων τοῦ ἰδίου δεσπότου, καὶ ἀπῆλϑε· πᾶσα δὲ χρηστότης τοῦ κείνου δεσπότου ἐν τῇ κείνου χειρί. ἐγήγερται γοῦν ἀπῆλϑέ τε πρὸς ἀράμην τοῦ διποτάμου πρὸς τὴν πόλιν ναχῶρος. [11]ἔκαμψε δὲ τὰς καμήλους ἔξωϑεν τῆς πόλεως πρὸς τὸ φρέαρ τοῦ ὕδατος τῷ καιρῷ τῆς ἑσπέρας, τῷ καιρῷ τοῦ ἐξιέναι τὰς ἀντλητρίας. [12]ἔφη τε· ὀντωτὰ ϑεὲ τοῦ ἐμοῦ δεσπότου ἀβραάμου, ξυνάντησον δὴ πρόσϑεν ἐμοῦ τήμερον, ποίησόν τ' ἔλεον σὺν τῷ ἐμῷ δεσπότῃ ἀβραάμῃ. [13]αὐτίκ' ἔγωγ' ἵσταμαι ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ ϑυγατέρες τῶν ἀνδρῶν τῆς πόλεως ἐξίασιν ἀντλεῖν ὕδωρ· [14]ἔσται τοίνυν ἡ νέα ἥπερ ἐρῶ πρὸς αὐτήν· κλῖνον δὴ τὸν σὸν πρόχουν καὶ πίομαι, φήσει τε· πίε, πρὸς δ' αὖ καὶ τὰς σὰς καμήλους ποτιῶ· ταύτην ἤλεγξας τῷ σῷ οἰκέτῃ ἰσχάκῃ, κἀν ταύτῃ εἴσομαι ὡς ἐποίησας ἔλεον σὺν τῷ ἐμῷ δεσπότῃ. [15]κἀτέλεσε μὲν ἐκεῖνος πρὶν τελευτήσειε διαλεγόμενος, αὐτίκα δὲ ῥιβεκὰ ἐξῄει, ἣ γεγέννηται βεϑουέλῳ τῷ υἱεῖ μιλχᾶς τῆς γυναικὸς ναχῶρος τοῦ ἀδελφοῦ ἀβραάμου, καὶ ὁ κείνης πρόχους ἐπὶ τοῦ κείνης ὤμου. [16]ἡ δὲ νέα καλὴ τὴν ὄψιν ἄγαν, παρϑένος, ἄνδρα τ' οὐκ ἔγνω. κατέβη γοῦν ἐς τὴν πηγὴν, ἔπλησέ τε τὸν ἴδιον πρόχουν καὶ ἀνήνεγκεν. [17]ἔδραμε δ' ὁ οἰκέτης εἰς ὑπάντησιν ἐκείνης ἔφη τε· πότισόν με δὴ ὀλίγον ὕδατος πρὸς τοῦ σοῦ πρόχου. [18]κἄφη· πίε, δέσποτ' ἐμέ. κἄσπευσε κατήνεγκέ τε τὸν ἑαυτῆς πρόχουν ἐπὶ τὴν ἑαυτῆς χεῖρα κἀπότισέν ἑ. [19]ἐτελεύτησε δὲ τὸ κεῖνον ποτίζειν καὶ εἶπεν· ἔτι ταῖς σαῖς καμήλοις ἀντλήσω μέχρις ἂν τελευτήσαιεν τὸ πίνειν. [20]ἔσπευσεν οὖν ἐκένωσέ τε τὸν ταύτης πρόχουν πρὸς τὸ πίστρον, κἄδραμεν ἔτι πρὸς τὸ φρέαρ ὡς ἀντλοίη, καὶ ἤντλησε πάσαις ταῖς ἐκείνου καμήλοις. [21]ὁ δ' ἀνὴρ ἠπόρει ταύτῃ σιγῶν, ὡς γνοίη ἆρ' ἴϑυνεν ὁ ὀντωτὴς τὴν ὁδὸν ἐκείνου εἰ μή. [22]ὑπῆρξε δ' ἐπείπερ ἐτελεύτησαν αἱ κάμηλοι τὸ πίνειν, ἔλαβεν οὖν ὁ ἀνὴρ ἐλλόβιον χρυσοῦν, ἥμισυ ἡ ὁλκή οἱ, δύο τε ψελλίω

---

14. κλίνον cod. Cf. Exod. VII, 19. Prol. I, 4, c. 15. τῷ βεϑ. corr. βεϑουέλῳ cod. γυναῖχος rursus c. cd. ed. 16. ἄνδρα τ' οὐκ ἔγνω] יְדָעֵהּ pro יְדָעָהּ 17. ὕδωρ corr. ὕδατος cod. 18. τὴν ex corr. (pro τῆς?) cod. 19. ἐτέλευτησε cod. Videlicet eum primo ἐτέλεσε scripturum fuisse. τὸ ante κεῖνον (falso ed. κείνου) postea add. cod. τελευτήσειε c. cd. ed. 21. εἰ μή] scriptura propter correctionem dubia; vix ἢ μή (cf. XXXVII, 32). An voluit εἴτε μή (ut XXVII, 21)?

ἐπὶ ταῖν ἐκείνης χεροῖν, δέκα χρυσῶν ἡ κείνοιν ὁλκή. [23] κἄφη· θυγάτηρ τίνος εἶ; ἄγγειλον δή μοι· ἆρ' ἔστιν οἴκοι τοῦ σοῦ πατρὸς τόπος ἡμῖν ὡς μείναιμεν; [24] ἔφη γοῦν πρὸς αὐτόν· θυγάτηρ βεθουέλου τελῶ τοῦ υἱέως μιλχᾶς, ὃν ἔτεκε ναχώρῳ. [25] κἄφη πρὸς αὐτόν· ἔτιπερ ἄχυρον, πρὸς δ' αὖ χιλὸς πολὺς παρ' ἡμῖν, ἔτι τόπος μένειν. [26] ἔκυψεν οὖν ὁ ἀνὴρ καὶ προσεκύνησε τῷ ὀντωτῇ, [27] καὶ εἶπεν· εὐλογητὸς ὁ ὀντωτὴς ὁ θεὸς τοῦ ἐμοῦ δεσπότου ἀβραάμου, ὃς οὐ παρῆκε τὸν ἔλεον ἑαυτοῦ τήν τ' ἀλήθειαν ἑαυτοῦ πρὸς τοῦ ἐμοῦ δεσπότου· ἔγωγ' ἐν ὁδῷ ὡδήγησέ με ὁ ὀντωτὴς οἴκαδε τοῦ ἀδελφοῦ τοῦ δεσπότου μου. [28] τοιγαροῦν ἔδραμεν ἡ νέα καὶ ἤγγειλε τῷ δόμῳ τῆς ἑαυτῆς μητρὸς κατὰ τοὺς λόγους τουσδί. [29] τῇ δὲ ῥιβεκᾷ ἀδελφὸς, τὸ δ' ὄνομά οἱ λαβάν. ἔδραμε τοίνυν λαβὰν πρὸς τὸν ἄνδρα θύραζε πρὸς τὴν πηγήν. [30] ὑπῆρξεν οὖν ἐπεὶ τεθέαται τὸ ἐλλόβιον καὶ τὰ ψέλλια ἐπὶ ταῖν χεροῖν τῆς ἀδελφῆς ἑαυτοῦ, ἐπεί τε πύθοιτο τοὺς λόγους ῥιβεκᾶς τῆς ἑαυτοῦ ἀδελφῆς τῷ λέγειν· τηδὶ διείλεκται πρός με ὁ ἀνὴρ, ἀφῖκται γοῦν πρὸς τὸν ἄνδρα, θεῶ θ' ἵστατο ἐπὶ ταῖς καμήλοις ἐπὶ τῆς πηγῆς, [31] ἔφη τε· ἄφιξο, εὐλογητὸς ὁ ὀντωτής· διατί στήσῃ θύρησιν; ἐγὼ δὲ κατέστειλα τὸν δόμον καὶ τὸν τόπον ταῖς καμήλοις. [32] ἀφῖκται γοῦν ὁ ἀνὴρ οἴκαδε καὶ ἔλυσε τὰς καμήλους, ἔδωκέ τ' ἄχυρον καὶ χιλὸν ταῖς καμήλοις, ὕδωρ τε νίψασθαι τὼ ἐκείνου πόδε τούς τε πόδας τῶν ἀνδρῶν τῶν σὺν ἐκείνῳ. [33] καὶ τέθειται πρόσθεν ἐκείνου φαγεῖν. ἔφη δέ· οὐκ ἔδομαι μέχρις ἂν διαλεχθείην λόγους τοὺς ἐμούς. ἔφη τοίνυν· διείλεξο. [34] καὶ εἶπεν· οἰκέτης ἀβραάμου ἐγώ. [35] ὁ δ' ὀντωτὴς εὐλόγησε τὸν ἐμὸν δεσπότην ἄγαν, καὶ ἐμεγεθύνθη· κἄδωκέν οἱ πρόβατα βόας τε καὶ ἄργυρον χρυσόν τε, δούλους τε καὶ θεραπαινίδας, καμήλους τε καὶ ὄνους. [36] ἔτεκε δὲ ξαρὰ ἡ γυνὴ τοῦ ἐμοῦ δεσπότου υἱὸν τῷ ἐμῷ δεσπότῃ μετὰ τὸ γῆρας ἐκείνης· ἔδωκε γοῦν οἱ ξύμπαντα τὰ ἑαυτοῦ. [37] ὥρκισε δέ με δεσπότης ὁ ἐμὸς τῷ φάναι· οὐ λήψῃ γυναῖκα τῷ υἱεῖ μου πρὸς τῶν θυγατέρων τοῦ κεναανίου ᾧπερ ἐγὼ καθέζομαι ἐν τῇ γῇ οἱ. [38] εἰ μὴ πρὸς τὸν δόμον τοῦ ἐμοῦ πατρὸς ἀπελεύσοιο καὶ πρὸς τὴν ἐμὴν γενεὰν, λήψοιό τε γυναῖκα τῷ υἱεῖ μου. [39] ἔφην δὲ

29. τῇ δὲ cod., non τῇδε ut ed. 32. τοὺς [ἐκείνου] corr. τὼ cod. 33. τέθειται] lectionem marginalem (וַיּוּשַׂם) exprimit. 36. ἔδωκεν corr. ἔδωκε cod. 37. ὥρκισέ δέ με cod.

πρὸς τὸν ἐμὸν δεσπότην· ἴσως οὐ πορεύσεται ἡ γυνὴ κατόπιν ἐμοῦ. [40]καὶ εἶπε πρός με· ὁ ὀντωτὴς ᾧ πεπόρευμαι πρόσϑεν αὐτοῦ πέμψει τὸν ἄγγελον ἑαυτοῦ ξὺν σοὶ κατιϑυνεῖ τε τὴν σὴν ὁδὸν, καὶ λήψῃ γυναῖκα τῷ υἱεῖ μου πρὸς τῆς ἐμῆς γενεᾶς οἴκοϑέν τε πατρὸς τοῦ ἐμοῦ· [41]τότεπερ ἀϑωωϑήσῃ πρὸς τῆς ἐμῆς ἀρᾶς, ἐπὰν ἀφίκοιο πρὸς τὴν ἐμὴν γενεάν· εἰ γοῦν μὴ δοίέν σοι, καὶ τελέσεις ἀϑῶος πρὸς τῆς ἐμῆς ἀρᾶς. [42]ἀφῖγμαι τοίνυν τήμερον πρὸς τὴν πηγὴν κἄφην· ὀντωτὰ ϑεὲ τοῦ ἐμοῦ δεσπότου ἀβραάμου, εἴπερ εἴης σὺ δὴ κατιϑύνων τὴν ἐμὴν ὁδὸν ᾗπερ ἔγωγ' ἄπειμι ἐπ' αὐτήν· [43]ἰδοὺ ἔγωγ' ἵσταμαι ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, τελέσει τοίνυν ἡ κόρη ἡ ἐξιοῦσα ἀρρύεσϑαι, φήσω τε πρὸς ἐκείνην· πότισόν με δὴ ὀλίγον ὕδατος πρὸς τοῦ σοῦ πρόχου, [44]καὶ φήσει πρός με· καὶ σὺ πίε κἄτι ταῖς σαῖς καμήλοις ἀρρύσομαι· κείνη ἡ γυνὴ ἣν ἐλέγχει ὁ ὀντωτὴς τῷ υἱεῖ τοῦ ἐμοῦ δεσπότου. [45]ἐγὼ πρὶν τελευτήσαιμι διαλεγόμενος πρὸς τὴν ἐμαυτοῦ καρδίαν, αὐτίκα τε ῥιβεκὰ ἐξῄει, καὶ ὁ ταύτης πρόχους ἐπὶ τοῦ ταύτης ὤμου, κατέβη τ' ἐς τὴν πηγὴν καὶ ἠρρύσατο. ἔφην τοιγαροῦν πρὸς αὐτήν· πότισόν με δή. [46]κἄσπευσε κατήνεγκέ τε τὸν ἑαυτῆς πρόχουν ἄνωϑεν ἑαυτῆς κἄφη· πίε, κἄτι καμήλους τὰς σὰς ποτιῶ. ἔπιον οὖν, ἔτι τε τὰς καμήλους ἐπότισεν. [47]ἠρόμην οὖν αὐτὴν καὶ εἶπον· ϑυγάτηρ τίνος τελεῖς; εἶπεν οὖν· ϑυγάτηρ βεϑουέλου υἱέως ναχῶρος, ὃν ἔτεκέν οἱ μιλκά. ἔϑηκα τοίνυν τὸ ἐλλέβιον ἐπὶ τοῦ ταύτης μυκτῆρος καὶ τὰ ψέλλια ἐπὶ ταῖν ταύτης χεροῖν· [48]ἔκυψά τε καὶ προσεκύνησα τῷ ὀντωτῇ, εὐλόγησά τε τὸν ὀντωτὴν τὸν ϑεὸν τοῦ ἐμοῦ δεσπότου ἀβραάμου, ὃς ὡδήγησέ με ἐν ὁδῷ ἀληϑείας ὡς λάβοιμι τὴν ϑυγατέρα τοῦ ἀδελφοῦ τοῦ δεσπότου μου τῷ υἱεῖ οἱ. [49]νῦν οὖν εἴπερ τυγχάνοιτε ποιοῦντες ἔλεον ἀλήϑειάν τε ξὺν τῷ ἐμῷ δεσπότῃ, ἀγγείλατέ μοι· εἰ δὲ μή, ἀγγείλατέ μοι, κλινῶ γοῦν ἐπὶ δεξιὰ ἢ ἐπ' εὐώνυμα. [50]τοιγαροῦν ἀποκέκριται λαβὰν καὶ βεϑουέλος ἐφάτην τε· πρὸς τοῦ ὀντωτοῦ ἐξῆλϑεν ὁ λόγος· οὐκ ἰσχύσομεν διαλέγεσϑαι πρὸς σὲ πονηρὸν ἢ χρηστόν. [51]ϑεῶ ῥιβεκὰ ἐπίπροσϑέν σου, λάβε καὶ ἄπιϑι· τελείτω τε γυνὴ τῷ υἱεῖ τοῦ δεσπότου σου καϑὰ διείλεκται

---

43. ἀρρύεσϑαι, non ἀρύ., cod. Item vv. sqq. 45. καὶ ὁ in ras. 46. ϑ' αἱ κάμηλοι corr. τε τὰς καμήλους cod. 49. εἴη[τε] corr. τυγχάνοιτε δεξιὰν (ut ed.) corr. δεξιὰ cod. ἐπὶ εὐών. c. cd. ed. 51. [λάβε]αὐτὴν corr. καὶ cod.

ὁ ὀντωτής. [52]ὑπῆρξε δ' ἐπεὶ πέπυσται ὁ οἰκέτης ἀβραάμου τοὺς λόγους ἐκείνοιν, προσεκύνησέ τ' ἐς γῆν τῷ ὀντωτῇ. [53]κἀξήνεγκεν ὁ οἰκέτης σκεύη ἀργυρᾶ σκεύη τε χρυσᾶ καὶ περιβόλαια κἄδωκε τῇ ῥιβεκᾷ, ἐξαίρετά τ' ἔδωκε τοῖς ἀδελφοῖς ἐκείνης τῇ τε κείνης μητρί. [54]κἄφαγον ἔπιόν τε κεῖνος καὶ ἄνδρες οἱ ξὺν ἐκείνῳ, καὶ ἔμειναν. ἀνέστησάν τ' ἐν ἕῳ, καὶ εἶπε· πέμψατέ με τῷ ἐμῷ δεσπότῃ. [55]ἔφη γοῦν ὁ ταύτης ἀδελφὸς ἤ τε ταύτης μήτηρ· καθεσθήτω ἡ νέα ξὺν ἡμῖν ἡμέραις ἢ δεκαμήνῳ, μεταταῦτα ἀπελεύσεται. [56]ἔφη δὲ πρὸς αὐτούς· μὴ βραδύνετέ με· ὅ γε μὴν ὀντωτὴς εὐώδωσε τὴν ἐμὴν ὁδόν· πέμψατέ με καὶ ἀπελεύσομαι τῷ ἐμῷ δεσπότῃ. [57]τοιγαροῦν εἶπον· καλέσωμεν τὴν νέαν ἐρώμεθά τε τὸ ταύτης στόμα. [58]ἐκάλεσαν οὖν τὴν ῥιβεκὰν εἰπόν τε πρὸς ἐκείνην· ἆρ' ἀπελεύσῃ ξὺν τῷ ἀνδρὶ τῳδί; καὶ εἶπεν· ἀπελεύσομαι. [59]τοιγαροῦν ἔπεμψαν ῥιβεκὰν τὴν ἑαυτῶν ἀδελφὴν καὶ τὴν ἐκείνης τίτθην, τόν τ' οἰκέτην ἀβραάμου καὶ τοὺς ἐκείνου ἄνδρας. [60]εὐλόγησάν τε ῥιβεκὰν καὶ εἶπον ταύτῃ· ἀδελφὴ ἡμετέρα τελεῖς· ἔσο εἰς χιλιάδας μυριάδων, κληρώσοιτό τε τὸ σὸν σπέρμα τὴν πύλην τῶν μισούντων αὐτό. [61]ἐγήγερται γοῦν ῥιβεκὰ καὶ αἱ ταύτης νέαι, ὤχηνταί τ' ἐπὶ τῶν καμήλων καὶ ἀπῆλθον κατόπιν τοῦ ἀνδρός· ἔλαβέ θ' ὁ οἰκέτης τὴν ῥιβεκὰν καὶ ἀπῆλθεν. [62]ἰσχάκης δ' ἀφικνεῖτο πρὸς τοῦ ἥκειν ἐς φρέαρ τοῦ ζῶντος ὁρῶντός με· κεῖνός τε καθῆστο ἐν γῇ τοῦ νότου. [63]ἐξῆλθε δ' ἰσχάκης προσεύξασθαι ἐν τῷ πεδίῳ τῷ κλίνειν ἑσπέραν· ἦρε δὲ τὼ ὀφθαλμώ οἱ καὶ τεθέαται, αὐτίκα τε κάμηλοι ἀφικνοῦντο. [64]ἦρέ τε ῥιβεκὰ τὼ ἑαυτῆς ὀφθαλμὼ καὶ εἶδε τὸν ἰσχάκην, ἔπεσέ τ' ἄνωθεν τῆς καμήλου, [65]κἄφη πρὸς τὸν οἰκέτην· τίς ὁ ἀνήρ; ἆρ' ὁδὶ ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς ξυνάντησιν ἡμῶν; ἔφη δ' ὁ οἰκέτης· αὐτὸς ὁ ἐμὸς δεσπότης. ἔλαβε τοίνυν τὸ κρήδεμνον κἀσκεπάσθη. [66]διηγήσατο δ' ὁ οἰκέτης ἰσχάκῃ ξύμπαντα τὰ πράγμαθ' ἅπερ ἐποίησεν. [67]ἤγαγε δ' αὐτὴν ἰσχάκης ἐς σκηνὴν ξαρᾶς τῆς

---

52. ἀβραάμου supra lineam add. cod. Ed. om. ἐκείνοιν cod., non ἐκείνους ut ed. 53. τοῖς ἀδελφοῖς ἐκείνης] לְאָחִיהָ pro לְאָחִיהָ. Item Hieron. 55. ἢ cod., non καὶ ut ed. μεταταῦτα] sic cod. Cf. VI, 4. 60. μυριάδας corr. μυριάδων cod. κληρώσοιτο cod., non κληρῶσοτο ut ed. αὐτόν corr. αὐτό cod. 64. ἔπεσεν corr. ἔπεσέ τ' cod. 66. ἤγ[γειλε] corr. διηγήσατο πράγματα c. cd. ed.

ἑαυτοῦ μητρὸς, ἔλαβέ τε τὴν ῥιβεκὰν, κάτέλεσεν ἐκείνῳ εἰς γυναῖκα, πεφίληκέ τ' αὐτήν· καὶ παρεμυθήθη ἰσχάκης μετὰ τὴν ἑαυτοῦ μητέρα.

XXV. [1]Προσέθηκε δ' ἀβραάμης ἔλαβέ τε γυναῖκα, τό τε κείνης ὄνομα κετουρά. [2]κἄτεκέν οἱ τὸν ζιμερῖνα τόν τ' ἰακτᾶνα τόν τε μεδᾶνα καὶ τὸν μιδιᾶνα, τόν τ' ἰσαβέκην καὶ τὸν σοῦχαν. [3]ἰακτὰν δ' ἐγέννησε τὸν σεβάον καὶ τὸν δεδᾶνα· υἱεῖς δὲ δεδᾶνος ὑπῆρξαν ἀσσύριοι, λετούσιοί τε καὶ λεούμιοι· [4]υἱεῖς δὲ μιδιᾶνος αἰφὰ, ἄφαρός τε καὶ χανῶχος, ἀβιδάης τε καὶ ἐλδαάης· ἅπαντες οὗτοι.υἱεῖς κετουρᾶς. [5]ἔδωκέ γε μὴν ἀβραάμης ξύμπαντα τὰ ἑαυτοῦ τῷ ἰσχάκῃ· [6]τοῖς δ' υἱέσι τῶν παλλακῶν τῶν τοῦ ἀβραάμου ἔδωκεν ἀβραάμης δωτίνας, ἔπεμψέ τε σφᾶς ἄνωθεν ἰσχάκου τοῦ ἑαυτοῦ υἱέως ἐν ἔτι ἑαυτῷ ζῶντι ἐς ἀνατολὰς πρὸς γῆν ἀνατολῶν. [7]αἵδὶ δ' αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς ἀβραάμου αἷς ἐβίου, ἑκατὸν ἔτη καὶ ἑβδομήκοντα ἔτη καὶ πέντε ἔτη· [8]ἐξέψυξε δὲ τέθνηκέ θ' ἀβραάμης ἐν πολιᾷ χρηστῇ γέρων κεκορεσμένος τε, καὶ προσετέθη πρὸς τοὺς ἐκείνου λεώς. [9]ἐθαψάτην τ' αὐτὸν ἰσχάκης καὶ ἰσμαέλος τὼ υἱώ οἱ πρὸς τῷ ἄντρῳ τοῦ διπλώματος, πρὸς τῷ ἀγρῷ ἐφρῶνος υἱέως σοχάρου τοῦ χιτίου τῷ ἐπὶ προσώπου μαμερέως, [10]τῷ ἀγρῷ ὃν ἐώνηται ἀβραάμης πρὸς τῶν υἱέων χέθου· ἐκεῖ τέθαπται ἀβραάμης καὶ ξαρὰ ἡ κείνου γυνή. [11]ἐτέλεσε δὲ μετὰ τὸ τεθνάναι ἀβραάμην, εὐλόγησέ τε ὁ θεὸς ἰσχάκην τὸν ἐκείνου υἱόν· ἐκαθέσθη τ' ἰσχάκης παρὰ τῷ φρέατι τοῦ ζῶντος ὁρῶντός με.

°[12]Αἵδὶ δ' αἱ γεννήσεις ἰσμαέλου τοῦ υἱέως ἀβραάμου, ὃν ἔτεκεν ἀγάρη ἡ αἰγυπτία ἡ θεραπαινὶς ξαρᾶς τῷ ἀβραάμῃ. [13]ταδί τε τὰ ὀνόματα τῶν υἱέων ἰσμαέλου ἐν τοῖς ὀνόμασιν αὐτῶν, κατὰ τὰς γεννήσεις αὐτῶν· πρωτότοκος ἰσμαέλου νεβαιώθης, κεδάρ τε καὶ ἀδεβεέλος καὶ μιχεσάμης, [14]μισμάος τε καὶ δουμάης καὶ

---

67. ἐκείνῳ cod., non ἐκείνη ut ed.

XXV. 1. κετοῦρα (ut ed.) corr. κατουρά cod. 2. ζιμερῖνα] זִמְרָן t. Hebr. ἰακτᾶνα] יָקְטָן pro יָקְשָׁן. Item v. sq. Cf. X, 25 sq. 5. ἔδωκέ γε μὴν recte ed. Miro errore Mor. ἔδωκε δὲ καὶ tribuit codici. ξύμπαντα τὰ cod. Ed. τὰ om. 8. ἐξέψυχε c. cd. ed. κεκορημένος c. cd. ed. τὸν corr. τοὺς cod. 9. τοῦ [ἐπὶ] corr. τῷ cod. 10. ἐώνηται cod., non ἐώνησεν ut ed. 13. ναβαιώθης c. cd. ed. μιχεσάμης] מִכְשָׂם pro מִבְשָׂם

μασάης, [15]ἀδάδης ϑαιμάος τε, ἰτούρης, ναφὶς καὶ κεδμάης. [16]οὗτοι τελοῦσιν υἱεῖς ἰσμαέλου, ταδί τε τὰ σφῶν ὀνόματα ἐν ταῖς σφετέραις αὐλαῖς κἀν τοῖς σφετέροις μεγάροις· δυοκαίδεκα ἡγεμόνες τοῖς ἔϑνεσιν αὐτῶν. [17]ταδί τε τὰ ἔτη τῆς βιοτῆς ἰσμαέλου· ἑκατὸν ἔτη καὶ τριάκοντα ἔτη καὶ ἑπτὰ ἔτη. ἐξέψυξε δὲ καὶ τέϑνηκε, προσετέϑη τε πρὸς τοῖς αὐτοῦ λαοῖς. [18]καὶ κατῴκησαν ἀπὸ χαυϊλᾶς μέχρι σούρου τοῦ ἐπὶ προσώπου αἰγύπτου τῷ ἀφικνεῖσϑαί σε ἐς ἀσσοῦρον· ἐπὶ προσώπου πάντων τῶν ἑαυτοῦ ἀδελφῶν ἔπεσεν.

[19]Αἵδὶ δ' αἱ γεννήσεις ἰσχάκου τοῦ υἱέως ἀβραάμου· ἀβραάμης *μερίς* ἐγέννησε τὸν ἰσχάκην. [20]ὑπῆρξε δ' ἰσχάκης υἱὸς τετταρακοντούτης ἐν τῷ λαβεῖν αὐτὸν ῥιβεκὰν τὴν ϑυγατέρα βεϑουέλου τοῦ ἀραμίου πρὸς παδᾶνος ἀράμου, τὴν ἀδελφὴν λαβᾶνος τοῦ ἀραμίου, ἑαυτῷ εἰς γυναῖκα. [21]προσηύξατο δ' ἰσχάκης τῷ ὀντωτῇ ὑπὲρ τῆς ἑαυτοῦ γυναικὸς, ἐπεὶ στεῖρα ἦν· ἐπήκουσέ τ' αὐτοῦ ὁ ὀντωτὴς, ἐκύησεν οὖν ῥιβεκὰ ἡ γυνή οἱ. [22]καὶ ξυνετρίβοντο τὼ υἱὼ ἐν μέσῳ ταύτης. ἔφη γοῦν· εἰ τῆδε, διατί τόδε ἐγώ; καὶ ἀπῆλϑε ζητῆσαι τὸν ὀντωτήν. [23]ἔφη δ' ὁ ὀντωτὴς ταύτῃ· δύο ἔϑνη ἐν τῇ σῇ γαστρί, δύο τε πρὸς τῶν σῶν χολάδων χωρισϑήσονται· λεὼς δ' ὑπὲρ λεὼν κρατυνεῖται, ὁ δὲ μέγας δουλεύσει μικρῷ. [24]πεπλήρωνται δ' αἱ ταύτης ἡμέραι ὡς τέκοι, ϑεῶ τε διδύμω ἐν τῇ ταύτης γαστρί. [25]ἐξῆλϑε δ' ὁ πρῶτος ἐρυϑρώδης, ὅλος ὡς χλαῖνα τριχός· ἐκάλεσάν τε τοὔνομά οἱ ἐσαύην. [26]μετὰ δὲ ταῦτα ἐξῆλϑεν ὁ αὐτοῦ ἀδελφὸς, ἡ δὲ τοῦδε χεὶρ εἴχετο τῆς πτέρνης ἐσαύου· κέκληκε γοῦν τοὔνομά οἱ ἰακῶβον. ἰσχάκης δ' υἱεὺς ἑξηκοντούτης ἐν τῷ γεγεννηκέναι σφε. [27]ἐμεγαλυνϑήτην δὲ τὼ νέω· κάτέλεσεν ἐσαύης ἀνὴρ εἰδὼς ϑήρας, ἀνὴρ ἀγροῦ, ἰακῶβος δ' ἀνὴρ τέλειος, καϑεζόμενος σκηναῖς. [28]ἐφίλησε δ' ἰσχάκης τὸν ἐσαύην, ἐπεὶ ϑήρα ἐν στόματί οἱ· ῥιβεκὰ δ' ἐφίλει τὸν ἰακῶβον. [29]ἥψησε δ'

---

15. ἀδάδης] legit חֲדַד juxta multos codd., edd., verss. pro חֲדַר 16. δύο καίδεκα c. cd. ed. 18. κατῴκισαν (ut ed.) corr. κατῴκησαν cod. 23. δύο τε πρὸς κτλ.] לְאֻמִּים om. Nec vero negligendum est, a verbo πρὸς novam paginam initium capere. 24. ὡς cod., non καὶ ut ed. 26. μεταδεταῦτα cod. Cf. Prol. I, 4, d. 27. ϑήραν c. cd. ed.

ἰακῶβος ἕψημα· ἀφῖκταί ϑ' ἐσαύης πρὸς τοῦ ἀγροῦ κἀτύγχανε λωφῶν. [30]ἔφη γοῦν ἐσαύης πρὸς ἰακῶβον· σίτισόν με δὴ πρὸς τοῦ ἐρυϑροῦ τοῦ ἐρυϑροῦ τουδὶ, λωφῶν γὰρ τυγχάνω. διὸ κέκληκε τοὔνομά οἱ ἐδῶμον. [31]ἔφη γοῦν ἰακῶβος· πράσον ἐντησήμερον τὴν πρωτοτοκίαν σου ἐμοί. [32]ἔφη ϑ' ἐσαύης· αὐτίκ' ἔγωγ' ἄπειμι ὡς τεϑναίην, διατί γοῦν τόδε μοι πρωτοτοκία; [33]ἔφη τ' ἰακῶβος· ὅμοσόν μοι ἐντησήμερον. ὤμοσεν οὖν οἱ, κἄπρασε τὴν ἑαυτοῦ πρωτοτοκίαν τῷ ἰακώβῳ. [34]καὶ ἰακῶβος ἔδωκε τῷ ἐσαύῃ ἄρτον καὶ ἕψημα φακῶν. ἔφαγεν οὖν ἔπιέ τε, κἀγήγερται καὶ ἀπελήλυϑε· περιπεφρόνηκέ ϑ' ἐσαύης τὴν πρωτοτοκίαν.

XXVI. [1]Ὑπῆρξε δὲ λιμὸς ἐν τῇ γῇ, παρὰ μόνον τὸν λιμὸν τὸν πρῶτον ὃς ἐτέλεσεν ἐν ταῖς ἡμέραις ἀβραάμου. τοιγαροῦν ἀπῆλϑεν ἰσχάκης πρὸς ἀβιμέλεχον τὸν βασιλέα τῶν πελιστίνων γεράρηνδε. [2]ὤφϑη δὲ πρὸς αὐτὸν ὁ ὀντωτὴς καὶ εἶπε· μὴ καταβῇς αἴγυπτόνδε· οἴκει ἐν τῇ γῇ ἧπερ ἐρῶ πρὸς σέ. [3]παροίκει ἐν τῇ γῇ τηδὶ, τελέσω τε ξὺν σοὶ καὶ εὐλογήσω σε· σοὶ γὰρ καὶ τῷ σῷ σπόρῳ δώσω ξυμπάσας τὰς γαίας τασδὶ, κυρώσω τε τὸν ὅρκον ὃν ὤμοσα ἀβραάμῃ τῷ σῷ πατρί· [4]πληϑυνῶ τε τὸν σὸν σπόρον ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ δώσω τῷ σπόρῳ σου ξυμπάσας τὰς γαίας τασδί· καὶ εὐλογηϑήσονται ἐν τῷ σῷ σπέρματι πάντα τὰ ἔϑνη τῆς γῆς· [5]ἀνϑῶν ὑπήκουσεν ἀβραάμης τῇ φωνῇ μου κἀτήρησε τὴν ἐμὴν τήρησιν, τὰς ἐμὰς κελεύσεις, τύπους τοὺς ἐμοὺς καὶ τοὺς ἐμοὺς νόμους. [6]ἐκαϑέσϑη τοίνυν ἰσχάκης ἐν γεράρῃ. [7]ἤροντο δ' οἱ ἄνδρες τοῦ τόπου περὶ τῆς αὐτοῦ γυναικὸς, καὶ εἶπεν· ἀδελφή μοι τελεῖ· ἔδεισε γὰρ εἰπεῖν· γυνή μοι, μήπως ἀνέλοιεν ἐκεῖνον οἱ ἄνδρες τοῦ τόπου ἐπὶ ῥιβεκᾷ· καλὴ γὰρ τὴν ὄψιν ἐτύγχανεν. [8]ὑπῆρξε δ' ἐπείπερ ἐμήκυνάν οἱ ἐκεῖ αἱ ἡμέραι, ἔκυψέ τ' ἀβιμέλεχος ὁ βασιλεὺς τῶν πελιστίνων διὰ τῆς ϑυρίδος εἶδέ τε, καὶ ϑεῶ ἰσχάκης ἔπαιζε ξὺν ῥιβεκᾷ τῇ ἑαυτοῦ γυναικί. [9]τοιγαροῦν ἐκάλεσεν ἀβιμέλεχος τὸν ἰσχάκην ἔφη τε· πλὴν ϑεῶ γυνή σοι

---

31. ἐντησήμερον dedimus ut scriptum est in codice, nisi quod illud ι subjicere conati sumus. Item v. 33. 34. ἔδωκεν corr. ἔδωκε τῷ cod. ἀπελήλυϑεν corr. ἀπελήλυϑε

XXVI. 1. γεράρηνδε ipse cod. Cf. Amm. ad h. l. 5. ἀνϑῶν] sic cod. Cf. XXII, 16. 18. 7. ἀνέλοιεν ἐκεῖνον] יַהַרְגֻהוּ pro יַהַרְגֻנִי. Consentiunt LXX et Hieron. 8. ἀν. (?) corr. ἐμήκυναν cod.

τελεῖ, πῶς οὖν ἔφης· ἀδελφή μοι τυγχάνει; ἔφη γοῦν πρὸς αὐτὸν ἰσχάκης· ὅτι ἔφην· μήπως τεθναίην ἐπ' αὐτῇ. [10]καὶ εἶπεν ἀβιμέλεχος· τί τόδ' ἐποίησας ἡμῖν; κατολίγον ἀνακέκλιται εἷς τοῦ λεὼ ξὺν τῇ σῇ γυναικί, κἀπήνεγκας ἡμῖν ἀμπλάκημα. [11]τοιγαροῦν ἐκέλευσεν ἀβιμέλεχος παντὶ τῷ λεῷ τῷ φάναι· ὁ θίγων ἐν τῷ ἀνδρὶ τῳδὶ κἀν τῇ γυναικί οἱ, τῷ θνήσκειν θανατωθήσεται. [12]ἔσπειρε δ' ἰσχάκης ἐν τῇ γῇ κείνῃ, καὶ εὗρεν ἐν τῷ ἔτει κείνῳ ἑκατὸν εἰκασμούς· εὐλόγησεν οὖν ἐκεῖνον ὁ ὀντωτής. [13]καὶ ἐμεγαλύνθη ὁ ἀνὴρ, ἀπῆλθέ τε τῷ ἀπιέναι καὶ μεγαλύνεσθαι μέχρις οὗπερ ἐμεγαλύνθη λίαν· [14]ὑπῆρξέ τέ οἱ κτῆσις προβάτων κτῆσίς τε βοῶν καὶ ὑπηρεσία πολλή. τοιγαροῦν ἐφθόνησαν αὐτῷ πελιστῖνοι· [15]πάντα τε τὰ φρέατα ἅπερ ὤρυξαν οἱ οἰκέται τοῦ αὐτοῦ πατρὸς ἐν ταῖς ἡμέραις ἀβραάμου τοῦ πατρὸς αὐτοῦ, ἔφραξαν οἱ πελιστῖνοι κἄπλησαν ἐκεῖνα χώματος. [16]ἔφη τ' ἀβιμέλεχος πρὸς ἰσχάκην· ἄπιθι ἄνωθεν ἡμῶν, ἐκρατύνθης γὰρ ὑπὲρ ἡμᾶς ἄγαν. [17]ἀπῆλθεν οὖν ἐκεῖθεν ἰσχάκης καὶ ἐξενοδοχήθη ἐν τῷ χειμάρρῳ γεράρης, ἐκαθέσθη τ' ἐκεῖ. [18]ὑπέστρεψέ τ' ἰσχάκης καὶ ὤρυξε τὰ φρέατα τῶν ὑδάτων ἅπερ ὤρυξαν ἐν ταῖς ἡμέραις ἀβραάμου τοῦ πατρὸς αὐτοῦ, κἄφραξαν ταῦτα πελιστῖνοι μετὰ τὸ τεθνάναι ἀβραάμην· ἐκάλεσέ τ' αὐτοῖς ὀνόματα κατὰ τὰ ὀνόματα ἅττ' ἐκάλεσεν αὐτοῖς ὁ αὐτοῦ πατήρ. [19]ὤρυξάν θ' οἱ οἰκέται ἰσχάκου ἐν τῷ χειμάρρῳ, καὶ εὗρον ἐκεῖ φρέαρ ὕδατος ζῶντος. [20]ἐνείκησαν δ' οἱ ποιμένες γεράρης ξὺν τοῖς ποιμέσιν ἰσχάκου τῷ φάναι· ἡμέτερον τὸ ὕδωρ. ἐκάλεσεν οὖν τοὔνομα τοῦ φρέατος .... ξὺν αὐτῷ. [21]ὤρυξαν τοίνυν φρέαρ ἕτερον· κἀδικάσαντο ἔτι γ' ἐπ' ἐκείνῳ· ἐκάλεσέ τ' ὄνομά οἱ ἔχθρα. [22]μετῆρέ τ' ἐκεῖθεν καὶ ὤρυξε φρέαρ ἕτερον, οὔκουν ἐνείκησαν ἐπ' ἐκείνῳ· κέκληκε τοιγαροῦν τοὔνομά οἱ πλατεῖαι, καὶ εἶπεν· ὅτι νῦν ἐπλάτυνεν ὁ ὀντωτὴς ἡμῖν, αὐξήσομεν οὖν ἐν τῇ γῇ. [23]ἀνέβη τ' ἐκεῖθεν ἐς φρέαρ τοῦ ὅρκου. [24]ὤφθη δὲ πρὸς αὐτὸν ὁ ὀντωτὴς ἐν τῇ νυκτὶ κείνῃ καὶ εἶπεν· ἔγωγ' ὁ θεὸς ἀβραάμου τοῦ σοῦ πατρὸς, μὴ δείσῃς,

---

10. κατ' ὀλίγον c. od. ed. 12. κείνῃ cod, non ἐκείνῃ εἰκασμούς cod,, non εἰκασμόν ut ed. 15. ἔφραξαν] suff. om. (סִתְּמוּם). Cf. v. 18. 16. ἄνωθεν ἡμῶν] מֵעָלֵינוּ pro מֵעִמָּנוּ 17. ἐξενο[δοχήθη] in ras. 20, Post φρέατος spatium dimidiae fere lineae vacuum. Om. עֵשֶׂק כִּי הִתְעַשְּׂקוּ. Cf. Prol. I, 2, c.

ξὺν γάρ σοὶ τελῶ· εὐλογήσω γοῦν σε καὶ πληϑυνῶ τὸν σὸν σπόρον χάριν ἀβραάμου τοῦ οἰκέτου μου. [25]ἐδείματο γοῦν ἐκεῖ ϑυτήριον ἐκάλεσέ τ' ἐν ὀνόματι τοῦ ὀντωτοῦ, κἄκλινεν ἐκεῖ τὴν ἑαυτοῦ σκηνήν· ὤρυξάν τ' ἐκεῖ οἱ οἰκέται ἰσχάκου φρέαρ. [26]ἀβιμέλεχος δ' ἀπῆλϑε πρὸς αὐτὸν πρὸς γεράρης, κατοχή τε τοῦ φίλου οἱ καὶ στόμα παντὸς ἄρχοντος τῆς κείνου στρατιᾶς. [27]ἔφη δὲ πρὸς ἐκείνους ἰσχάκης· τοῦ χάριν ἀφίκεσϑε πρός με; καίτοι γ' ὑμεῖς ἐμισήσατέ με κἀπέμψατέ με πρὸς ὑμῶν. [28]εἶπον οὖν· τῷ ὁρᾶν ἑωράκαμεν ὡς ὑπῆρξεν ὁ ὀντωτὴς ξὺν σοί, κἄφημεν· εἴη δὴ ἀρὰ μεταξὺ ἡμῶν, ἀν' ἡμᾶς κἀνὰ σέ, τέμωμέν τε ξυνϑήκην ξὺν σοί, [29]εἰ ποιήσοις ξὺν ἡμῖν πονηρὸν καϑάπερ οὐχ ἡψάμεϑά σου, καϑάπερ τ' ἐποιήσαμεν ξὺν σοὶ μόνον χρηστὸν, ἐπέμψαμέν τέ σε ἐν εἰρήνῃ· σὺ νῦν, εὐλογητὸς ὁ ὀντωτής. [30]ἐποίησεν οὖν ἐκείνοις εἰλαπίνην· ἔφαγόν τε κἄπιον. [31]ὤρϑρισάν τ' ἐν ἕῳ, καὶ ὤμοσαν ἕκαστος τῷ ἀδελφῷ οἱ· κἄπεμψε σφᾶς ἰσχάκης, ἀπῆλϑόν τε πρὸς αὐτοῦ ἐν εἰρήνῃ. [32]ὑπῆρξε δ' ἐν τῇ ἡμέρᾳ κείνῃ, παρεγένοντό ϑ' οἱ οἰκέται ἰσχάκου καὶ ἤγγειλάν οἱ ἐπὶ τῷ χρήματι τοῦ φρέατος ὅπερ ὤρυξαν, εἶπόν τέ οἱ· εὕρομεν ὕδωρ. [33]ἐκάλεσέ τε κεῖνο ἑπτά· διὸ τοὔνομα τῆς πόλεως φρέαρ ἕβδομον ἄχρι τῆς ἡμέρας τησδί. [34]Ὑπῆρξε μὴν ἐσαύης υἱεὺς τεσσαρακοντούτης, ἔλαβέ τε γυναῖκα ἰεουδίδα τὴν ϑυγατέρα βεερῖνος τοῦ χητίου, καὶ βασαμάϑην τὴν ϑυγατέρα ἐλῶνος τοῦ χητίου. [35]ὑπηρξάτην δ' ἄνταρσις πνεύματος τῷ ἰσχάκῃ καὶ τῇ ῥιβεκᾷ.

XXVII. [1]Ἀλλ' ὑπῆρξεν ἐπείπερ ἐγήρασεν ἰσχάκης, κἀσκοτισϑήτην τὼ ὀφϑαλμώ οἱ πρὸς τοῦ ὁρᾶν· ἐκάλεσεν οὖν ἐσαύην τὸν υἱὸν ἑαυτοῦ τὸν μείζω κἄφη πρὸς αὐτόν· υἱεῦ ἐμέ. ἔφη γοῦν πρὸς αὐτόν· πάρειμι. [2]κἄφη· ϑεῶ δὴ γεγήρακα, οὐκ ἔγνων τὴν ἡμέραν τοῦ τεϑνάναι με· [3]νῦν οὖν ἆρον δὴ τὰ σὰ σκεύη, τήν τε σὴν φαρέτραν καὶ τὸ σὸν τόξον, ἔξιϑί τε πρὸς τὸ πεδίον καὶ ϑήρασαί μοι ϑήραν· [4]ποίησόν τ' ἐμοὶ ἐδέσματα καϑάπερ ἠγάπησα, καὶ ἔνεγκόν μοι, φάγομαί ϑ' ὡς ἂν εὐλογήσῃ σε ἡ ἐμὴ ψυχὴ πρὶν ἂν

---

24. τὸν σοῦ σπόρον c. cd. ed. 29. εὐλογητὸς ὁ ὀντ.] בָּרוּךְ pro בְּרוּךְ. Ita et XXIV, 31. 30. ἑσ[τίασιν] corr. εἰλαπίνην cod. Ed. εἰλ. 34. μὴν in ras. τὴν ἰεουδίδα corr. ἰεουδίδα cod. χιτίου (ut ed.) bis corr. χητίου cod.
XXVII. 1. ἐσαύην] sic cod., non ἐσ. ut ed. Cf. Mor. ad XXXV, 30. Prol. I, 2, i. 4. [ἔνεγκ]όν ex corr. cod.

τεθναίην. [5]ῥιβεκὰ δ' ἤκουεν ἐν τῷ διαλέγεσθαι ἰσχάκην πρὸς ἐσαύην τὸν ἑαυτοῦ υἱόν. ἀπῆλθεν οὖν ἐσαύης ἐς τὸ πεδίον θηράσασθαι θήραν ὡς ἐνέγκαι· [6]ῥιβεκὰ δ' ἔφη πρὸς ἰακῶβον τὸν ἑαυτῆς υἱὸν τῷ φάναι· θεῶ πέπυσμαι τὸν σὸν πατέρα διαλεγόμενον πρὸς ἐσαύην τὸν σὸν ἀδελφὸν τῷ φάσκειν· [7]ἔνεγκόν μοι θήραν, ποίησόν τέ μοι ἐδέσματα, καὶ ἔδομαι, εὐλογήσω τέ σε πρόσθεν τοῦ ὀντωτοῦ πρὸ τοῦ τεθνάναι με. [8]νῦν τοίνυν, υἱεῦ ἐμέ, πυθοῦ ἐν τῇ ἐμῇ φωνῇ ἧπερ ἐγὼ κελεύω σοι· [9]ἄπιθι δὴ πρὸς τὸ ποίμνιον λάβε τέ μοι ἐκεῖθεν δύο ἐρίφω αἰγῶν χρηστώ, ποιήσω τ' αὐτὰ ἐδέσματα τῷ σῷ πατρὶ καθάπερ φιλεῖ· [10]οἴσεις τε τῷ πατρί σου, καὶ ἔδεται, χάριν οὗπερ εὐλογήσει σε πρὸ τοῦ τεθνάναι ἕ. [11]ἔφη δ' ἰακῶβος πρὸς ῥιβεκὰν τὴν ἑαυτοῦ μητέρα· θεῶ ἐσαύης οὑμὸς ἀδελφὸς ἀνὴρ τριχώδης, ἐγὼ δ' ἀνὴρ λεῖος· [12]ἴσως ψηλαφήσει με πατὴρ ὁ ἐμός, τελέσω τ' ἐν ὄμμασίν οἱ ὡς ἀπατεών· οἴσω γοῦν ἐπ' ἐμὲ κατάραν, οὐ μὴν εὐλογίαν. [13]ἔφη δέ οἱ ἡ κείνου μήτηρ· ἐπ' ἐμοῦ ἡ σὴ κατάρα, υἱεῦ ἐμέ· μόνον πυθοῦ ἐν τῇ φωνῇ μου καὶ ἄπιθι λάβε μοι. [14]ἀπῆλθεν οὖν ἔλαβέ τε καὶ ἤγαγε τῇ ἑαυτοῦ μητρί· κἀποίησεν ἡ κείνου μήτηρ ἐδέσματα καθάπερ ἐφίλει ὁ κείνου πατήρ. [15]ἔλαβέ τε ῥιβεκὰ τὰς περιβολὰς ἐσαύου τοῦ ταύτης υἱέως τοῦ μείζονος τὰς ἐφετάς, τὰς παρ' ἑαυτῇ οἴκοι, καὶ περιέβαλεν ἰακῶβον τὸν ταύτης υἱὸν τὸν ἥττω· [16]τά τε δέρματα τῶν ἐρίφων τῶν αἰγῶν περιέβαλεν ἐπὶ ταῖν ἐκείνου χεροῖν κἀπὶ τοῦ μέρους τοῦ κείνου αὐχένος· [17]ἔδωκέ τε τὰς ἐδωδὰς καὶ τὸν ἄρτον ὃν ἐποίησεν ἐν χειρὶ ἰακώβου τοῦ κείνης υἱέως. [18]ἀφῖκται γοῦν πρὸς τὸν ἑαυτοῦ πατέρα καὶ εἶπε· πάτερ ἐμέ. ἔφη δέ· πάρειμι· τίς εἶ, υἱεῦ ἐμέ; [19]καὶ εἶπεν ἰακῶβος πρὸς τὸν ἑαυτοῦ πατέρα· ἔγωγ' ἐσαύης ὁ σὸς πρωτότοκος, ἐποίησα καθὰ διείλεξαι πρός με· ἔγειραι δὴ καθέσθητι καὶ φάγε πρὸς τῆς ἐμῆς θήρας, ὡς ἂν εὐλογήσῃ με ἡ σὴ ψυχή. [20]ἔφη δ' ἰσχάκης πρὸς τὸν ἑαυτοῦ υἱόν· τί τόδε ἐτάχυνας εὑρεῖν, υἱεῦ ἐμέ; ἔφη δέ· ὅτι ξυνεβίβασεν ὁ ὀντωτὴς ὁ σὸς θεὸς ἐνώπιόν

---

5. ἰσ. corr. ἐσαύην cod. 6. ἑαυτῆς cod., non ἑαυτοῦ ut ed. τὸν σοῦ πατέρα c. ed. ed. 7. ἔνεγκε corr. ἔνεγκον cod. 9. πατρὶ cod., compendio usitatissimo, non πατέρι ut ed. Item v. sq. 12. ἀπατεών ex corr. cod. Antea πλανῶν scriptum erat. 13. ἐπὶ μοῦ corr. ἐπ' ἐμοῦ cod. 18. πατὲρ c. ed. ed. 19. φάγε cod., non φαγὲ ut ed. Cf. Prol. I, 4, c.

μου. [21]ἔφη γοῦν ἰσχάκης πρὸς ἰακῶβον· ἔγγισον δὴ καὶ ψηλαφήσω σε, υἱεῦ ἐμέ, ἆρ' εἶ οὗτος ὁ ἐμὸς υἱεὺς ἐσαύης εἴτε μή. [22]ἤγγισεν οὖν ἰακῶβος πρὸς ἰσχάκην τὸν ἑαυτοῦ πατέρα, κἀψηλάφησέν ἑ κἄφη· ἡ φωνὴ φωνὴ ἰακώβου, τὼ δὲ χεῖρε χεῖρε ἐσαύου. [23]οὔκουν ἐπέγνω ἑ· ὑπηρξάτην γὰρ τὼ χεῖρέ οἱ κατὰ τὼ χεῖρε ἐσαύου τοῦ ἀδελφοῦ οἱ τριχώδη. τοιγαροῦν εὐλόγησέν ἑ, [24]καὶ εἶπεν· σὺ ὁδὶ οὑμὸς υἱεὺς ἐσαύης; εἶπεν οὖν· ἔγωγε. [25]καὶ εἶπεν· ἔγγισόν μοι καὶ ἔδομαι πρὸς τῆς θήρας τοῦ ἐμοῦ υἱέως, ὡς ἂν εὐλογήσῃ σε ἡ ἐμὴ ψυχή. ἤγγισεν οὖν οἱ, καὶ ἔφαγεν· ἤνεγκέ τέ οἱ οἶνον, καὶ ἔπιεν. [26]ἔφη γοῦν πρὸς αὐτὸν ἰσχάκης ὁ αὐτοῦ πατήρ· ἔγγισον δὴ καὶ φίλησόν με, υἱεῦ ἐμέ. [27]ἤγγισε τοίνυν κἀφίλησέν ἑ· ὤσφρατο γοῦν τῆς ὀδμῆς τῶν ἐνδυμάτων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν ἔφη τε· ἄθρει ἡ ὀδμὴ τοῦ ἐμοῦ υἱέως ὡς ὀδμὴ ἀγροῦ, ὃν εὐλόγησεν αὐτὸν ὁ ὀντωτής. [28]δοίη τέ σοι ὁ θεὸς πρὸς τῆς δρόσου τοῦ οὐρανοῦ πρός τε τῶν πιοτήτων τῆς γῆς, πλῆθός τε σίτου καὶ γλεύκους· [29]δουλεύσαιέν σοι λαοὶ καὶ προσκυνήσαιέν σοι ἔθνη· τέλει κύριος τοῦ σοῦ ἀδελφοῦ, καὶ προσκυνήσαιέν σοι υἱεῖς σῆς μητρός· οἱ καταρώμενοί σοι κατάρατος, οἱ δ' εὐλογοῦντές σε εὐλογημένος. [30]ὑπῆρξε δ' ἐπείπερ ἐτελεύτησεν ἰσχάκης εὐλογῶν τὸν ἰακῶβον, ὑπῆρξέ τε μόνον ἐξῆλθεν ἰακῶβος ἀπὸ προσώπου ἰσχάκου τοῦ ἑαυτοῦ πατρὸς, ἐσαύης θ' ὁ κείνου ἀδελφὸς ἀφῖκται πρὸς τῆς ἑαυτοῦ θήρας. [31]κἀποίησεν ἔτι κεῖνος ἐδέσματα καὶ ἤνεγκε τῷ πατρί οἱ, κἄφη τῷ πατρί οἱ· ἐγηγέρθω πατὴρ ὁ ἐμὸς φαγέτω τε πρὸς τῆς θήρας τοῦ ἑαυτοῦ υἱέως, ὡς ἂν εὐλογήσῃ με ἡ σὴ ψυχή. [32]ἔφη δέ οἱ ἰσχάκης ὁ αὐτοῦ πατήρ· τίς εἶ; εἶπεν οὖν· ἔγωγ' ὁ σὸς υἱεύς, πρωτότοκος ὁ σὸς ἐσαύης· [33]τέτρομε τοίνυν ἰσχάκης τρόμῳ μεγάλῳ μέχρι τωνάγαν ἔφη τε· τίς ποῦ κεῖνος ὁ τεθηραμένος θήραν, ἤνεγκε δέ μοι, κἄφαγον πρὸς παντὸς πρὶν ἀφίκοιο, καὶ εὐλόγησά ἑ; ἔτιπερ εὐλογημένος ἔστω. [34]κατὰ τὸ ἀκούειν ἐσαύης τοὺς λόγους τοῦ πατρὸς αὐτοῦ, κέκραγέ τε κραυγὴν μεγάλην καὶ πικρὰν ἄχρι τωνάγαν, ἔφη τε

---

24. ἐσαύης] sic hoc loco cod. Cf. not. ad v. 1. καὶ εἶπεν corr. εἶπεν οὖν cod. 29. τοῦ σοῦ ἀδελφοῦ] לְאָחִיךָ pro לַאֲחֶיךָ. Item LXX. 30. ἐξῆλθεν] יָצָא om. 31. ἐποίησέ τε κἀκεῖνος (ut ed.) corr. κἀποίησεν ἔτι κεῖνος cod. 33. μέχρις ἄγαν corr. μεχριτωνάγαν cod. 34. κέκραγέ τε in ras. ἄχρι τῶν ἄγαν corr. ἄχριτωνάγαν (sic) cod. Cf. Prol. I, 4, d.

τῷ ἑαυτοῦ πατρί· εὐλόγησόν με ἔτι ἐμέ, πάτερ ἐμέ. [35] ἔφη δέ· ἀφῖκται ὁ σὸς ἀδελφὸς ἐν δόλῳ κἄλαβε τὴν σὴν εὐλογίαν. [36] ἔφη γοῦν· ἆρ' ὅτι κέκληται τοὔνομά οἱ ἰακῶβος, ἐπτέρνισέ τέ με τοδὶ δίς; τὴν ἐμὴν πρωτοτοκίαν ἔλαβεν, ἰδού τε νῦν ἔλαβε τὴν ἐμὴν εὐλογίαν. ἔφη τε· μῶν οὐκ ἐξείλου μοι εὐλογίαν; [37] ἀπεκρίνατο δ' ἰσχάκης ἔφη τε τῷ ἐσαύῃ· Θεῶ κύριον τέϑεικά ἑ σοῦ, ξύμπαντάς τε τοὺς αὐτοῦ ἀδελφοὺς ἔδωκά οἱ εἰς οἰκέτας, σίτῳ τε καὶ γλεύκει ἐστήριξά ἑ· σοὶ τοίνυν ποῦ τί ποιήσω, υἱεῦ ἐμέ; [38] ἔφη δ' ἐσαύης πρὸς τὸν ἑαυτοῦ πατέρα· ἆρ' εὐλογία μία τελεῖ σοι, πάτερ ἐμέ; εὐλόγησόν με ἔτιπερ ἐμέ, πάτερ ἐμέ. καὶ ἦρεν ἐσαύης τὴν ἑαυτοῦ φωνὴν καὶ ἔκλαυσεν. [39] ἀπεκρίνατο γοῦν ἰσχάκης ὁ κείνου πατὴρ ἔφη τε πρὸς ἐκεῖνον· ἰδοὺ πρὸς τῶν πιοτήτων τῆς γῆς τελοίη ἡ σὴ καϑέδρα, πρός τε τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωϑεν· [40] ἐπί τε τῷ σῷ ξίφει βιώσῃ, καὶ τῷ σῷ ἀδελφῷ δουλεύσεις· ἔσται δ' ὅτε καϑελεῖς, διελεῖς τε τὸν ἐκείνου ζυγὸν ἄνωϑεν τοῦ σοῦ αὐχένος. [41] ἤχϑηρε τοίνυν ἐσαύης τὸν ἰακῶβον ἐπὶ τῇ εὐλογίᾳ ἣν εὐλόγησεν ἐκεῖνον ὁ κείνου πατήρ· ἔφη τ' ἐσαύης ἐν καρδίᾳ οἱ· ἐγγιοῦσιν αἱ ἡμέραι τοῦ πένϑους τοῦ ἐμοῦ πατρὸς, ἀνελῶ τ' ἰακῶβον τὸν ἀδελφόν μου. [42] ἤγγελται δὲ ῥιβεκᾷ τὰ ῥήματα ἐσαύου τοῦ ταύτης υἱέως τοῦ μείζονος, κἄπεμψεν ἐκάλεσέ τ' ἰακῶβον τὸν υἱὸν ἑαυτῆς τὸν ἥττω κἄφη πρὸς ἐκεῖνον· ἰδοὺ ἐσαύης ὁ σὸς ἀδελφὸς παραμυϑεῖταί σοι ὥστ' ἀνελεῖν σε· [43] νῦν οὖν, υἱεῦ ἐμὲ, πυϑοῦ ἐν τῇ ἐμῇ φωνῇ καὶ ἔγειρε ἀπόδραϑι σαυτῷ πρὸς λαβᾶνα τὸν ἐμὸν ἀδελφὸν ἐς χαρᾶνα, [44] καϑεδῇ τε ξὺν ἐκείνῳ ἡμέραις τισὶν, ἔστ' ἂν ἀποστραφείη ὁ χόλος τοῦ σοῦ ἀδελφοῦ· [45] μέχρι τοῦ ἐστράφϑαι τὸν ϑυμὸν τοῦ σοῦ ἀδελφοῦ πρὸς σοῦ, καὶ ἐπιλάϑοιτο ὧν ἐποίησας αὐτῷ, πέμψω τε καὶ λήψομαί σε ἐκεῖϑεν. τοῦ χάριν ἀτεκνωϑήσομαι καὶ ἀμφοῖν ὑμῖν ἡμέρᾳ μιᾷ; [46] τοιγαροῦν ἔφη ῥιβεκὰ πρὸς ἰσχάκην· ἐστένωμαι ἐν τῇ ἐμῇ βιοτῇ πρὸς τοῦ προσώπου τῶν ϑυγατέρων χέϑου· ἢν λαμβάνῃ ἰακῶβος γυναῖκα πρὸς τῶν ϑυγατέρων χέϑου κατὰ ταύτας, πρὸς τῶν ϑυγατέρων τῆς γῆς,

---

38. Invito codice ed. sic distinguit: πάτερ; ἐμὲ εὐλόγ. κτλ. De linea omissa cf. Prol. I, 2, b. 40. βιώσῃ ex corr. cod. Ed. βιώσῃς δουλεύσῃς c. cod. ed. κατ(?) corr. καϑελεῖς cod. 41. ἤχϑηρε, non ἔχϑ., cod. τε [ἰακ.] corr. τ' cod. Item v. sq. 46. ϑυγατέρων] ita sine dubio intelligi oportet compendium et hic (ter) et XXVIII, 1 sq. Ed. quater ϑυγατρῶν, semel (XXVIII, 2) ϑυγατέρων

XXVIII. τοῦ χάριν μοι βιοτή; [1]ἐβόησεν ἰσχάκης πρὸς ἰακῶβον, εὐλόγησέ τ' αὐτὸν, κἀκέλευσέν οἱ κἄφη οἱ· οὐ λήψῃ γυναῖκα πρὸς τῶν θυγατέρων κεναᾶνος· [2]ἔγειραι σαυτῷ πρὸς παδᾶνα ἀράμου οἴκαδε βεθουέλου τοῦ πατρὸς τῆς σῆς μητρὸς, λάβε τε σαυτῷ ἐκεῖθεν γυναῖκα πρὸς τῶν θυγατέρων λαβᾶνος τοῦ ἀδελφοῦ τῆς σῆς μητρός. [3]θεὸς δ' ὁ κραταιὸς εὐλογήσαι σε καὶ αὔξοι σε πληθύνοι τέ σε, καὶ εἴης εἰς ἐκκλησίαν λεῶν· [4]δοίη τέ σοι τὴν εὐλογίαν ἀβραάμου, σοὶ τῷ τε σῷ σπέρῳ ξὺν σοί, ὡς κληρώσαιο σὺ τὴν γῆν τῆς σῆς παροικίας ἣν ἔδωκεν ὁ θεὸς τῷ ἀβραάμῃ. [5]κἄπεμψεν ἰσχάκης τὸν ἰακῶβον· ἀπῆλθέ τ' εἰς παδᾶνα ἀράμου πρὸς λαβᾶνα τὸν υἱὸν βεθουέλου τοῦ ἀραμίου, τοῦ ἀδελφοῦ ῥιβεκᾶς τῆς μητρὸς ἰακώβου καὶ ἐσαύου. [6]τεθέαται δ' ἐσαύης ὅτιπερ εὐλόγησεν ἰσχάκης τὸν ἰακῶβον ἔπεμψέ τε κεῖνον παδᾶναδε ἀράμου ὡς λάβοι ἑαυτῷ ἐκεῖθεν γυναῖκα, ἐν τῷ εὐλογεῖν αὐτὸν ἐκεῖνον, ἐκέλευσέ τ' ἐπ' αὐτοῦ τῷ φάναι· οὐ λήψῃ γυναῖκα πρὸς τῶν θυγατέρων τοῦ κεναᾶνος· [7]ἤκουσέ τ' ἰακῶβος πρὸς τὸν ἑαυτοῦ πατέρα πρός τε τὴν ἑαυτοῦ μητέρα, καὶ ἀπῆλθε παδᾶναδε ἀράμου. [8]τεθέαται γοῦν ἐσαύης ὡς πονηραὶ αἱ θυγατέρες κεναᾶνος ἐν ὄμμασιν ἰσχάκου τοῦ αὐτοῦ πατρός· [9]ἀπῆλθεν οὖν ἐσαύης πρὸς ἰσμαέλον, ἔλαβέ τε μαχαλάθην τὴν θυγατέρα ἰσμαέλου τοῦ υἱέως ἀβραάμου, τὴν ἀδελφὴν νεβαιώθου, ἐπὶ ταῖς ἑαυτοῦ γυναιξὶν ἑαυτῷ εἰς γυναῖκα.

μερίς [10]Ἐξῆλθε δ' ἰακῶβος ἀπὸ τοῦ φρέατος τοῦ ἑβδόμου, καὶ ἀπῆλθε χαρᾶναδε· [11]κατήντησέ τ' ἐν τῷ τόπῳ, καὶ ἀπῆλθεν ἐκεῖσε· ἔδυνε γὰρ ὁ ἥλιος· ἔλαβέ τε πρὸς τῶν λίθων τοῦ τόπου κἄθηκε προσκεφάλαιά οἱ, καὶ ἀνακέκλιται ἐν τῷ τόπῳ κείνῳ. [12]ὠνείρωξε δὲ, καὶ θεῶ κλίμαξ ἵστατο ἐς γῆν, ἡ δ' ἐκείνης κεφαλὴ ἔφθανεν οὐρανόνδε· αὐτίκα θ' οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον κατέβαινόν τ' ἐν αὐτῇ· [13]ἰδού θ' ὁ ὀντωτὴς ἵστατο ἐπ' αὐτῆς ἔφη τε· ἔγωγ' ὁ ὀντωτὴς ὁ θεὸς ἀβραάμου τοῦ σοῦ πατρὸς

XXVIII. 1. ἐβόησεν] copula per negligentiam videtur omissa (וַיִּקְרָא). 3. αὔξοι] ita, ni fallor, ex corr. cod. Ed. αὐξάνοι 4. δοίη in rasura. 7. ἑαυτοῦ (2) cod., non αὐτοῦ ut ed. 8 sq. τοῦ αὐτοῦ — πρὸς in margine, tum ἰσμαέλον linea ineunte in rasura habet cod. Cf. Prol. I, 2, b. 11. καὶ ἀπῆλθεν] וַיֵּלֶךְ pro וַיָּלֶן

ϑεός τ' ἰσχάκου· τὴν γῆν ᾗ σὺ ἀνακλίνῃ ἐπ' αὐτῆς, σοὶ δώσω ταύτην τῷ τε σῷ σπέρματι. [14]τελέσει τε τὸ σὸν σπέρμα κατὰ τὸν χοῦν τῆς γῆς, τενεῖς τ' ἐς ϑάλατταν ἔς τ' ἀνατολὰς καὶ ἄρκτουσδε καὶ νότονδε· καὶ εὐλογηϑήσονται ἐν σοὶ πᾶσαι φρῆτραι τῆς γῆς κἀν τῷ σῷ σπέρματι. [15]ϑεῶ τ' ἐγὼ ξὺν σοί, φυλάξω τέ σε ἐν πᾶσιν οἷς πορεύσῃ, καὶ ἀποστρέψω σε πρὸς τὴν γῆν τηνδί· οὐ γὰρ παρήσω σε μέχρις οὗπερ εἰ ποιήσαιμι ἅττα διείλεγμαί σοι. [16]διύπνισται δ' ἰακῶβος πρὸς τοῦ ὕπνου οἱ καὶ εἶπεν· ὄντως ἔστιν ὁ ὀντωτὴς ἐν τῷ τόπῳ τῳδί, ἐγὼ δ' οὐκ ἔγνων. [17]ἔδεισεν οὖν, ἔφη τε· τί φοβερὸς ὁ τόπος ὁδί; οὐκ ἔστιν ὁδὶ εἰ μὴ δόμος ϑεοῦ, καὶ οὗτος ἡ πύλη τοῦ οὐρανοῦ. [18]ὤρϑρισε δ' ἰακῶβος ἐν ἕῳ, κἄλαβε τὸν λίϑον ὃν ἔϑηκε προσκεφάλαιά οἱ κἄϑηκεν ἐκεῖνον βωμόν, ἐκένωσέ τ' ἔλαιον ἐπὶ τῆς ἐκείνου κεφαλῆς. [19]κέκληκέ τε τοὔνομα τοῦ τόπου κείνου δόμον ϑεοῦ· ὄντως δὲ λεπτοκάρυον τοὔνομα τῆς πόλεως τοπρῶτον. [20]εὔξατο δ' ἰακῶβος εὐχὴν τῷ φάναι· εἴπερ ὁ ὀντωτὴς ὁ ϑεὸς ξὺν ἐμοί, τηρήσειέ τέ με ἐν τῇ ὁδῷ τῃδὶ ᾗπερ ἐγὼ βαδίζω, καὶ δοίη μοι ἄρτον φαγεῖν καὶ περιβόλαιον ἐνδυϑῆναι, [21]ὑποστρέψαιμί τ' ἐν εἰρήνῃ πρὸς τὸν δόμον τοῦ ἐμοῦ πατρός, ἔσται τοίνυν ὁ ὀντωτής μοι εἰς ϑεόν· [22]καὶ ὁ λίϑος ὁδί, ὃν ἔϑηκα βωμόν, τελέσει δόμος ϑεοῦ· πᾶν ϑ' ὅπερ δώσεις μοι τῷ δεκατίζειν δεκατιῶ σοι. [1]ἦρέ τ' ἰακῶβος τὼ πόδε οἱ καὶ ἀπῆλϑεν ἐς γῆν υἱέων ἀνατολῶν. [2]τεϑέαται γοῦν, αὐτίκα τε φρέαρ ἐν τῷ πεδίῳ, ϑεῶ τ' ἐκεῖ τρία ποίμνια προβάτων σηκούμενα ἐπ' αὐτοῦ· πρὸς γὰρ τοῦ φρέατος κείνου ποτίζοιεν τὰ ποίμνια· ὁ δὲ λίϑος μέγας ἐπὶ τοῦ στομίου τοῦ φρέατος. [3]ξυναϑροίζοιντο δ' ἐκεῖ πάντα τὰ ποίμνια, κυλίοιέν τε τὸν λίϑον ἄνωϑεν τοῦ στομίου τοῦ φρέατος, ποτίζοιέν τε τὰ πρόβατα, κἀπιστρέφοιεν τὸν λίϑον ἐπὶ τοῦ στομίου τοῦ φρέατος εἰς τὸν αὐτοῦ τόπον. [4]ἔφη δ' αὐτοῖς ἰακῶβος· ἀδελφοί μου, πόϑεν ἐστέ; κἄ-

XXIX.

---

14. τενεῖς cod., non τελεῖς ut ed. ἄρκτονδε c. cd. ed. 15. [εἰ ποιήσ]αιμι ex corr. cod., non ἂν ποιήσω ut ed. 16. ἐγρη[γόρησε] corr. διύπνισται cod. Male ed. ὕπνισται 18. βῆμα corr. βωμὸν 19. ὄντως δὲ ex corr. cod. τὸ πρῶτον c. cd. ed. 20. εὔξατο cod., non ηὖξ. ut ed. ὁ ὀντωτής] יְהֹוָה pro יֱהֹוִה τηρήσῃ c. cd. ed.

XXIX. 1. ποδέ οἱ ed. At cod. habet πόδέ οἱ. Cf. Prol. I, 4, b. 3. ξυναϑροίζοντο c. cd. ed. [πάν]τα τὰ ποίμνια in ras. itemque κἀπιστρ[έφοιεν]

φησαν· ἀπὸ χαρᾶνός ἐσμεν. [5]ἔφη τ' αὐτοῖς· ἆρ' ἔγνωτε λαβᾶνα τὸν υἱὸν ναχῶρος; καὶ εἶπον· ἔγνωμεν. [6]ἔφη τε σφίσιν· ἆρ' εἰρήνη οἱ; εἶπον οὖν· εἰρήνη, αὐτίκα τε ῥαχέλη ἡ κείνου θυγάτηρ ἀφῖκται ξὺν τῷ ποιμνίῳ. [7]καὶ εἶπεν· ἰδοὺ ἔτι ἡ ἡμέρα μεγάλη, οὐ καιρὸς ξυναχθῆναι τὸ κτῆμα· ποτίσατε τὸ ποίμνιον καὶ ἄπιτε νέμετε. [8]ἔφησαν δέ· οὐχ ἕξομεν ἄχρις ἂν συναθροισθῶσι πάντα τὰ ποίμνια, κυλίσωσί τε τὸν λίθον ἄνωθεν τοῦ στομίου τοῦ φρέατος, καὶ ποτίσωμεν τὰ πρόβατα. [9]ἔτι κείνου διαλεγομένου ξὺν ἐκείνοις, ῥαχέλη τ' ἀφῖκται ξὺν τῷ ποιμνίῳ τῷ τοῦ ταύτης πατρός· ἐποίμαινε γὰρ ἐκείνη. [10]ὑπῆρξε δ' ἐπείπερ εἶδεν ἰακῶβος ῥαχέλην τὴν θυγατέρα λαβᾶνος τοῦ ἀδελφοῦ τῆς ἑαυτοῦ μητρὸς, τό τε ποίμνιον λαβᾶνος τοῦ ἀδελφοῦ τῆς ἑαυτοῦ μητρὸς, ἤγγισεν οὖν ἰακῶβος ἐκύλισέ τε τὸν λίθον ἄνωθεν τοῦ στομίου τοῦ φρέατος, κἀπότισε τὸ ποίμνιον λαβᾶνος τοῦ ἀδελφοῦ τῆς ἑαυτοῦ μητρός. [11]ἐφίλησέ τ' ἰακῶβος τὴν ῥαχέλην, ἦρέ τε τὴν ἑαυτοῦ φωνὴν καὶ ἔκλαυσεν. [12]ἤγγειλέ τ' ἰακῶβος τῇ ῥαχέλῃ ὡς ἀδελφὸς τοῦ πατρὸς ταύτης ἐτύγχανεν, ὅτι θ' υἱεὺς ῥιβεκᾶς ἐτέλει· ἔδραμεν οὖν ἤγγειλέ τε τῷ ταύτης πατρί. [13]ὑπῆρξε δ' ἐν τῷ ἀκοῦσαι λαβᾶνα τὴν ἀκοὴν ἰακώβου τοῦ υἱέως τῆς αὐτοῦ ἀδελφῆς, ἔδραμέ τ' εἰς ὑπάντησιν αὐτοῦ, καὶ περιεπτύξατό ἑ ἐφίλησέ τέ ἑ, καὶ ἤγαγέν ἑ πρὸς τὸν οἶκον ἑαυτοῦ. διηγήσατο γοῦν τῷ λαβᾶνι ξύμπαντα τὰ πράγματα τάδε. [14]ἔφη δέ οἱ λαβάν· μόνον ὀστοῦν μοι σάρξ τέ μοι σύ. ἐκαθέσθη γοῦν σὺν ἐκείνῳ μηνὶ ἡμερῶν. [15]ἔφη δὲ λαβὰν τῷ ἰακώβῳ· ὄντως ἀδελφὸς ἐμὸς τελεῖς, δουλεύσεις οὖν μοι χάριν; ἄγγειλόν μοι τί τὸ σὸν μίσθωμα. [16]ἴσχε δὲ λαβὰν δύο θυγατέρε· ὄνομα τῇ μείζονι λεὰ, ὄνομα δὲ τῇ ἥττονι ῥαχέλη. [17]τὼ δ' ὀφθαλμὼ τῆς λεᾶς ἀπαλώ· ῥαχέλη δ' ἐτύγχανεν ὡραία τὴν ὄψιν καλή τε τὴν θέαν. [18]ἠγάπησε τοίνυν ἰακῶβος τὴν ῥαχέλην, ἔφη τε· θητεύσω σοι ἑπτὰ ἔτεσιν ἐν ῥαχέλῃ τῇ σῇ θυγατρὶ τῇ ἥττονι. [19]ἔφη δὲ λαβάν· βέλτιον δοῦναί με ταύτην σοὶ τοῦ δοῦναί με ταύτην ἀνδρὶ ἑτέρῳ· καθέσθητι ξὺν ἐμοί. [20]τοιγαροῦν ἐθήτευσεν ἰακῶβος ἐν ῥαχέλῃ ἑπτὰ ἔτεσιν· ὑπῆρξαν δ' ἐν ὄμμασίν οἱ καθ' ἡμέρας ὀλίγας ἐν τῷ φιλεῖν ἐκεῖνον

---

10. ἑαυτοῦ bis (l. 2) ex corr. (pro αὐτοῦ ut ed.) cod. 11. τε ἰαχ. c. ed. ed. 13. ἐν τῷ ἀκοῦσαι] בִּשְׁמֹעַ pro כִּשְׁמֹעַ γοῦν τῷ cod., non γ' αὐτῷ ut ed. 15. ὄντως] *itane est quod*.. (הֲכִי)? Cf. XXVII, 36.

ἐκείνην. [21] ἔφη τοίνυν ἰακῶβος πρὸς λαβᾶνα· δὸς τὴν ἐμὴν γυναῖκα, καὶ γὰρ πεπλήρωνται αἱ ἐμαὶ ἡμέραι, ἐλεύσομαί τε πρὸς αὐτήν. [22] ἤϑροισεν οὖν λαβὰν ξύμπαντας τοὺς ἄνδρας τοῦ τόπου κἀποίησε δαῖτα. [23] ὑπῆρξε δ' ἐν ἑσπέρᾳ, κἄλαβε λεὰν τὴν ἑαυτοῦ ϑυγατέρα καὶ ἤγαγε ταύτην πρὸς ἐκεῖνον, ἥκει τε πρὸς αὐτήν. [24] ἔδωκέ τε λαβὰν ταύτῃ ζιλεφὰν τὴν οἰκέτιν ἑαυτοῦ, λεᾷ τῇ ϑυγατρί οἱ οἰκέτιν. [25] ὑπῆρξε δ' ἐν ἕῳ, ϑεῶ τ' ἦν λεά. τοιγαροῦν ἔφη πρὸς λαβᾶνα· τί τόδ' ἐποίησάς μοι; μῶν οὐκ ἐν ῥαχέλῃ τεϑήτευκα ξὺν σοί; τοῦ τοίνυν χάριν ἠπάτησάς με; [26] καὶ εἶπε λαβάν· οὐ πεποιήϑεται τῇδε ἐν τῷ ἡμετέρῳ τόπῳ, δοῦναι τὴν ἥττω πρὸ τῆς πρωτοτόκου· [27] πλῆσον τὴν ἑβδομάδα ταύτην, δώσω τέ σοι ἔτι ταύτην ἐν τῇ ϑητείᾳ ᾗ ϑητεύσεις παρ' ἐμοὶ ἔτιπερ ἑπτὰ ἔτεσιν ἑτέροις.

[28] Ἐποίησεν οὖν ἰακῶβος οὕτω, κἄπλησε τὴν ἑβδομάδα ταύτην· ἔδωκέ τέ οἱ ῥαχέλην τὴν ἑαυτοῦ ϑυγατέρα αὐτῷ εἰς γυναῖκα. [29] κἄδωκε λαβὰν ῥαχέλῃ τῇ ϑυγατρί οἱ βιλεχὰν τὴν ἰδίαν οἰκέτιν ταύτῃ εἰς οἰκέτιν. [30] ἀφῖκται γοῦν ἔτι πρὸς ῥαχέλην· ἐφίλησε δ' ἔτι τὴν ῥαχέλην ὑπὲρ τὴν λεάν· κἀϑήτευσε ξὺν ἐκείνῳ ἔτι γ' ἑπτὰ ἔτεσιν ἑτέροις. [31] εἶδε δ' ὁ ὀντωτὴς ὅτιπερ ἐμισεῖτο λεά, καὶ ἀνέῳξε τὸν ταύτης νηδύν· ῥαχέλη δὲ στεῖρα. [32] ἐκύησεν οὖν λεὰ τέτοκέ ϑ' υἱόν, ἐκάλεσέ τε τοὔνομά οἱ ῥεουβένην· ἔφη γάρ· ὅτι τεϑέαται ὁ ὀντωτὴς ἐν τῇ ἐμῇ ταπεινώσει· νῦν γὰρ φιλήσει με ὁ ἐμὸς ἀνήρ. [33] κἀκύησεν ἔτι τέτοκέ ϑ' υἱὸν, καὶ εἶπεν· ὅτι ἤκουσεν ὁ ὀντωτὴς ἐπειδὴ μισουμένη τελῶ, κἄδωκέ μοι ἔτι τονδί· κέκληκε τοίνυν τοὔνομά οἱ συμεῶνα. [34] κἀκύησεν ἔτι τέτοκέ ϑ' υἱόν, ἔφη τε· νῦν ἅπαξ ξυναφϑήσεται οὑμὸς ἀνὴρ πρός με, τέτοκα γάρ οἱ τρεῖς υἱεῖς· διὸ κέκληκε τοὔνομά οἱ λευῖνα· [35] κἀκύησεν ἔτι τέτοκέ ϑ' υἱόν, ἔφη τε· ἅπαξ ὁμολογήσω τὸν ὀντωτήν· ὅϑεν ἐκάλεσε τοὔνομά οἱ ἰεουδάην. ἔστη τε πρὸς τοῦ τίκτειν.

---

23. τὴν λεὰν (ut ed.) corr. λεὰν cod. 24. τὴν ζιλεφὰν (falso ed. ζιλφ.) corr. ζιλεφὰν 25. ἦν cod., non οὖν ut ed. 27. δώσω τε] וְאֶתְּנָה (ut Sam.) pro וְנִתְּנָה. Consentiunt LXX. Syr. Hieron. Saad. 28. τὴν ῥαχέλην (ut ed.) corr. ῥαχέλην cod. 30. κἀφίλησεν corr. ἐφίλησε δ' cod. Perperam ed. κἀφίλησε δ' 34. ἔφη τε νῦν, ἅπαξ] sic c. ed. distinguit ed. 35. ἅπαξ postea supplet cod. Cf. Prol. I, 2, c. ἰεούδ. corr. ἰεουδάην cod. τῷ τίκτειν c. cd. ed.

XXX. [1]εἶδε μέντοι ῥαχέλη ὡς οὐκ ἔτεκεν ἰακώβῳ, κἀζήλω ῥαχέλη ἐν τῇ ἑαυτῆς ἀδελφῇ, κἄφη πρὸς ἰακῶβον· δός μοι υἱεῖς· εἰ δὲ μὴ, θνήσκω ἐγώ. [2]ὤργισται γοῦν ὁ θυμὸς ἰακώβου ἐς ῥαχέλην ἔφη τε· μῶν ἀντὶ τοῦ θεοῦ τελῶ, ὃς ἐπέσχε πρὸς σοῦ καρπὸν κοιλίας; [3]ἔφη γοῦν· θεῶ θεραπαινὶς ἡ ἐμὴ βιλεχὰ, ἄφιξο πρὸς αὐτήν· τέξεται δ' ἐπὶ τῶν ἐμῶν γονάτων, τεκνωθήσομαί τε κἀγὼ πρὸς αὐτῆς. [4]ἔδωκεν οὖν οἱ βιλεχὰν τὴν ἑαυτῆς οἰκέτιν εἰς γυναῖκα, καὶ ἥκει πρὸς ἐκείνην ἰακῶβος. [5]ἐκύησεν οὖν βιλεχὰ τέτοκέ τε τῷ ἰακώβῳ υἱόν. [6]ἔφη γοῦν ῥαχέλη· κέκρικέ με ὁ θεὸς, ἔτι τ' ἐπήκουσε τῆς ἐμῆς φωνῆς ἔδωκέ τέ μοι υἱόν· διὸ κέκληκε τοὔνομά οἱ δᾶνα. [7]κἀκύησεν ἔτι τέτοκέ τε βιλεχὰ ἡ οἰκέτις ῥαχέλης υἱὸν δεύτερον τῷ ἰακώβῳ. [8]κἄφη ῥαχέλη· ἀντιστροφαῖς θεοῦ ἀντέστραμμαι ξὺν τῇ ἐμῇ ἀδελφῇ, ἔτι δεδύνημαι· κέκληκε τοίνυν τοὔνομα κείνου ναφεταλῖνα. [9]τεθέαται δὲ λεὰ ὡς ἔστη πρὸς τοῦ τίκτειν, ἔλαβεν οὖν ζιλφὰν τὴν ἑαυτῆς οἰκέτιν κἄδωκε ταύτην ἰακώβῳ τῷ ἑαυτῆς ἀνδρί. [10]τέτοκε τοίνυν ζιλφὰ ἡ οἰκέτις λεᾶς τῷ ἰακώβῳ υἱόν. [11]ἔφη τε λεά· ἥκει στράτευμα· κέκληκε γοῦν τοὔνομά οἱ γάδον. [12]τέτοκέ τε ζιλφὰ ἡ οἰκέτις λεᾶς υἱὸν δεύτερον τῷ ἰακώβῳ. [13]κἄφη λεά· ἐν τῷ μακαρίζειν με, μακαριοῦσι γάρ με θυγατέρες· ἐκάλεσέ τε τοὔνομά οἱ ἀσέρον. [14]ἀπῆλθε δὲ ῥεουβένης ἐν ἡμέραις ἀμητοῦ πυρῶν εὗρέ τε μανδραγόρας ἐν τῷ πεδίῳ, καὶ ἤνεγκεν αὐτοὺς πρὸς λεὰν τὴν ἑαυτοῦ μητέρα· ἔφη δὲ ῥαχέλη πρὸς λεάν· δὸς δή μοι πρὸς τῶν μανδραγόρων τοῦ σοῦ υἱέως. [15]ἔφη δὲ ταύτῃ· ἆρ' ὀλίγον τὸ λαβεῖν σε τὸν ἐμὸν ἄνδρα, λήψῃ δ' ἔτι τοὺς μανδραγόρας τοῦ ἐμοῦ υἱέως; ἔφη γοῦν ῥαχέλη· διατάδε ἀνακλιθήτω ξὺν σοὶ τῇ νυκτὶ ἀντὶ τῶν μανδραγόρων τοῦ σοῦ υἱέως. [16]ἀφῖκται γοῦν ἰακῶβος πρὸς τοῦ πεδίου ἐν τῇ ἑσπέρᾳ, κἀξῆλθε λεὰ εἰς ὑπάντησιν ἐκείνου κἄφη· πρός με ἐλεύσῃ, τῷ γὰρ μισθοῦσθαι μεμίσθωμαί σε ἐν τοῖς μανδρα-

---

XXX. 1. κἀζήλω, non κἀζήλου, cod. 4. Ante βιλεχὰν expunctum τὴν. Ed. τὴν βιλ. οἰκέτην c. cd. ed. 6. δὲ (ut ed.) corr. γοῦν cod. τὴν ἐμὴν φωνὴν (ut ed.) corr. τῆς ἐμῆς φωνῆς cod. 7. οἰκέτης c. cd. ed. 9. ἑαυτῆς (2) ex corr (pro ταύτης) cod. 11. ἥκει στράτευμα] lect. marg. (בָּא גָד) exprimit. 14. ἀμητοῦ, non ἀμ., cod. Cf. VIII, 22. μανδραγόρων, non μανδραγορῶν, cod. Item v. sq. 15. διατάδε] cf. XVIII, 5. 16. πρὸς ἐκείνην corr. πρός με cod. ἐλεύσῃ cod., non εἰσελ. ut ed. τῷ (ex corr.) cod., non τὸ ut Mor. ait. τοῖς cod., non ταῖς ut ed.

γόραις τοῦ ἐμοῦ υἱέως. ἀνακέκλιται γοῦν σὺν ἐκείνῃ τῇ νυκτὶ κεῖνος. [17]πέπυσται δ' ὁ θεὸς πρὸς λεάν, ἐκύησέ τε κἄτεκε τῷ ἰακώβῳ υἱὸν πέμπτον. [18]ἔφη τε λεά· δέδωκεν ὁ θεὸς τὸν ἐμὸν μισθὸν οἷς ἔδωκα τὴν ἐμὴν οἰκέτιν τῷ ἐμῷ ἀνδρί· κέκληκε τοίνυν τοὔνομά οἱ ἰσασχάρην. [19]κἀκύησεν ἔτι λεὰ τέτοκέ θ' υἱὸν ἕκτον τῷ ἰακώβῳ. [20]κἄφη λεά· κεχορήγηκέ μοι ὁ θεὸς ἐμοὶ χορήγημα χρηστόν· νῦν μενεῖ μοι ὁ ἐμὸς ἀνήρ, τέτοκα γάρ οἱ ἓξ υἱέας. κέκληκέ τε τοὔνομά οἱ ζεβουλούνης. [21]εἶτ' ἔτεκε θυγατέρα, κέκληκέ τε τὸ κείνης ὄνομα δινά. [22]ἐμνήσθη δ' ὁ θεὸς τῆς ῥαχέλης· ἤκουσέ τε πρὸς ἐκείνην ὁ θεός, ἀνέῳξέ τε τὴν ἐκείνης νηδύν· [23]κἀκύησεν ἔτεκέ θ' υἱόν, καὶ εἶπε· ξυνήγαγεν ὁ θεὸς τοὐμὸν ὄνειδος. [24]κέκληκε τοίνυν τοὔνομά οἱ ἰωξέφην τῷ φάσκειν· προσθήσει ὁ ὀντωτής μοι υἱὸν ἕτερον. [25]ὑπῆρξε δ' ἐπεὶ τέτοκε ῥαχέλη τὸν ἰωξέφην, ἔφη γοῦν ἰακῶβος πρὸς λαβᾶνα· πέμψον με καὶ ἀπελεύσομαι πρὸς τὸν ἐμὸν τόπον εἴς τε τὴν ἐμὴν γῆν. [26]δὸς τὰς ἐμὰς γυναῖκας τά τ' ἐμὰ τέκνα, οἷς ἐθήτευσά σοι ἐν αὐτοῖς, ἀπελεύσομαι γοῦν· σὺ γὰρ ἔγνως τὴν ἐμὴν θητείαν ἣν ἐθήτευσά σοι. [27]κἄφη πρὸς ἐκεῖνον λαβάν· εἰ δὴ εὗρον χάριν ἐν ὄμμασί σοι· φώνισμαι, εὐλόγησέ τέ με ὁ ὀντωτὴς χάριν σοῦ. [28]ἔφη τοίνυν· τύπωσον τὸν σὸν μισθὸν ἐπ' ἐμοῦ, καὶ δώσω. [29]ἔφη δὲ πρὸς αὐτόν· σὺ ἔγνως ᾗπερ ἐθήτευσά σοι καὶ ᾗπερ ἐτέλεσε τὸ σὸν κτῆμα ξὺν ἐμοί· [30]ὀλίγον γὰρ ὅπερ ἴσχες πρὸ ἐμοῦ, ἔτεινε δ' ἐς πλῆθος, εὐλόγησέ θ' ὁ ὀντωτής σε τῷ ἐμῷ ποδί. νῦν οὖν πότε ποιήσω κἀγὼ τῷ ἐμῷ δόμῳ; [31]ἔφη γοῦν· τί δώσω σοι; καὶ εἶπεν ἰακῶβος· οὐ δώσεις μοι ὁτιοῦν· ἢν ποιήσῃς μοι τὸ πρᾶγμα τοδί, στραφήσομαι νεμῶ τὸ σὸν ποίμνιον, φυλάξω· [32]διαβήσομαι ἐν ἅπαντι τῷ σῷ ποιμνίῳ τήμερον· ἄφελε ἐκεῖθεν πᾶν ἀρνίον ἐστιγμένον πολύχρουν τε καὶ πᾶν ἀρνίον μέλαν ἐν ἀμνάσι πολύχρουν τε κἀστιγμένον ἐν αἰξί, τελέσει τε μισθὸς ἐμός. [33]ἀποκρινεῖται δ' ἐν ἐμοὶ ἡ ἐμὴ δικαιοσύνη ἐν ἡμέρᾳ τῇ αὔριον, ἐλεύ-

---

κείνη corr. κεῖνος cod. Ed. κείνη   17. κἄτεκεν corr. κἄτεκε   20. μενεῖ μοι cod., non μὲν ἐμοὶ ut ed.   27. φώνισμαι] Amm. „Legendum ὤνισμαι ab ὄνημι". Minime gentium. Forma rarior est (pro οἰώνισμαι) ab οἰωνίζομαι. Cf. XLIV, 5. 15. Lev. XIX, 26.   30. εἰς ἐμὸν δόμον corr. τῷ ἐμῷ δόμῳ cod.   31. ποιήσεις c. cd. ed.   32. ἀρνίον bis cod., non ἄρνιον ut Mor. ait.

σεται γὰρ ἐπὶ μισϑὸν ἐμὸν ἐνώπιόν σου· πᾶν ὅπερ οὐκ ἔστιν ἐστιγμένον πολύχρουν τ' ἐν αἰξὶ καὶ μέλαν ἐν ἀμνάσι, κεκλεμμένον τελεῖ παρ' ἐμοί. [34]καὶ εἶπε λαβάν· αὐτίκα εἴϑε τελοίη κατὰ τὸν σὸν λόγον. [35]ἀφεῖλε τοίνυν ἐν τῇ ἡμέρᾳ κείνῃ τοὺς τράγους τοὺς πεπεδημένους τούς τε πολύχρους καὶ ξυμπάσας αἶγας τὰς ἐστιγμένας καὶ τὰς πολύχρους, ἅπαν ᾧ λευκὸν ἐν αὐτῷ καὶ πᾶν μέλαν ἐν προβάτοις, ἔδωκέ τ' ἐν χειρὶ τῶν ἑαυτοῦ υἱέων. [36]ἔϑετό ϑ' ὁδὸν τριῶν ἡμερῶν ἀν' ἑαυτὸν κἀνὰ ἰακῶβον· ἰακῶβος δ' ἔνεμε τὸ ποίμνιον λαβᾶνος τῶν λοιπῶν. [37]ἔλαβε δ' ἑαυτῷ ἰακῶβος ῥάβδον κέδρου ὑγρὰν, λεπτοκαρύας τε καὶ καστάνου, κἀλέπισεν ἐν αὐταῖς λεπίσματα λευκὰ, ἀποφλοίωσιν τοῦ λευκοῦ τοῦ ἐπὶ τῶν ῥάβδων. [38]ἔστησέ τε τὰς ῥάβδους ἃς ἐλέπισεν ἐν τοῖς ὀχετοῖς ἐν τοῖς πίστροις τῶν ὑδάτων, οἷς ἀφικνοῖντο τὰ ποίμνια πίνειν, ἀντικρὺ τοῦ ποιμνίου· ἐϑερμάνϑησαν οὖν ἐν τῷ ἀφικνεῖσϑαι ταῦτα πίνειν. [39]καὶ τεϑέρμανται τὰ ποίμνια πρὸς ταῖς ῥάβδοις, ἔτεκόν τε τὰ πρόβατα πεπεδημένα, στικτὰ καὶ πολύχροα. [40]τά τε πρόβατα διέστειλεν ἰακῶβος, ἔδωκέ τε τὸ πρόσωπον τοῦ προβάτου πρὸς πεπεδημένον καὶ πᾶν μέλαν ἐν τῷ ποιμνίῳ λαβᾶνος· κἄϑηκεν ἑαυτῷ ποίμνια μόνῳ οἱ, οὔκουν ἔϑηκεν αὐτὰ ἐπὶ τοῦ ποιμνίου λαβᾶνος. [41]ὑπῆρξε δ' ἐν πάσῃ πυρώσει τοῦ ποιμνίου τῶν δεδεμένων, ἐτίϑει τ' ἰακῶβος τὰς ῥάβδους ἐς ὄμματα τοῦ ποιμνίου ἐν τοῖς ὀχετοῖς, ὡς πυροίη κεῖνο ἐν ταῖς ῥάβδοις. [42]ἐν δὲ τῷ ὑστερεῖν τὸ ποίμνιον, οὐ τιϑείη· ὑπῆρξαν οὖν τὰ ὑστεροῦντα τῷ λαβᾶνι, τὰ δεδεμένα δὲ τῷ ἰακώβῳ. [43]κἄτεινεν ὁ ἀνὴρ ἄγαν ἄγαν· ὑπῆρξάν τέ οἱ πρόβατα πολλὰ καὶ οἰκέτιδες καὶ οἰκέται κάμηλοί τε καὶ ὄνοι.

XXXI. [1]πέπυσται δὲ τοὺς λόγους τῶν υἱέων λαβᾶνος τῷ φάσκειν· ἔλαβεν ἰακῶβος ξύμπαντα τὰ τοῦ ἡμετέρου πατρὸς, πρός τε τῶν τοῦ ἡμετέρου πατρὸς ἐποίησε ξύμπασαν τὴν δόξαν τηνδί. [2]ἑώρακέ τ' ἰακῶβος τὸ πρόσωπον λαβᾶνος, ϑεῷ τ' οὐκ ἦν ξὺν αὐτῷ ὡς χϑὲς πρότριτα. [3]ἔφη τε ὁ ϑεὸς πρὸς ἰακῶβον· ὑπόστρεψον πρὸς τὴν γῆν τῶν σῶν πατέρων πρός

33. μέλας c. cd. ed. 37. δ' ἰακ. corr. δ' ἑαυτῷ ἰακ. cod. λεπτοκαρύου corr. λεπτοκαρύας cod., non versa vice. Cf. XXXV, 6. XLVIII, 3. 40. τὸ πεπεδ. (ut ed.) corr. πεπεδημένον cod. οὐ μὴν corr. οὔκουν 41. πυροίη cod., non πυροῦν ut ed.

XXXI. 3. ϑεὸς] אֱלֹהִים pro יְהוָֹה (ὀντωτής).

τε τὴν σὴν πατρίδα, καὶ τελέσω ξὺν σοί. [4]τοιγαροῦν ἔπεμψεν ἰακῶβος ἐκάλεσέ τε ῥαχέλην καὶ λεὰν ἐς τὸν ἀγρὸν πρὸς τὸ ποίμνιον αὐτοῦ, [5]ἔφη τε ταύταιν· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ σφωϊτέρου πατρὸς ὡς οὐκ ἔστι πρός με ὡς χϑὲς πρότριτα· ὁ δὲ ϑεὸς τοῦ ἐμοῦ πατρὸς ὑπῆρξε σὺν ἐμοί· [6]σφῶϊ τ' ἔγνωτον ὅτιπερ ἐν πάσῃ ἐμῇ ἰσχύϊ ἐϑήτευσα τῷ σφωϊτέρῳ πατρί. [7]πατὴρ δ' ὁ σφωΐτερος ἐδολιεύσατο εἰς ἐμὲ καὶ ἤμειψε μίσϑωμα τοὐμὸν δεκάκις· οὐ μὴν ἔδωκέν οἱ ὁ ϑεὸς κακῶσαι παρ' ἐμοί. [8]εἰ τῇδε φαίη· τὰ στικτὰ τελέσει μισϑός σοι, τέκοιεν οὖν πάντα τὰ πρόβατα στικτά· εἴτε τῇδε φαίη· τὰ πεπεδημένα τελέσει μισϑός σοι, τέκοιέν τε πάντα τὰ πρόβατα πεπεδημένα· [9]ἀφεῖλεν οὖν ὁ ϑεὸς τὸ κτῆμα τοῦ σφωϊτέρου πατρὸς ἔδωκέ τ' ἐμοί. [10]ὑπῆρξέ τ' ἐν καιρῷ τοῦ πυροῦσϑαι τὰ πρόβατα, ἦρά τε τὼ ἐμὼ ὀφϑαλμὼ τεϑέαμαί τ' ἐν ὀνείρῳ, αὐτίκα ϑ' οἱ τράγοι οἱ ἀνιόντες ἐπὶ τὸ ποίμνιον πεπεδημένοι, στικτοὶ καὶ χαλαζωτοί. [11]κἄφη πρός με ἄγγελος τοῦ ϑεοῦ ἐν ὀνείρῳ· ἰακῶβε. κἄφην· ὡδὶ τελῶ. [12]ἔφη γοῦν· ἆρον δὴ τὼ σὼ ὀφϑαλμὼ, ϑέασαί τε πάντας τοὺς τράγους τοὺς ἀνιόντας ἐπὶ τὸ ποίμνιον πεπεδημένους, ἐστιγμένους καὶ χαλαζωτούς· τεϑέαμαι γὰρ ξύμπανϑ' ἅττα λαβὰν ποιεῖ σοι. [13]ἔγωγ' ὁ ϑεὸς δόμου ϑεοῦ ᾧπερ ἔχρισας ἐκεῖ βωμὸν, ᾧπερ ὑπέσχησαί μοι ἐκεῖ ὑπόσχεσιν· νῦν ἔγειραι πρὸς τῆς γῆς τησδὶ καὶ ὑπόστρεψον πρὸς τὴν γῆν τῆς σῆς πατρίδος. [14]ἀπεκρινάσϑην οὖν ῥαχέλη καὶ λεὰ κἀφήτην αὐτῷ· μῶν ἔτι νῶϊν μερὶς κληρονομία τ' ἐν οἴκῳ τοῦ νωϊτέρου πατρός; [15]μῶν οὐχ ὡς ἀλλοτρία λελογίσμεϑον αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, ἐδήδοκέ τ' ἔτι τῷ ἔδειν τὸν νωΐτερον ἄργυρον. [16]ἐπεὶ πᾶς ὁ ὄλβος ὃν ἀφεῖλεν ὁ ϑεὸς πρὸς τοῦ νωϊτέρου πατρὸς, νῶϊν τελεῖ τοῖς τε νῷν υἱέσι· νῦν οὖν πᾶν ὅπερ εἶπεν ὁ ϑεὸς πρὸς σὲ ποίησον. [17]ἐγήγερται τοίνυν ἰακῶβος ἦρέ τε τοὺς υἱεῖς ἑαυτοῦ τάς ϑ' ἑαυτοῦ γυναῖκας ἐπὶ τῶν καμήλων, [18]ὡδήγησέ τε ξύμπαν τὸ κείνου κτῆμα ξύμπασάν τε τὴν ἑαυτοῦ περιουσίαν ἣν περιεποιήσατο, κτῆμα, κτῆσιν ἑαυτοῦ ἣν περιεποιήσατο ἐν παδᾶνι ἀράμου, ὡς ἀφικνοῖτο πρὸς ἰσχάκην

6. ἠϑήτευσα cod. Cf. Prol. I, 2, a. 7. ἤμειψε ex corr. (pro ἤλλαξε?) cod. 10. καίρῳ c. cd. ed. 13. ἔγειραι] ℵ*ⁱ om. 14. κἀφήτην, non κἀφάτην, cod. Cf. XXXIV, 31. XLII, 31. κληρον. τε c. cd. ed. 16. ϑεὸς (2) cod., non ὀντωτὴς ut ed. 18. [ξύμ]πασάν in ras. ὡς ἀφικνοῖτο cod., non καὶ ἀφικνεῖτο ut ed.

τὸν ἑαυτοῦ πατέρα ἐς γῆν κεναᾶνος. [19]λαβὰν δ' ἀπῆλθε κείρειν τὸ ποίμνιον ἑαυτοῦ· ὑφείλετό τε ῥαχέλη τὰς εἰκόνας τὰς τοῦ κείνης πατρός. [20]ἔκλεψέ τ' ἰακῶβος τὴν καρδίαν λαβᾶνος τοῦ ἀραμίου, ἐφοῖς ἥκιστ' ἤγγειλέν οἱ ὡς ἀποδιδράσκει αὐτός. [21]ἀπέδρα τοίνυν αὐτὸς πάντα τε τὰ αὐτοῦ, κἀγήγερται καὶ πεπεραίωται τὸν ποταμὸν, ἔθετό τε τὸ πρόσωπόν οἱ ὄρος γιλεάδου. [22]ἤγγελται δὲ λαβᾶνι ἐν ἡμέρᾳ τῇ τρίτῃ ὡς ἀπέδρα ἰακῶβος· [23]ἔλαβεν οὖν τοὺς ἀδελφοὺς ἑαυτοῦ ξὺν ἑαυτῷ κᾀδίωξε κατόπιν ἐκείνου ὁδῷ ἑπτὰ ἡμερῶν· κεκόλληται δέ οἱ ἐν ὄρει τοῦ γιλεάδου· [24]ἥκει δ' ὁ θεὸς πρὸς λαβᾶνα τὸν ἀράμιον ὄναρ τῇ νυκτὶ κἄφη οἱ· τετήρησο σαυτῷ μήπως διαλεχθῇς ξὺν ἰακώβῳ πρὸς χρηστοῦ μέχρι δεινοῦ. [25]πέφθακεν οὖν λαβὰν τὸν ἰακῶβον· ἰακῶβος δ' ἔπηξε τὴν ἑαυτοῦ σκηνὴν ἐν τῷ ὄρει, λαβάν τ' ἔπηξε τοὺς ἀδελφοὺς ἑαυτοῦ ἐν τῷ ὄρει τοῦ γιλεάδου. [26]κἄφη λαβὰν τῷ ἰακώβῳ· τί πεποίηκας κἄκλεψας τὴν ἐμὴν καρδίαν, ἀπήγαγές τε τὰ ἐμὰ θυγατέρε ὡς αἰχμαλωτίδε ξίφει; [27]τοῦ χάριν ἐκρύβης ὥστ' ἀποδράναι κἄκλεψάς με, οὔτ' ἤγγειλάς μοι, κἄπεμψά σε ξὺν χαρᾷ ἔν τ' ᾠδαῖς, ἐν τυμπάνῳ κἀν κιθάρᾳ, [28]οὔτ' εἴασάς με φιλῆσαι τοὺς ἐμοὺς υἱεῖς τάς τ' ἐμὰς θυγατέρας; νῦν ἠφρονεύσω ποιῶν. [29]ἔστι τῷ θεῷ χεὶρ ἡ ἐμὴ ποιεῖν σὺν ὑμῖν δεινόν· ὁ δὲ θεὸς τοῦ ὑμετέρου πατρὸς χθὲς ἔφη πρός με τῷ φάναι· τετήρησο σαυτῷ πρὸς τοῦ διειλέχθαι ξὺν ἰακώβῳ πρὸς χρηστοῦ μέχρι δεινοῦ. [30]καὶ νῦν τῷ ἀπιέναι ἀπῆλθες, ἐπεὶ τῷ ποθεῖν ἐπόθησας ἐς δόμον τοῦ σοῦ πατρός· τοῦ χάριν ὑφείλου τοὺς ἐμοὺς θεούς; [31]ἀπεκρίνατο δ' ἰακῶβος ἔφη τε λαβᾶνι· ἐπείπερ ἔδεισα· ἔφην γάρ· μήπως ἁρπάσῃς τὰ σὰ θυγατέρε πρὸς ἐμοῦ. [32]παρ' ᾧ εὑρήσεις τοὺς σοὺς θεούς, οὐ ζήσεται ἀντικρὺ τῶν ἡμετέρων ἀδελφῶν· ἐπίγνωθι σαυτῷ τί παρ' ἐμοὶ καὶ λάβε σαυτῷ. οὐ μὴν ἔγνω ἰακῶβος ὅτι ῥαχέλη κέκλοφε σφᾶς. [33]ἀφῖκται γοῦν λαβὰν ἐς τὴν σκηνὴν ἰακώβου ἔς τε τὴν σκηνὴν λεᾶς καὶ ἐς τὴν σκηνὴν ταῖν δυοῖν οἰκετίδοιν, οὐ μὴν εὗρεν· ἐξῆλθε δὲ πρὸς τῆς

---

19. ἔκ[λεψε] corr. ὑφείλετο cod. 20. ἐφοῖς] sic cod. Cf. VI, 3. οὐχ corr. ἥκιστ' (non ἥκιστα ut ed.) cod. ἀποδιδράσκων corr. ἀποδιδράσκει cod. Ed. ἀποδίδρασκεν 25. ἔφθασεν corr. πέφθακεν, non ἔφθακεν ut ed. 27. ἀποδράναι, non ἀποδρᾶναι, cod. 29. κ[ακόν] corr. δεινόν cod. 31. τὰς [σὰς] corr. τὰ σά

σκηνῆς λεᾶς, ἀφῖκται δ' ἐς τὴν σκηνὴν ῥαχέλης. [34]ῥαχέλη δ' εἰλήφει τὰς εἰκόνας κἄθηκεν ἐκείνας ἐν τῷ σάγματι τῆς καμήλου, ἐκαθέσθη τ' ἐπ' αὐτῶν. ἐψηλάφησε δὲ λαβὰν ξύμπασαν τὴν σκηνὴν, οὐ μὴν εὗρεν. [35]ἔφη τε πρὸς τὸν ἑαυτῆς πατέρα· μὴ ὀργισθήτω ἐν ὄμμασι τοῦ ἐμοῦ δεσπότου ὅτιπερ οὐχ ἔξω ἐγερθῆναι ἀπὸ τοῦ σοῦ προσώπου, ὁδὸς γὰρ γυναικῶν ἐμοί. ἠρεύνησεν οὖν, οὐ μὴν εὗρε τὰς εἰκόνας. [36]ὤργισται γοῦν ἰακώβῳ καὶ ἤρισεν εἰς λαβᾶνα· ἀπεκρίνατό τ' ἰακῶβος ἔφη τε λαβᾶνι· τίς ἡ ἐμὴ παράβασις, τίς ἡ ἐμὴ ἁμαρτία, ὅτιπερ ἐδίωξας ἐμοῦ κατόπιν, [37]ὅτιπερ ἐψηλάφησας ξύμπαντα τὰ ἐμὰ σκεύη; τί εὗρες ἐκ πάντων τῶν σκευῶν τοῦ σοῦ δόμου; θὲς ὡδὶ ἀντικρὺ τῶν ἐμῶν ἀδελφῶν τῶν τε σῶν ἀδελφῶν, ἐλέγξουσί τε μεταξὺ νῷν ἀμφοῖν. [38]τοδὶ εἴκοσιν ἔτεσι τελῶ ξὺν σοί· ἀμνάδες σαὶ σαί τ' αἶγες οὐκ ἠτέκνωνται, κριοὺς σῶν προβάτων οὐκ ἐδήδοκα, [39]ἅρπαγμα οὐκ ἤνεγκα πρὸς σέ· ἔγωγε ἀποτιννύοιμι ταῦτα, πρὸς ἐμῆς χειρὸς ζητηθεῖεν, κλαπέν μοι ἡμέρας κλαπέν τέ μοι νυκτός· [40]ἐτέλεσα ἐν ἡμέρᾳ, βέβρωκέ με καύσων, ψύχος τ' ἐν νυκτὶ, πέπτωκέ θ' οὑμὸς ὕπνος πρὸς τοῖν ἐμοῖν ὀφθαλμοῖν. [41]τοδί μοι δέκα ἔτεσιν ἐν τῷ σῷ δόμῳ· ἐθήτευσά σοι τετταρεσκαίδεκα ἔτεσιν ἐν ταῖν δυοῖν σου θυγατέροιν, ἓξ τ' ἔτεσιν ἐν τῷ σῷ ποιμνίῳ· ἤμειψας δὲ τοὐμὸν μίσθωμα δεκάκις. [42]εἰ μὴ ὁ θεὸς τοῦ ἐμοῦ πατρὸς, ὁ θεὸς ἀβραάμου τό τε δέος ἰσχάκου ὑπῆρξέ μοι, ὅτι νῦν κενὸν ἔπεμψάς με· τὴν ἐμὴν ταπείνωσιν τόν τε μόχθον ταῖν ἐμαῖν παλάμαιν ἑώρακεν ὁ θεὸς, ἤλεγξέ τε χθές. [43]ἀπεκρίνατο δὲ λαβὰν κἄφη πρὸς ἰακῶβον· αἱ θυγατέρες ἐμαὶ θυγατέρες, οἵ θ' υἱεῖς υἱεῖς ἐμοί, καὶ τὸ ποίμνιον ἐμὸν ποίμνιον, πάντα θ' ἃ σὺ θεᾷ ἐμοὶ τελεῖ· ταῖν τ' ἐμαῖν θυγατέροιν, τί ποιήσω ταύταιν σήμερον ἢ τοῖς αὐταῖν υἱέσιν οὓς ἐτεκέτην; [44]ἄρτι τε δεῦρο τέμωμεν συνθήκην ἐγὼ σύ τε, τελέσει τ' εἰς μαρτυρίαν ἀν' ἐμὲ κἀνὰ σέ. [45]τοιγαροῦν ἔλαβεν ἰακῶβος λίθον ὕψωσέ τε κεῖνον

---

35. ἑαυτῆς cod., non ἑαυτοῦ ut ed. ἐγερθῆναι ipse cod. itemque ἠρεύνησεν. Cf. Amm. ad h. l. 36. ἰακώβῳ cod., non ἰακῶβος ut ed. 39. ἔγωγε] pro ἀποτιννύοιμι primo formam simplicem (τιννύοιμι) posuit. Alioqui sine dubio ἔγωγ' scripsisset. κλαπέν (1) ex corr. (pro κλοπήν) cod. 40. ἐτέλεσεν corr. ἐτέλεσα cod. ψύχος] hoc accentu utitur. Cf. VIII, 22. 41. δέκα oscitanter pro εἴκοσιν (עֶשְׂרִים) scripsit.

βωμόν. [46]ἔφη τ' ἰακῶβος τοῖς ἀδελφοῖς ἑαυτοῦ· συλλέξατε λίϑους. ἔλαβον οὖν λίϑους κἀποίησαν λιϑάδα· ἔφαγόν τ' ἐκεῖ ἐπὶ τῆς λιϑάδος. [47]ἐκάλεσέ τε κείνη λαβὰν λιϑόσωρος μάρτυς, ἰακῶβος δ' ἐκάλεσε κείνη λιϑὰς μάρτυς. [48]ἔφη τε λαβάν· ἡ λιϑὰς ἡδὶ μάρτυς ἀν' ἐμὲ κἀνὰ σὲ τήμερον· διὸ κέκληκε τοὔνομά οἱ λιϑὰς μάρτυς, [49]καὶ ὁ ἀτενισμὸς, οἷς ἔφη· ἀτενίζοι ὁ ὀντωτὴς ἀν' ἐμὲ κἀνὰ σέ· κρύπτεται γὰρ ἑκάτερος ἀπὸ τοῦ ἑταίρου οἱ. [50]εἰ ταπεινώσειας τὰ ἐμὰ ϑυγατέρε εἴτε λάβοις γυναῖκας ἐπὶ ταῖν ἐμαῖν ϑυγατέροιν, ἥκιστ' ἀνὴρ ξὺν ἡμῖν· ϑεῶ ὁ ϑεὸς μάρτυς ἀν' ἐμὲ κἀνὰ σέ. [51]κἄφη λαβὰν ἰακώβῳ· ἰδοὺ ἡ λιϑὰς ἡδὶ, ἰδού ϑ' ὁ βωμὸς ὃν κατεβαλόμην ἀν' ἐμὲ κἀνὰ σέ· [52]μάρτυς ἡ λιϑὰς ἡδὶ, μάρτυς ϑ' ὁ βωμὸς, εἴπερ ἔγωγ' οὐ διαβησοίμην πρὸς σὲ τὴν λιϑάδα ταύτην εἴτε σὺ μὴ διαβήσοιο πρὸς μὲ τὴν λιϑάδα τηνδὶ τόν τε βωμὸν τουτονὶ εἰς δεινόν. [53]ὁ ϑεὸς ἀβραάμου καὶ ὁ ϑεὸς ναχώρου κρίναιεν ἀνὰ νὼ, ὁ ϑεὸς τῶν ἐκείνων πατέρων. ὤμοσεν οὖν ἰακῶβος ἐν τῷ δέει τοῦ πατρὸς ἑαυτοῦ ἰσχάκου. [54]κἄϑυσεν ἰακῶβος ϑυσίαν ἐν τῷ ὄρει, κέκληκέ τε τοὺς ἀδελφοὺς ἑαυτοῦ φαγεῖν ἄρτον· ἔφαγον οὖν ἄρτον, κἄμειναν ἐν τῷ ὄρει. XXXII. [1]ὤρϑρισε δὲ λαβὰν ἐν ἕῳ κἀφίλησε τοὺς υἱέας ἑαυτοῦ τάς ϑ' ἑαυτοῦ ϑυγατέρας, εὐλόγησέ τ' ἐκείνους· ἀπῆλϑέ τε καὶ ὑπέστρεψε λαβὰν εἰς τὸν ἑαυτοῦ τόπον. [2]ἰακῶβος δ' ἀπῆλϑε τῇ ἑαυτοῦ ὁδῷ· ξυνήντησάν τ' ἐν αὐτῷ ἄγγελοι ϑεοῦ. [3]ἔφη δ' ἰακῶβος ἐπεὶ τεϑέαται σφᾶς· στράτευμα ϑεοῦ τοδί· κέκληκε τοίνυν τοὔνομα τοῦ τόπου κείνου στρατόπεδα.

μερίς [4]Ἔπεμψε δ' ἰακῶβος ἀγγέλους πρόσϑεν ἑαυτοῦ πρὸς ἐσαύην τὸν αὐτοῦ ἀδελφὸν ἐς γῆν σεήρου τοῦ πεδίου ἐδώμου, [5]κἀκέλευσεν αὐτοῖς τῷ φάναι· τῇδε ἐρεῖτε τῷ ἐμῷ δεσπότῃ ἐσαύῃ· τῇδ' εἶπεν ὁ σὸς οἰκέτης ἰακῶβος· ξὺν λαβᾶνι παρῴκησα καὶ περιέμεινα μέχρι νῦν· [6]ὑπῆρξέ τέ μοι βοῦς ὄνος τε, πρόβατον, οἰκέτης

---

47. κείνη (1) ex corr. (pro κεῖνον) cod. Ed. κείνην λιϑόσωρος μάρτυς] ita, ni fallor, ex corr. cod., non λιϑόσωρον μάρτυρα ut ed. κείνη (2)] κείνην rursus c. cd. ed. 51. κατεβαλόμεν (sic) c. cd. ed. 52. πρὸς μὲ] ita hoc loco, neque temere, ipse cod. Cf. not. ad IV, 10. 53. νὼ cod., non νῷ ut ed.

XXXII. 2. τε [πρὸς?] corr. τ' ἐν cod. 5. καὶ περιέμεινα in ras.

τε καὶ θεραπαινίς· ἔπεμψά τ' ἀγγεῖλαι τῷ ἐμῷ δεσπότῃ ὥσθ' εὑρεῖν χάριν ἐν ὄμμασί σοι. [7]ὑπέστρεψάν θ' οἱ ἄγγελοι πρὸς ἰακῶβον τῷ φάσκειν· ἀφίγμεθα πρὸς τὸν σὸν ἀδελφὸν πρὸς ἐσαύην, ἔτι τ' ἄπεισιν εἰς ξυνάντησίν σοι, τετρακόσιοί τ' ἄνδρες ξὺν αὐτῷ. [8]πεφόβηται τοίνυν ἰακῶβος ἄγαν, κἀστένωταί οἱ· τοιγαροῦν διεῖλε τὸν λεὼν τὸν ξὺν ἑαυτῷ τό τε ποίμνιον καὶ τὸ βουκόλιον καὶ τὰς καμήλους ἐς δύο στρατοπεδεία, [9]τῷ φάσκειν· ἣν ἀφίκηται ἐσαύης πρὸς τὴν στρατοπεδείαν τὴν μίαν βάλῃ τ' αὐτήν, ἔσται γοῦν στρατοπεδεία ἡ λοιπὴ εἰς ἀπάλλαγμα. [10]ἔφη τ' ἰακῶβος· θεὲ πατρὸς τοῦ ἐμοῦ ἀβραάμου καὶ θεὲ τοῦ ἐμοῦ πατρὸς ἰσχάκου, ὀντωτὰ ὁ εἰπὼν πρός με· ὑπόστρεψον εἰς γῆν τὴν σὴν εἴς τε τὴν σὴν πατρίδα, καὶ ἀγαθυνῶ ξὺν σοί· [11]ἐσμίκρυμμαι πρὸς πάντων τῶν ἐλεῶν, πρὸς πάσης τε τῆς ἀληθείας ἣν ἐποίησας ξὺν τῷ σῷ οἰκέτῃ· ἐν γὰρ ῥάβδῳ μου πεπεραίωμαι τὸν ἰαρδένην τοῦτον, ἄρτι δ' ὑπῆρξα εἰς δύο στρατοπεδεία. [12]ῥῦσαί με δὴ πρὸς χειρὸς τοῦ ἐμοῦ ἀδελφοῦ, πρὸς χειρὸς ἐσαύου· δέδια γὰρ ἔγωγ' αὐτόν, μήπως ἀφίκηται βάλῃ τέ μοι μητέρα ἐφ' υἱέσιν. [13]ἀλλὰ σύ γ' ἔφης· ἀγαθῶς ἀγαθυνῶ ξὺν σοί, θήσω τε τὸν σὸν σπόρον κατὰ τὴν ἄμμον τῆς θαλάττης, ἥπερ οὐκ ἀριθμηθήσεται πρὸς πλήθους. [14]ἔμεινεν οὖν ἐκεῖ ἐν τῇ νυκτὶ κείνῃ· κἄλαβε πρὸς τοῦ ἥκοντος εἰς χεῖρά οἱ δῶρον ἐσαύῃ τῷ ἑαυτοῦ ἀδελφῷ, [15]αἶγας διακοσίας τράγους τ' εἴκοσιν, ἀμνάδας διακοσίας καὶ κριοὺς εἴκοσι, [16]καμήλους θηλαζούσας υἱεῖς τ' αὐτῶν τριάκοντα, δαμάλεις τετταράκοντα ταύρους τε δέκα, ὀνίδας εἴκοσι καὶ πώλους δέκα. [17]κἄδωκεν ἐν χειρὶ τῶν ἑαυτοῦ οἰκετῶν ποίμνιον ποίμνιον μόνον, ἔφη τε πρὸς τοὺς ἰδίους οἰκέτας· διάβητε πρόσθεν ἐμοῦ, διάστημά τε θήσετε ἀνὰ ποίμνιον κἀνὰ ποίμνιον. [18]ἐκέλευσέ τε τῷ πρώτῳ τῷ φάναι· ἐπὰν ξυναντήσαιτε ἐσαύῃ τῷ ἀδελφῷ μου, ἔροιτο δ' ὑμᾶς τῷ φάναι· τίνος εἶ ποῖ τε πορεύσῃ, τίνος τε ταδὶ πρόσθεν σου; [19]φήσεις γοῦν· τοῦ σοῦ οἰκέτου ἰακώβου, δῶρόν ἐστι

8. διεῖλε in ras. στρατοπεδεῖα c. cd. ed. Item v. 11. 9. τῷ φάσκειν] לֵאמֹר pro וַיֹּאמֶר 10. θεὲ (bis) ex corr. (pro ὁ θεὸς) cod. Item ὀντωτὰ (pro ὁ ὀντωτής). 12. ῥύσ (?) corr. ῥῦσαι cod. 13. καθὰ c. cd. ed. ἄμμον] sic cod. Cf. XXII, 17. ἀριθμηθήσηται c. cd. ed. 14. ἔμ[εινεν] ex corr. (pro ἀπ[ῆλθεν]? Cf. XXVIII, 11) cod. 15. εἴκοσι καὶ (ut ed.) corr. εἴκοσιν cod. 18. τί θ' corr. τίνος τε, ni fallor. Ed. τί τε 19. οὖν corr. γοῦν cod.

πεμφθὲν τῷ ἐμῷ δεσπότῃ ἐσαύῃ, ἔτι κεῖνος κατόπιν ἡμῶν. [20]ἐκέλευσέ τ' ἔτι. τῷ δευτέρῳ ἔτι τῷ τρίτῳ ἔτι ξύμπασι τοῖς πορευομένοις κατόπιν τῶν ποιμνίων τῷ φάσκειν· κατὰ τὸν λόγον τοῦτον διαλέξεσθε πρὸς ἐσαύην ἐν τῷ εὑρεῖν ὑμᾶς αὐτὸν, [21]καὶ φήσετε· ἔτι αὐτίχ' ὁ σὸς οἰκέτης ἰακῶβος κατόπιν ἡμῶν. ἔφη γάρ· εὐμενιῶ τὸ κείνου πρόσωπον ἐν δώρῳ τῷ πορευομένῳ πρόσθεν ἐμοῦ, μετέπειτά τ' ὄψομαι τὸ κείνου πρόσωπον· ἴσως ἀρεῖ πρόσωπον τοὐμόν. [22]διέβη τοίνυν τὸ δῶρον ἐπὶ προσώπου οἱ· κεῖνος δ' ἔμεινεν ἐν τῇ νυκτὶ κείνῃ ἐν τῇ στρατοπεδείᾳ. [23]ἐγήγερται δ' ἐν τῇ νυκτὶ κείνῃ κἄλαβε τὰ δύο ἑαυτοῦ γυναῖκε τά τε δύο οἰκέτιδ' ἑαυτοῦ καὶ τὰ ἑνκαίδεκα ἑαυτοῦ τέκνα, καὶ διέβη τὴν διάβασιν ἰαβόκου. [24]κἄλαβε ταῦτα πεπεραίωκέ τ' αὐτὰ τὸν χειμάρρουν, πεπεραίωκέ τε τὰ ἑαυτοῦ. [25]περιλέλειπται δ' ἰακῶβος μόνος· ἐπάλαισέ τ' ἀνὴρ σὺν αὐτῷ μέχρι τοῦ ἀναβαίνειν τὸν ὄρθρον. [26]εἶδ' ὡς οὐ δεδύνηταί οἱ, ἔψαυσεν οὖν ἐν τῇ κοτύλῃ τοῦ κείνου μηροῦ· μετέστη θ' ἡ κοτύλη τοῦ μηροῦ ἰακώβου ἐν τῷ παλαίειν αὐτὸν ξὺν ἐκείνῳ. [27]κἄφη· πέμψον με, ἀνέβη γὰρ ὁ ὄρθρος. ἔφη δέ· οὐ πέμψω σε ἀλλ' εὐλόγησάς με. [28]κἄφη πρὸς αὐτόν· τί τὸ σὸν ὄνομα; καὶ εἶπεν· ἰακῶβος. [29]εἶπεν οὖν· οὐκ ἰακῶβος ῥηθήσεται ἔτι τὸ σὸν ὄνομα ἀλλ' ἰσραέλος· ἦρξας γὰρ σὺν θεῷ καὶ σὺν ἀνθρώποις καὶ ἴσχυσας. [30]ἤρετό τ' ἰακῶβος ἔφη τε· ἄγγειλον δὴ τοὔνομά σου. ἔφη δέ· τοῦ χάριν τοδὶ ἐρήσῃ εἰς τοὐμὸν ὄνομα; εὐλόγησε δ' αὐτὸν ἐκεῖ. [31]κέκληκέ τ' ἰακῶβος τοὔνομα τοῦ τόπου πρόσωπον θεοῦ· τεθέαμαι γὰρ θεὸν προσώπῳ πρὸς πρόσωπον, ἐρρύσθη γοῦν ἡ ἐμὴ ψυχή. [32]ἀνέτειλέ τέ οἱ ὁ ἥλιος ἐπειδήπερ διεληλύθει τὸ πρόσωπον τοῦ θεοῦ· κἀτύγχανε χωλαίνων ἐπὶ τοῦ ἰδίου μηροῦ. [33]διόπερ οὐκ ἔδοιντο οἱ υἱεῖς ἰσραέλου τὸ νεῦρον τὸ ἐπιλελησμένον, τὸ ἐπὶ τῆς κοτύλης τοῦ μηροῦ, μέχρι τῆς ἡμέρας τησδί· καὶ γὰρ ἔθιξεν ἐν τῇ κοτύλῃ τοῦ μηροῦ ἰακώβου ἐν νεύρῳ τῷ ἐπιλελησμένῳ.

XXXIII. [1]ἦρε δ' ἰακῶβος τὼ ὀφθαλμώ οἱ, τεθέαται γοῦν, αὐτίκα τ' ἐσαύης ἀφῖκται καὶ τετρακόσιοι ἄνδρες. διεῖλε δὲ τὰ τέκνα ἐπὶ λεᾶς ἐπί τε ῥαχέλης

---

23. δυοκαίδεκα (ut ed.) corr. ἑνκαίδεκα (sic) cod. Cf. XXXVII, 9. Deut. I, 2.
26. δεδύνηται ex corr. cod. ἔψαυσεν in ras. 27. εὐλόγησαι c. cd. ed.
32. ἐπείδηπερ c. cd. ed.

XXXIII. 1. καὶ τετρ. ἄνδρες] עִמּוֹ om.

κἀπὶ ταῖν δυοῖν οἰκετίδοιν· [2]ἔϑηκέ τε τὰ οἰκέτιδε καὶ τὰ κείναιν τέκνα πρῶτον, τὴν δὲ λεὰν τά τε κείνης τέκνα ἑπόμενα, τὴν μέντοι ῥαχέλην καὶ τὸν ἰωξέφην ἐσχάτω. [3]κεῖνος δὲ διέβη πρόσϑεν αὐτῶν· καὶ προσεκύνησεν ἐς γῆν ἑπτάκις ἄχρι τοῦ ἠγγικέναι ἑ μέχρι τοῦ ἑαυτοῦ ἀδελφοῦ. [4]ἔδραμε δ' ἐσαύης εἰς ξυνάντησίν οἱ, καὶ περιέβαλέν ἑ πέπτωκέ τ' ἐπὶ τοῦ κείνου αὐχένος κἀφίλησέν ἑ· κἀκλαυσάτην. [5]ἦρε δὲ τὼ ὀφϑαλμώ οἱ καὶ εἶδε τὰς γυναῖκας καὶ τὰ τέκνα, κἄφη· τί ταδί σοι; ἔφη δέ· τὰ τέκνα ἃ κεχάρισται ὁ ϑεὸς τῷ σῷ οἰκέτῃ. [6]ἠγγισάτην τε τὰ οἰκέτιδε κείνα καὶ τὰ τέκνα κείναιν, καὶ προσεκύνησαν· [7]ἤγγισέ τ' ἔτι λεὰ τά τε κείνης τέκνα, καὶ προσεκύνησαν· εἶτ' ἤγγισεν ἰωξέφης ῥαχέλη τε, καὶ προσεκυνησάτην. [8]ἔφη γοῦν· τί σοι πᾶν τὸ στράτευμα τοδὶ ᾧ ξυνήντησα; καὶ εἶπεν· ὥσϑ' εὑρεῖν χάριν ἐν ὄμμασι τοῦ ἐμοῦ δεσπότου. [9]ἔφη τ' ἐσαύης· ἔστι μοι πολύ, ἐμὲ ἀδελφέ· εἴη σοι τὸ σόν. [10]ἔφη δ' ἰακῶβος· μὴ δή· εἴπερ δὴ εὗρον χάριν ἐν ὄμμασί σοι, λήψῃ δὲ τοὐμὸν ξένιον πρὸς τῆς ἐμῆς χειρός· ἐπεὶ διατοῦτο τεϑέαμαι τὸ σὸν πρόσωπον ὡς ὄψιν προσώπου ϑεοῦ, καὶ βεβούλησαί μοι. [11]λάβε δὴ τὴν ἐμὴν εὐλογίαν ἥπερ προσφέρεταί σοι· κεχάρισται γάρ μοι ὁ ϑεός, ὅτι τ' ἐστί μοι πᾶν. ἠνάγκασεν οὖν ἐν αὐτῷ, κἄλαβεν. [12]ἔφη τε· μετάρωμεν ἀπίωμέν τε, καὶ ἀπελεύσομαι ἔμπροσϑέν σου. [13]ἔφη δὲ πρὸς αὐτόν· δεσπότης ὁ ἐμὸς οἶδεν ὅτι τὰ παιδία τέρενα, τὸ ποίμνιόν τε καὶ τὸ βουκόλιον ϑηλάζουσιν ἐπ' ἐμοῦ· κατεπείξουσι δὲ ταῦϑ' ἡμέρᾳ μιᾷ, τεϑνήξονται γοῦν πάντα τὰ πρόβατα. [14]διαβήτω δὴ δεσπότης οὑμὸς πρόσϑεν τοῦ οἰκέτου οἱ· ἐγὼ δὲ ϑεραπευϑήσομαι εἰς ἀνάπαυσίν μοι εἰς πόδα τῆς ἐργασίας τῆς ἐπίπροσϑέν μου εἴς τε πόδα τῶν παίδων, ἔστ' ἂν ἀφικοίμην πρὸς δεσπότην τὸν ἐμὸν σεῆρονδε. [15]ἔφη δ' ἐσαύης· στήσω δὴ ξὺν σοὶ πρὸς τοῦ λεὼ τοῦ ξὺν ἐμοί. ἔφη δέ· διατί τόδε; εὕροιμι χάριν ἐν ὄμμασι τοῦ ἐμοῦ δεσπότου. [16]ὑπέστρεψεν οὖν ἐν τῇ ἡμέρᾳ κείνῃ

---

4. κἀφίλησέν ἑ] cf. XIX, 33. 6. ϑ' αἱ οἰκέτιδες corr. τε τὰ οἰκέτιδε cod. **Expressius verba haec in margine iterata erant, sed bibliopegi culpa (cf. Prol. I, 1, d) nihil jam superest nisi** τε προσεκυνησάτην **corr.** προσεκύνησαν **cod.** 8. δὲ **corr.** γοῦν 9. ἔφη τε **c. ed. ed.** 10. διατοῦτο] **sic cod. Cf. XX, 6.** 11. ἔστι μοι **c. ed. ed.** 15. στήσω **in ras.** λεῶ **c. ed. ed, nec solo hoc loco.**

ἐσαύης ἐς τὴν ἰδίαν ὁδὸν σεῆρονδε· [17]ἰακῶβος δὲ μετῆρε καλύβασδε κάδείματο ἑαυτῷ δόμον, τῷ τε κτήματί οἱ ἐποίησε καλύβας· διὸ κέκληκε τοὔνομα τοῦ τόπου καλύβας.

[18]Ἀφῖκται τοιγαροῦν ἰακῶβος σῶος τῇ πόλει σεχέμου τῇ ἐν γῇ τοῦ κεναᾶνος, ἐν τῷ ἀφικνεῖσϑαί ἑ πρὸς παδᾶνος ἀράμου· καὶ καταπέπαυται παρὰ τῷ προσώπῳ τῆς πόλεως. [19]ἐκτήσατό τε τὴν μερίδα τοῦ ἀγροῦ, ἧπερ ἔκλινεν ἐκεῖ τὴν ἰδίαν σκηνὴν, ἀπὸ χειρὸς τῶν υἱέων χαμώρου τοῦ πατρὸς σεχέμου ἐν ἑκατὸν ἀμνάσιν· [20]ἤγειρέ τ' ἐκεῖ ϑυτήριον, κέκληκέ τε κεῖνο ϑεὸν ϑεὸν ἰσραέλου.

XXXIV. [1]Ἐξῆλϑε δὲ δινὰ ἡ ϑυγάτηρ λεᾶς, ἣν ἔτεκεν ἰακώβῳ, ἰδεῖν ἐν ταῖς ϑυγατράσι τῆς γῆς. [2]τεϑέαται γοῦν αὐτὴν σεχέμης ὁ υἱεὺς χαμώρου τοῦ χευαίου, τοῦ ἄρχοντος τῆς γῆς, ἔλαβέ τ' αὐτὴν καὶ ἀνακέκλιται ξὺν αὐτῇ· ἐταπείνωσεν οὖν αὐτήν. [3]κεκόλληταί ϑ' ἡ κείνου ψυχὴ ἐν τῇ δινᾷ τῇ ϑυγατρὶ ἰακώβου, καὶ ἠγάπησε τὴν νέαν ἐκολλήϑη τ' ἐπὶ καρδίας τῆς νέας. [4]ἔφη τοίνυν σεχέμης πρὸς χαμῶρον τὸν ἑαυτοῦ πατέρα τῷ φάναι· λάβε μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα. [5]ἰακῶβός τ' ἤκουσεν ὡς ἐμίηνε δινὰν τὴν αὐτοῦ ϑυγατέρα· οἱ δὲ κείνου υἱεῖς ὑπῆρχον σὺν τῷ κείνου κτήματι ἐν τῷ ἀγρῷ· ἐσίγησεν οὖν ἰακῶβος ἄχρι τοῦ σφᾶς ἀφικέσϑαι. [6]ἐξῆλϑε δὲ χαμῶρος ὁ πατὴρ σεχέμου πρὸς ἰακῶβον διειλέχϑαι ξὺν αὐτῷ. [7]οἵ ϑ' υἱεῖς ἰακώβου ἀφίκοντο πρὸς τοῦ ἀγροῦ ἐν τῷ σφᾶς ἀκηκοέναι, λελύπηνταί ϑ' οἱ ἄνδρες ὤργισταί τε σφίσιν ἐπιεικῶς, ἐπείπερ ἀφροσύνην ἐποίησεν ἐν ἰσραέλῳ τῷ ἀνακλιϑῆναι ξὺν τῇ ϑυγατρὶ ἰακώβου· τῇδε δ' οὐ ποιηϑείη. [8]διείλεκται γοῦν χαμῶρος ξὺν αὐτοῖς τῷ φάναι· σεχέμης οὑμὸς υἱεὺς, ἐπεϑύμησεν ἡ ψυχή οἱ ἐς τὴν ὑμετέραν ϑυγατέρα· δότε δὴ ταύτην αὐτῷ εἰς γυναῖκα. [9]κηδεύσετε γοῦν σὺν ἡμῖν· τὰς ὑμετέρας ϑυγατέρας δώσετε ἡμῖν, τάς ϑ' ἡμετέρας ϑυγατέρας λήψεσϑε ὑμῖν· [10]σὺν ἡμῖν τε καϑεδεῖσϑε, καὶ ἡ γῆ τελέσει ἐνώπιον ὑμῶν· καϑέζεσϑε καὶ ἐμπορεύεσϑε ταύτην καὶ κατέχετε ἐν αὐτῇ. [11]ἔφη τε σεχέμης πρὸς

---

19. χαμο. corr. χαμώρου cod. Item XXXIV, 2. 20. κείνῳ ϑεὸς corr. κεῖνο ϑεὸν cod.

XXXIV. 3. ἐκολλήϑη] וַיִּדְבַּק pro וַיְדַבֵּר; sed cf. paullo superius וַתִּדְבַּק 5. αὐτοῦ cod., non αὑτοῦ ut ed. Nusquam forma hac contracta utitur. 7. ἐν τῷ σφᾶς ἀκηκ.] בְּשָׁמְעָם pro כְּשָׁ. Cf. XXIX, 13.

τὸν ἐκείνης πατέρα, πρὸς τοὺς κείνης ἀδελφούς· εὕροιμι χάριν ἐν ὄμμασιν ὑμῶν, ὅ τ' ἐρεῖτε πρός με δώσω. [12]πληθύνατε ἐπ' ἐμοῦ λίαν ἕδνον δῶρόν τε, καὶ δώσω καθάπερ ἐρεῖτε πρός με, καὶ δότε μοι τὴν νέαν εἰς γυναῖκα. [13]ἀπεκρίναντο δ' οἱ υἱεῖς ἰακώβου τῷ σεχέμῃ χαμώρῳ τε τῷ κείνου πατρὶ ἐν δόλῳ, καὶ διειλέχαται οἷς ἐμίηνε δινὰν τὴν σφῶν ἀδελφήν, [14]ἔφησάν τε πρὸς αὐτώ· οὐχ ἕξομεν ποιῆσαι τὸ πρᾶγμα τοδί, δοῦναι τὴν ἡμετέραν ἀδελφὴν ἀνδρὶ ὃς ἴσχει ἀκροποσθίαν· ὄνειδος γάρ ἐστιν ἡμῖν. [15]μόνον ἐν τῷδε ἐλευσόμεθα ὑμῖν, εἰ τελέσαιτε καθ' ἡμᾶς τῷ περιτμηθῆναι ὑμῖν ἅπαντα ἄρρενα· [16]δώσομέν τε τὰς ἡμῶν θυγατέρας ὑμῖν, τάς θ' ὑμῶν θυγατέρας ληψόμεθα ἑαυτοῖς, καθεδούμεθά τε ξὺν ὑμῖν καὶ τελέσομεν εἰς λεὼν ἕνα. [17]ἢν δὲ μὴ ἀκούσητε πρὸς ἡμᾶς ὡς περιτμηθείητε, ληψόμεθα τὴν ἡμῶν θυγατέρα καὶ ἀπελευσόμεθα. [18]ἠγάθυναν δ' οἱ σφῶν λόγοι ἐν ὄμμασι χαμώρου κἀν ὄμμασι σεχέμου τοῦ υἱέως χαμώρου. [19]οὐθ' ὑπερέθετο ὁ νέος ποιῆσαι τὸ πρᾶγμα, ἤθελε γὰρ ἐς τὴν θυγατέρα ἰακώβου· ἦν τ' ἔνδοξος ἐν ὅλῳ τῷ δόμῳ τοῦ κείνου πατρός. [20]ἀφῖκται γοῦν χαμῶρος καὶ σεχέμης ὁ κείνου υἱεὺς πρὸς τὴν πύλην τῆς σφοῖν πόλεως, καὶ διειλέχαται πρὸς τοὺς ἄνδρας τῆς πόλεως σφοῖν τῷ φάναι· [21]οἱ ἄνδρες οἵδὶ σῶοι τελοῦσι ξὺν ἡμῖν, καθεδοῦνται γοῦν ἐν τῇ γῇ καὶ ἐμπορεύσονται ταύτην, ἡ δὲ γῆ θεῶ εὐρεῖα τὰς χεῖρας ἐνώπιον αὐτῶν· τὰς σφετέρας θυγατέρας ληψόμεθα ἡμῖν εἰς γυναῖκας, τάς θ' ἡμετέρας θυγατέρας δώσομεν σφίσι. [22]μόνον ἐν τῷδε ἐλεύσονται ἡμῖν οἱ ἄνδρες ὡς καθέζοιντο ξὺν ἡμῖν ὥστε τελεῖν λεὼν ἕνα, ἐν τῷ περιτέμνεσθαι ἡμῖν ἅπαντ' ἄρρενα καθάπερ αὐτοὶ περιτέμνονται. [23]τὸ κτῆμα σφῶν ἥ τ' αὐτῶν κτῆσις καὶ πάντα τὰ κτήνη σφῶν, ἆρ' οὐχ ἡμῖν εἰσι; μόνον ἔλθωμεν σφίσι, καὶ καθεδοῦνται ξὺν ἡμῖν. [24]ἤκουσαν οὖν πρὸς χαμῶρον πρός τε σεχέμην ἅπαντες ἐξιόντες τὴν πύλην τῆς κείνου πόλεως, καὶ περιέτεμον ἅπαντ' ἄρρενα, πάντας ἐξιόντας τὴν πύλην τῆς κείνου πόλεως. [25]ὑπῆρξε δ' ἐν ἡμέρᾳ τῇ τρίτῃ

---

13. διειλέχαται cod., non διειλέχθησαν ut ed. 14. ἀκροπόσθιαν c. cd. ed. 15. ἐλευσόμεθα cod., non ἐξελ. ut ed. ὑμῖν (1) ex corr. (pro ἡμ.) cod. Item v. sq. ὑμῶν (pro ἡμ.). 19. ἐν ὅλῳ] בְּכֹל pro מִכֹּל. Item Hier. (*in omni*). 20. διειλέχθησαν rursus c. ed. ed. 22. ὡς τελοῖεν corr. ὥστε τελεῖν cod. Male ed. ὡς τελεῖν 24. σεχέμην] בְּנוֹ om. κείνου (1) ex corr. (pro κείνων) cod.

ἐν τῷ σφᾶς τελεῖν ἀλγοῦντας, ἐλαβέτην οὖν τὼ δύο υἱὼ ἰακώβου συμεὼν καὶ λευὶς, τὼ ἀδελφὼ δινᾶς, ἑκάτερος τὸ ξίφος ἑαυτοῦ, ἀφίκοντό τε κατὰ τοῦ ἄστεος ϑαρραλέως, ἀπεκτεινάτην τε πάντ' ἄρρενα· [26]καὶ τὸν χαμῶρον σεχέμην τε τὸν ἐκείνου υἱὸν ἀνειλέτην στόματι ξίφους, κἄλαβον τὴν δινὰν οἴκοϑεν σεχέμου. [27]ἐξῆλϑον δ' οἱ υἱεῖς ἰακώβου, ἦλϑον πρὸς τοὺς τραυματίας, διήρπασάν τε τὸ ἄστυ τῶν μολυνάντων τὴν σφῶν ἀδελφήν· [28]τὸ κείνων ποίμνιον τό τε κείνων βουκόλιον καὶ τοὺς ἐκείνων ὄνους, τά τ' ἐν τῷ ἄστει τά τ' ἐν τῷ ἀγρῷ ἔλαβον, [29]ξύμπασάν τε τὴν ἐκείνων δύναμιν, ξύμπαν τε τὸ κείνων νήπιον καὶ τὰς ἐκείνων γυναῖκας ἠνδραποδίσαντο καὶ διήρπασαν, ξύμπαντά τε τὰ οἴκοι. [30]ἔφη δ' ἰακῶβος πρὸς συμεῶνα καὶ πρὸς λευῖνα· ἐφϑείρατέ με τῷ δυσωδιῶσαί με ἐν τῷ καϑέδρῳ τῆς γῆς, ἐν τῷ κεναανίῳ κἀν τῷ περεζίῳ· ἐγὼ δὲ ϑνητοὶ ἀριϑμοῦ· ξυναϑροισϑήσονται γοῦν κατ' ἐμοῦ καὶ βαλοῦσί με, ὀλοϑρευϑήσομαί τ' ἐγὼ καὶ ὁ ἐμὸς οἶκος. [31]ἐφήτην δέ· μῶν ὡς πόρνην ποιήσει τὴν νωϊτέραν ἀδελφήν;

XXXV. ° [1]Ἔφη δ' ὁ ϑεὸς πρὸς ἰακῶβον· ἔγειραι ἀνάβα δόμον ϑεοῦ καϑέσϑητί τ' ἐκεῖ, ποίησόν τ' ἐκεῖ ϑυτήριον ϑεῷ τῷ ὀφϑέντι πρὸς σὲ ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου ἐσαύου τοῦ σοῦ ἀδελφοῦ. [2]ἔφη γοῦν ἰακῶβος πρὸς τὸν ἑαυτοῦ δόμον πρός τε πάντα τὰ ξὺν αὐτῷ· ἀφέλετε τοὺς ϑεοὺς τοῦ ἀλλοτρίου τοὺς ἐν μέσῳ ὑμῶν, καϑάρϑητε γοῦν καὶ ἀμείψατε τὰς ὑμετέρας περιβολάς· [3]ἐγερϑῶμέν τε καὶ ἀναβῶμεν δόμον ϑεοῦ, ποιήσω τ' ἐκεῖ ϑυτήριον ϑεῷ τῷ ἀποκρινομένῳ μοι ἐν ἡμέρᾳ ἐμῆς ϑλίψεως· ὑπῆρξε δὲ ξὺν ἐμοὶ ἐν ὁδῷ ᾗ πεπόρευμαι. [4]τοιγαροῦν ἔδοσαν πρὸς ἰακῶβον ξύμπαντας τοὺς ϑεοὺς τοῦ ἀλλοτρίου τοὺς ἐν τῇ σφῶν χειρὶ, τά τ' ἐλλόβια τὰ ἐν τοῖς αὐτῶν ὠσί· κἄκρυψεν αὐτοὺς ἰακῶβος ὑπὸ τῷ μελίᾳ τῷ παρὰ σεχέμῃ. [5]καὶ μετῆραν. ὑπῆρξε δ' ἐπιτριβὴ ϑεοῦ ἐπὶ τῶν

---

25. ἀπέκτειναν corr. ἀπεκτεινάτην cod. 27. In textu Masoretico hic versus incipit a voce בְּנֵי, sed cod non distinguit nisi post ἰακώβου μολυνάντων cod., non μολυνάνταν ut (typ. vit.?) legitur apud Morellium. 31. ἔφησαν (ut ed.) corr. ἐφήτην (cf. XXXI, 14) cod. Scriptura marginalis fere omnino desecta. Cf. Prol. I, 1, d.

XXXV. 2. πάντα τὰ lego, non πάντα τὸν ut ed. 3. ἀποκρινουμένῳ c. cd. ed. 4. τῷ μελίᾳ τῷ] sic cod., non τῇ μελ. τῇ. Cf. Mor. ad h. l.

ἄστεων τῶν κύκλῳ σφῶν, οὔκουν ἐδίωξαν κατόπιν τῶν υἱέων ἰακώβου. [6]τοιγαροῦν ἀφῖκται ἰακῶβος λεπτοκαρύανδε τὴν ἐν τῇ γῇ κεναᾶνος, αὕτη δόμος θεοῦ, κεῖνος ξύμπας τε λεὼς ὁ ξὺν ἐκείνῳ. [7]κάδείματο ἐκεῖ θυτήριον, ἐκάλεσέ τε τῷ τόπῳ θεὸς δόμου θεοῦ· ἐκεῖ γὰρ πεφανέρωνται πρὸς αὐτὸν οἱ θεοὶ ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου τοῦ ἀδελφοῦ οἱ. [8]τέθνηκε δεβορὰ δ' ἡ τίτθη ῥιβεκᾶς, καὶ τέθαπται κάτωθεν δόμου θεοῦ ὑπὸ τῇ δρυΐ· κέκληκε γοῦν τοὔνομα ταύτης δρῦν κλαυθμοῦ.

[9]Τεθέαται δ' ὁ θεὸς πρὸς ἰακῶβον ἔτι ἐν τῷ ἀφικέσθαι ἑ πρὸς παδᾶνος ἀράμου, καὶ εὐλόγησεν αὐτόν. [10]ἔφη τέ οἱ ὁ θεός· τοὔνομα τὸ σὸν ἰακῶβος· οὐ κληθήσεται τοὔνομά σοι ἔτι ἰακῶβος, ἀλλ' ἰσραέλος τελέσει τὸ σὸν ὄνομα. κέκληκεν οὖν τοὔνομά οἱ ἰσραέλον. [11]ἔφη τ' αὐτῷ ὁ θεός· ἐγὼ θεὸς κραταιός· αὔξε πληθύνου τε· ἔθνος ἐκκλησία τ' ἐθνῶν τελέσει πρὸς σοῦ, καὶ βασιλεῖς πρὸς τῶν σῶν ψοιῶν ἐξελεύσονται· [12]τήν τε γῆν ἣν ἔδωκα ἀβραάμῃ καὶ ἰσχάκῃ, σοὶ δώσω ταύτην, καὶ τῷ σῷ σπέρματι μετὰ σὲ δώσω τὴν γῆν. [13]ἀνέβη τ' ἄνωθεν αὐτοῦ ὁ θεὸς ἐν τῷ τόπῳ ᾧ διείλεκται ξὺν αὐτῷ. [14]ἔστησε δ' ἰακῶβος βωμὸν ἐν τῷ τόπῳ ᾧ διείλεκται ξὺν αὐτῷ, βωμὸν λίθου, κἄσπεισεν ἐπ' αὐτοῦ σπονδὴν, ἐκένωσέ τ' ἐπ' αὐτοῦ ἔλαιον. [15]ἐκάλεσε δ' ἰακῶβος τοὔνομα τοῦ τόπου, ᾧ διείλεκται ξὺν αὐτῷ ἐκεῖ, θεὸν δόμου θεοῦ. [16]μετῆραν δ' ἀπὸ δόμου θεοῦ. κάτέλεσεν ἔτι κατὰ σημεῖον τῆς γῆς ἥκειν ἐφράτανδε, τέτοκέ τε ῥαχέλη· ἐσκλήρυνται δ' ἐν τῷ τίκτειν αὐτήν. [17]ὑπῆρξε δ' ἐν τῷ ταύτην ἐσκληρύνθαι ἐν τῷ τίκτειν αὐτὴν, εἰπέ τε ταύτῃ ἡ μαῖα· μὴ δείσῃς, ἔτι γὰρ ὁδί σοι υἱεύς. [18]ἐτέλεσε δ' ἐν τῷ ἐξιέναι τὴν ταύτης ψυχὴν ὅτι τέθνηκεν, ἐκάλεσεν οὖν τοὔνομα κείνου υἱεὺς ἄχους μοι· ὁ δὲ πατὴρ αὐτοῦ κέκληκεν αὐτῷ βενιαμίν. [19]τέθνηκε δὲ ῥαχέλη, καὶ τέθαπται ἐν τῇ ὁδῷ

5. ἄστεων, non ἀστέων, cod. Cf. Deut. III, 5. 6. λεπτοκάρ. corr. λεπτοκαρύανδε cod. 8. ταύ[της] in ras. 9. τεθέαται] וַיַּרְא (cf. VI, 12. IX, 22 cet.) pro וַיֵּרָא. Cf. XVII, 1. 10. σὸν ὄνο. corr. τὸ σὸν ὄνομα cod. 11. πλήθ[υνε] corr. πληθύνου ἐκλ. corr. ἐκκλησία 14. [ἔστη]σε ex corr. cod. 15. θεὸν (ex corr. pro θεὸς) δόμου θεοῦ in ras. Temere Amm., scripturae codicis haud ignarus, θεὸς, δόμον θεοῦ edidit. Cf. v. 7. 16. [σημ]εῖον in ras. εὐφράτηνδε corr. ἐφράτανδε cod. ἐσκλήρωται c. cd. ed. 18. υἱὸν corr. υἱεὺς cod. βενιαμῖνα corr. βενιαμίν

πρὸς ἐφράταν, αὕτη δόμος ἄρτου. [20]ἔστησέ τ' ἰακῶβος βῆμα ἐπὶ τῆς ἐκείνης ταφῆς· αὐτὸ τὸ βῆμα τῆς ταφῆς ῥαχέλης ἄχρι τήμερον. [21]μετῆρέ τ' ἰσραέλος, ἔκλινέ τε τὴν ἑαυτοῦ σκηνὴν πόρρωϑεν τοῦ πύργου τοῦ ποιμνίου. [22]ἐτέλεσε δ' ἐν τῷ κατοικεῖν ἰσραέλον ἐν τῇ γῇ κείνῃ, ἀπῆλϑέ τε ῥεουβένης καὶ ἀνακέκλιται ξὺν βιλεχᾷ τῇ παλλακῇ τοῦ κείνου πατρός· ἤκουσέ τ' ἰσραέλος.

Ἐτέλεσαν δ' οἱ υἱεῖς ἰακώβου δυοκαίδεκα· [23]υἱεῖς λεᾶς· πρωτότοκος ἰακώβου ῥεουβένης, συμεών τε καὶ λευίς, ἰεουδάος τε καὶ ἰσασχὰρ καὶ ζεβουλούνης· [24]υἱεῖς ῥαχέλης ἰωξέφης καὶ βινιαμίν· [25]υἱεῖς δὲ βιλεχᾶς τῆς οἰκέτιδος ῥαχέλης δὰν καὶ ναφεταλίς· [26]υἱεῖς δὲ ζιλφᾶς τῆς οἰκέτιδος λεᾶς γάδος καὶ ἀσέρης. οὗτοι υἱεῖς ἰακώβου οἳ τετέχαταί οἱ ἐν παδᾶνι ἀράμου. [27]ἀφῖκταί τ' ἰακῶβος πρὸς ἰσχάκην τὸν ἑαυτοῦ πατέρα μαμρεῖ τῇ πόλει τῶν τεττάρων· αὕτη χεβρὼν ἧ παρῴκησεν ἐκεῖ ἀβρααάμης ἰσχάκης τε. [28]κἀτέλεσαν αἱ ἡμέραι ἰσχάκου ἑκατὸν ἔτη καὶ ὀγδοήκοντα ἔτη. [29]κἀξέψυξεν ἰσχάκης τέϑνηκέ τε, καὶ ξυνῆκται πρὸς τοὺς ἑαυτοῦ λεὼς γέρων κεκορεσμένος ϑ' ἡμερῶν· ἐϑαψάτην τε κεῖνον ἐσαύης ἰακῶβός ϑ' οἱ κείνου υἱεῖς.

XXXVI. [1]Αἵδὶ δ' αἱ γεννήσεις ἐσαύου· αὐτὸς ἐδῶμος. [2]ἐσαύης ἔλαβε τὰς ἑαυτοῦ γυναῖκας πρὸς τῶν ϑυγατέρων κεναᾶνος· ἀδὰν τὴν ϑυγατέρα αἰλῶνος τοῦ χιτίου, καὶ ἀωλιβαμὰν τὴν ϑυγατέρα ἀνᾶς τῆς ϑυγατρὸς σιβεῶνος τοῦ χευίου, [3]καὶ βασεμάϑην τὴν ϑυγατέρα ἰσμαέλου, τὴν ἀδελφὴν νεβαιώϑου. [4]τέτοκε δὲ ἀδὰ τῷ ἐσαύῃ τὸν ἐλιφάζην, βασεμάϑη δὲ τέτοκε τὸν ῥεουέλον, [5]ἀωλιβαμὰ δ' ἔτεκε τὸν ἰεούσην τόν τ' ἰαλάμην καὶ τὸν κόραχον. οὗτοι υἱεῖς ἐσαύου οἳ τετέχαταί οἱ ἐν τῇ γῇ κεναᾶνος. [6]ἔλαβε δ' ἐσαύης τὰς ἑαυτοῦ γυναῖκας τούς ϑ' υἱέας ἑαυτοῦ καὶ τὰς ἑαυτοῦ ϑυγατέρας, ξυμπάσας τε τὰς ψυχὰς τοῦ ἰδίου δόμου, τό ϑ' ἑαυτοῦ κτῆμα καὶ ξύμπαν τὸ κτῆνος ἑαυτοῦ, ξύμπασάν τε τὴν ἑαυτοῦ

---

19. [δόμος] ϑεοῦ corr. ἄρτου (non τοῦ ἄρτου ut ed.) cod. 20. αὕτη corr. αὐτὸ 24. βενιαμίν c. cd. ed. At sic v. 18 cod. 29. κεχορημένος c. cd. ed. ἐϑ[αψαν] corr. ἐϑαψάτην cod.

XXXVI. 2. ἔλαβεν (ut ed.) corr. ἔλαβε τὰς cod. αἰλῶνος ex corr. (pro ἐλ.?) cod. Ed. εἰλ. [σι]βεῶνος in ras. χευίου, non χευαίου (cf. X, 17. XXXIV, 2 cet.), cod. 3. βασαμ. corr. βασεμάϑην cod. 4. ἐλιφάζην c. cd. ed. 6. ἑαυτοῦ bis (2. 3) ex corr. (pro αὐτοῦ) cod.

κτῆσιν ἣν περιεποιήσατο ἐν τῇ γῇ κεναᾶνος, ἀπῆλθέ τε πρὸς γῆν ἀπὸ προσώπου ἰακώβου τοῦ ἀδελφοῦ οἱ. [7]ἐτέλεσε γὰρ ὁ κείνων ὄλβος πολὺς ὑπὲρ τὸ καθῆσθαι ἅμα, οὔτ' ἴσχυσεν ἡ γῆ τῆς αὐτοῖν παροικίας αἴρειν αὐτὼ ἀπὸ προσώπου τῶν κτημάτων αὐτοῖν. [8]ἐκαθέσθη γοῦν ἐσαύης ἐν ὄρει σεῆρος· ἐσαύης ἐστὶν ἐδῶμος. [9]αἱδί τε γεννήσεις ἐσαύου πατρὸς ἐδώμου ἐν ὄρει σεῆρος. [10]ταδὶ τὰ ὀνόματα τῶν υἱέων ἐσαύου· ἐλιφάζης υἱεὺς ἀδᾶς τῆς γυναικὸς ἐσαύου, ῥεουέλος υἱεὺς βασεμάθης τῆς γυναικὸς ἐσαύου. [11]ἐτέλεσαν δ' υἱεῖς ἐλιφάζου ταιμὰν, ὠμάρης, σεφὼν, γαατάμης τε κενάζης τε. [12]θιμνὰ δ' ὑπῆρξε παλλακὴ ἐλιφάζῃ τῷ υἱεῖ ἐσαύου, κἄτεκε τῷ ἐλιφάζῃ τὸν ἀμαλέκην· οὗτοι υἱεῖς ἀδᾶς τῆς γυναικὸς ἐσαύου. [13]οὗτοι δ' υἱεῖς ῥεουέλου· ναχάθης, ζέραχός τε καὶ σαμάης καὶ μιζάης· οὗτοι ὑπῆρξαν υἱεῖς βασεμάθης τῆς γυναικός ἐσαύου. [14]οὗτοι δ' ὑπῆρξαν υἱεῖς ἀωλιβαμᾶς τῆς θυγατρὸς ἀνᾶς τῆς θυγατρὸς σιβεῶνος, τῆς γυναικὸς ἐσαύου· τέτοκεν οὖν ἐσαύῃ τὸν ἰεούσην τόν τ' ἰαλέμην καὶ τὸν κοράχην. [15]οὗτοι ἡγεμόνες τῶν υἱέων ἐσαύου· υἱεῖς ἐλιφάζου τοῦ πρωτοτόκου ἐσαύου· ἡγεμὼν ταιμὰν, ἡγεμὼν ὠμάρης, ἡγεμὼν σεφὼν, ἡγεμὼν κενάζης, [16]ἡγεμὼν κοράχης, ἡγεμὼν νaατάμης, ἡγεμὼν ἀμαλέκης· οὗτοι ἡγεμόνες ἐλιφάζου ἐν τῇ γῇ ἐδώμου, οὗτοι υἱεῖς ἀδᾶς. [17]οὗτοι δ' υἱεῖς ῥεουέλου υἱέως ἐσαύου· ἡγεμὼν ναχάθης, ἡγεμὼν ζέραχος, ἡγεμὼν σαμάης, ἡγεμὼν μιζάης· οὗτοι ἡγεμόνες ῥεουέλου ἐν γῇ ἐδώμου, οἱδὶ υἱεῖς βασεμάθης τῆς γυναικὸς ἐσαύου. [18]οἱδί θ' υἱεῖς ἀωλιβαμᾶς τῆς γυναικὸς ἐσαύου· ἡγεμὼν ἰεούσης, ἡγεμὼν ἰαλέμης καὶ ἡγεμὼν κοράχης· οὗτοι οἱ ἡγεμόνες ἀωλιβαμᾶς τῆς θυγατρὸς ἀνᾶς, τῆς γυναικὸς ἐσαύου. [19]οἱδὶ υἱεῖς ἐσαύου, οἱδί θ' ἡγεμόνες αὐτῶν· αὐτὸς ἐδῶμος. [20]Οἱδὶ υἱεῖς σεῆρος τοῦ χωραίου, οἱ κάθεδροι τῆς γῆς· λωτὰν σωβάλης τε καὶ σιβεὼν καὶ ἀνάης, [21]δισὼν τε καὶ ἐσέρης καὶ δισάν· οἱδὶ ἡγεμόνες τοῦ

---

7. ἔσχε corr. ἴσχυσεν cod. τῶν κτημάτων cod., non τοῦ κτήματος ut ed. 12. θιμενὰ corr. θιμνὰ cod. τῷ ἐλιφ. corr. ἐλιφάζῃ 13. ζαράχης corr. ζέραχος σαμάος corr. σαμάης 14. κόραχον corr. κοράχην. Ed. κοράχαν 16. ναατάμης] nescio mene literarum ν et γ similitudo fefellerit, an ipse translator נ cum ג (גַּעְתָּם) confuderit. Sed et ipse Vill. ναατ. exscripsit. Cf. v. 11. 17. ζέραχος ex corr. (ut supra) cod. itemque σαμάης 18. ἡγεμὼν (1)] ἡγεμὼς cod. κοράχης rursus ex corr. cod. Ed. κοράχος 20. σηῆ. corr. σεῆρος cod. σοβ. corr. σωβάλης

χωραίου, υἱεῖς σεῆρος ἐν γῇ ἐδώμου. [22]ἐτέλεσαν δ' υἱεῖς λωτᾶνος χωραῖος αἱμάμης τε, καὶ ἀδελφὴ λωτᾶνος τιμνά. [23]οἱδὶ δ' υἱεῖς σωβάλου· ἀλβὰν μαναχάϑης τε καὶ αἱβάλης, σεφὼν καὶ ὠνάμης. [24]οἱδὶ δ' υἱεῖς σιβεῶνος· αἱάς τε καὶ ἀνάης· αὐτὸς ἀνάης ὃς εὗρε τοὺς ὀρέας ἐν τῇ ἐρήμῳ ἐν τῷ νέμειν αὐτὸν τοὺς ὄνους σιβεῶνος τοῦ ἑαυτοῦ πατρός. [25]οἱδὶ δ' υἱεῖς ἀνάου· δισὼν καὶ ἀωλιβαμὰ ϑυγάτηρ ἀνάου. [26]οἱδὶ δ' υἱεῖς δισᾶνος· χεμεδὰν ἐσεβάν τε καὶ ἰϑρὰν καὶ βεράν. [27]οἱδὶ δ' υἱεῖς ἐσέρου· βιλεὰν ζαανάν τε καὶ ἀκάν. [28]οἱδὶ υἱεῖς δισῶνος· οὔσης καὶ ἀράν. [29]οἱδὶ ἡγεμόνες τοῦ χωραίου· ἡγεμὼν λωτάν, ἡγεμὼν σωβάλης, ἡγεμὼν σιβεών, ἡγεμὼν ἀνάης, [30]ἡγεμὼν δισών, ἡγεμὼν ἐσέρος, ἡγεμὼν δισάν· οἱδὶ ἡγεμόνες τοῦ χωραίου εἰς ἡγεμόνας αὐτῶν ἐν γῇ σεῆρος.

[31]Οἱδί ϑ' οἱ βασιλεῖς οἵπερ ἐβασίλευσαν ἐν τῇ γῇ ἐδώμου πρὶν βεβασιλευκέναι βασιλέα τοῖς υἱέσιν ἰσραέλου. [32]ἐβασίλευσεν οὖν ἐν ἐδώμῳ βέλας υἱεὺς βεώρου· τοὔνομα δὲ τῆς ἐκείνου πόλεως δινεχαβά. [33]τέϑνηκε δὲ βέλας, κἀβασίλευσεν ἀντ' ἐκείνου ἰωβάβης υἱεὺς ζεράχου πρὸς βοσερᾶς. [34]τέϑνηκέ τ' ἰωβάβης, ἐβασίλευσεν οὖν ἀντ' ἐκείνου χουσάμης πρὸς τῆς γῆς τοῦ ταιμανίτου. [35]τέϑνηκέ τε χουσάμης, ἐβασίλευσεν οὖν ἀντ' ἐκείνου ἀδάδης υἱεὺς βεδάδου ὁ βαλὼν τὸν μιδιᾶνα ἐν τῷ πεδίῳ μωάβου· ὄνομα δὲ τῆς ἐκείνου πόλεως αὐίϑη. [36]τέϑνηκέ τ' ἀδάδης, ἐβασίλευσεν οὖν ἀντ' ἐκείνου σαμελάης ἀπὸ μασερεκᾶς. [37]τέϑνηκέ τε σαμελάης, ἐβασίλευσε δ' ἀντ' ἐκείνου σαοῦλος πρὸς τῶν πλατειῶν τοῦ ποταμοῦ. [38]τέϑνηκέ τε σαοῦλος, ἐβασίλευσε δ' ἀντ' ἐκείνου βααλχανὰν υἱεὺς ἀχεβώρου. [39]τέϑνηκέ τε βααλχανὰν υἱεὺς ἀχεβώρου, ἐβασίλευσε δ' ἀντ' ἐκείνου ἀδάδης· ὄνομα δὲ τῆς αὐτοῦ πόλεως παοῦς· ὄνομα δὲ τῆς αὐτοῦ γυναικὸς μεεταβελη, ϑυγάτηρ μεταρέδης τῆς ϑυγατρὸς μεζαάβου. [40]ταδὶ δὲ τὰ ὀνόματα τῶν ἡγεμόνων ἐσαύου κατὰ τὰς αὐτῶν φρήτρας, κατὰ τοὺς αὐτῶν τόπους, κατὰ τὰ

---

22. καὶ χωραίου corr. χωραῖος cod. 25. ἀνάου (2) ex corr (pro ἀνᾶς) cod. 26. βεράν] בְּרָן pro כְּרָן 27. ζαανάν] ita, sicut etiam Vill., exscripsi e codice. Legendum fort. ζααυάν (זַעֲוָן). 30. ἡγεμ. ἐσέρος, ἡγεμὼν δισάν in margine add. cod. Cf. Prol. I, 2, b. αὐτῶν cod., non αὐτοῦ ut ed. 31. πρὸ corr. πρὶν cod. 32. βεῶρος (ut ed.) corr. βεώρου δινχαβά c. cd. ed. 35. τέϑνηξε typ. vit. ed. 38. ἀχεβώρου cod., non ἀχεβῶρος ut ed. 39. ἀδάδης] הֲדַד pro הֲדַר (cf. v. 35) juxta nonn. codd. et edd.

σφῶν ὀνόματα· ἡγεμὼν τιμνάης, ἡγεμὼν ἀλευάης, ἡγεμὼν ἰετέϑης, [41]ἡγεμὼν ἀωλιβαμάης, ἡγεμὼν ἐλάης, ἡγεμὼν πινὼν, [42]ἡγεμὼν κενάζης, ἡγεμὼν ταιμὰν, ἡγεμὼν μιβεσάρης, [43]ἡγεμὼν μαγδιέλος, ἡγεμὼν εἰράμης· οἱδὶ ἡγεμόνες ἐδώμου κατὰ τὰς καϑέδρας αὐτῶν ἐν τῇ γῇ τῆς αὐτῶν κατοχῆς· αὐτὸς ἐσαύης ὁ πατὴρ ἐδώμου.

[1]Ἐκαϑέσϑη δ' ἰακῶβος ἐν τῇ γῇ τῆς παροικίας τοῦ πατρὸς αὐτοῦ, ἐν γῇ κεναᾶνος. [2]αἱδὶ γεννήσεις ἰακώβου. ἰωξέφης υἱεὺς ἑπτακαιδεκέτης ἐτύγχανε νέμων σὺν τοῖς ἀδελφοῖς αὐτοῦ ἐν τῷ ποιμνίῳ, ἦν τε νέος ξὺν τοῖς υἱέσι βιλεχᾶς ξύν τε τοῖς υἱέσι ζιλεφᾶς, ταῖν γυναικοῖν τοῦ αὐτοῦ πατρός· ἤνεγκε δ' ἰωξέφης τὴν αὐτῶν φήμην πονηρὰν πρὸς τὸν αὐτῶν πατέρα. [3]ἰσραέλος δ' ἐφίλει τὸν ἰωξέφην ὑπὲρ πάντας τοὺς ἰδίους υἱεῖς, υἱεὺς γὰρ γήρως ἐτύγχανέν οἱ· πεποίηκέ τε κείνῳ περιβόλαιον παλαμῶν. [4]εἶδον οὖν οἱ ἀδελφοὶ κείνου ὅτιπερ ἐκεῖνον ἐφίλησεν ὁ πατὴρ αὐτῶν ὑπὲρ πάντας τοὺς αὐτοῦ ἀδελφοὺς, κἀμίσησάν ἑ, οὔτ' ἴσχυσαν διαλέγεσϑαί οἱ εἰς εἰρήνην. [5]ὠνείρωξέ γε μὴν ἰωξέφης ὄνειρον ἤγγειλέ τε τοῖς ἀδελφοῖς ἑαυτοῦ· καὶ προσέϑηκαν ἔτι μισεῖν ἐκεῖνον. [6]ἔφη γοῦν πρὸς αὐτούς· ἀκούσατε δὴ τὸν ὄνειρον τοῦτον ὃν ὠνείρωξα. [7]ϑεῶ γοῦν ἐτυγχάνομεν δεσμοῦντες κώμυϑας ἐν μέσῳ τοῦ ἀγροῦ, ϑεῶ τ' ἐγήγερται κώμυς οὑμὸς, ἔτι τ' ἔστη· αὐτίκα τ' ἐκύκλωσαν οἱ ὑμέτεροι κώμυϑες καὶ προσεκύνησαν τῷ ἐμῷ κώμυϑι. [8]εἶπον οὖν οἱ οἱ ἀδελφοί οἱ· μῶν τῷ βασιλεύειν βασιλεύσεις ἐφ' ἡμῶν; ἆρα τῷ ἄρχειν ἄρξεις ἐν ἡμῖν; προσέϑηκάν τ' ἔτι μισεῖν ἐκεῖνον ἐπὶ τοῖς κείνου ὀνείρασι κἀπὶ τοῖς ἐκείνου λόγοις. [9]ὠνείρωξε δ' ἔτι ὄνειρον ἕτερον, καὶ διηγήσατο κεῖνον τοῖς ἑαυτοῦ ἀδελφοῖς, ἔφη τε· ϑεῶ ὠνείρωξα ὄνειρον ἔτι, αὐτίκα ϑ' ὁ ἥλιος ἥ τε σελήνη ἕνδεκά τ' ἀστέρες προσεκύνουν μοι. [10]διηγήσατο δὲ πρὸς τὸν ἑαυτοῦ πατέρα καὶ πρὸς τοὺς ἑαυτοῦ ἀδελφούς· ἠπείλησεν οὖν εἰς αὐτὸν ὁ αὐτοῦ πατὴρ ἔφη τέ οἱ· τίς ὁ ὄνειρος

XXXVII. *μερίς*

---

41. ἐλ. corr. ελάης cod.

XXXVII. 3. ἰδίους υἱεῖς in ras. 4. [ὅτι]περ in ras. 5. προσέϑησαν c. cd. ed. 7. ϑεῶ τε ἐγ. c. cd. ed. κώμυς cod., non κῶμυς ut ed. 8. οὖν οἱ οἱ ἀδ. cod. Ed. alterum οἱ om. Ceterum invito codice ed. sic distinguit: ὀνείρασι. (9) κἀπὶ τοῖς ἐκείνου λόγοις ὠνείρωξε κτλ., ac dein (v. 9) ἔτι αὐτίκα, ϑ' ὁ κτλ. 9. ἄστερες c. cd. ed.

ὁδὶ ὃν ὠνείρωξας; ἆρα τῷ ἀφικνεῖσϑαι ἀφιξόμεϑα ἔγωγ' ἥ τε σὴ μήτηρ οἵ τ' ἀδελφοί σου προσκυνῆσαί σοι ἐς γῆν; [11] ἐφϑόνησαν οὖν εἰς αὐτὸν οἱ ἀδελφοί οἱ· ὁ δ' αὐτοῦ πατὴρ ἐφύλαξε τὸν λόγον. [12] ἀπῆλϑον οὖν οἱ ἀδελφοί οἱ νέμειν τὸ ποίμνιον τοῦ κείνων πατρὸς εἰς σεχέμην. [13] ἔφη δ' ἰσραέλος πρὸς ἰωξέφην· ἆρ' οὐχ οἱ σοὶ ἀδελφοὶ νέμουσιν ἐν σεχέμῃ; δεῦρο καὶ πέμψω σε πρὸς αὐτούς. ἔφη γοῦν οἱ· πάρειμι. [14] ἔφη δέ οἱ· ἄπιϑι δὴ ϑέασαι τὴν εἰρήνην τῶν σῶν ἀδελφῶν τήν τ' εἰρήνην τοῦ ποιμνίου, καὶ στρέψον μοι λόγον. ἔπεμψεν οὖν ἐκεῖνον πρὸς τῆς κοιλάδος χεβρῶνος· καὶ ἀπῆλϑε σεχέμηνδε. [15] εὗρε δὲ κεῖνον ἀνήρ, ϑεῶ τ' ἐπλανᾶτο ἐν τῷ πεδίῳ· καὶ ἤρετο κεῖνον ὁ ἀνὴρ τῷ φάναι· τί ζητοίης; [16] ἔφη δέ· κασιγνήτους τοὺς ἐμοὺς ἔγωγε ζητῶ· ἄγγειλον δή μοι ποῦ τυγχάνουσι νέμοντες. [17] ἔφη δ' ὁ ἀνήρ· μετῆραν ἐντεῦϑεν, ἐπεὶ πέπυσμαι λέγοντας· ἀπέλϑωμεν δωϑαῖναδε. ἀπῆλϑεν οὖν ἰωξέφης κατόπιν τῶν αὑτοῦ ἀδελφῶν, εὗρέ τε σφᾶς ἐν δωϑᾶνι. [18] τεϑέανται δ' αὐτὸν πόρρωϑεν· πρὶν οὖν ἐγγίσειε πρὸς αὐτούς, ἐδολιεύσαντό τ' αὐτῷ ὡς ϑανατώσαιέν ἑ. [19] κἄφησαν ἕκαστος πρὸς τὸν ἑαυτοῦ ἀδελφόν· αὐτίχ' ὁ δεσπότης τῶν ὀνειράτων· ἆρ' εἰς τοῦτο ἀφικνεῖται; [20] νῦν οὖν ἄγε καὶ ἀνέλωμεν αὐτὸν, ῥίψωμέν τ' αὐτὸν εἰς ἕνα τῶν λάκκων, ἐροῦμέν τε· ϑηρίον κακὸν βέβρωκέν ἑ, καὶ ϑεασώμεϑα τί τελέσουσιν οἱ αὐτοῦ ὄνειροι. [21] ἤκουσε δὲ ῥεουβένης, ἀπήλλαξέ τε κεῖνον πρὸς τῆς αὐτῶν χειρὸς, κἄφη· οὐ τύψομεν αὐτὸν ψυχήν. [22] ἔφη δὲ πρὸς αὐτοὺς ῥεουβένης· μὴ χέητε αἷμα· ῥίψατέ ἑ πρὸς τὸν λάκκον τουτονὶ τὸν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ τείνητε εἰς αὐτόν· ὥστ' ἀπαλλάξαι ἑ πρὸς τῆς ἐκείνων χειρὸς ὡς ἀποστρέψειεν αὐτὸν πρὸς τὸν αὑτοῦ πατέρα. [23] ὑπῆρξε δ' ἐπείπερ ἀφῖκται ἰωξέφης πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ, περιέδυσάν τε τὸν ἰωξέφην τὸ περιβόλαιον αὐτοῦ, τὸ περιβόλαιον τῶν παλαμῶν τὸ ἐπ' αὐτοῦ, [24] κἄλαβόν ἑ κἄρριψάν ἑ βόϑυνόνδε· ὁ δὲ βόϑυνος κενὸς, οὐκ ἦν ἐν ἐκείνῳ ὕδωρ. [25] ἐκαϑέσϑησαν δὲ φαγεῖν ἄρτον· ἦράν τε τοὺς ἑαυτῶν ὀφϑαλμοὺς καὶ τεϑέανται, ϑεῶ τε ξυνοδεία ἰσμαελιτῶν ἀφικνεῖτο πρὸς γιλεάδου· αἱ δὲ κείνων κάμηλοι ἦρον κηρὸν βάλσαμόν τε καὶ μαστίχην ἀπιόντων ὡς κατάγοιεν

---

10. [ἀδελφοὶ] σοι corr. σου cod. **12.** ἐν corr. εἰς **17.** ἑαυτοῦ c. ed. ed. δωϑᾶνι (ex corr.) cod., non δωϑαῖνι ut ed. **18.** καὶ [πρὶν] corr. πρὶν [οὖν] cod. **19.** αὐτοῦ corr. ἑαυτοῦ, non αὑτοῦ ut ed. **21.** αὐτὸν in ras.

αἰγυπτόνδε. [26]καὶ εἶπεν ἰουδάος πρὸς τοὺς ὁμαίμονας ἑαυτοῦ· τί ὄφελος ὅτιπερ ἀνελοῦμεν τὸν ἡμέτερον ἀδελφὸν καλύψομέν τε τὸ κείνου αἷμα; [27]δεῦρο καὶ πράσωμεν αὐτὸν τοῖς ἰσμαελίταις· ἡ δ' ἡμετέρα χεὶρ μὴ εἴη εἰς αὐτὸν, ἡμέτερος γὰρ ἀδελφὸς, σὰρξ ἡμετέρα τελεῖ. καὶ ἤκουσαν οἱ ἀδελφοί οἱ. [28]διέβησαν οὖν ἄνδρες μιδιανοὶ ἔμποροι, εἵλκυσάν τε καὶ ἀνήγαγον τὸν ἰωξέφην ἀπὸ τοῦ βόϑρου, κἄπρασαν τὸν ἰωξέφην τοῖς ἰσμαελίταις ἐν εἴκοσιν ἀργυροῖς· ἤγαγον δὲ τὸν ἰωξέφην αἰγυπτόνδε. [29]ἐστράφη μέντοι ῥεουβένης πρὸς τὸν βόϑρον, ϑεῶ τ' οὐκ ἦν ἰωξέφης ἐν τῷ βόϑρῳ· κἄῤῥηξε τὰ περιβόλαιά οἱ, [30]ἐστράφη τε πρὸς τοὺς ἑαυτοῦ κασιγνήτους ἔφη τε· ὁ παῖς οὐκ ἔστιν· ἔγωγ' οὖν, ποῖ ἔγωγ' ἀφικνοῦμαι; [31]ἔλαβον δὲ τὸ περιβόλαιον ἰωξέφου, κἄϑυσαν ἔριφον αἰγῶν ἐβάπτισάν τε τὸ περιβόλαιον ἐν τῷ αἵματι. [32]κἄπεμψαν τὸ περιβόλαιον τῶν παλαμῶν καὶ ἤνεγκαν πρὸς τὸν ἑαυτῶν πατέρα, κἄφησαν· τόδ' εὕρομεν, ἐπίγνωϑι δὴ μῶν τὸ περιβόλαιον τοῦ σοῦ υἱέως τελεῖ εἰ μή. [33]τοιγαροῦν ἐπέγνω κεῖνο κἄφη· τὸ περιβόλαιον τοῦ ἐμοῦ υἱέως· ϑηρίον δεινὸν βέβρωκέν ἑ, τῷ ἁρπάζεσϑαι ἥρπακται ἰωξέφης. [34]ἔρρηξεν οὖν ἰακῶβος τὰς περιβολὰς ἑαυτοῦ κἄϑηκε σάκκον ἐν ταῖς ψοιαῖς ἑαυτοῦ, κἀπένϑησεν ἐπὶ τῷ κείνου υἱεῖ ἡμέραις πολλαῖς. [35]ἠγέρϑησαν δὲ πάντες οἱ κείνου υἱεῖς πᾶσαί τε ϑυγατέρες ἐκείνου παραμυϑήσασϑαί ἑ· ἀπηνήνατό γε μὴν παραμυϑηϑῆναι καὶ εἶπεν· ὅτι καταβήσομαι πρὸς τὸν ἐμὸν υἱὸν πενϑῶν ἐς ᾅδην. ἔκλαυσέ τε κεῖνον ὁ κείνου πατήρ. [36]οἱ δὲ μιδιανοὶ πεπράκασιν ἐκεῖνον πρὸς αἴγυπτον ποτιφάρῳ τῷ σπάδωνι τοῦ παρεῶνος, τῷ ἄρχοντι τῶν κρεωνόμων.

XXXVIII.

[1]Ὑπῆρξε δ' ἐν τῷ καιρῷ κείνῳ, κατέβη τ' ἰεουδάος πρὸς τῶν ἀδελφῶν ἑαυτοῦ κἄκλινε μέχρις ἀνδρὸς ἀδουλαμίου, τοὔνομα κείνου χιράης. [2]ἑώρακέ τ' ἐκεῖ ἰεουδάος ϑυγατέρα ἀνδρὸς κεναανίου, τὸ δ' ὄνομα κείνου σούας· ἔλαβέ τε κείνην, ἤκει τε

---

26. ἰουδάος, non ἰεου. (cf. XXXV, 23 etc.), cod. καλύψομεν cod., non κάμψομεν ut ed. 27. πράσωμεν cod., non πράσκωμεν 31 sq. περιβ. ἐν τῷ αἵματι. κἄπ. τὸ] praeter voculam τὸ, quam ipsi addidimus, reliqua in margine habet cod. Cf. Prol. I, 2, b. 32. ἑαυτῶν cod., non ἑαυτοῦ ut ed. 34. υἱῷ corr. υἱεῖ cod. 36. τοῦ ἄρχοντος c. cd. ed.

XXXVIII. 1. ἰεουδάης (ut ed.) corr. ἰεουδάος cod. 2. σούας cod., non σάας ut Mor. ait. ἀ[φίκετο?] corr. ἤκει cod.

πρός ἐκείνην. [3]ἐκύησεν οὖν ἔτεκέ ϑ' υἱὸν, ἐκάλεσέ τε τοὔνομα κείνου ἔρον. [4]ἐκύησέ τ' ἔτι κἄτεκεν υἱὸν, ἐκάλεσέ τε τοὔνομα κείνου ὠνᾶνα. [5]προσέϑηκέ τ' ἔτι κἄτεκεν υἱὸν, ἐκάλεσέ τε τοὔνομά οἱ σελάον· ὑπῆρξε δ' ἐν καζίβῃ ἐν τῷ τίκτειν αὐτὴν ἐκεῖνον. [6]ἔλαβε δ' ἰεουδάος γυναῖκα ἔρῳ τῷ ἑαυτοῦ πρωτοτόκῳ, τὸ δ' ὄνομα κείνης ταμάρη. [7]ὑπῆρξε δ' ἔρος ὁ πρωτότοκος ἰεουδάου πονηρὸς ἐν ὄμμασι τοῦ ὀντωτοῦ, κάϑανάτωσέν ἑ ὁ ὀντωτής. [8]ἔφη δ' ἰεουδάος τῷ ὠνᾶνι· ἄφιξο πρὸς τὴν γυναῖκα τοῦ σοῦ κασιγνήτου καὶ ἀγχίστευσον ταύτην, ἔγειρόν τε σπέρμα τῷ σῷ κασιγνήτῳ. [9]ἔγνω τοίνυν ὠνὰν ὡς οὐχ ἑαυτῷ τελέσει τὸ σπέρμα· τελέσεις δ' εἰ ἀφικνοῖτο πρὸς τὴν γυναῖκα τοῦ κασιγνήτου οἱ, φϑεῖραι τ' εἰς γῆν ὡς μὴ διδοίη σπέρμα τῷ κασιγνήτῳ οἱ. [10]κεκάκωται δ' ἐν ὄμμασι τοῦ ὀντωτοῦ ὅπερ ἐποίησεν, ἐϑανάτωσεν οὖν ἔτι κεῖνον. [11]ἔφη γοῦν ἰεουδάος ταμάρῃ τῇ ἑαυτοῦ νύμφῃ· καϑέζου χήρα οἶκοι τοῦ σοῦ πατρὸς ἄχρι τοῦ μεγεϑυνϑῆναι σελάον τὸν ἐμὸν υἱόν· ἔφη γάρ· μὴ τεϑναίη κἀκεῖνος ἐν τοῖς ἀδελφοῖς ἐκείνου. ἀπῆλϑεν οὖν ταμάρη καὶ ἐκαϑέσϑη οἶκοι τοῦ κείνης πατρός. [12]ἐπλήϑυναν δ' αἱ ἡμέραι, καὶ τέϑνηκεν ἡ ϑυγάτηρ σούου ἡ γυνὴ ἰεουδάου. παραμεμύϑηται δ' ἰεουδάος, ἀνέβη τ' ἐπὶ τοὺς κείροντας τὰ πρόβατά οἱ, κεῖνος χιράος ϑ' ὁ κείνου ἑταῖρος ὁ ἀδουλάμιος, τιμνάϑηνδε. [13]ἤγγελται δὲ ταμάρῃ τῷ φάσκειν· αὐτίχ' ὁ σὸς ἑκυρὸς ἄνεισι τιμνάϑηνδε κεῖραι τὰ πρόβατά οἱ. [14]τοιγαροῦν περιεῖλε τὰ ἄμφια τῆς ἑαυτῆς χηρείας ἄνωϑεν ἑαυτῆς, ἐκαλύφϑη τ' ἐν κρηδέμνῳ καὶ εἴληται, ἐκαϑέσϑη τ' ἐν πυλῶνι ὀφϑαλμῶν τῷ ἐφ' ὁδοῦ τιμνάϑηνδε· τεϑέαται γὰρ ὡς ἐμεγεϑύνϑη σελάος, αὐτὴ δ' οὐ δέδοταί οἱ εἰς γυναῖκα. [15]εἶδε δ' αὐτὴν ἰεουδάος καὶ λελόγισται ταύτην εἰς πόρνην, ἐπείπερ ἐκάλυψε τὸ ἑαυτῆς πρόσωπον. [16]ἔκλινέ τε πρὸς ἐκείνην πρὸς τὴν ὁδὸν ἔφη τε· δός δὴ ἔλϑω πρὸς σέ· οὐ γὰρ ἔγνω ὡς ἡ νύμφη οἱ ἐτέλει. ἔφη δέ· τί δώσεις μοι ἐπὰν ἔλϑοις πρός με; [17]ἔφη γοῦν· ἔγωγε

---

3. ἔρης(-ην?) corr. ἔρον cod. 9. ἤ[κισϑ'] corr. οὐχ [ἀφικν]οῖτο ex corr. cod. φϑείροιτ' c. cd. ed. 10. ἐνώπιον corr. ἐνόμμασι (sic) cod. 11. ἐν τοῖς ἀδ. ἐκ.] בְּאָחִיר pro בְּאָ 12. χιράς corr. χιράος cod. ϑ' ὁ cod., non τε ὁ ut ed. 14. ἄμφια, non ἀμφία, cod. ἑαυτῆς (1)] ἑαυτοῦ c. cd. ed. 15. ἐκάλυψε] ἔκαμψε rursus c. od. ed 16. ἐπεὶ corr. ἐπὰν cod., ac dein ἔλϑοις in ras.

πέμψω ἔριφον αἰγῶν πρὸς τοῦ ποιμνίου. καὶ εἶπεν· εἴ μοι δοίης ἐνέχυρον ἄχρι τοῦ πεπομφέναι σε. [18]κἄφη· τί τὸ ἐνέχυρον ὃ δώσω σοι; καὶ εἶπεν· ἡ σὴ σφραγὶς ἥ τε σὴ καλύπτρα καὶ ἡ σὴ ῥάβδος ἡ ἐν χειρί σοι. ἔδωκεν οὖν ταύτῃ, καὶ ἀφῖκται πρὸς αὐτήν· ἐκύησε γοῦν αὐτῷ. [19]κἀγήγερται καὶ ἀπῆλθε, περιεῖλέ τε τὸ ἑαυτῆς κρήδεμνον ἄνωθεν ἑαυτῆς, καὶ περιβέβληται τὰ περιβόλαια τῆς ἑαυτῆς χηρείας. [20]ἔπεμψε δ' ἰεουδάος τὸν ἔριφον τῶν αἰγῶν ἐν χειρὶ τοῦ ἑαυτοῦ ἑταίρου τοῦ ἀδουλαμίου, ὥστε λαβεῖν τὸ ἐνέχυρὸν πρὸς χειρὸς τῆς γυναικός· οὐ μὴν εὗρε ταύτην. [21]ἤρετο γοῦν τοὺς ἄνδρας τοῦ κείνης τόπου τῷ φάσκειν· ποῦ ἡ ἑταῖρά ἐστιν ἐν ὀφθαλμοῖς ἐπὶ τῆς ὁδοῦ; εἶπον δ' οὐχ ὑπῆρξεν ἐν τῷδε ἑταῖρα. [22]ὑπέστρεψεν οὖν πρὸς ἰεουδάον εἰπέ τ' οὐχ εὗρον ταύτην, ἔτι θ' οἱ ἄνθρωποι τοῦ τόπου ἔφησαν· οὐχ ὑπῆρξεν ἐν τῷδε ἑταῖρα. [23]ἔφη γοῦν ἰεουδάος· λαβέτω ἑαυτῇ, μὴ γενώμεθα εἰς βδελυγμόν· θεῶ πέπομφα τὸν ἔριφον τοῦτον, σὺ δ' οὐχ εὗρες. [24]ὑπῆρξεν οὖν ὡς ἀπὸ τριῶν μηνῶν, καὶ ἤγγελται ἰεουδάῳ τῷ φάσκειν· ἐπόρνευσε ταμάρη ἡ σὴ νύμφη, κἄτι θεῶ κεκύηκε τῇ πορνείᾳ. ἔφη γοῦν ἰεουδάος· ἐξαγάγετε ταύτην καὶ καυθήτω. [25]κείνη ἐξήγετο, κείνη τ' ἔπεμψε πρὸς τὸν ἑαυτῆς ἑκυρὸν τῷ φάσκειν· τῷ ἀνδρὶ οὗ ταδί, κείνῳ κύω· κἄφη· ἐπίγνωθι δὴ τίνος ἡ σφραγὶς ἥ τε καλύπτρα καὶ τὸ σκῆπτρον ταδί. [26]ἐπέγνω τοιγαροῦν ἰεουδάος ἔφη τε· δεδικαίωται ὑπὲρ ἐμέ· διαταῦτα γὰρ οὐκ ἔδωκα ταύτην σελάῳ τῷ υἱεῖ μου. οὐ μὴν προσέθηκε ἔτι γνῶναι ταύτην. [27]ὑπῆρξε δ' ἐν καιρῷ τοῦ τίκτειν ἐκείνην, θεῶ τε διδύμω ἐν τῇ ἐκείνης γαστρί. [28]κἀτέλεσεν ἐν τῷ τίκτειν ἐκείνην, δέδωκέ τε χεῖρα· κἄλαβεν ἡ μαῖα κἄδησεν ἐπὶ τῆς κείνου χειρὸς ἐρυθρὸν τῷ φάσκειν· ὁδὶ ἐξῆλθε πρῶτον. [29]ἐτέλεσε δ' ὡς ἀπέστρεψε τὴν ἑαυτοῦ χεῖρα, θεῶ τ' ἐξῆλθεν ὁ κείνου ἀδελφός. ἔφη γοῦν· τί καθεῖλες ἐπὶ σαυτοῦ καθαίρεσιν; ἐκάλεσεν οὖν τοὔνομά οἱ περέσην.

---

17. εἴ μοι δοίης] אִם־תִּתֵּן (absque לִי) t. rec. Cf. LXX (ἐὰν δῷς μοι), Hier. (*si dederis mihi*). 19. ἀπῆλθεν corr. ἀπῆλθε cod. ἄνωθεν in ras. ἑαυτῆς (3)] ἑαυτοῦ c. cd. ed. 21. κείνης cod., non κείνου ut ed. ἑταῖρα, non ἑταίρα, cod. Item v. sq. 23. εὗρες] מְצָאתָ pro מְצָאתָהּ. Item LXX. 25. ταδί (2)] τοδί c. cd. ed. 26. διαταῦτα] sic cod. Cf. XX, 6. 28. δέδωκέ τε] τε supra lineam add. cod. 29. δ' ὡς cod., non δὲ, ὡς ut ed. καθαίρεσις c. cd. ed. ἐκάλ. οὖν τοὔνομά οἱ in ras., ac dein περέσην (non περέσης ut Mor. ait) — ἀδελφὸς (v. 30) in margine. Cf. Prol. I, 2, b.

[30] εἶτ' ἐξῆλθεν ὁ κείνου ἀδελφὸς, ᾧπερ ἐπὶ τῆς κείνου χειρὸς τὸ ἐρυθρόν· ἐκάλεσε τοίνυν τοὔνομά οἱ ζάραχος.

XXXIX. [1] Ἰωξέφης δὲ κατήχθη αἴγυπτόνδε· ἐώνηται δέ ἑ ποτιφάρης ὁ σπάδων παρεῶνος, ὁ ἄρχων τῶν κρεωνόμων, ἀνὴρ αἰγύπτιος, πρὸς χειρὸς τῶν ἰσμαελιδῶν οἵ κατήγαγον ἐκεῖνον ἐκεῖσε. [2] ὑπῆρξε δ' ὁ ὀντωτὴς ξὺν ἰωξέφῃ, κάτελεσεν ἀνὴρ εὐοδῶν· ὑπῆρξέ τ' οἴκοι τοῦ ἑαυτοῦ δεσπότου τοῦ αἰγυπτίου. [3] τεθέαται δ' ὁ κείνου δεσπότης ὅτιπερ ὁ ὀντωτὴς ξὺν αὐτῷ, πάντα θ' ἅπερ ἐτύγχανε ποιῶν, ὁ ὀντωτὴς εὐώδου ἐν χειρί οἱ. [4] εὗρεν οὖν ἰωξέφης χάριν ἐν ὄμμασίν οἱ καὶ ὑπηρετήσατό οἱ· ἐπεσκέψατο δ' αὐτὸν ἐπὶ τοῦ ἑαυτοῦ δόμου, καὶ πᾶν ὃν αὐτῷ δέδωκεν ἐν χειρί οἱ. [5] ὑπῆρξέ τ' ἀφοῦπερ ἐπέσκεπταί ἑ ἐν τῷ ἑαυτοῦ δόμῳ κἀπὶ παντὸς ὄντος αὐτῷ, εὐλόγησέ θ' ὁ ὀντωτὴς τὸν δόμον τοῦ αἰγυπτίου χάριν ἰωξέφου· κάτελεσεν εὐλογία τοῦ ὀντωτοῦ ἐν παντὶ τῷ ὄντι οἱ οἴκοι κἀν ἀγρῷ. [6] παρῆκέ θ' ἅπαντα τὰ ἑαυτοῦ ἐν χειρὶ ἰωξέφου, οὔτ' ἔγνω ξὺν αὐτῷ τι, εἰ μὴ τὸν ἄρτον ὃν ἐτύγχανεν ἐσθίων. ὑπῆρξε δ' ἰωξέφης ὡραῖος τὴν ὄψιν ὡραῖός τε τὴν θέαν. [7] ὑπῆρξεν οὖν μετὰ τὰ πράγματα τάδε, ἦρέ θ' ἡ γυνὴ τοῦ δεσπότου οἱ τὼ κείνης ὄμματε πρὸς ἰωξέφην, ἔφη τ' ἀνακέκλισο ξὺν ἐμοί. [8] ἀπηνήνατο δὲ κἄφη πρὸς τὴν γυναῖκα τοῦ ἑαυτοῦ δεσπότου· θεῶ δεσπότης οὑμὸς οὐκ ἔγνω ξὺν ἐμοί τι οἴκοι, πᾶν θ' ὅπερ ἐστίν οἱ δέδωκεν ἐν χειρί μοι· [9] οὐκ ἔστι μείζων ἐν τῷ δόμῳ τῳδὶ μου, οὔτ' ἐπέσχε πρὸς ἐμοῦ τι, εἰ μὴ σὲ, ἐφοῖς εἶ γυνή οἱ· πῶς οὖν ποιήσω τὸ δεινὸν τὸ μέγα τοδὶ καὶ ἁμάρτω τῷ θεῷ; [10] ὑπῆρξε δ' ἐν τῷ διαλέγεσθαι κείνην πρὸς ἰωξέφην ἡμέρᾳ ἡμέρᾳ, οὐ μὴν ἤκουσε πρὸς ἐκείνην ὡς ἀνακλιθείη παρ' ἐκείνῃ, ὡς ξυγγένοιτο κείνῃ. [11] τοιγαροῦν ὑπῆρξε κατὰ τὴν ἡμέραν ταύτην, ἦλθέ τ' οἴκαδε ποιεῖν τὴν ἰδίαν ὑπηρεσίαν, οὐδείς τ' ἦν πρὸς τῶν ἀνθρώπων τοῦ δόμου ἐκεῖ οἴκοι· [12] κατέσχεν οὖν ἐκεῖνον ἐν τῷ κείνου περιβολαίῳ τῷ φάσκειν· ἀνακέκλισο ξὺν ἐμοί.

XXXIX. 1. ἄ[ρχων] corr. ὁ ἄρχων cod. ἰσμαελιδῶν] sic cod. Cf. XXXVII, 25. 27 sq. 2. ὑπῆρξέ τ' — ἑαυτοῦ in ras. 3. ἐτύγχανε in ras. 5. ἀφοῦπερ (sic; cf, Prol. I, 4, d) in ras. Item τῷ [ὄντι] 6. α[ὐτὸς?] corr. ἐτύγχανεν cod. 7. κείνης cod., non κείνου ut ed. 9. ἐφοῖς] sic cod. Item v. 23. Cf. VI, 3. 10. ἐν τῷ διαλ. κείνην] בְּדַבְּרָהּ pro כְּדַ֫ καὶ ξυγγέν. c. cd. ed. 11. καὶ ἦλθε corr. ἦλθέ τ' cod. 12. αὐτοῦ corr. κείνου

παρῆκε δὲ τὸ περιβόλαιον ἑαυτοῦ ἐν τῇ κείνης χειρὶ, κἄφυγεν ἐξῆλϑέ τε ϑύραζε. [13]ὑπῆρξε δ' ἐν τῷ τεϑεᾶσϑαι κείνην ὅτι παρῆκε τὸ ἑαυτοῦ περιβόλαιον ἐν τῇ κείνης χειρὶ, πέφευγε δὲ ϑύραζε, [14]βεβόηκεν οὖν τοῖς ἀνϑρώποις τοῦ ταύτης δόμου κἄφη σφίσι τῷ λέγειν· ἴδέτε, ἤγαγεν ἡμῖν ἄνδρα ὑβραῖον ὥστε παίζειν ἐν ἡμῖν· ἀφῖκται πρός με ἀνακλιϑῆναι ξὺν ἐμοὶ, βεβόηκά τ' ἐν φωνῇ μεγάλῃ· [15]ὑπῆρξε δ' ἐν τῷ κεῖνον ἀκηκοέναι ὡς ὕψωκα τὴν ἐμὴν φωνὴν βεβόηκά τε, παρῆκεν οὖν τὸ ἴδιον περιβόλαιον παρ' ἐμοὶ, κἄφυγεν ἐξῆλϑέ τε ϑύραζε. [16]παρῆκεν οὖν τὸ κείνου περιβόλαιον παρ' ἐκείνῃ μέχρι τοῦ ἀφικέσϑαι τὸν ἑαυτοῦ δεσπότην πρὸς τὸν ἴδιον οἶκον. [17]διείλεκται δὲ πρὸς ἐκεῖνον κατὰ τοὺς λόγους τούτους τῷ φάσκειν· ἀφῖκται πρός με ὁ οἰκέτης ὁ ὑβραῖος, ὃν ἤγαγες ἡμῖν, ὡς ἐμπαίξειέ μοι. [18]ὑπῆρξε δὲ κατὰ τὸ ὑψωκέναι με τὴν ἐμὴν φωνὴν, ἐβόησά τε, καὶ παρῆκε τὸ περιβόλαιον ἑαυτοῦ παρ' ἐμοὶ κἄφυγε ϑύραζε. [19]ὑπῆρξέ τε κατὰ τὸ ἀκηκοέναι τὸν αὐτοῦ δεσπότην τοὺς λόγους τῆς ἑαυτοῦ γυναικὸς οὓς διείλεκται πρὸς ἐκεῖνον τῷ φάναι· κατὰ τοὺς λόγους τουτουσὶ πεποίηκέ μοι ὁ σὸς οἰκέτης, ὤργισται γοῦν ὁ κείνου ϑυμός. [20]ἔλαβέ ϑ' ὁ δεσπότης ἰωξέφου κεῖνον ἔδωκέ τε κεῖνον πρὸς οἶκον εἱρκτῆς, τόπον ᾧπερ οἱ δεσμῶται τοῦ βασιλέως ἐδεδέσμηντο. κἀτέλεσεν ἐκεῖ ἐν τῷ δόμῳ τῆς εἱρκτῆς. [21]ὑπῆρξε δ' ὁ ὀντωτὴς ξὺν ἰωξέφῃ κἄκλινε πρὸς ἐκεῖνον ἔλεον, ἔδωκέ τε τὴν ἐκείνου χάριν ἐν ὄμμασι τοῦ ἄρχοντος τοῦ δόμου τῆς εἱρκτῆς. [22]κἄδωκεν ὁ ἄρχων τοῦ δόμου τῆς εἱρκτῆς ἐν χειρὶ ἰωξέφου ξύμπαντας τοὺς δεσμώτας ξύμπαντά τε τὰ τῆς εἱρκτῆς· καὶ ξύμπανϑ' ἅπερ ἐποίουν ἐκεῖ, κεῖνος ἐτύγχανε ποιῶν. [23]οὐχ ὁ ἄρχων τοῦ δόμου τῆς εἱρκτῆς ἑώρα ὁτιποτοῦν ὁτιοῦν ἐν χειρί οἱ, ἐφοῖς ὁ ὀντωτὴς ξὺν αὐτῷ· καὶ ἅπερ ἐτύγχανε ποιῶν, ὁ ὀντωτὴς εὐώδου.

[1]Ὑπῆρξε δὲ μετὰ τὰ πράγματα ταδὶ ἥμαρτεν ὁ ποτοχόος τοῦ **XL.**

---

14. ἐβόησεν corr. βεβόηκεν cod. ἴδετε c. cd. ed. τ' ἐν in ras. 15. ἐν τῷ κ. ἀκηκ.] בְּשָׁמְעוֹ pro כְּשָׁ. Cf. v. 19. ὕψωσα corr. ὕψωκα cod. 16. ἑαυτοῦ] sic cod., non αὑτοῦ 17. ἐμπαίζειε c. cd. ed. 20. ὁ κείνου δεσπότης ἰωξέφην corr. ὁ δεσπότης ἰωξέφου κεῖνον cod. δεδέσμηντο cod. 22. ξύμπαντά τε τὰ τῆς εἱρκτῆς (אֲשֶׁר בְּבֵית הַסֹּהַר)] cf. Prol. I, 2, b.
XL. 1. ἥμαρτεν] חָטָא pro חָטְאוּ. Item LXX.

βασιλέως αἰγύπτου ὅ τ' ἀρτοποιὸς τῷ δεσπότῃ σφοῖν τῷ βασιλεῖ αἰγύπτου. [2]τεθύμωται τοίνυν παρεὼν κατὰ τοῖν δυοῖν σπαδώνοιν ἑαυτοῦ, κατὰ τοῦ ἄρχοντος τῶν ποτοχόων κατά τε τοῦ ἄρχοντος τῶν ἀρτοποιῶν· [3]ἔδωκέ τ' αὐτὼ ἐν φρουρᾷ οἴκοι τοῦ ἄρχοντος τῶν κρεωνόμων πρὸς τὸν δόμον τῆς εἱρκτῆς, τὸν τόπον ᾧπερ ἰωξέφης ἐδεδέσμητο ἐκεῖ. [4]ἐπέσκεπται δ' ὁ ἄρχων τῶν κρεωνόμων τὸν ἰωξέφην σὺν ἐκείνοιν, ὑπηρετεῖτο γοῦν ἐκείνοιν· ὑπῆρξαν δ' ἡμέραις ἐν φυλακῇ. [5]ὠνειρωξάτην δ' ὄναρ ἄμφω σφὼ, ἑκάτερος ὄναρ ἴδιον ἐν νυκτὶ μιᾷ, ἑκάτερος κατὰ τὴν ἑρμηνείαν τοῦ ἰδίου ὀνείρατος, ὁ ποτοχόος ὅ τ' ἀρτοποιὸς τὼ τοῦ βασιλέως αἰγύπτου, τὼ δεδεσμημένω ἐν τῷ δέμῳ τῆς εἱρκτῆς. [6]ἀφῖκται δὲ πρὸς ἐκείνω ἰωξέφης ἐν ἕῳ, καὶ τεθέαταί σφε, θεῶ τ' ἤτην τεθορυβημένω. [7]ἤρετο τοίνυν τὼ σπάδωνε τοῦ παρεῶνος, τὼ ξὺν ἑαυτῷ ἐν φυλακῇ οἴκοι τοῦ ἑαυτοῦ δεσπότου, τῷ φάναι· τοῦ χάριν τὼ σφωϊτέρω προσώπω κακὼ τήμερον; [8]εἰπέτην οὖν πρὸς αὐτόν· ὄναρ ὠνειρώξαμεν, ἑρμηνεύων δ' οὐκ ἔστιν αὐτό. ἔφη δὲ πρὸς ἐκείνω ἰωξέφης· ἆρ' οὐ τῷ θεῷ αἱ ἑρμηνεῖαι; διηγήσασθον δή μοι. [9]διηγήσατο γοῦν ὁ ἄρχων τῶν ποτοχόων τὸν ὄνειρον ἑαυτοῦ τῷ ἰωξέφῃ κἄφη οἱ· ἐν ὀνείρῳ μοι, θεῶ τ' ἄμπελος ἐνώπιόν μου· [10]κἀν τῇ ἀμπέλῳ τρεῖς πτόρθοι· κείνη θ' οἷον ἤνθει ἀνέβη τὸ κείνης ἄνθος, ἐπέπηναν τὰ πείσματα κείνης τὰς ῥάγας. [11]κύλιξ δὲ τοῦ παρεῶνος ἐν χειρί μοι· κἄλαβον τὰς ῥάγας ἔθλιψά τε κείνας πρὸς τὴν κύλικα τοῦ παρεῶνος, ἔδωκά τε τὴν κύλικα ἐπὶ τῆς παλάμης τοῦ παρεῶνος. [12]ἔφη γοῦν ἰωξέφης· ἡδὶ ἑρμηνεία οἱ· οἱ τρεῖς πτόρθοι τρεῖς ἡμέραι τελοῦσιν· [13]ἐν ἔτι τρισὶν ἡμέραις ἀρεῖ παρεὼν τὴν σὴν κεφαλὴν στρέψει τέ σε ἐπὶ τῆς σῆς ἕδρας, δώσεις τε τὴν κύλικα παρεῶνος ἐν χειρί οἱ κατὰ κρίσιν τὴν πρώτην ᾗπερ ἐτέλεσας ποτοχόος ἐκείνου. [14]εἰ τοίνυν ἐμνήσθης μου παρὰ σοὶ ἐπὰν ἀγαθύνοι σοι, καὶ ποιήσειας δὴ ξὺν ἐμοὶ ἔλεον, ἀναμνήσειάς τέ με πρὸς παρεῶνα, κἀξαγάγοις με πρὸς τοῦ δόμου

σφῶν corr. σφοῖν cod., non σφῶϊν ut ed. 4. ἐκείνοιν (1) ex corr. (pro ἐκείνοις) cod. 6. καὶ ante τεθέα. postmodo add. cod. 10. ἐπέπηναν, non ἐπέπαναν, cod. ῥάγας, non ῥᾶγας, cod. Item v. sq. 11. κύλιξ in ras. Primo, nisi vestigiis fallor, ποτήριον scriptum erat. 12. ἔφη γοῦν] לו om. 14. τοινῦν c. od. ed. κἀποίησας corr. καὶ ποιήσειας cod. Perperam ed. κἀποιήσειας [κἀξαγά]γοις in ras.

τουδί· 15 τῷ γὰρ κεκλέφϑαι κέκλεμμαι πρὸς τῆς γῆς τῶν ὑβραίων, ἔτι τ' ἐνταυϑοῖ οὐκ ἐποίησά τι, ἐπείπερ ἔϑηκάν με ἐν τῷ βοϑύνῳ. 16 τεϑέαται δ' ὁ ἄρχων τῶν ἀρτοποιῶν ὡς χρηστὸν ἡρμήνευσεν, ἔφη γοῦν πρὸς ἰωξέφην· ἔτιπερ ἔγωγ' ἐν ὀνείρῳ μοι, ϑεῶ τε τρεῖς κόφινοι πελάνου ἐπὶ τῆς ἐμῆς κεφαλῆς· 17 ἐν δὲ κοφίνῳ τῷ μετεώρῳ πρὸς παντὸς ἐδέσματος παρεῶνος, ἔργον ἀρτοποιοῦ· τὸ δὲ πτηνὸν ἤσϑιεν ἐκεῖνα πρὸς τοῦ κοφίνου ἄνωϑεν τῆς ἐμῆς κεφαλῆς. 18 ἀποκέκριται γοῦν ἰωξέφης ἔφη τε· ἠδὶ ἑρμηνεία οἱ· οἱ τρεῖς κόφινοι τρεῖς ἡμέραι τελοῦσιν· 19 ἐν ἔτι τρισὶν ἡμέραις ἀρεῖ παρεὼν τὴν σὴν κεφαλὴν ἄνωϑέν σου, ἀρτήσει τέ σε ἐπὶ ξύλου· ἔδεται γοῦν τὸ πετεινὸν τὴν σὴν σάρκα ἄνωϑέν σου. 20 ὑπῆρξε δ' ἐν ἡμέρᾳ τῇ τρίτῃ, ἡμέρᾳ τοῦ τετέχϑαι τὸν παρεῶνα, κἀποίησε δαῖτα πᾶσι τοῖς ἑαυτοῦ οἰκέταις· ἦρεν οὖν τὴν κεφαλὴν τοῦ ἄρχοντος τῶν ποτοχόων τήν τε κεφαλὴν τοῦ ἄρχοντος τῶν ἀρτοποιῶν μέσοϑεν τῶν ἰδίων οἰκετῶν· 21 ἔστρεψέ τε τὸν ἄρχοντα τῶν ποτοχόων ἐπὶ τὸ ποτὸν ἑαυτοῦ, κἄδωκε τὴν κύλικα ἐπὶ παλάμης τοῦ παρεῶνος· 22 τὸν δ' ἄρχοντα τῶν ἀρτοποιῶν ἤρτησε, καϑάπερ ἡρμήνευσε σφοῖν ἰωξέφης. 23 οὐ μὴν ἐμνημόνευσεν ὁ ἄρχων τῶν ποτοχόων τοῦ ἰωξέφου, ἐπιλέλησται δὲ κείνου.

XLI. *μερίς*

1 Ὑπῆρξε δ' ἀπ' ἄκρου διετίας ἡμερῶν, καὶ παρεὼν ὠνειρώχει· ϑεῶ ϑ' ἵστατο ἐπὶ τοῦ ῥύακος, 2 αὐτίκα τε πρὸς τοῦ ῥύακος ἀνήεσαν ἑπτὰ δαμάλεις ὡραῖαι τὴν ϑέαν ὑγιεῖς τε τὴν σάρκα, νενέμηνται δ' ἐν τῷ λειμῶνι· 3 ϑεῶ ϑ' ἑπτὰ δαμάλεις ἕτεραι ἀνήεσαν μετ' ἐκείνας πρὸς τοῦ ῥύακος, κακαὶ τὴν ϑέαν καὶ λεπταὶ τὴν σάρκα, κἄστησαν παρὰ ταῖς δαμάλεσιν ἐπὶ τοῦ χείλους τοῦ ῥύακος· 4 βεβρώκασι δ' αἱ δαμάλεις αἱ κακαὶ τὴν ϑέαν καὶ λεπταὶ τὴν σάρκα τὰς ἑπτὰ δαμάλεις τὰς ὡραίας τὴν ϑέαν καὶ ὑγιεῖς. διύπνισται δὲ παρεών. 5 ὕπνωσέ τε καὶ ὠνείρωξε δεύτερον· αὐτίκα ϑ' ἑπτὰ στάχυες ἀνήεσαν ἐν καλάμῳ ἑνὶ εὐεκτοῦντες καὶ καλοί· 6 ϑεῶ ϑ' ἑπτὰ στάχυες λεπτοὶ καὶ τετυπότες ἀφηλιώτῃ ἔφυον μετ' ἐκείνους· 7 κατέπιον δ' ἀστάχυες οἱ λεπτοὶ τοὺς ἑπτὰ

---

17. ἐν δὲ cod., non ἕν τε ut ed. ἔργον cod., non ἔργου 21. πότον c. cd. ed.

XLI. 3. ῥύακος (2)] sub ρ conspicitur π; unde intelligitur, eum ποταμοῦ scripturum fuisse. Cf. Prol. I, 2, e.

στάχυας τοὺς εὐεκτοῦντας καὶ πλήρεις. ἐγρηγόρησε δὲ παρεὼν, ϑεῶ τ' ὄνειρος. [8] ὑπῆρξέ τ' ἐν ἕῳ, κάδούπησε τὸ πνεῦμά οἱ· κἄπεμψεν ἐκάλεσέ τε ξύμπαντας τοὺς γενεϑλιαλόγους αἰγύπτου ξύμπαντάς τε τοὺς σοφοὺς, καὶ διηγήσατο παρεὼν ἐκείνοις τὸν ἴδιον ὄνειρον· οὐδεὶς δ' ἡρμήνευέ σφε τῷ παρεῶνι. [9] διείλεκται γοῦν ὁ ἄρχων τῶν ποτοχόων τῷ παρεῷ τῷ φάναι· τὰς ἐμὰς ἁμαρτίας ἔγωγ' ἀναμιμνήσκω τήμερον. [10] ὁ παρεὼν ὤργισται κατὰ τοῦ ἑαυτοῦ οἰκέτου κἄδωκέ με ἐν φρουρᾷ οἴκοι τοῦ ἄρχοντος τῶν κρεωνόμων, ἐμὲ καὶ τὸν ἄρχοντα τῶν ἀρτοποιῶν. [11] ὠνειρώξαμεν δ' ὄνειρον ἐν νυκτὶ μιᾷ, ἐγὼ κἀκεῖνος· ἑκάτερος κατὰ τὴν ἑρμηνείαν τοῦ ἰδίου ὀνείρου ὠνειρώξαμεν. [12] ἐκεῖ δὲ ξὺν ἡμῖν νέος ὑβραῖος, οἰκέτης τοῦ ἄρχοντος τῶν κρεωνόμων· καὶ διηγησάμεϑά οἱ, καὶ ἡρμήνευσεν ἡμῖν τὼ νῶϊν ὀνείρω· ἑκατέρῳ κατὰ τὸν ἴδιον ὄνειρον ἡρμήνευσεν. [13] ὑπῆρξε δὲ καϑάπερ ἡρμήνευσε νῶϊν, τῇδ' ἐτέλεσεν· ἐμὲ ἀποκατέστησεν ἐπὶ τῆς ἐμῆς ἕδρας, ἐκεῖνον δ' ἀνήρτησε. [14] τοιγαροῦν ἔπεμψε παρεὼν ἐκάλεσέ τε τὸν ἰωξέφην· ἤπειξάν τε κεῖνον ἀπὸ τοῦ βόϑρου, κάξύρηται καὶ ἤμειπται τὰ ἴδια περιβόλαια, ἥκει τε πρὸς παρεῶνα. [15] ἔφη τοίνυν παρεὼν πρὸς ἰωξέφην· ὄνειρον ὠνείρωξα, ἑρμηνεύει δ' οὐδεὶς αὐτόν· ἐγὼ δ' ἤκουσα περὶ σοῦ τῷ φάσκειν· ἀκούσεις ὄνειρον ὥσϑ' ἑρμηνεῦσαί ἑ. [16] ἀποκέκριται γοῦν ἰωξέφης τῷ παρεῶνι τῷ φάναι· χωρὶς ἐμοῦ· ὁ ϑεὸς ἀποκρινεῖται τὴν εἰρήνην τοῦ παρεῶνος. [17] διείλεκται τοίνυν παρεὸς πρὸς ἰωξέφην· ἐν ὀνείρῳ μοι, αὐτίκ' ἐτύγχανον ἑστὼς ἐπὶ τοῦ χείλους τοῦ ῥύακος· [18] αὐτίκα τε πρὸς τοῦ ῥύακος ἀνήεσαν ἑπτὰ δαμάλεις εὐεκτοῦσαι τὴν σάρκα ὡραῖαί τε τὴν ὄψιν, ἐνέμοντό τ' ἐν τῷ λειμῶνι· [19] ϑεῶ ϑ' ἑπτὰ δαμάλεις ἕτεραι ἀνήεσαν μετ' ἐκείνας, λεπταὶ κακαί τε τὴν ὄψιν ἐπιεικῶς καὶ λεπταὶ τὴν σάρκα· οὐκ εἶδον κατ' ἐκείνας ἐν πάσῃ τῇ γῇ αἰγύπτου εἰς

---

8. τοὺς ἰδίους ὀνείρους c. cd. ed. (cf. Mor. Bibl. Manuscr. p. 11) itemque v. 12. 9. παρεῷ] sic, non παρεῶνι, cod. Cf. v. 17. XLI, 17. 10. τοῦ ἑαυ. οἰκέτου] עַבְדוֹ pro עֲבָדָיו 12. νῶϊν in rasura, correctionis muniendae causa iteratum in margine. ἡρμήνευσεν (2) cod., non ἡρμήνευεν ut ed. 13. ὑπῆρξε δὲ (νῶϊν perperam ex margine add. ed.)] δὲ factum ex δ', ac dein καϑάπερ in ras. ἡρμήνευσεν ἡμῖν corr. ἡρμήνευσε νῶϊν cod. Ed. ἡρμήνευε ἡμῖν 15. ἐγὼ δ' cod., non ἔγωγ' ut ed. 17. παρεὸς] sic cod., non παρεὼν 19. ἐπιεικῶς compendio usitatissimo cod., non ἐπιεικεῖς, ut Mor. legi jubet.

κακίαν· [20]βεβρώκασι δ' αἱ δαμάλεις αἱ λεπταὶ καὶ κακαὶ τὰς ἑπτὰ δαμάλεις τὰς πρώτας τὰς εὐεκτούσας, [21]ἀφίκοντό τε πρὸς τὰ κείνων ἔγκατα, οὔτ' ἐγνώσθη ὡς ἀφίκοντο πρὸς τὰ κείνων ἔγκατα· ἡ δὲ κείνων ὄψις κακὴ καθάπερ ἐν ἀρχῇ. ἐγρηγόρησα δέ. [22]τεθέαμαί τ' ἐν ὀνείρῳ μοι, θεῶ θ' ἑπτὰ στάχυες ἀνήεσαν ἐν καλάμῳ ἑνὶ πλήρεις καὶ χρηστοί· [23]θεῶ θ' ἑπτὰ στάχυες μικροί, λεπτοί, τετυπότες ἀφηλιώτῃ ἔφυον μετ' ἐκείνους· [24]κατέπιον δ' ἀστάχυες οἱ λεπτοὶ τοὺς ἑπτὰ στάχυας τοὺς χρηστούς. ἔφην δὲ πρὸς τοὺς γενεθλιαλόγους, οὐδεὶς μέντοι διηγεῖταί μοι. [25]τοιγαροῦν εἶπεν Ἰωξέφης πρὸς παρεῶνα· ὁ ὄνειρος τοῦ παρεῶνος εἷς ἐστιν· ἅπερ ὁ θεὸς ποιεῖ ἤγγειλε τῷ παρεῶνι. [26]ἑπτὰ δαμάλεις αἱ χρησταὶ ἑπτὰ ἔτη τελοῦσιν, ἑπτά τε στάχυες οἱ χρηστοὶ ἑπτὰ ἔτη τελοῦσιν· ὁ ὄνειρος εἷς ἐστιν. [27]αἵ θ' ἑπτὰ δαμάλεις αἱ λεπταὶ καὶ κακαὶ αἱ ἀνιοῦσαι μετ' ἐκείνας ἑπτὰ ἔτη τελοῦσιν, οἵ θ' ἑπτὰ στάχυες οἱ λεπτοὶ οἱ τετυπότες ἀφηλιώτῃ τελέσουσιν ἑπτὰ ἔτη λιμοῦ. [28]αὐτὸς ὁ λόγος ὃν διείλεγμαι πρὸς παρεῶνα· ἅπερ ὁ θεὸς ποιεῖ δέδειχε τῷ παρεῶνι· [29]αὐτίχ' ἑπτὰ ἔτη ἀφικνοῦνται κόρου μεγάλου ἐν πάσῃ γῇ αἰγύπτου· [30]ἐγεροῦνταί θ' ἑπτὰ ἔτη λιμοῦ μετ' ἐκεῖνα, κἀπιλησθήσεται πᾶς ὁ κόρος ἐν γῇ αἰγύπτου, φθερεῖ θ' ὁ λιμὸς τὴν γῆν· [31]οὔτε γνωσθήσεται ὁ κόρος ἐν τῇ γῇ ἀπὸ προσώπου τοῦ λιμοῦ κείνου μεταταῦτα, βαρὺς γὰρ ἐκεῖνος ἄγαν. [32]περὶ δὲ τοῦ διττεῦσαι τὸν ὄνειρον πρὸς παρεῶνα δίς, ὅτι κατιθυσμένον τὸ πρᾶγμα πρὸς τοῦ θεοῦ, ταχύνει τε ὁ θεὸς ποιεῖν αὐτό. [33]νῦν οὖν τεθεάσθω ὁ παρεὼν ἄνδρα ξυνετὸν σοφόν τε, θέτω τε κεῖνον ἐπὶ τῆς γῆς αἰγύπτου· [34]ποιησάτω παρεὼν ἐπισκεψάσθω τ' ἐπισκόπους ἐπὶ τῆς γῆς, πεμπτωσάτω τε τὴν γῆν αἰγύπτου ἐν τοῖς ἑπτὰ ἔτεσι τοῦ κόρου· [35]ξυναθροισάντων τε ξύμπαν βρῶμα τῶν ἐτῶν τῶν χρηστῶν τῶν ἀφικνουμένων τούτων, σωρευσάντων τε πυρὸν ὑπὸ τῇ χειρὶ παρεῶνος, βρῶμα ἐν ταῖς πόλεσι, καὶ τηρησάντων. [36]ἔσται γοῦν τὸ βρῶμα εἰς ἐπίσκεψιν τῇ γῇ τοῖς ἑπτὰ ἔτεσι τοῦ λιμοῦ ἃ τελέσουσιν ἐν τῇ γῇ

---

22. ἐπανήεσαν c. ed. ed. χρησταί (ut ed.) corr. χρηρτοί cod. 23. μικραὶ corr. μικροὶ κἄφυον corr. ἔφυον 24. δὲ στάχυες (ut ed.) corr. δ' ἀστάχυες cod. 26. ἑπτὰ (1)] praemiserat αἱ, sed postea erasit. ἑπτά τε cod., non ἑπτὰ δὲ ut ed. 27. οἱ λεπτοὶ] הָרַקּוֹת vel הָדַקּוֹת pro הָרִקּוֹת 29. π[ολλοῦ?] corr. μεγάλου cod. 31. μεταταῦτα (sic) cod., non μετ' αὐτὸν ut ed. 36. [ἐπίσκεψιν] τῆς γῆς corr. τῇ γῇ cod.

αἰγύπτου, οὔκουν ὀλοϑρευϑήσεται ἡ γῆ ἐν τῷ λιμῷ. [37]ἠγάϑυνε τοίνυν ὁ λόγος ἐν ὄμμασι παρεῶνος ἐν ὄμμασί τε πάντων τῶν οἰκετῶν ἐκείνου. [38]τοιγαροῦν ἔφη παρεὼν πρὸς τοὺς ἰδίους οἰκέτας· ἆρ' εὑρήσομεν κατὰ τόνδε ἄνδρα ᾧ πνεῦμα ϑεοῦ ἐν αὐτῷ; [39]ἔφη τοίνυν παρεὼν πρὸς ἰωξέφην· ἐπειδήπερ ἐγνώρισεν ὁ ϑεός σοι ξύμπαν τοδί, οὐδεὶς ξυνετὸς σοφός τε κατὰ σέ. [40]σὺ τελέσεις ἐπὶ τοῦ ἐμοῦ δόμου, κἀπὶ τῷ σῷ στόματι ὁπλιεῖται πᾶς ὁ ἐμὸς λεώς· μόνον τὸν ϑᾶκον μεγαλυνῶ ὑπὲρ σέ. [41]κἄφη παρεὼν πρὸς ἰωξέφην· ϑεῶ δέδωκά σε ἐπὶ πάσης τῆς γῆς αἰγύπτου. [42]ἀφεῖλε τοίνυν παρεὼν δακτύλιον τὸν ἑαυτοῦ ἄνωϑεν τῆς ἑαυτοῦ χειρὸς ἔδωκέ τε κεῖνον ἐπὶ χειρὸς ἰωξέφου, περιέβαλέ τε κεῖνον περιβόλαια λίνου, τέϑεικέ ϑ' ὅρμον τὸν χρυσοῦν ἐπὶ τοῦ κείνου αὐχένος· [43]ὤχησέ τε κεῖνον ἐφ' ἁρμαμάξης τῆς δευτέρας τῆς ἑαυτοῦ, κἀβόησαν πρόσϑεν ἐκείνου γονυπετεῖν, διδόναι τέ ἑ ἐπὶ πάσης τῆς γῆς αἰγύπτου. [44]κἄφη παρεὼν πρὸς ἰωξέφην· ἐγὼ παρεών, ἄνευ τε σοῦ οὐχ ὑψώσει ἀνὴρ τὴν ἑαυτοῦ χεῖρα τόν ϑ' ἑαυτοῦ πόδα ἐν πάσῃ τῇ γῇ αἰγύπτου. [45]ἐκάλεσέ τε παρεὼν ὄνομα ἰωξέφῃ σαφναϑηνπαανέχαν· κἄδωκέν οἱ τὴν ἀξενάϑην τὴν ϑυγατέρα ποτιφαράου τοῦ ἱερέως ὠνὸς εἰς γυναῖκα. ἐξῆλϑέ τ' ἰωξέφης ἐπὶ τὴν γῆν αἰγύπτου. [46]ἰωξέφης δ' υἱεὺς τριακονταετὴς ὁπηνίκα κεῖνος ἵστατο ἐνώπιον παρεῶνος τοῦ βασιλέως αἰγύπτου. κἀξῆλϑεν ἰωξέφης ἐνωπιόϑεν παρεῶνος, διῆλϑέ τ' εἰς πᾶσαν γῆν αἰγύπτου. [47]κἀποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τοῦ κόρου εἰς ξυλλογάς· [48]ξυνήϑροισεν οὖν ξύμπαν βρῶμα τῶν ἑπτὰ ἐτῶν ἅπερ ἐτέλεσαν ἐν τῇ γῇ αἰγύπτου, κἄδωκε βρῶμα ἐν τοῖς ἄστεσι· βρῶμα τοῦ ἀγροῦ τοῦ ἄστεος τοῦ κύκλῳ κείνου ἔδωκεν ἐν μέσῳ κείνου. [49]κἀσώρευσεν ἰωξέφης πυρὸν κατὰ τὴν ἄμμον τῆς ϑαλάττης πολὺν ἄγαν, μέχρις οὗπερ ἐπαύσατο ξυναϑροίζων· οὐ γὰρ ἦν ἀριϑμός. [50]τῷ τ' ἰωξέφῃ τετέχατον δύο υἱὼ πρὶν ἀφίκοιτο τὸ ἔτος τοῦ λιμοῦ, ὥπερ ἔτεκέν οἱ ἀξενέϑη ἡ ϑυγάτηρ ποτιφαράου τοῦ ἱερέως ὠνός. [51]ἐκάλεσέ τ' ἰωξέφης τοὔνομα τοῦ

37. ἠγάϑυνεν corr. ἠγάϑυνε cod. 39. ϑεὸς σοὶ c. cd. ed. 42. Ante δακτύλιον rasura voculae (τὸν). περιβόλαια cod., non περιβόλαιον ut ed. τε corr. ϑ' cod. 45. ποτιφάρου (ut ed.) corr. ποτιφαράου cod. ὥνος corr. ὠνὸς 49. ἄμμον] sic cod. Cf. XXII, 17. πολλὴν corr. πολὺν cod. ξυναϑροίζων] לִצְבֹּר pro לִסְפֹּר. Cf. paullo superius וַיִּצְבֹּר 50. ᾧπερ c. cd. ed. ποτιφάρου rursus c. cd. ed. ὠνός ex corr. (ut supra) cod.

πρωτοτόκου μενασέα· πεπείρακε γάρ με ὁ ϑεὸς, ξύμπαντα τὸν ἐμὸν μόχϑον ξύμπαντά τε τὸν δόμον τοῦ ἐμοῦ πατρός· [52]τὸ δ' ὄνομα τοῦ δευτέρου κέκληκεν ἐφραΐμον· ηὔξησε γάρ με ὁ ϑεὸς ἐν τῇ γῇ τῆς ἐμῆς ταλαιπωρίας. [53]ἐτελεύτησαν δὲ τὰ ἑπτὰ ἔτη τοῦ κόρου ὃς ἐτέλεσεν ἐν τῇ γῇ αἰγύπτου, [54]καὶ ἤρξαντο τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ ἀφικνεῖσϑαι, καϑάπερ ἔφη ἰωξέφης· ἐτέλεσέ τε λιμὸς ἐν πάσαις ταῖς γαίαις, ἐν πάσῃ δὲ γῇ αἰγύπτου ὑπῆρξεν ἄρτος. [55]ἐλίμωξε μέντοι πᾶσα γῆ αἰγύπτου, κέκραγέ ϑ' ὁ λεὼς πρὸς παρεῶνα εἰς τὸν ἄρτον. ἔφη δὲ παρεὼν πάσῃ αἰγύπτῳ· ἄπιτε πρὸς ἰωξέφην, ἅττ' ἐρεῖ ὑμῖν ποιήσετε. [56]ὁ δὲ λιμὸς ὑπῆρξεν ἐπὶ παντὸς τοῦ προσώπου τῆς γῆς· ἀνέῳξεν οὖν ἰωξέφης ξύμπαντα τὰ ἐν ἐκείνοις, κἄπρασε τῇ αἰγύπτῳ· ἐκρατύνϑη δ' ὁ λιμὸς ἐν τῇ γῇ τῆς αἰγύπτου. [57]πᾶσά ϑ' ἡ γῆ ἀφίκοντο αἴγυπτόνδε ὠνήσασϑαι πρὸς ἰωξέφην, ἐπείπερ ἐκρατύνϑη ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ. [1]τεϑέαται δ' ἰακῶβος ὡς ἔστι βρῶμα ἐν αἰγύπτῳ· ἔφη τοίνυν ἰακῶβος τοῖς ἰδίοις υἱέσι· τοῦ χάριν δραϑήσεσϑε; [2]κἄφη· ϑεῷ πέπυσμαι ὡς ἔστι βρῶμα ἐν αἰγύπτῳ· κατάβητε ἐκεῖσε πρίασϑέ ϑ' ἡμῖν ἐκεῖϑεν, βιώσομεν οὖν καὶ οὐ τεϑνηξόμεϑα. [3]κατέβησαν οὖν ἀδελφοὶ ἰωξέφου οἱ δέκα πρίασϑαι πυρὸν ἐξ αἰγύπτου· [4]τόν γε μὴν βιναμῖνα τὸν ἀδελφὸν ἰωξέφου οὐκ ἔπεμψεν ἰακῶβος ξὺν τοῖς ἀδελφοῖς ἐκείνου· ἔφη γάρ· μήπως ξυναντήσῃ οἱ μόρος. [5]ἀφίκοντο τοίνυν οἱ υἱεῖς ἰσραέλου πρίασϑαι ἐν μέσῳ τῶν ἀφικνουμένων· ἐτέλεσε γὰρ ὁ λιμὸς ἐν τῇ γῇ κεναᾶνος. [6]ἰωξέφης δ' ἐτέλει ὁ ἡγούμενος ἐπὶ τῆς γῆς, ἐκεῖνος ὁ πιπράσκων παντὶ τῷ λεῷ τῆς γῆς· ἀφίκοντο γοῦν ἀδελφοὶ ἰωξέφου οἱ δέκα καὶ προσεκύνησάν οἱ προσώποις ἐς γῆν. [7]εἶδε δ' ἰωξέφης τοὺς ἀδελφοὺς ἑαυτοῦ ἐπέγνω τε σφᾶς, ἐξεκαύϑη τε πρὸς αὐτοὺς καὶ διείλεκται σφίσι σκληρὰ, κἄφη πρὸς ἐκείνους· πόϑεν ἀφῖχϑε; κἄφησαν· πρὸς γῆς κεναᾶνος, πρίασϑαι βρῶμα. [8]ἐπέγνω μὲν ἰωξέφης τοὺς ἰδίους ἀδελφοὺς, ἐκεῖνοί γε μὴν οὐκ ἐπέγνωσάν ἑ.

XLII.

---

54. ἐν δὲ πάσῃ corr. ἐν πάσῃ δὲ cod.

XLII. 1. ἔστιν ὠνὴ corr. ἔστι βρῶμα cod. 2. ἐν αἰγύπτου cod. In mente habuisse videtur ἐν γῇ αἰγ. Cf Prol. I, 2, a. 3. Ante ἀδελφοὶ erasum οἱ. Item v. 6. 6. οἱ δέκα] עֲשָׂרָה abest a textu Hebr. Sed cf. v. 3. 7. ἀδελ[φοὺς] in ras. κἀπέγνω corr. ἐπέγνω τε cod. ἐξεκαύϑη] וַיִּתְבָּעֵר pro וַיִּתְנַכֵּר? κεί[νοις] corr. σφίσι cod. ἄφιχϑε cod. Correctionem (cf. v. 9. 12.) negligentiâ praeteriit.

[9]ἐμνήσθη τ' ἰωξέφης τῶν ὀνείρων οὓς ὠνείρωξε σφίσιν. ἔφη τε πρὸς ἐκείνους· κατάσκοποι τελεῖτε, θεάσασθαι τὴν ἀσχημοσύνην τῆς γῆς ἀφῖχθε· [10]ἔφησαν δὲ πρὸς ἐκεῖνον· ἥκιστα, δέσποτ' ἐμέ· οἱ σοὶ δ' οἰκέται ἀφίκοντο πρίασθαι βρῶμα· [11]πάντες ἡμεῖς υἱεῖς ἀνδρὸς ἑνὸς τελοῦμεν, ἀληθεῖς ἐσμεν· οὐχ ὑπῆρξαν οἱ σοὶ οἰκέται κατάσκοποι. [12]κἄφη πρὸς ἐκείνους· οὐδαμῶς, ἀλλὰ τὴν ἀσχημοσύνην τῆς γῆς ἀφῖχθε θεασόμενοι. [13]καὶ εἶπον· δυοκαίδεκα σοὶ οἰκέται ἀδελφοὶ τελοῦμεν, υἱεῖς ἀνδρὸς ἑνὸς ἐν γῇ κεναανος· θεῷ θ' ὅ γ' ἥττων σὺν τῷ ἡμετέρῳ πατρὶ τήμερον, ὁ δ' εἷς οὐκ ἔστιν. [14]ἔφη τοίνυν πρὸς αὐτοὺς ἰωξέφης· ἐκεῖνο ὃ διείλεγμαι πρὸς ὑμᾶς τῷ φάναι· κατάσκοποι τυγχάνετε· [15]ἐν τῷδε ἐτασθήσεσθε· ζῇ παρεὼν, εἰ ἐξελεύσοισθε ἐντεῦθεν, εἰ μὴ ἐν τῷ ἀφῖχθαι τὸν ὑμέτερον ἀδελφὸν τὸν ἥττω ἐνθαδί. [16]πέμψατε πρὸς ὑμῶν ἕνα, λαβέτω τε τὸν ὑμέτερον ἀδελφὸν, ὑμεῖς δὲ πεπέδησθε· ἐτασθήσονται γοῦν οἱ ὑμέτεροι λόγοι, ἆρ' ἀλήθεια ξὺν ὑμῖν· εἰ δὲ μὴ, ζῇ παρεὼν, ὅτι κατάσκοποι τελεῖτε. [17]ξυνήγαγεν οὖν ἐκείνους πρὸς φρουρὰν τρισὶν ἡμέραις. [18]ἔφη τε πρὸς ἐκείνους ἰωξέφης ἐν ἡμέρᾳ τῇ τρίτῃ· τοδὶ ποιήσατε, καὶ βιοῦτε· τὸν θεὸν ἐγὼ δέδια. [19]εἴπερ ἀληθεῖς τυγχάνοιτε, ἀδελφὸς ὑμῶν εἷς δεδέσθω οἴκοι τῆς ὑμετέρας φρουρᾶς, ὑμεῖς δ' ἄπιτε ἄγετε τὸ βρῶμα τῆς λιμώξεως τῶν ὑμετέρων δόμων· [20]τὸν δ' ὑμέτερον ἀδελφὸν τὸν ἥττω ἀγάγετε πρός με, πιστευθήσονταί θ' οἱ ὑμέτεροι λόγοι, οὔτε τεθνήξεσθε. τοιγαροῦν ἐποίησαν οὕτω. [21]κἄφησαν ἕκαστος πρὸς τὸν ἑαυτοῦ ἀδελφόν· ὄντως πεπλημμεληκότες τυγχάνομεν ἐπὶ τῷ ἡμῶν ἀδελφῷ, οἳ τεθεάμεθα τὴν θλίψιν τῆς ἐκείνου ψυχῆς ἐν τῷ λιτανεύειν ἐκεῖνον πρὸς ἡμᾶς, οὐ μὴν ἠκούσαμεν· ὅθεν ἀφῖκται πρὸς ἡμᾶς ἡ θλίψις ἠδί. [22]ἀποκέκριται δὲ ῥεουβένης αὐτοῖς τῷ φάναι· μῶν οὐκ ἔφην πρὸς ὑμᾶς τῷ φάναι· μὴ ἁμάρτητε ἐν τῷ παιδίῳ, οὐ μὴν ἠκούσατε; ἔτι γοῦν τὸ κείνου αἷμα θεῷ ζητεῖται. [23]κεῖνοι δ' οὐκ ἔγνωσαν ὡς ἤκουεν ἰωξέφης, ὁ γὰρ ἑρμηνεὺς μέσον αὐτῶν· [24]ἐστράφη δ' ἄνωθεν αὐτῶν ἔκλαυσέ τε, καὶ ὑπέστρεψε πρὸς αὐτοὺς καὶ διείλεκται πρὸς αὐτούς. ἔλαβέ τε

---

9. ἄφιχθε corr. ἀφῖχθε cod. itemque v. 12. 12. κἄφη πρὸς in rasura. 16. Post πέμψατε rasura voculae (δὴ?). 21. ἀφῦκται cod., non ἀφῖχθαι ut ed. 22. παιδίῳ cod., non παιδίᾳ ut (typ. vit.?) apud Mor. legitur. ἠκούσατε; ἔτι] hoc loco ipse cod. praebet signum interrogationis. Ed. ἠκούσατε ἔτι; 24. ὑπέστρεψεν corr. ὑπέστρεψε cod.

πρὸς αὐτῶν τὸν συμεῶνα, κᾶδησεν ἐκεῖνον ἐν ὄμμασιν αὐτῶν. [25]ἐκέλευσε δ' ἰωξέφης, κἀνέπλησαν τὰ κείνων σκεύη πυροῦ, καὶ ὡς στρέψαιεν τοὺς ἀργύρους αὐτῶν ἑκάστου πρὸς τὸν ἴδιον σάκκον, δοῦναί τε σφίσι τροφὴν εἰς τὴν ὁδόν. ἐποίησεν οὖν ἐκείνοις οὕτω. [26]καὶ ἦραν τὸ σφῶν ὤνιον ἐπὶ τῶν σφετέρων ὄνων, ἀπῆλθόν τ' ἐκεῖθεν. [27]ἤνοιξε δ' ὁ εἷς τὸν ἑαυτοῦ σάκκον, δοῦναι χιλὸν τῷ ὄνῳ οἱ ἐν τῇ μονῇ· τεθέαται γοῦν τὸν ἐκείνου ἄργυρον, θεῶ τ' ἦν ἐν τῷ στόματι τοῦ μαρσήπου οἱ. [28]κᾄφη πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ· ἔστραπται οὑμὸς ἄργυρος, ἔτι τ' ἰδού γ' ἐν τῷ μαρσήπῳ μοι. τοιγαροῦν ἐξῆλθεν ἡ σφῶν καρδία, τετρόμασί θ' ἕκαστος πρὸς τὸν ἑαυτοῦ ἀδελφὸν τῷ φάσκειν· τί τόδ' ἐποίησεν ὁ θεὸς ἡμῖν; [29]ἀφίκοντο μέντοι πρὸς ἰακῶβον τὸν ἑαυτῶν πατέρα εἰς γῆν κεναᾶνος, ἤγγειλάν τέ οἱ ξύμπαντα τὰ ξυμβάντα σφίσι τῷ φάναι· [30]διείλεκται ὁ ἀνὴρ ὁ δεσπότης τῆς γῆς ξὺν ἡμῖν σκληρὰ, κᾄδωκεν ἡμᾶς ὡς κατασκοποῦντας τὴν γῆν. [31]ἔφημεν δὲ πρὸς ἐκεῖνον· ἀληθεῖς τελοῦμεν, οὐχ ὑπήρξαμεν κατάσκοποι· [32]δυοκαίδεκα τελοῦμεν κασίγνητοι, υἱεῖς τοῦ ἡμετέρου πατρός· ὁ εἷς οὐκ ἔστιν, ὁ δ' ἥττων σήμερον σὺν τῷ ἡμετέρῳ πατρὶ ἐν γῇ κεναᾶνος. [33]ἔφη γοῦν πρὸς ἡμᾶς ὁ ἀνὴρ ὁ δεσπότης τῆς γῆς· ἐν τῷδ' εἴσομαι ὡς ἀληθεῖς τελεῖτε· ἀδελφὸν ὑμῶν τὸν ἕνα πάρετε ξὺν ἐμοὶ, τὸν δὲ πεινασμὸν τῶν ὑμετέρων οἰκιῶν λάβετε καὶ ἄπιτε· [34]καὶ ἀγάγετε τὸν ὑμῶν ἀδελφὸν τὸν ἥττω πρὸς ἐμὲ, εἴσομαί θ' ὡς οὐ κατάσκοποι τελεῖτε, ἐπείπερ ἀληθεῖς τελεῖτε· τὸν ὑμέτερον ἀδελφὸν δώσω ὑμῖν, τήν τε γῆν ἐμπορεύσεσθε. [35]ὑπῆρξέ τε κείνων κενούντων τοὺς ἑαυτῶν σάκκους, θεῶ θ' ἑκάστου ὁ ἀπόδεσμος τοῦ ἀργύρου οἱ ἐν τῷ σάκκῳ οἱ· τεθέανται γοῦν τοὺς ἀποδέσμους τῶν ἀργύρων ἑαυτῶν ἐκεῖνοι καὶ ὁ κείνων πατὴρ, κᾄδεισαν. [36]ἔφη δὲ πρὸς αὐτοὺς ἰακῶβος ὁ σφῶν πατήρ· ἐμὲ ἠτεκνώσατε· ἰωξέφης οὐκ ἔστι, συμεών τ' οὐκ ἔστι, καὶ τὸν βινιαμῖνα λήψεσθε; ἐπ' ἐμοῦ γ' ἐτέλεσαν πάντα τάδε; [37]ἔφη δὲ ῥεουβένης πρὸς τὸν

27. μαρσήπου, non μαρσίπου, cod. Item v. sq. XLIII, 12. 18. 21 sqq. XLIV, 1 sqq. 28. φάναι corr. φάσκειν cod. 30. κατασκόπους τῆς corr. κατασκοποῦντας τὴν 31. ἔφημεν, non ἔφαμεν, cod. Cf. XXXI, 14. XLIII, 29. 33. ἀδελφὸς corr. ἀδελφὸν cod. 35. τ' ἑκάστου c. cd. ed. αὐτῶν (ut ed.) corr. ἑαυτῶν cod. κείνων (2) cod., non κείνου ut ed. 36. βενιαμῖνα c. cd. ed. [πάν]τα τάδε in ras. Ceterum interrogationis signa et post λήψεσθε et post τάδε ipse cod. exhibet.

ἑαυτοῦ πατέρα τῷ φάσκειν· τὼ δύο υἱώ μου θανατώσεις ἢν μὴ ἀγάγω ἓ πρὸς σέ· δὸς αὐτὸν ἐπὶ χειρός μοι, κἄγωγ' ἀποστρέψω ἓ πρὸς σέ. [38]ἔφη δέ· οὐ καταβήσεται οὑμὸς υἱὸς ξὺν ὑμῖν· ὁ γὰρ ἀδελφὸς αὐτοῦ τέθνηκεν, αὐτὸς δὲ μόνος ἑαυτῷ περιλέλειπται· ξυμβήσεται δέ οἱ μόρος ἐν τῇ ὁδῷ ᾗ βαδιεῖσθε ἐν αὐτῇ, καὶ
XLIII. κατάξετε τὴν ἐμὴν πολιὰν ἐν ἄλγει ἐς ᾅδου. [1]ὁ δὲ λιμὸς βαρὺς ἐν τῇ γῇ. [2]ὑπῆρξέ δ' ἐπείπερ ἐτελεύτησαν ἐσθίοντες τὸ ὤνιον ὅπερ ἤνεγκαν ἀπ' αἰγύπτου, ἔφη τοίνυν πρὸς αὐτοὺς ὁ σφέτερος πατήρ· ὑποστρέψατε πρίασθε ἡμῖν ὀλίγον βρώματος. [3]ἔφη δὲ πρὸς αὐτὸν ἰεουδάος τῷ φάσκειν· τῷ μαρτύρεσθαι ἐμαρτύρατο ἐν ἡμῖν ὁ ἀνὴρ τῷ φάναι· οὐκ ὄψεσθε τοὐμὸν πρόσωπον ἄνευ τοῦ ὑμῶν ἀδελφοῦ ξὺν ὑμῖν. [4]εἰ τυγχάνοις πέμπων τὸν ἡμῶν ἀδελφὸν ξὺν ἡμῖν, καταβησόμεθα καὶ ὠνησόμεθά σοι βρῶμα· [5]εἰ δὲ μὴ τυγχάνοις πέμπων, οὐ καταβησόμεθα· ὁ γὰρ ἀνὴρ ἔφη πρὸς ἡμᾶς· οὐκ ὄψεσθε πρόσωπον τοὐμὸν ἄνευ τοῦ ὑμῶν ἀδελφοῦ ξὺν ὑμῖν. [6]ἔφη τ' ἰσραέλος· τοῦ χάριν ἐκακώσατέ με τῷ γ' ἀγγεῖλαι τῷ ἀνδρὶ μῶν ἔτι ὑμῖν ἀδελφός; [7]ἔφησαν δέ· τῷ ἔρεσθαι ἤρετο ὁ ἀνὴρ εἰς ἡμᾶς εἴς τε τὴν ἡμετέραν πατρίδα τῷ φάναι· ἆρ' ἔτι ὁ ὑμέτερος πατὴρ ζῇ; ἆρ' ἔστιν ὑμῖν ἀδελφός; ἠγγεῖλαμεν οὖν οἱ ἐπὶ στόματος τῶν λόγων τούτων. μῶν τῷ εἰδέναι εἰδείημεν ὡς φήσοιτο· καταγάγετε τὸν ὑμέτερον ἀδελφόν; [8]ἔφη τ' ἰουδάος πρὸς ἰσραέλον τὸν ἑαυτοῦ πατέρα· πέμψον τὸν νέον ξὺν ἐμοί, ἀναστησόμεθά τε καὶ ἀπελευσόμεθα, βιώσομέν τε καὶ οὐ τεθνηξόμεθα ἔτι ἡμεῖς ἔτι σὺ ἔτι τὸ νήπιον ἡμῶν. [9]ἐγὼ ἐγγυήσομαί ἕ, πρὸς τῆς ἐμῆς χειρὸς ζητήσεις αὐτόν· ἢν μὴ ἀγάγω ἓ πρὸς σὲ στήσω τέ ἓ ἐνώπιόν σου, ἁμαρτήσω γοῦν σοι πάσαις ταῖς ἡμέραις. [10]εἰ μὴ γὰρ ἐβραδύναμεν, ὅτιπερ ἀρτίως ἐστράφημεν τοδὶ δίς. [11]ἔφη γοῦν πρὸς αὐτοὺς ἰσραέλος ὁ σφῶν πατήρ· εἰ τῇδε ποῦ τόδε ποιήσατε· λάβετε πρὸς τοῦ ᾄσματος τῆς γῆς ἐν τοῖς ὑμετέροις σκεύεσι, καὶ κατενέγκατε τῷ ἀνδρὶ ξένιον, ὀλίγον βαλσάμου ὀλίγον τε μέλιτος, κηρὸν μαστίχην τε, στροβίλους καὶ ἀμύγδαλα· [12]ἄργυρόν τε διττὸν λάβετε ἐν τῇ ὑμετέρᾳ χειρί, τόν

---

38. οὑμὸς cod., non ἐμὸς ut Mor. ait. αὐτὸς δὲ μόνος ἑαυτῷ in ras.
XLIII. 6. τῷ γ' ἀγγ. cod. Ed. γ' om. 7. εἰς [ἡμᾶς] in ras. μῶν in ras. 8. ἰσραέλον cod., non ἰσραέλην ut ed. βιώσομεν cod., non βιώσωμεν 10. ἀρτίως cod., non ἄρτι ut ed. 11. τῇδέ που c. ed. ed.

τ' ἄργυρον τὸν στραφέντα ἐν τῷ στόματι τῶν μαρσήπων ὑμῶν στρέψετε ἐν τῇ ὑμετέρᾳ χειρί· ἴσως λήϑη τελεῖ. [13]τόν ϑ' ὑμέτερον ἀδελφὸν λάβετε, καὶ ἀνάστητε ὑποστρέψατε πρὸς τὸν ἄνδρα. [14]ϑεὸς δ' ὁ κραταιὸς δοίη ὑμῖν ἐλέους ἐνώπιον τοῦ ἀνδρὸς, πέμψειέ ϑ' ὑμῖν τὸν ὑμέτερον ἀδελφὸν καὶ τὸν βινιαμῖνα· ἐγὼ δ' ὥσπερ ἠτέκνωμαι, ἠτέκνωμαι. [15]τοιγαροῦν ἔλαβον οἱ ἄνδρες τὸ ξένιον τοδὶ, διττόν τ' ἄργυρον ἔλαβον ἐν χειρὶ σφῶν καὶ τὸν βινιαμῖνα· κἀγηγέρκαται καταβεβήκασί τ' εἰς αἴγυπτον, κἄστησαν ἐνώπιον ἰωξέφου. [16]τεϑέαται δ' ἰωξέφης ξὺν αὐτοῖς τὸν βινιαμῖνα, κἄφη τῷ ἐπὶ τῆς οἰκίας ἑαυτοῦ· ἄγαγε τοὺς ἄνδρας οἴκαδε, ἱέρευσόν ϑ' ἱερεῖον, ἑτοίμασόν ϑ' ὅτι ξὺν ἐμοὶ ἔδονται οἱ ἄνδρες ἐν μεσημβρίᾳ. [17]ἐποίησεν οὖν ὁ ἀνὴρ καϑάπερ εἴρηκεν ἰωξέφης, ἤγαγέ ϑ' ὁ ἀνὴρ τοὺς ἄνδρας οἴκαδε ἰωξέφου. [18]τεϑάμβηνται δ' οἱ ἄνδρες ἐπείπερ ἤχϑησαν οἴκαδ' ἰωξέφου κἄφησαν· ἐπὶ τῷ χρήματι τοῦ ἀργύρου τοῦ στραφέντος εἰς τοὺς ἡμετέρους μαρσήπους ἐν ἀρχῇ ἡμεῖς ἀγόμεϑα, ὥστε περιστραφῆναι ἐφ' ἡμᾶς ῥιφῆναί τ' ἐφ' ἡμῶν, λαβεῖν ϑ' ἡμᾶς εἰς οἰκέτας καὶ τοὺς ἡμετέρους ὄνους. [19]ἤγγισαν οὖν πρὸς τὸν ἄνδρα τὸν ἐπὶ τῆς οἰκίας ἰωξέφου καὶ διειλέχαται πρὸς αὐτὸν τῷ πυλῶνι τοῦ δόμου [20]κἄφησαν· εἰς ἐμὲ, δέσποτ' ἐμέ· τῷ καταβαίνειν κατέβημεν ἐν ἀρχῇ πρίασϑαι βρῶμα· [21]ὑπῆρξε δ' ἐπείπερ ἀφίγμεϑα πρὸς τὴν μονὴν ἠνοίξαμέν τε τοὺς ἡμετέρους μαρσήπους, ϑεῶ ϑ' ὁ ἄργυρος ἑκάστου ἐν στόματι τοῦ ἑαυτοῦ μαρσήπου, ὁ ἄργυρος ἡμῶν ἐν ὁλκῇ οἱ· κἀστρέψαμέν ἕ ἐν χειρὶ ἡμῶν, [22]ἄργυρόν ϑ' ἕτερον κατηνέγκαμεν ἐν ἡμετέρᾳ χειρὶ πρίασϑαι βρῶμα· οὐκ ἔγνωμεν τίς ἔϑηκε τὸν ἡμέτερον ἄργυρον ἐν τοῖς ἡμετέροις μαρσήποις. [23]ἔφη δέ· εἰρήνη ὑμῖν, μὴ δείσητε· ὁ ὑμέτερος ϑεὸς ὅ τε ϑεὸς τῶν ὑμῶν πατέρων ἔδωκεν ὑμῖν ϑησαυρὸν ἐν τοῖς ὑμῶν μαρσήποις· ὁ ὑμέτερος ἄργυρος ἀφῖκται πρός με. κἀξήγαγε πρὸς αὐτοὺς τὸν συμεῶνα· [24]ἤγαγέ ϑ' ὁ ἀνὴρ τοὺς ἄνδρας οἴκαδε ἰωξέφου, κἄδωκεν ὕδωρ, λέλουνται γοῦν τοὺς σφετέρους πόδας, ἔδωκέ τε χιλὸν τοῖς ἐκείνων ὄνοις. [25]ἡτοίμασαν δὲ τὸ ξένιον ἄχρι τοῦ ἀφῖχϑαι ἰωξέφην ἐν μεσημ-

14. ἐλέους cod., non ἔλεον ut ed. ὑμῖν (2) ex corr. (pro ὑμᾶς) cod.
21. αὑτοῦ (ut ed.) corr. ἑαυτοῦ cod. 22. ἡμέτερον cod., non ὑμ. ut ed.
23. τῶν ὑμῶν πατέρων] אֲבֹתֵיכֶם (ut cod. Kenn. 150, Ross. 825 a pr.) pro אֲבִיכֶם. Item Sam. et LXX. ἡμῖν corr. ὑμῖν cod. τὸν ὑμέτερον ἄργυρον corr. ὁ ὑμέτερος ἄργυρος ἀφῖκται cod., non ἀφῖχϑαι ut ed. Item v. 30.

βρίᾳ· καὶ γὰρ ἤκουσαν ὡς ἐκεῖ ἔδοιντο ἄρτον. [26]ἀφῖκται γοῦν ἰωξέφης οἴκαδε, καὶ ἤνεγκάν οἱ τὸ ξένιον τὸ ἐν χειρὶ σφῶν οἴκαδε, καὶ προσεκύνησαν ἐκείνῳ ἐς γῆν. [27]ἤρετο δ' ἐκείνους εἰς εἰρήνην ἔφη τε· ἆρ' εἰρήνη τῷ ὑμετέρῳ πατρὶ τῷ γέροντι ὃν εἰρήκατέ μοι, ἆρ' ἔτι κεῖνος ζῇ; [28]ἔφησαν οὖν· εἰρήνη τῷ σῷ οἰκέτῃ τῷ ἡμετέρῳ πατρί, ἔτι κεῖνος ζῇ. ἔκυψάν τε καὶ προσεκύνησαν. [29]ἦρέ τε τὼ ὀφθαλμώ οἱ καὶ τεθέαται βινιαμῖνα τὸν ἴδιον ἀδελφόν, τὸν υἱὸν τῆς ἑαυτοῦ μητρός, ἔφη τε· μῶν ὁδὶ ὁ ὑμέτερος ἀδελφὸς ὁ ἥττων ὃν ἔφητε πρὸς ἐμέ; καὶ εἶπεν· ὁ θεὸς ἐλεήσειέ σε, υἱεῦ ἐμέ. [30]κἄσπευσεν ἰωξέφης, ἐταράχθησαν γὰρ οἱ κείνου ἔλεοι πρὸς τὸν ἑαυτοῦ ἀδελφόν, ἐζήτησέ τε κλαῦσαι· ἀφῖκται γοῦν εἰς τὸν κοιτῶνα κἄκλαυσεν ἐκεῖ. [31]ἔνιψε δὲ τὸ πρόσωπον ἑαυτοῦ κἀξῆλθεν, ἐκρατύνθη τε καὶ εἶπε· θέτε ἄρτον. [32]ἔθεσαν οὖν οἱ μόνῳ οἱ, κἀκείνοις μόνοις σφίσι, τοῖς τ' αἰγυπτίοις τοῖς ἐσθίουσι ξὺν ἐκείνῳ μόνοις ἐκείνοις· οὐ γὰρ δύναιντο οἱ αἰγύπτιοι ἐσθίειν σὺν τοῖς ὑβραίοις ἄρτον, ἐπεὶ μύσος ἐστὶ τοῖς αἰγυπτίοις. [33]ἐκαθέσθησαν οὖν ἐνώπιον ἐκείνου, ὁ πρωτότοκος κατὰ τὴν αὑτοῦ πρωτοτοκίαν, ὁ δ' ἥττων κατὰ τὸ ἧττον αὑτοῦ· ἐθαύμασαν δ' οἱ ἄνδρες ἕκαστος πρὸς τὸν ἑταῖρον ἑαυτοῦ. [34]ἦρέ τ' ἄρσεις πρὸς τοῦ ἑαυτοῦ προσώπου πρὸς αὐτούς· ἐπλεόνασε δ' ἡ ἄρσις βινιαμῖνος ὑπὲρ τὰς ἄρσεις κείνων ἁπάντων πέντε χερσίν. ἔπιόν τε

XLIV. κἀμεθύσθησαν σὺν ἐκείνῳ. [1]ἐκέλευσέ τε τῷ ἐπὶ τῆς ἑαυτοῦ οἰκίας τῷ φάναι· πλῆσον τοὺς μαρσήπους τῶν ἀνδρῶν βρώματος καθὰ δύναιντο αἴρειν, θές τε τὸν ἄργυρον ἑκάστου ἐν στόματι τοῦ μαρσήπου οἱ· [2]καὶ τὴν ἐμὴν φιάλην, φιάλην τὴν ἀργυρᾶν, θήσεις ἐν στόματι τοῦ μαρσήπου τοῦ ἐλαχίστου, καὶ τὸν ἄργυρον τῆς ὠνῆς ἐκείνου. κἀποίησε κατὰ τὸν λόγον ἰωξέφου ὃν εἴρηκε. [3]τῇ ἕῳ φῶς, οἵ τ' ἄνδρες ἐπέμφθησαν, ἐκεῖνοι οἵ τε κείνων ὄνοι. [4]κεῖνοι ἐξῆλθον τὴν πόλιν, οὐκ ἐμήκυναν, ἰωξέφης δ' ἔφη τῷ ἐπὶ τοῦ ἑαυτοῦ δόμου· ἔγειραι δίωξον κατόπιν τῶν ἀνδρῶν· φθάσεις οὖν αὐτοὺς ἐρεῖς τε πρὸς αὐτούς· τοῦ χάριν ἀντετίσατε δεινὸν

---

27. καὶ ἤρετο corr. ἤρετο δ' cod. εἰρήκατέ μοι] לִי abest a t. rec. Cf. Hier. *(dixeratis mihi)*. 29. Ante βινιαμῖνα rasura voculae (τὸν). ἡμ. corr. ὑμέτερος cod. ἔφητε] sic cod. Cf. XXXI, 14. Num. XIV, 31 cet. 30. αὐ. corr. ἑαυτοῦ cod. 31. εἶπεν corr. εἶπε 33. αὑτοῦ (1) ex corr. (pro κείνου) cod. ἧττον] ἥττον c. cd. ed.

XLVI. 3. [φ]ῶς, οἵ τ' in rasura.

ἀντὶ χρηστοῦ; [5]ἆρ' οὐχ ἥδε ᾗ πίνοι ἂν οὑμὸς δεσπότης ἐν αὐτῇ; κεῖνός τε τῷ οἰωνίζεσϑαι οἰωνίζοιτο ἐν αὐτῇ· ἐκακύνατε οἷς ἐπράξατε. [6]τοιγαροῦν ἔφϑασε σφᾶς καὶ διείλεκται πρὸς ἐκείνους τοὺς λόγους τούτους. [7]ἔφησαν δὲ πρὸς αὐτόν· διατί διαλέγοιτο δεσπότης οὑμὸς κατὰ τοὺς λόγους τούτους; βεβήλωσις τοῖς σοῖς οἰκέταις ἀπὸ τοῦ δρᾶν κατὰ τὸ ῥῆμα τόδε. [8]ϑεῶ τὸν ἄργυρον ὃν εὕρομεν ἐν στόματι τῶν ἡμετέρων μαρσήπων ἐστρέψαμεν πρὸς σὲ πρὸς γῆς κεναᾶνος, πῶς οὖν κλέψαιμεν οἴκοϑεν τοῦ σοῦ δεσπότου ἄργυρον ἢ χρυσόν; [9]ᾧπερ ἂν εὕροις αὐτὴν πρὸς τῶν σῶν οἰκετῶν, τεϑνάτω τε· πρὸς δ' αὖ ἡμεῖς τελέσομεν τῷ ἐμῷ δεσπότῃ εἰς οἰκέτας. [10]ἔφη γοῦν· ἔτι νῦν κατὰ τοὺς ὑμετέρους λόγους, οὕτω τελεῖ· ᾧπερ εὕροιμι παρ' αὐτῷ τελέσει μοι δοῦλος, ὑμεῖς δ' ἔσεσϑε ἀνεύϑυνοι. [11]τοιγαροῦν ἔσπευσαν κατήνεγκάν ϑ' ἕκαστος τὸν ἑαυτοῦ μάρσηπον εἰς γῆν, ἤνοιξάν ϑ' ἕκαστος τὸν μάρσηπον ἑαυτοῦ. [12]ἠρεύνησε δ' ἐν τῷ μεγάλῳ ἤρξατο κἀν τῷ μικρῷ κατέληξεν· εὗρεν οὖν τὴν φιάλην ἐν τῷ μαρσήπῳ βινιαμῖνος. [13]ἔσχισαν τοίνυν τὰ περιβόλαια σφῶν, ἐφόρτισάν ϑ' ἕκαστος ἐπὶ τοῦ ἰδίου ὄνου κἀστράφησαν ἐς τὴν πόλιν. [14]ἀφῖκται γοῦν ἰεουδάος οἵ τ' ἀδελφοί οἱ οἴκαδε ἰωξέφου, ἐτύγχανε δ' ἔτι κεῖνος ἐκεῖ· κἄπεσον ἐνώπιον ἐκείνου εἰς γῆν. [15]ἔφη δὲ σφίσι ἰωξέφης· τί τὸ δρᾶμα τοδὶ ὅπερ ἐδράσατε; ἆρ' οὐκ ἔγνωτε ὡς τῷ οἰωνίζεσϑαι οἰωνεῖται ἀνὴρ ὁ κατ' ἐμέ; [16]ἔφη τοίνυν ἰεουδάος· τί εἴπωμεν τῷ ἐμῷ δεσπότῃ, τί διαλεχϑῶμεν τί τε δικαιωϑῶμεν; ὁ ϑεὸς εὗρε τοὔγκλημα τῶν σῶν οἰκετῶν· αὐτίχ' ἡμεῖς οἰκέται τῷ ἐμῷ δεσπότῃ, ἡμεῖς τε καὶ ᾧπερ εὕρηται ἡ φιάλη ἐν χειρί οἱ. [17]ἔφη δέ· βεβήλωσίς μοι πρὸς τοῦ ποιῆσαι τόδε· ὁ ἀνὴρ ᾧπερ εὕρηται ἡ φιάλη ἐν χειρί οἱ, κεῖνος τελέσει μοι οἰκέτης· ὑμεῖς δ' ἀνάβητε εἰς εἰρήνην πρὸς τὸν ὑμέτερον πατέρα.

[18]Ἤγγισε δὲ πρὸς αὐτὸν ἰεουδάος ἔφη ϑ' ὅτι δέσποτ' ἐμέ, διειλέχϑω δὴ ὁ σὸς οἰκέτης λόγον ἐν ὠσὶ τοῦ ἐμοῦ δεσπότου, μήτ' *μερίς*

5. [πίν]οι ἂν in ras. 7. δρᾶν cod., non δρᾶναι ut ed. ῥῆμα] ρ factum ex φ 8. κλέψαιμεν in ras. 9. εὕροις αὐτὴν (non αὐτὸν ut ed.)] תִּמְצָא אֹתוֹ pro יִמָּצֵא אִתּוֹ. Cf. LXX (εὕρῃς). 10. εὕροιμι] rursus non reddit יִמָּצֵא, sed potius אֶמְצָא 12. εὗρεν οὖν] hic nimirum וַיִּמְצָא legit pro וַיִּמָּצֵא t. rec. Cf. LXX (καὶ εὗρε), Hieron. *(invenit)*. 16. τί τε cod., non τίδε (sic) ut ed. 18. αὐτὸν cod., non αὐτοὺς ὅτι] כִּי pro בִּי

ὠργίσϑω ϑυμὸς ὁ σὸς εἰς τὸν σὸν οἰκέτην. οὕτω γὰρ σὺ ὡς παρεών. [19]δεσπότης ὁ ἐμὸς ἤρετο τοὺς ἑαυτοῦ οἰκέτας τῷ φάναι· ἆρ' ἔστιν ὑμῖν πατὴρ ἢ ἀδελφός; [20]ἔφημεν οὖν πρὸς τὸν ἐμὸν δεσπότην· ἔστιν ἡμῖν πατὴρ γέρων, παιδίον τε γήρως μικρὸν, ὁ δ' ἐκείνου ἀδελφὸς τέϑνηκε· περιλέλειπται γοῦν ἐκεῖνος μόνος αὐτὸς τῇ μητρί οἱ, ὁ δὲ πατὴρ ἐκείνου φιλεῖ κεῖνον. [21]ἔφης οὖν πρὸς τοὺς σοὺς οἰκέτας· καταγάγετέ ἑ πρός με, ϑήσω τε τὸν ἐμὸν ὀφϑαλμὸν ἐπ' ἐκείνου. [22]ἔφημεν δὲ πρὸς τὸν ἐμὸν δεσπότην· οὐ δυνήσεται ὁ νέος παρεῖναι τὸν ἑαυτοῦ πατέρα· παρήσει δὲ τὸν ἑαυτοῦ πατέρα, τεϑνήξεται γοῦν. [23]ἔφης δὲ πρὸς τοὺς σοὺς οἰκέτας· ἢν μὴ καταβῇ ὁ ὑμέτερος ἀδελφὸς ὁ ἥττων σὺν ὑμῖν, οὐ προσϑήσετε ϑεάσασϑαι τοὐμὸν πρόσωπον. [24]ὑπῆρξεν οὖν ὅτιπερ ἀνέβημεν πρὸς τὸν σὸν οἰκέτην τὸν ἐμὸν πατέρα, καὶ ἠγγείλαμέν οἱ τοὺς λόγους τοῦ ἐμοῦ δεσπότου. [25]ἔφη δ' ὁ ἡμέτερος πατήρ· ὑποστρέψατε πρίασϑε ἡμῖν ὀλίγον βρώματος. [26]κἄφημεν· οὐ δυνησόμεϑα καταβῆναι· εἴπερ εἴη ὁ ἀδελφὸς ἡμῶν ὁ ἥττων σὺν ἡμῖν, καὶ καταβησόμεϑα· οὐ γὰρ δυνησόμεϑα ϑεάσασϑαι τὸ πρόσωπον τοῦ ἀνδρὸς, καὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ ἥττονος οὐκ ὄντος ξὺν ἡμῖν. [27]εἶπεν οὖν ὁ σὸς οἰκέτης πατὴρ οὑμὸς πρὸς ἡμᾶς· ὑμεῖς ἔγνωτε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή μοι· [28]ἐξῆλϑε δ' ὁ εἷς πρὸς ἐμοῦ, καὶ εἶπον· μόνον τῷ ἁρπάζεσϑαι ἥρπακται· οὔκουν εἶδον ἐκεῖνον ἄχρι τῶνδε· [29]λήψεσϑε γοῦν ἔτι τουτονὶ πρὸς τοῦ ἐμοῦ προσώπου καὶ ξυμβήσεταί οἱ μόρος, κατάξετε γοῦν τὴν ἐμὴν πολιὰν ἐν κακῷ ἐς ᾅδου. [30]νῦν κατὰ τὸ ἀφικέσϑαι με πρὸς τὸν σὸν οἰκέτην τὸν ἐμὸν πατέρα καὶ τοῦ νέου μὴ ὄντος ξὺν ἡμῖν, η δὲ ψυχή οἱ δέδεται ἐν τῇ ψυχῇ οἱ, [31]τελέσει γοῦν κατὰ τὸ ϑεάσασϑαί ἑ ὡς οὐκ ἔστιν ὁ νέος, καὶ τεϑνήξεται, κατάξομέν ϑ' οἱ σοὶ οἰκέται τὴν πολιὰν τοῦ σοῦ οἰκέτου τοῦ πατρὸς ἡμῶν ἐν ἄχει ἐς ᾅδου· [32]ὁ γὰρ σὸς οἰκέτης ἠγγύηται τὸν νέον πρὸς τοῦ ἐμοῦ πατρὸς τῷ φάναι· ἢν μὴ ἀγάγω ἑ πρὸς σὲ, ἁμαρτήσω τε τῷ ἐμῷ πατρὶ πάσαις ταῖς ἡμέραις. [33]ἄρτι τοίνυν καϑεζέσϑω

οὕτω in ras. itemque ὡς 20. ἔφημεν, non ἔφαμεν, cod. Item v. 22. 26. Cf. XLII, 31. δ' ἐκείνου cod., non δὲ κείνου ut ed. ὁ δὲ πατὴρ ἐκείνου in ras. 23. ἢν (ex corr.) cod., non ἂν ut Mor. legit. 24. ὅτι[περ] in ras. ἠγγείλαμέν οἱ in ras. 26. εἴπερ εἴη (ex corr.) cod., non εἰ παρείη ut ed. [κατα]βησόμεϑα in ras. 31. κατάξομεν] וְהוֹרַדְנוּ pro וְהוֹרִידוּ

δὴ ὁ σὸς οἰκέτης ἀντὶ τοῦ νέου οἰκέτης τῷ ἐμῷ δεσπότῃ, ὁ δὲ νέος ἀναβήτω ξὺν τοῖς ἀδελφοῖς ἑαυτοῦ. [34]πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν ἐμὸν πατέρα καὶ τοῦ νέου μὴ ὄντος ξὺν ἐμοί; μήπως ἴδω ἐν τῷ δεινῷ τῷ εὑρήσοντι τὸν ἐμὸν πατέρα. [1]οὔκουν ἐδυνήϑη ἰωξέφης κρατυνϑῆναι πᾶσι τοῖς ἑστῶσιν ἐπ' αὐτοῦ, ἐβόησε τοίνυν· ἐξαγάγετε πάντα ἄνδρα ἄνωϑεν ἐμοῦ. οὔκουν ἔστη ἀνὴρ σὺν ἐκείνῳ ἐν τῷ γνωρίζεσϑαι ἰωξέφην πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ. [2]ἔδωκέ τε τὴν ἑαυτοῦ φωνὴν ἐν κλαυϑμῷ· καὶ ἤκουσαν οἱ αἰγύπτιοι, ἤκουσέ ϑ' ὁ δόμος τοῦ παρεῶνος. [3]ἔφη τ' ἰωξέφης πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ· ἔγωγ' ἰωξέφης· ἆρ' ἔτι πατὴρ ὁ ἐμὸς ζῇ; καὶ οὐκ ἐδυνήϑησαν οἱ ἀδελφοὶ κείνου ἀποκρίνασϑαί οἱ· τεϑάμβηνται γὰρ ἀπὸ τοῦ κείνου προσώπου. [4]ἔφη τ' ἰωξέφης πρὸς τοὺς ἑαυτοῦ ἀδελφούς· ἐγγίσατε δὴ πρός με. καὶ ἤγγισαν, ἔφη τε· ἔγωγ' ἰωξέφης ὁ ὑμέτερος ἀδελφὸς, ὃν ἐπράσατέ με εἰς αἴγυπτον. [5]νῦν οὖν μὴ ἄχϑεσϑε μήτ' ὀργιζέσϑω ἐν ὄμμασιν ὑμῶν ὅτιπερ ἐπράσατέ με ὧδε· εἰς γὰρ ζώωσιν ἔπεμψέ με ὁ ϑεὸς πρὸ ὑμῶν. [6]ἐπεὶ τοδὶ διετία ὁ λιμὸς ἐν μέσῳ τῆς γῆς, ἔτι δὲ πέντε ἔτη οἷς οὐκ ἔστιν ἄροσις καὶ ἄμησις· [7]ἔπεμψε δέ με ὁ ϑεὸς ἐπίπροσϑεν ὑμῶν, ϑεῖναι ὑμῖν περίλειμμα ἐν τῇ γῇ ζωῶσαί ϑ' ὑμῖν εἰς απάλλαγμα μέγα. [8]νῦν οὖν οὐχ ὑμεῖς ἐπέμψατέ με ἐνϑάδε ἀλλ' ὁ ϑεός, ἔϑηκέ τέ με εἰς πατέρα τῷ παρεῶνι καὶ εἰς δεσπότην παντὶ τῷ δόμῳ οἱ, ἄρχοντά τ' ἐν πάσῃ γῇ αἰγύπτου. [9]σπεύσατε ἀνάβητε πρὸς τὸν ἐμὸν πατέρα καὶ φήσετε πρὸς αὐτόν· τῇδ' εἶπεν ὁ σὸς υἱὸς ἰωξέφης· ἔϑηκέ με ὁ ϑεὸς εἰς δεσπότην πάσῃ αἰγύπτῳ· κατάβα πρὸς ἐμέ, μὴ στῇς· [10]καϑεδῇ τ' ἐν τῇ γῇ γοσένου, τελέσεις τ' ἐγγὺς πρός με σὺ οἵ τε σοὶ υἱεῖς καὶ οἱ υἱεῖς τῶν σῶν υἱέων, τὸ σὸν ποίμνιον τό τε σὸν βουκόλιον καὶ πάνϑ' ἅττα σοι· [11]ϑρέψω τέ σε ἐκεῖ, ἔτι γὰρ πέντε ἔτη λιμοῦ, μήπως ἀποκληρωϑῇς σὺ καὶ δόμος ὁ σὸς πάντα τε τὰ σά. [12]ϑεῶ δὲ τὰ ὑμῶν ὄμματα βλέπουσι τώ τ' ὄμματε τοῦ ἐμοῦ ἀδελφοῦ βινιαμῖνος, ὅτι στόμα τοὐμὸν τὸ διαλεγόμενον πρὸς ὑμᾶς. [13]ἀγγελεῖτε γοῦν τῷ

XLV. 1. ἠδ. corr. ἐδυνήϑη cod. 2. οἱ αἰγύπτιοι] מִצְרִים pro מִצְרַיִם t. rec. Item verss. antiqq. 3. ἐϑυνήϑησαν] correctio ut supra. 4. ἐγγίσατε cod., non ἠγγίσατε ut ed. 5. ἄχϑεσϑε cod., non ἄχϑεϑε πρὸ cod., non πρὸς ut ed. ἡ[μῶν] corr. ὑμῶν cod. 6. ἄμησις] sic cod. Cf. Prol. I, 4, c. 7. Inter ὑμῶν et ϑεῖναι rasura voculae (ὥστε?). 10. σὺ οἵ τε cod., non δύοι τε ut ed.

πατρί μου ξύμπασαν τὴν ἐμὴν δόξαν ἐν αἰγύπτῳ ξύμπαντά ϑ' ἃ τεϑέασϑε· ἐπισπεύσετε τοίνυν καὶ κατάξετε πατέρα τὸν ἐμὸν ἐνϑαδί. [14]ἔπεσέ τ' ἐπ' αὐχένος βινιαμῖνος τοῦ ἀδελφοῦ οἱ καὶ ἔκλαυσε, βινιαμίν τ' ἔκλαυσεν ἐπὶ τοῦ κείνου αὐχένος· [15]ἐφίλησέ τε πάντας τοὺς ἀδελφοὺς ἑαυτοῦ κἄκλαυσεν ἐπ' αὐτῶν, μετέπειτα δὲ διειλέχαται οἱ ἀδελφοί οἱ ξὺν ἐκείνῳ. [16]ἡ δὲ φωνὴ ἤκουσται οἴκοι τοῦ παρεῶνος.τῷ λέγειν· ἀφίκοντο ἀδελφοὶ ἰωξέφου. καὶ ἠγάϑυνεν ἐν ὄμμασι τοῦ παρεῶνος ἐν ὄμμασί τε τῶν οἰκετῶν ἐκείνου. [17]ἔφη τοίνυν παρεὸς πρὸς ἰωξέφην· φάϑι πρὸς τοὺς σοὺς ἀδελφούς· τοδὶ ποιήσατε· φορτίσατε τὸ κτῆνος ὑμῶν δεῦρό τ' ἄφιχϑε εἰς γῆν κεναᾶνος, [18]καὶ λάβετε τὸν ὑμέτερον πατέρα τάς τ' οἰκίας ὑμῶν καὶ ἄφιχϑε πρός με· δώσω ϑ' ὑμῖν τὸ χρηστὸν τῆς γῆς αἰγύπτου, καὶ ἔδεσϑε τὸ στέαρ τῆς γῆς. [19]σὺ δὲ κεκέλευσαι· τοδὶ ποιήσατε· λάβετε ἑαυτοῖς πρὸς τῆς γῆς αἰγύπτου ἀπήνας τῷ νηπίῳ ὑμῶν ταῖς ϑ' ὑμῶν γυναιξί, καὶ ἀρεῖτε πατέρα τὸν ὑμέτερον καὶ ἀφίξεσϑε· [20]ὁ δ' ὀφϑαλμὸς ὑμῶν μὴ φεισάσϑω ἐπὶ τοῖς σκεύεσιν ὑμῶν, χρηστὸν γὰρ ἅπαν τῆς γῆς αἰγύπτου ὑμῖν ἐστιν. [21]ἐποίησαν οὖν οὕτως οἱ υἱεῖς ἰσραέλου· κἄδωκε σφίσιν ἰωξέφης ἀπήνας ἐπὶ στόματι τοῦ παρεῶνος, ἔδωκέ τε σφίσι τροφὴν ἐς τὴν ὁδόν. [22]ξύμπασι κείνοις ἔδωκεν ἑκάστῳ ἀλλαγὰς περιβολαίων, βινιαμῖνι δ' ἔδωκε τριακοσίους ἀργυροῦς πέντε τ' αὖ ἀλλαγὰς περιβολαίων· [23]τῷ δὲ πατρί οἱ πέπομφε κατατόδε· δέκα ὄνους αἴροντας πρὸς τοῦ χρηστοῦ αἰγύπτου, δέκα τ' ὀνίδας αἰρούσας πυρὸν ἄρτον τε καὶ αὐτάρκειαν τῷ πατρί οἱ ὡς καταβαίη. [24]κἄπεμψε τοὺς ἀδελφοὺς ἑαυτοῦ, καὶ ἀπῆλϑον, ἔφη τε πρὸς ἐκείνους· μὴ ταράττεσϑε ἐν τῇ ὁδῷ. [25]τοιγαροῦν ἀνέβησαν ἀπ' αἰγύπτου, καὶ ἀφίκοντο γῇ κεναᾶνος πρὸς ἰακῶβον τὸν ἑαυτῶν πατέρα, [26]καὶ ἤγγειλαν ἐκείνῳ τῷ φάναι· ἔτιπερ ἰωξέφης ζῇ, καὶ ὅτι κεῖνος ἄρχει ἐν πάσῃ τῇ γῇ αἰγύπτου. ἐξέλιπεν οὖν ἡ καρδία

13. Ante πατέρα rasura voculae (τὸν?). 14. ἐπὶ αὐχένος c. cd. ed. 17. παρεὸς] sic iterum cod. (cf. XLI, 17), non παρεὼν ἄφιχϑε cod., non ἀφῖχϑε ut ed. Cf. v. sq., XLII, 7. 9. 12. 19. ἀφιχ corr. ἀφίξεσϑε cod. 20. ἀ[γαϑὸν] corr. χρηστὸν ἅπαν τῆς γῆς] exspectaveris ἁπάσης τῆς γῆς (כָּל־אֶרֶץ). 21. στόματος corr. στόματι cod. 22. ἔδωκε corr. ἔδωκεν, non ἔδωκέ τ' ut ed. ἀργυροῦς cod., non ἀργυρᾶς τ' αὖ cod., non τ' αὐτῷ 23. κατατόδε] sic cod. Cf. Prol. I, 4, d. ὡς καταβαίη] לָרֶדֶת pro לַדֶּרֶךְ?

οἱ, οὐ γὰρ ἐπίστευσε σφίσι. [27] διειλέχαται δὲ πρὸς ἐκεῖνον ξύμπαντας τοὺς λόγους ἰωξέφου οὓς διείλεκται πρὸς ἐκείνους· εἶδέ τε τὰς ἀπήνας ἃς ἔπεμψεν ἰωξέφης ἆραί ἑ, κἄζησε τὸ πνεῦμα ἰακώβου τοῦ κείνων πατρός. [28] ἔφη τ' ἰσραέλος· πολύ, ἔτιπερ ἰωξέφης οὑμὸς υἱεὺς ζῇ. ἀπέλϑω καὶ ἴδω κεῖνον πρὶν ἂν τεϑναίην.

XLVI.

[1] μετῆρεν οὖν ἰσραέλος πάντες ϑ' οἱ κείνου, καὶ ἀφῖκται ἐς τὸ φρέαρ τοῦ ὅρκου, κἄϑυσε ϑυσίας τῷ ϑεῷ τοῦ κείνου πατρὸς ἰσχάκου. [2] κἄφη ὁ ϑεὸς τῷ ἰσραέλῳ ἐν ὄψεσι τῆς νυκτός, ἔφη γοῦν· ἰακῶβε ἰακῶβε. ἔφη δέ· αὐτίκ' ἔγωγε. [3] κἄφη· ἔγωγ' ὁ ϑεός, ὁ ϑεὸς τοῦ σοῦ πατρός· μὴ δείσῃς ἀπὸ τοῦ κατιέναι αἴγυπτόνδε, εἰς γὰρ ἔϑνος μέγα ϑήσω σε ἐκεῖ· [4] ἔγωγε καταβήσομαι ξὺν σοὶ αἴγυπτόνδε, κἄγωγ' ἀνάξω σε ἔτι τῷ ἀνιέναι· ἰωξέφης τε ϑήσει τὴν ἑαυτοῦ χεῖρα ἐπὶ τοῖν σοῖν ὀφϑαλμοῖν. [5] ἐγήγερται γοῦν ἰακῶβος ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἦραν οἱ υἱεῖς ἰσραέλου ἰακῶβον τὸν ἑαυτῶν πατέρα τό τε νήπιον αὐτῶν καὶ τὰς γυναῖκας αὐτῶν ἐν ταῖς ἁμάξαις ἃς ἔπεμψε παρεὼν αἴρειν αὐτόν, [6] ἔλαβόν τε τὸ κτῆμα ἑαυτῶν καὶ τὴν περιουσίαν ἑαυτῶν ἣν περιεποιήσαντο ἐν γῇ κεναᾶνος, ἀφίκοντό τ' αἴγυπτόνδε, ἰακῶβος καὶ πᾶς ὁ κείνου σπόρος ξὺν ἐκείνῳ, [7] οἱ κείνου υἱεῖς οἵ ϑ' υἱεῖς τῶν ἐκείνου υἱέων ξὺν ἐκείνῳ, αἱ κείνου ϑυγατέρες αἵ τε ϑυγατέρες τῶν υἱέων ἐκείνου· καὶ πάντα τὸν ἐκείνου σπόρον ἤγαγε ξὺν ἑαυτῷ αἴγυπτόνδε.

[8] Ταδὶ δὲ τὰ ὀνόματα τῶν υἱέων ἰσραέλου τῶν ἀφικνουμένων αἴγυπτόνδε. ἰακῶβος οἵ τε κείνου υἱεῖς· πρωτότοκος ἰακώβου ῥεουβένης. [9] υἱεῖς δὲ ῥεουβένου χανῶχος φαλλοῦς τε, ἑσερών τε καὶ χαρμίς. [10] υἱεῖς δὲ συμεῶνος ἰεμουέλος ἰαμίν τε, ὤαδός τε καὶ ἰαβὶν καὶ σόχαρ καὶ σαοῦλος ὁ υἱεὺς τῆς κεναανίτιδος. [11] υἱεῖς δὲ λευῖνος γερσών, κεάϑης καὶ μεραρίς. [12] υἱεῖς δ' ἰεουδάου ἔρης ὠνάν τε, σελάος τε καὶ πέρεσος καὶ ζάραχος· τέϑνηκε δ' ἔρης καὶ ὠνὰν ἐν γῇ κεναᾶνος· ὑπῆρξαν δ' υἱεῖς περέσου ἑσερὼν καὶ χαμούλης. [13] υἱεῖς δ' ἰσασχάρου τολάης, πούας τε καὶ ἰῶβος καὶ σεμερών. [14] υἱεῖς δὲ ζεβουλούνου ξέρεδος, ἐλών τε καὶ ἰαχλέλος.

XLVI. 1. ϑ' οἱ] ϑ' ὁ typ. vit. ed. ϑυσίας cod., non ϑυσίαν ut ed. 2. Post κἄφη rasura voculae (τῷ?). 5. Ante ἰακῶβον erasum τὸν 6. ἑαυτῶν (1) in ras. 7. πάντα τὸν ἐκείνου σπόρον ex corr. cod. Primo, ut videtur, πᾶς ὁ κείνου σπόρος scriptum erat. 9. ἑσερών] sic cod. (cf. v. 12), non ἑσρών ut ed. 10. ἰαβὶν] יָבִין pro יָכִין 12. ἑσ. corr ἑσερὼν cod. Ed. ἑσρὼν

[15] οὗτοι υἱεῖς λεᾶς οὓς ἔτεκεν ἰακώβῳ ἐν παδᾶνι ἀράμου, καὶ δινὰν τὴν αὐτοῦ θυγατέρα· πᾶσαι ψυχαὶ τῶν υἱέων αὐτοῦ τῶν τ' αὐτοῦ θυγατέρων τριάκοντα καὶ τρεῖς. [16] υἱεῖς δὲ γάδου σιφιὼν χαγίς τε, σουνίς καὶ ἐσβὼν, ἐρὶς, ἀρωδίς τε καὶ ἀρελίς. [17] υἱεῖς δ' ἀσέρου ἰμνάος, ἰσευάος τε καὶ ἰσευὶς, βεριάης τε καὶ σεράχη ἡ τούτων ἀδελφή· υἱεῖς δὲ βεριάου χέβερος καὶ μαλχιέλος. [18] οὗτοι υἱεῖς ζιλφᾶς ἣν ἔδωκε λαβὰν λεᾷ τῇ ἑαυτοῦ θυγατρὶ, τέτοκέ τε τουτουσὶ τῷ ἰακώβῳ, ἑξκαίδεκα ψυχάς. [19] υἱεῖς ῥαχέλης τῆς γυναικὸς ἰακώβου ἰωξέφης καὶ βινιαμίν. [20] τέτεκται δὲ τῷ ἰωξέφῃ ἐν γῇ αἰγύπτου, οὓς τέτοκέν οἱ ἀξενάθη ἡ θυγάτηρ ποτιπεράου τοῦ ἱερέως ὠνὸς, μενασεὺς καὶ ἐφράϊμος. [21] υἱεῖς δὲ βινιαμῖνος βέλας, βέχερός τε καὶ ἀσβέλης, γεράος καὶ νααμὰν, ἐχὶς ῥώσης τε, μουφίμης καὶ χουπίμης καὶ ἄρεδος. [22] οὗτοι υἱεῖς ῥαχέλης οἳ τετέχαται ἰακώβῳ· πᾶσαι ψυχαὶ τετταρεσκαίδεκα. [23] υἱεῖς δὲ δανὸς χουσίμης. [24] υἱεῖς δὲ ναφεταλῖνος ἰαχεσεέλος, γουνίς τε καὶ ἴσερος καὶ σιλέμης. [25] οὗτοι υἱεῖς βιλεᾶς ἣν ἔδωκε λαβὰν ῥαχέλῃ τῇ θυγατρί οἱ, τέτοκέ τε τουσδὶ τῷ ἰακώβῳ· πᾶσαι ψυχαὶ ἑπτά. [26] πᾶσα ψυχὴ ἡ ἀφικνουμένη τῷ ἰακώβῳ αἴγυπτόνδε, ἐξιόντες μηρὸν ἐκείνου, πάρεξ τῶν γυναικῶν τῶν υἱέων ἰακώβου, πᾶσαι ψυχαὶ ἑξήκοντα καὶ ἕξ. [27] υἱεῖς δ' ἰωξέφου οἱ τεχθέντες ἐκείνῳ ἐν αἰγύπτῳ ψυχὰ δύο· πᾶσαι αἱ ψυχαὶ τοῦ δόμου ἰακώβου αἱ ἀφιγμέναι αἴγυπτόνδε ἑβδομήκοντα.

[28] Τὸν μέντοι ἰευδάον ἔπεμψε πρὸ ἑαυτοῦ πρὸς ἰωξέφην διδάξαι πρόσθεν αὐτοῦ γόσενόνδε, καὶ ἀφίκοντο εἰς γῆν γοσένου. [29] ἔδησεν οὖν ἰωξέφης τὸ ἴδιον ὄχημα καὶ ἀνέβη εἰς ὑπάντησιν ἰσραέλου τοῦ ἑαυτοῦ πατρὸς γόσενόνδε· τεθέαται δὲ πρὸς αὐτὸν ἔπεσέ τ' ἐπὶ τοῦ αὐτοῦ αὐχένος, ἔκλαυσέ τ' ἐπὶ τοῦ αὐτοῦ αὐχένος ἔτι. [30] καὶ εἶπεν ἰσραέλος πρὸς ἰωξέφην· τεθναίην ἀρτίως μετὰ τὸ τεθεᾶσθαί με τὸ σὸν πρόσωπον, ἐπείπερ ἔτι σὺ ζῇς. [31] ἔφη δ' ἰωξέφης πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ πρός τε τὸν δόμον τοῦ πατρὸς ἑαυτοῦ· ἀναβήσομαι καὶ ἀγγελῶ τῷ παρεῶνι φήσω τε πρὸς ἐκεῖνον· οἱ ἐμοὶ ἀδελφοὶ ὅ τε δόμος πατρὸς τοῦ ἐμοῦ ὁ ἐν τῇ γῇ κεναᾶνος ἀφίκοντο πρὸς ἐμέ· [32] οἱ δ' ἄνδρες νομεῖς ποιμνίου,

---

16. ἐσβὼν c. cd. ed. 18. τῇ [λεᾷ] corr. λεᾷ cod. 21. γηράος c. cd. ed. 24. ναφτ. corr. ναφεταλῖνος cod. 27. ψυχὰ cod., non ψυχαὶ ut ed. 29. τὴν [ἰδίαν ἁρμάμαξαν (cf. XLI, 43)?] corr. τὸ [ἴδιον ὄχημα] cod.

ἄνδρες γὰρ κτήσεως ὑπῆρξαν· τὸ γοῦν ποίμνιον ἑαυτῶν τό θ' ἑαυτῶν βουκόλιον καὶ πάντα τὰ ἑαυτῶν ἤγαγον. [33] ἔσται δ' ἐπὰν καλέσειεν ὑμᾶς παρεὼν φήσειέ τε· τί τοὔργον ὑμῶν; [34] φήσετε γοῦν· ἄνθρωποι κτήσεως ὑπῆρξαν οἱ σοὶ οἰκέται ἀφ' ἡμετέρας νεότητος καὶ μέχρι τωνάρτι, ἡμεῖς τε καὶ πατέρες οἱ ἡμέτεροι· ὡς ἂν καθεσθῆτε ἐν τῇ γῇ γοσένου. μύσος γὰρ αἰγύπτῳ πᾶς νομεὺς ποιμνίου. [1] ἀφῖκται τοίνυν ἰωξέφης ἤγγειλέ τε παρεῶνι καὶ εἶπε· πατὴρ ὁ ἐμὸς οἵ τ' ἐμοὶ ἀδελφοί, τὸ ποίμνιόν τε σφῶν καὶ τὸ σφῶν βουκόλιον, πάντα τε τὰ κείνων ἀφίκοντο πρὸς γῆς κεναᾶνος, θεῷ τ' εἰσὶν ἐν γῇ γοσένου. [2] τινάς τε τῶν ἀδελφῶν ἑαυτοῦ ἔλαβε, πέντε ἄνδρας, ἔστησέ τε κείνους ἐνώπιον παρεῶνος. [3] ἔφη τε παρεὼν πρὸς τοὺς αὐτοῦ ἀδελφούς· τί τὸ ὑμέτερον ἔργον; εἶπον οὖν πρὸς παρεῶνα· ποιμένες προβάτων οἱ σοὶ οἰκέται, ἡμεῖς τε καὶ οἱ ἡμέτεροι πατέρες. [4] ἔφησάν τε πρὸς παρεῶνα· παροικεῖν ἐν τῇ γῇ ἀφίγμεθα· οὐ γάρ ἐστι νομὴ τῷ ποιμνίῳ τῷ τῶν σῶν οἰκετῶν, ἐβάρυνε γὰρ ὁ λιμὸς ἐν γῇ κεναᾶνος· νῦν οὖν καθεζέσθωσαν δὴ οἱ σοὶ οἰκέται ἐν γῇ γοσένου. [5] ἔφη τοίνυν παρεὼν πρὸς ἰωξέφην τῷ φάναι· ὁ σὸς πατὴρ οἵ σοί τ' ἀδελφοὶ παρεγένοντο πρὸς σέ. [6] ἡ γῆ αἰγύπτου ἐπίπροσθέν σου τελεῖ, ἐν τῷ χρηστῷ τῆς γῆς κάθισον τὸν σὸν πατέρα, οἵ τε σοὶ ἀδελφοὶ καθεζέσθωσαν ἐν τῇ γῇ γοσένου. εἰ δ' ἔγνως, εἰσί τ' ἐν αὐτοῖς ἄνδρες ἀρετῆς, θήσεις τ' αὐτοὺς ἄρχοντας κτήσεως ἐπὶ τῆς ἐμῆς. [7] ἤγαγέ τ' ἰωξέφης ἰακῶβον τὸν ἑαυτοῦ πατέρα κἄστησέν ἑ πρόσθεν τοῦ παρεῶνος· εὐλόγησέ τ' ἰακῶβος τὸν παρεῶνα. [8] ἔφη δὲ παρεὼν πρὸς ἰακῶβον· πόσαι αἱ ἡμέραι τῶν ἐτῶν τῆς σῆς βιοτῆς; [9] ἔφη γοῦν ἰακῶβος πρὸς παρεῶνα· αἱ ἡμέραι τῶν ἐτῶν τῆς ἐμῆς παροικίας τριάκοντα καὶ ἑκατὸν ἔτη· ὀλίγον δειναί θ' ὑπῆρξαν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ἐμῆς βιοτῆς, οὔτ' ἔφθασαν τὰς ἡμέρας τῶν ἐτῶν τῆς βιοτῆς τῶν ἐμῶν πατέρων ἐν ταῖς ἡμέραις τῆς ἐκείνων παροικίας. [10] εὐλόγησεν οὖν ἰακῶβος τὸν παρεῶνα, κἀξῆλθεν ἐνωπιόθεν παρεῶνος. [11] ἐκάθισε δ' ἰωξέφης τὸν ἑαυτοῦ πατέρα τούς τ' ἀδελφοὺς ἑαυτοῦ, κἄδωκε σφίσι κατάσχεσιν ἐν τῇ

XLVII.

---

32. ἑαυτῶν (1) cod., non αὐτῶν ut ed. 34. τῶν ἄρτι corr. τωνάρτι cod. Cf. XXVII, 33 sq. Prol. I, 4, d.

XLVII. 6. τούς τε σοὺς ἀδελφοὺς (ut ed.) corr. οἵ τε σοὶ ἀδελφοὶ cod. Vix versa vice.

γῇ αἰγύπτου ἐν τῷ χρηστῷ τῆς γῆς, ἐν γῇ ῥαμεξέσου, καϑάπερ ἐκέλευσε παρεών. [12] ἔϑρεψέ τ' ἰωξέφης τὸν ἑαυτοῦ πατέρα τούς τ' ἀδελφοὺς ἑαυτοῦ καὶ ξύμπαντα τὸν δόμον τοῦ ἑαυτοῦ πατρὸς ἄρτῳ κατὰ στόμα τοῦ νηπίου. [13] ἄρτος δ' οὐκ ἦν ἐν πάσῃ τῇ γῇ, καὶ γὰρ ἔβρισεν ὁ λιμὸς ἄγαν· μέμηνε δ' ἡ γῆ αἰγύπτου καὶ ἡ γῆ κεναᾶνος ἀπὸ προσώπου τοῦ λιμοῦ. [14] ξυνέλεξέ τ' ἰωξέφης ξύμπαντα ἄργυρον τὸν εὑρεϑέντα ἐν τῇ γῇ αἰγύπτου κἀν τῇ γῇ κεναᾶνος ἐν ὠνῇ ᾗ κεῖνοι ἐωνοῦντο, καὶ ἤνεγκεν ἰωξέφης τὸν ἄργυρον οἴκαδε παρεῶνος. [15] ἐτελεύτησεν οὖν ὁ ἄργυρος ἀπὸ τῆς γῆς αἰγύπτου ἀπό τε τῆς γῆς κεναᾶνος· ἀφίκοντο τοίνυν πᾶσα ἡ αἴγυπτος πρὸς ἰωξέφην τῷ φάσκειν· δὸς ἡμῖν ἄρτον, τοῦ τε χάριν τεϑνηξόμεϑα ἐνώπιόν σου; ἐπείπερ οὐκ ἔστιν ἄργυρος. [16] ἔφη δ' ἰωξέφης· δότε τὰς ὑμετέρας κτήσεις, δώσω ϑ' ὑμῖν ἐν ταῖς κτήσεσιν ὑμῶν, εἴπερ οὐκ εἴη ἄργυρος. [17] ἤγαγον οὖν τὰς κτήσεις ἐκείνων πρὸς ἰωξέφην, ἔδωκέ τε κείνοις ἰωξέφης ἄρτον ἐν ἵπποις κἀν κτήματι ποιμνίου ἔν τε κτήματι βουκολίου κἀν ὄνοις· ἐϑεράπευσέ τε σφᾶς ἐν ἄρτῳ ἐν πᾶσι τοῖς ἐκείνων κτήμασιν ἐν τῷ ἔτει κείνῳ. [18] κἀτελεύτησε τὸ ἔτος ἐκεῖνο, παρεγένοντό τε πρὸς αὐτὸν ἐν ἔτει τῷ δευτέρῳ κἄφησάν οἱ· οὐκ ἤρνηται πρὸς τοῦ ἐμοῦ δεσπότου, ὅτιπερ εἰ τετελεύτηκεν ὁ ἄργυρος τό τε κτῆμα τοῦ κτήνους πρὸς τὸν ἐμὸν δεσπότην, οὐ περιλέλειπται ἐπίπροσϑεν τοῦ ἐμοῦ δεσπότου πλὴν εἴπερ τοῦ σώματος ἡμῶν καὶ τῆς ὑμετέρας γῆς. [19] διατί τεϑνηξόμεϑα ἐν ὄμμασί σοι ἔτι ἡμεῖς ἔτι ἡ ἡμετέρα γῆ; ὤνησαι ἡμᾶς τήν ϑ' ἡμετέραν γῆν ἐν ἄρτῳ, ζησόμεϑα γοῦν ἡμεῖς ἥ ϑ' ἡμετέρα γῆ δοῦλοι τῷ παρεῶνι· δός τε σπόρον, βιώσομέν τε καὶ οὐ τεϑνηξόμεϑα, ἥ τε γῆ οὐκ ἐρημωϑήσεται. [20] ἐώνηται τοιγαροῦν ἰωξέφης ξύμπασαν τὴν γῆν αἰγύπτου τῷ παρεῶνι· πεπράκασι γὰρ ἡ αἴγυπτος ἕκαστος τὸν ἀγρὸν ἑαυτοῦ, ἐπείπερ ἐκρατύνϑη κατ' αὐτῶν ὁ λιμός, ἐτέλεσέ ϑ' ἡ γῆ τῷ παρεῶνι. [21] τόν τε λεὼν διήγαγε κεῖνον εἰς τὰς πόλεις, ἀπ' ἄκρου ὅρου αἰγύπτου καὶ μέχρις ἄκρου κείνου· [22] μόνην τὴν γῆν τῶν ἱερέων οὐκ ἐώνη-

---

11. [ἐκέλευ]σε ex corr. (pro ἐκέλευσεν [αὐτῷ]?) cod. 12. τὸν δόμον cod., non ἐν δόμῳ ut ed. 14. εὑρηϑέντα c. cd. ed. κεῖνοι cod., non κεῖνος ut ed. 18. οὐ in ras. (primo πλὴν), tum περιλέλειπται — πλὴν in margine. Cf. Prol. I, 2, b. 19. καὶ ἡμᾶς corr. ἔτι ἡμεῖς cod. ζησόμεϑα] legit וְנִחְיֶה, quod paullo inferius ipse textus Hebr. praebet, pro וְנִהְיֶה 21. διήγαγε cod., non ἐξήγ. ut ed. 22. μόνην cod., non μόνον

ται· τύπος γὰρ τοῖς ἱερεῦσι πρὸς τοῦ παρεῶνος, ἔδοιντο γοῦν τὸν ἑαυτῶν τύπον ὃν ἔδωκεν ἐκείνοις παρεών· διόπερ οὐκ ἔπρασαν τὴν σφετέραν γῆν. [23]ἔφη γοῦν ἰωξέφης πρὸς τὸν λεών· αὐτίκ' ἐώνημαι ὑμᾶς τήμερον τήν ϑ' ὑμετέραν γῆν τῷ παρεῶνι, αὐτίχ' ὑμῖν σπόρος, σπερεῖτε τοίνυν τὴν γῆν· [24]ὑπάρξει δ' ἐν ταῖς εἰσφοραῖς, καὶ δώσετε τὴν πέμπτην τῷ παρεῶνι, αἱ δὲ τέτταρες χεῖρες ὑπάρξουσιν ὑμῖν εἰς σπόρον τοῦ ἀγροῦ εἴς τε βρῶσιν ὑμῖν καὶ τοῖς ἐν ταῖς ὑμετέραις οἰκίαις, εἴς τε τὸ ἐσϑίειν τῷ ὑμῶν νηπίῳ. [25]καὶ εἶπον· ἐζώωκας ἡμᾶς, εὕροιμεν χάριν ἐν ὄμμασι τοῦ ἐμοῦ δεσπότου, τελέσομέν τ' οἰκέται τῷ παρεῶνι. [26]τέϑεικεν οὖν τόδ' ἰωξέφης εἰς τύπον ἄχρι τῆς ἡμέρας τησδὶ ἐπὶ τῆς γῆς αἰγύπτου τῷ παρεῶνι εἰς πέμπτον, πλὴν ἡ γῆ τῶν ἱερέων αὐτῶν μόνων οὐχ ὑπῆρξε τῷ παρεῶνι. [27]τέϑεικε δ' ἰσραέλον ἐν γῇ αἰγύπτου, ἐν γῇ γοσένου· κατέσχον οὖν ἐν αὐτῇ, καὶ ηὔξησαν ἐπληϑύνϑησάν τ' ἐπιεικῶς. [28]ἐβίωσε δ' *μερίς* Ἰακῶβος ἐν τῇ γῇ αἰγύπτου ἑπτακαίδεκα ἔτεσιν· ἐτέλεσάν ϑ' αἱ ἡμέραι ἰακώβου τὰ ἔτη τῆς αὐτοῦ βιοτῆς ἑπτὰ ἔτη τετταράκοντά τε καὶ ἑκατὸν ἔτη. [29]ἤγγισαν δ' αἱ ἡμέραι ἰσραέλου ὡς τεϑναίη, κέκληκεν οὖν τὸν υἱὸν ἑαυτοῦ ἰωξέφην ἔφη τέ οἱ· εἴπερ δὴ εὗρον χάριν ἐν ὄμμασί σοι, ϑὲς δὴ τὴν σὴν χεῖρα ὑπὸ τῷ ἐμῷ μηρῷ, ποιήσεις τε ξὺν ἐμοὶ ἔλεον ἀλήϑειάν τε, μὴ δὴ ϑάψῃς με ἐν αἰγύπτῳ· [30]ἀνακλινοῦμαι δὲ ξὺν τοῖς ἐμοῖς πατράσιν, ἀρεῖς τέ με πρὸς αἰγύπτου καὶ ϑάψεις με ἐν τῇ κείνων ταφῇ· ἔφη γοῦν· ἐγὼ ποιήσω κατὰ τὸν σὸν λόγον. [31]ἔφη δέ· ὄμοσόν μοι. ὤμοσεν οὖν οἱ· καὶ προσεκύνησεν ἰσραέλος ἐπὶ τῆς κεφαλῆς τῆς κλίνης.

XLVIII. [1]Ὑπῆρξε δὲ μετὰ τοὺς λόγους τούτους, ἔφη τ' ἰωξέφῃ· αὐτίχ' ὁ σὸς πατὴρ νοσεῖ. τοιγαροῦν ἔλαβε τὼ δύο υἱώ οἱ ξὺν ἑαυτῷ, τὸν μενασέα καὶ τὸν ἐφράϊμον, [2]ἤγγειλέ τε τῷ ἰακώβῳ κἄφη· αὐτίχ' ὁ σὸς υἱεὺς ἰωξέφης ἀφικνεῖται πρὸς σέ· ἐκρατύνϑη τοίνυν ἰσραέλος ἐκαϑέσϑη τ' ἐπὶ τῆς κλίνης. [3]ἔφη τ' ἰακῶβος πρὸς ἰωξέφην· ὁ ϑεὸς ὁ κραταιὸς ὤφϑη πρός με ἐν λεπτοκαρύκ ἐν γῇ κεναᾶνος, εὐλόγησέ τέ με [4]κἄφη πρός με· ϑεῶ ἐγὼ αὔξω σε πλη-

23. σπερεῖτε cod., non σπορ. ut ed. 25. εὕροιμεν cod., non εὕροιμι 26. πέμπτον cod., non πέμπτην 27. τέϑεικε] וַיָּשֶׂם (cf. v. 26) aut וַיָּשֶׁת (cf. IX, 21) pro וַיֹּשֶׁב 28. μερίς circulo inclusum. Cf. Prol. II, 1, a. 30. ϑάψεις] ψάψεις cod.

ϑυνῶ τέ σε δώσω τέ σε εἰς ἐκκλησίαν λεῶν, καὶ δώσω τὴν γῆν ταυτηνὶ σπόρῳ τῷ σῷ μετὰ σὲ κατάσχεσιν αἰῶνος. [5] νῦν οὖν τὼ δύο υἱώ σου τὼ τεχϑέντε σοι ἐν γῇ αἰγύπτου μέχρι τοῦ ἀφῖχϑαί με πρὸς σὲ αἴγυπτόνδε ἐμοὶ τελεῖτον, ἐφράϊμός τε καὶ μενασεὺς, ὡς ῥεουβένης καὶ συμεὼν τελέσετόν μοι· [6] ὁ δὲ σὸς γόνος ὃν ἐγέννησας μετ' αὐτὼ, σοὶ τελέσουσιν· ἐπὶ τῷ ὀνόματι τῶν σφῶν ἀδελφῶν κληϑήσονται εἰς τὴν αὐτῶν κληρονομίαν. [7] ἐγὼ ἐν τῷ ἥκειν με πρὸς παδᾶνος, τέϑνηκεν ἐπ' ἐμοῦ ῥαχέλη ἐν γῇ κεναᾶνος ἐν τῇ ὁδῷ, ἐν ἔτι ὡς σημείῳ γῆς τῷ ἥκειν ἐφράϑηνδε· κᾄϑαψα κείνην ἐκεῖ ἐν τῇ ὁδῷ ἐφράϑης, ἐκείνη δόμος ἄρτου. [8] τεϑέαται δ' ἰσραέλος τὼ υἱὼ ἰωξέφου κᾄφη· τίνε τώδε; [9] ἔφη δ' ἰωξέφης πρὸς τὸν ἑαυτοῦ πατέρα· υἱώ μοι τελεῖτον ὣ δέδωκέ μοι ὁ ϑεὸς ἐν τῷδε. ἔφη γοῦν· λάβε σφε δὴ πρὸς ἐμὲ καὶ εὐλογήσω σφε. [10] τὼ δ' ὀφϑαλμὼ ἰσραέλου ἐβαρυνάτην πρὸς τοῦ γήρως, οὐκ ἂν δύναιτο ὁρᾶν· ἤγγισεν οὖν σφε πρὸς αὐτὸν, ἐφίλησέ τέ σφε καὶ περιέβαλέ σφε. [11] καὶ εἶπεν ἰσραέλος πρὸς ἰωξέφην· ϑεάσασϑαι πρόσωπον τὸ σὸν οὐκ ἔκρινα, ϑεῷ δ' ἔδειξέ μοι ὁ ϑεὸς ἔτι σπέρμα τὸ σόν. [12] ἐξήγαγέ τ' ἰωξέφης αὐτὼ πρὸς τοῖν ἐκείνου γονάτοιν, προσεκύνησέ τ' εἰς πρόσωπον ἑαυτοῦ ἐς γῆν. [13] ἔλαβέ τ' ἰωξέφης τὼ δύο σφε, τὸν ἐφράϊμον ἐν δεξιᾷ οἱ ἀπ' εὐωνύμων ἰσραέλου, τὸν δὲ μενασέα ἐν εὐωνύμῳ οἱ ἀπὸ δεξιᾶς ἰσραέλου, καὶ ἤγγισε πρὸς ἐκεῖνον. [14] ἔπεμψε δ' ἰσραέλος τὴν δεξιὰν ἑαυτοῦ κᾄϑηκεν ἐπὶ τῆς κεφαλῆς ἐφραΐμου, κεῖνός γε μὴν ὁ ἥττων, τὴν δ' εὐώνυμον ἑαυτοῦ ἐπὶ τῆς κεφαλῆς μενασέως· ἐφρένωσε τὼ χεῖρέ οἱ, ὅτι μενασεὺς ὁ πρωτότοκος. [15] εὐλόγησέ τε τὸν ἰωξέφην ἔφη τε· ὁ ϑεὸς ᾧπερ ἐβαδισάτην τὼ ἐμὼ πατέρε ἐνώπιον ἐκείνου, ἀβραάμης καὶ ἰσχάκης, ὁ ϑεὸς ὁ ποιμαίνων με πρὸς τοῦ ἔτι εἶναί με μέχρι τῆς ἡμέρας ταύτης, [16] ὁ ἄγγελος ὁ ῥυόμενός με πρὸς ἅπαντος δεινοῦ, εὐλογήσειε τὼ νέω· κληϑείη τ' ἐν αὐτοῖν ὄνομα τοὐμὸν τό τ' ὄνομα τοῖν ἐμοῖν πατέροιν ἀβραάμου καὶ ἰσχάκου, ἰχϑυώσϑωσάν τ' εἰς πλῆϑος ἐν μέσῳ τῆς γῆς. [17] τεϑέαται δ' ἰωξέφης ὡς ϑείη ὁ κείνου

XLVIII. 6. ἡ δὲ σὴ γονὴ corr. ὁ δὲ σὸς γόνος cod. Ed. ἡ δὲ σὴ γενεὰ αὐτοὺς (ut ed.) corr. αὐτὼ cod. 7. κᾄϑαψα cod., non κᾄϑαψαν ut ed. 9. τὼ [δοϑέντε μοι?] corr. ὣ [δέδωκέ μοι] cod. 11. τὸ σπ. corr. σπέρμα cod. 14. τὴν δ' εὐών. cod. Ed. δ' om. 15. ἐβάδισαν οἱ ἐμοὶ πατέρες corr. ἐβαδισάτην τὼ ἐμὼ πατέρε cod. Ed. ἐβαδισάτην οἱ ἐμοὶ πατέρες

πατὴρ χεῖρα τὴν δεξιὰν ἑαυτοῦ ἐπὶ τῆς κεφαλῆς ἐφραΐμου, κεκάκωται γοῦν ἐν ὄμμασίν οἱ· ἤρεισεν οὖν τὴν χεῖρα τοῦ πατρὸς ἑαυτοῦ ὥστ' ἀφελεῖν ἐκείνην ἄνωθεν τῆς κεφαλῆς ἐφραΐμου ἐπὶ τῆς κεφαλῆς μενασέως. [18] ἔφη τ' ἰωξέφης πρὸς τὸν ἑαυτοῦ πατέρα· οὐ τῇδε, πάτερ ἐμέ· ὁδὶ γὰρ ὁ πρωτότοκος, θὲς τὴν σὴν δεξιὰν ἐπὶ τῆς τουτουῒ κεφαλῆς. [19] ἀπηνήνατο δ' ὁ κείνου πατὴρ ἔφη τε· ἔγνων, υἱεῦ ἐμέ, ἔγνων. κἀκεῖνος τελέσει εἰς λεών· ἔτι τε κεῖνος μεγαλυνεῖται, ὄντως γε μὴν ἀδελφὸς αὐτοῦ ὁ ἥττων μεγαλυνεῖται ὑπὲρ ἐκεῖνον ὅ τ' αὐτοῦ σπόρος τελέσει πλήρωμα τῶν ἐθνῶν. [20] εὐλόγησεν οὖν ἐκείνω ἐν τῇ ἡμέρᾳ κείνῃ τῷ φάναι· ἐν σοὶ εὐλογηθείη ἰσραέλος τῷ φάσκειν· θείη σε ὁ θεὸς κατ' ἐφράϊμον καὶ κατὰ μενασέα. κἄθηκε τὸν ἐφράϊμον πρόσθεν τοῦ μενασέως. [21] ἔφη τ' ἰσραέλος πρὸς ἰωξέφην· αὐτίκ' ἐγὼ θνήσκω· τελέσει δ' ὁ θεὸς ξὺν ὑμῖν, ἀποκαταστήσει θ' ὑμᾶς πρὸς τὴν γῆν τῶν ὑμῶν πατέρων· [22] ἐγὼ δ' ἔδωκά σοι μερίδα μίαν ἐπὶ τοῖς σοῖς ἀδελφοῖς, ἣν ἔλαβον πρὸς χειρὸς τοῦ ἐμορίου ἐν ἐμῷ ξίφει κἀν ἐμῷ τόξῳ.

XLIX. [1] Βεκόηκέ τ' ἰακῶβος πρὸς τοὺς υἱεῖς ἑαυτοῦ καὶ εἶπε· ξυνάχθητε, καὶ ἀγγελῶ ὑμῖν ὃ ξυναντήσει ὑμῖν ἐν ἐσχάτῳ τῶν ἡμερῶν· [2] ξυναθροίσθητε καὶ ἀκούσατε, υἱεῖς ἰακώβου, ἀκούσατε γοῦν πρὸς ἰσραέλον τὸν ὑμῶν πατέρα.

[3] Ῥεουβένη, πρωτότοκός μοι τελεῖς, ἰσχύς μοι ἀρχή τε κράτους ἐμοῦ, περίσσεια τοῦ αἴρειν περίσσειά τε κραταιοῦ. [4] κοῦφος ὡς ὕδωρ, μὴ περιττεύσαιο· ἀνέβης γὰρ τὰς κοίτας τοῦ σοῦ πατρὸς, τότε βεβήλωκας· τὴν ἐμὴν στρωμνὴν ἀνέβη.

[5] Συμεὼν λευίς τ' ἀδελφώ, σκεύη ἀδικίας αἱ κατοικίαι σφοῖν. [6] ἐν τῷ σφοῖν ἀπορρήτῳ μὴ ἀφίκοιο, ἐμὴ ψυχὴ, ἐν ἐκκλησίᾳ σφοῖν

---

18. τουτουῒ in ras. 20. εὐλογηθείη] יְפָרֵךְ (ita Michaele auctore in codice quodam Cassellano Prov. III, 33 legitur pro יְבָרֵךְ; cf. *Bibliothek d. neusten theol., phil. u. schönen Litteratur*, Turici 1785, t. II, p. 12) aut יְבֹרַךְ (cf. Eichhorn, *Einleitung ins A. T.*, ed. 2. Lips. 1787, I, p. 396) pro יְבָרֵךְ. Cf. LXX (εὐλογηθήσεται), Hier. *(benedicetur)*. 22. μερίδα in ras.

XLIX. 1. βεβόακε typ. vit. ed. A. 3. ῥεουβένης corr. ῥεουβένη cod. Falso ῥουβ. ed. A. καὶ ἀρχὴ corr. ἀρχή τε cod. περίσσεια, non περισσεία, cod. Cf. Prol. I, 4, c. 4. περιττεύσαις c. cd. ed. A. 5. σφῶν corr. σφοῖν cod. Item v. sq. (1). 6. ἀφίκοιτο corr. ἀφίκοιο cod.

μὴ μονωθείης, ἐμὴ δόξα· ἐν γὰρ θυμῷ σφοῖν ἀπεκτεινάτην ἄνδρα κἀν τῷ βουλήματι σφοῖν ἀπερριζωσάτην βοῦν. [7]κατάρατος ὁ σφοῖν θυμὸς, κραταιὸς γὰρ, ὅ τε χόλος σφοῖν, σκληρὸς γάρ· μεριῶ σφε ἐν Ιακώβῳ σκορπιῶ τέ σφε ἐν Ισραέλῳ.

[8]Ἰουδάε σὺ, ὁμολογήσουσί σε οἱ σοὶ κασίγνητοι· ἡ σὴ χεὶρ ἐπ' αὐχένος τῶν σῶν ἐχθρῶν, προσκυνήσουσί σοι υἱεῖς πατρός σου. [9]σκύμνος λέοντος, Ιουδάε· ἀφ' ἁρπάγματος, υἱεῦ ἐμὲ, ἀνέβης· κέκαμπται, σεσήκωται ὡς λέων ὡς λέαινά τε· τίς ἐγερεῖ ἑ; [10]οὐ δεήσει σκῆπτρον ἐξ Ιουδάου τυπωτής τε μέσοθεν τῶν αὐτοῦ ποδῶν, ἄχρις ἂν ἀφίκοιτο σιλὼν, αὐτῷ ὑπακοὴ λεῶν. [11]δεσμῶν μοι τῇ ἀμπέλῳ πῶλον ἑαυτοῦ τῇ τε καλλιαμπέλῳ υἱόν μοι ὀνίδος ἑαυτοῦ, ἔπλυνεν ἐν οἴνῳ τὸ περιβόλαιον ἑαυτοῦ κἀν αἵματι βοτρύων τὴν σκέπην ἑαυτοῦ. [12]ἐρυθρὼ τὼ ὀφθαλμὼ οἱ πρὸς οἴνου, λευκός τε τοὺς ὀδόντας πρὸς γάλακτος.
[13]Ζεβουλούνης εἰς αἰγιαλὸν θαλαττῶν κατοικήσει, κεῖνός τ' εἰς λιμένα νεῶν, τό τ' αὐτοῦ κλίμα μέχρι σιδῶνος.

[14]Ἰσασχάρης ὄνος ὀστοῦ, σηκούμενος ἀνὰ τὰ ἡμιφόρτια· [15]τεθέαται δ' ἀνάπαυσιν ὅτι χρηστὴ, τήν τε γῆν ὅτιπερ ἡδεῖα· κἄκλινε τὸν ὦμον ἑαυτοῦ βαστάζειν, ὑπῆρξέ τ' εἰς φόρον δουλεύων.

[16]Δὰν κρινεῖ τὸν ἑαυτοῦ λεὼν, ὡς ἓν τῶν σκήπτρων Ισραέλου. [17]τελέσει δὰν ὄφις ἐφ' ὁδοῦ βασιλίσκος τ' ἐπὶ τρίβου, ὁ δάκνων πτέρνας ἵππου, πέπτωκεν οὖν ὁ κείνῳ ὀχούμενος κατόπιν. [18]εἰς τὴν σὴν σωτηρίαν περιέμεινα, ὀντωτά.

μονωθείη c. cd. edd. Recte jam Adler in *Orient. u. exeg. Bibl.* XVI, p. 186. ἀπεκτηνάτην cod. et ed. E., ἀπεκτιν. ed. A. βουλεύματι c. cd. ed. A. 8. κασίγνητοι] inepte Tychsen (in *Neue orient. u. exeg. Bibl.* VIII, p. 205), lectionem receptam suspectans, cum Adlero (l. c. p. 187) legi vult ἀδελφοί. Cf. XVI, 12. XXXVII, 16. 30 cet. 9. ἐγεριεῖ c. cd. ed. A. 10. Pro οὐ δεήσει C. J. legi jubet οὐδ' ἔσει. Contra Amm. „Legendum est procul dubio: οὐδὲ ἥσει (sic invito codice Adler l. c.) *non recedet*". Sed hujusmodi emendationibus omnino opus non est. Cf. Num. XIV, 44 (יָמֻשׁוּ ἐδέησαν), Exod. XIII, 22 (יָמִישׁ ἐκλίποι). σίλων c. cd. ed. A. 11. ὀνίδος cod., non ὀνεῖδος ut ed. A. βότρυος corr. βοτρύων cod. 12. πρὸς οἴνου in ras. 13. μέχρι] legit עַד pro עַל t. rec. Item Sam. et verss. antiqq. 15. χρηστὴ] vix aliter ex corr. cod. Ed. χρηστὸς ὦμὸν c. cd. edd. 18. περιειμένα typ. vit. ed. A.

[19]Γάδος, στράτευμα στρατεύσει αὐτὸν, αὐτός τε στρατεύσει, πτέρνα. [20]Πρὸς ἀσέρου, πίων ὁ ἄρτος αὐτοῦ, αὐτός τε δώσει τρυφὰς βασιλέως.

[21]Ναφεταλὶς ἔλαφος πεμφθεῖσα, ὁ διδοὺς ῥήματα κάλλους. [22]Υἱεὺς αὐξήσεως ἰωξέφης, υἱεὺς αὐξήσεως ἐπ' ὀφθαλμοῦ· θυγατέρες, ἐβημάτισεν ἐπὶ τείχους. [23]ἐπίκρανάν τέ ἑ κἄβαλον, ἐμήνισάν τέ οἱ δεσπόται βελῶν· [24]ἐκαθέσθη δ' ἐν κραταιῷ τὸ τόξον αὐτοῦ, κἀκρατύνθησαν βραχίονες χεροῖν αὐτοῦ πρὸς τῶν χειρῶν τοῦ κραταιοῦ ἰακώβου· ἐκεῖθεν ὁ νομεὺς, ὁ λίθος ἰσραέλου· [25]πρὸς θεοῦ τοῦ σοῦ πατρὸς, ἐπικουρήσει γοῦν σοι, τοῦ τε κραταιοῦ, εὐλογήσει γοῦν σε εὐλογίαις οὐρανοῦ ἄνωθεν, εὐλογίαις ἀβύσσου σηκουμένης κάτω, εὐλογίαις μαστῶν καὶ μήτρας· [26]εὐλογίαι σοῦ πατρὸς κεκραταίωνται ἐπ' εὐλογίαις ἐμὲ κυησάντων μέχρις ἐφέσεως λόφων αἰῶνος· τελοῖεν τῇ κεφαλῇ ἰωξέφου τῇ τε κορυφῇ τοῦ ἀφωρισμένου τῶν ἀδελφῶν αὐτοῦ.

[27]Βιναμὶν, λύκος ἁρπάσει· ἐν ἕῳ ἔδεται σκύλον, τῇ θ' ἑσπέρᾳ μεριεῖ λείαν. [28]πάντες οὗτοι σκῆπτρα ἰσραέλου δυοκαίδεκα· τοδί θ' ὅπερ διείλεκται σφίσιν ὁ σφῶν πατὴρ, εὐλόγησε γοῦν αὐτοὺς, ἕκαστον ὃν κατὰ τὴν εὐλογίαν αὐτοῦ εὐλόγησεν αὐτούς. [29]κἀκέλευσεν αὐτοῖς ἔφη τε σφίσιν· ἐγὼ ξυνάγομαι πρὸς τὸν ἐμὸν λεών· θάψατέ με πρὸς τοῖς ἐμοῖς πατράσι πρὸς τῷ ἄντρῳ τῷ ἐν τῷ ἀγρῷ ἐφρῶνος τοῦ χητίου, [30]ἐν τῷ ἄντρῳ τῷ ἐν τῷ ἀγρῷ τοῦ διπλώματος τῷ ἐπὶ προσώπου μαμερέως ἐν γῇ κεναᾶνος, ὅπερ ἐώνηται ἀβραάμης ξὺν τῷ ἀγρῷ πρὸς ἐφρῶνος τοῦ χητίου εἰς κατάσχεσιν τύμβου. [31]ἐκεῖ ἔθαψαν τὸν ἀβραάμην καὶ ξαρὰν τὴν ἐκείνου γυναῖκα, ἐκεῖ ἔθαψαν τὸν ἰσχάκην καὶ ῥιβεκὰν τὴν ἐκείνου γυναῖκα, ἐκεῖ τ' ἔθαψα τὴν λεάν· [32]ὤνημα ὁ ἀγρὸς τό τ' ἄντρον τὸ ἐν αὐτῷ πρὸς τῶν υἱέων χέθου. [33]τετελεύτηκε δ' ἰακῶβος κελεύων τοῖς ἑαυτοῦ υἱέσι, καὶ συνῆξε τοὺς ἑαυτοῦ πόδας πρὸς τὴν κλίνην, ἐξέψυξέ τε καὶ συνήχθη πρὸς τοὺς ἐκείνου λεώς.

---

19. πτέρνα] consultone ita scripserit, an πτέρναν voluerit nescio. **22.** ἐβημάτισεν] sic cod., non ἐβημάτισαν ut edd. **24.** τῶν χειρῶν cod., non τῆς χειρὸς ut edd. **26.** ἐπὶ (ut edd.) corr. ἐπ' cod. [τελ]οῖεν ex corr. cod. **31.** Ante ξαρὰν erasum τὴν, itemque ante ῥιβεκὰν ἔθαψα [τὴν λεάν] recte edd. Nescio unde Mor. habeat ἔθαψαν **32.** ὤνημα ex corr. (pro ὤνησις?) cod.

L. [1] ἔπεσε γοῦν ἰωξέφης ἐπὶ τοῦ προσώπου τοῦ ἑαυτοῦ πατρὸς, ἔκλαυσέ τ' ἐπ' αὐτοῦ κἀφίλησέν ἑ. [2] ἐκέλευσέ τ' ἰωξέφης τοῖς οἰκέταις ἑαυτοῦ τοῖς ἰατροῖς κηδεῦσαι τὸν αὐτοῦ πατέρα· κἀκήδευσαν οἱ ἰατροὶ τὸν ἰσραέλον. [3] πεπλήρωνται δέ οἱ τετταράκοντα ἡμέραι· τῇδε γὰρ πληροῖντο αἱ ἡμέραι τῆς κηδείας· ἔκλαυσάν τ' αὐτὸν ἡ αἴγυπτος ἑβδομήκοντα ἡμέραις. [4] καὶ παρῆλθον αἱ ἡμέραι τοῦ κείνου κλαυθμοῦ, διείλεκται δ' ἰωξέφης πρὸς τὸν δόμον τοῦ παρεῶνος τῷ φάναι· εἰ δὴ εὗρον χάριν ἐν ὄμμασιν ὑμῶν, διείλεχθε δὴ ἐν ὠσὶ τοῦ παρεῶνος τῷ φάναι· [5] πατὴρ ὁ ἐμὸς ὥρκισέ με τῷ φάναι· αὐτίκ' ἔγωγ' ἀποθνήσκω· ἐν τῷ ἐμῷ τύμβῳ ὃν ὤρυξα ἐμαυτῷ ἐν γῇ κεναᾶνος, ἐκεῖ με θάψεις. νῦν οὖν ἀναβῶ δὴ θάψω τε τὸν ἐμὸν πατέρα, καὶ ὑποστρέψω. [6] τοιγαροῦν ἔφη παρεών· ἀνάβα θάψον τε τὸν σὸν πατέρα καθά σε ὥρκισεν. [7] ἀνέβη γοῦν ἰωξέφης θάψαι τὸν ἑαυτοῦ πατέρα· ἀνέβησάν τε ξὺν αὐτῷ πάντες οἱ οἰκέται παρεῶνος, γέροντες τοῦ δόμου οἱ καὶ πάντες οἱ γέροντες τῆς γῆς αἰγύπτου, [8] πᾶς θ' ὁ δόμος ἰωξέφου οἵ τ' ἀδελφοί οἱ καὶ ὁ δόμος τοῦ αὐτοῦ πατρός· μόνον τὸ νήπιον σφῶν τό τε ποίμνιον σφῶν καὶ τὸ σφῶν βουκόλιον παρῆκαν ἐν γῇ γοσένου. [9] ἀνέβη τε ξὺν ἐκείνῳ ὄχημά τε καὶ ἱππεῖς, ὑπῆρξέ τε τὸ στράτευμα βαρύτατον. [10] καὶ ἀφίκοντο μέχρι τῆς ἅλω τῆς ῥάμνου τῆς ἐν τῷ πέραν ἰαρδένου, κἀθρήνησαν ἐκεῖ θρῆνον μέγαν βαρύν τ' ἄγαν· ἐποίησέ τε τῷ ἑαυτοῦ πατρὶ πένθος ἑπτὰ ἡμέραις. [11] τεθέαται δ' ὁ κάθεδρος τῆς γῆς ὁ κεναάνιος τὸ πένθος ἐν τῇ ἅλωνι τῆς ῥάμνου, καὶ εἶπον· πένθος βαρὺ τοδὶ τῇ αἰγύπτῳ· διὸ κέκληκε τοὔνομα κείνης πένθος αἰγύπτου, ἥπερ ἐστὶν ἐν τῷ πέραν τοῦ ἰαρδένου. [12] ἐποίησάν θ' οἱ κείνου υἱεῖς ἐκείνῳ τῇδε καθάπερ ἐκέλευσε σφίσιν. [13] ἦράν τ' αὐτὸν οἱ κείνου υἱεῖς εἰς γῆν κεναᾶνος κἄθαψάν ἑ ἐν τῷ ἄντρῳ τοῦ ἀγροῦ τοῦ διπλώματος, ὅπερ ἐώνηται ἀβραάμης ξὺν τῷ ἀγρῷ εἰς κατάσχεσιν τύμβου πρὸς ἐφρῶνος τοῦ χητίου ἐπὶ προσώπου μαμερέως. [14] ὑπέστρεψέ τ' ἰωξέφης αἰγυπτόνδε, κεῖνος οἵ τ' ἀδελφοὶ κείνου καὶ πάντες οἱ ξυναναβάντες ἐκείνῳ θάψαι τὸν ἐκείνου πατέρα, μετὰ τεθαφέναι ἑ τὶν αὐτοῦ πατέρα. [15] τεθέανται δ' οἱ ἀδελφοὶ ἰωξέφου ὡς τέθνηκεν ὁ κείνων πατὴρ, κἄφησάν οἱ· μηνιεῖ ἡμῖν ἰωξέ-

---

L. 2. ἰσραέλην c. cd. ed. 5. ὤρυξα ἐμαυτῷ cod., non ὤρυξαν ἐν αὐτῷ ut ed. 14. οἵ τ' ἀδελφοὶ κείνου in ras. 15. (κἄφησάν) οἱ] לו pro לי

φης, τῷ τ' ἀποτιννύναι ἀποτίσει ἡμῖν ξύμπαν τὸ δεινὸν ὅπερ ἐτίσαμέν οἱ. [16]τοιγαροῦν ἐκέλευσαν πρὸς ἰωξέφην τῷ φάναι· ὁ σὸς πατὴρ ἐκέλευσε πρὸ τοῦ τεϑνάναι ἐ τῷ φάναι. [17]τῇδε φήσετε τῷ ἰωξέφῃ· ὤ ἆρον δὴ τὴν παράβασιν τῶν σῶν ἀδελφῶν τήν ϑ' ἁμαρτίαν αὐτῶν, ὅτι κακὸν ἔτισάν σοι· νῦν δ' ἆρον δὴ τῇ παραβάσει τῶν οἰκετῶν τοῦ ϑεοῦ τοῦ σοῦ πατρός. ἔκλαυσε δ' ἰωξέφης ἐν τῷ διαλέγεσϑαι σφᾶς πρὸς ἐκεῖνον. [18]ἀπῆλϑόν τ' ἔτι οἱ ἀδελφοί οἱ, κἄπεσον ἐπίπροσϑεν ἐκείνου κἄφησαν· αὐτίχ' ἡμεῖς σοι εἰς οἰκέτας. [19]ἔφη δὲ πρὸς ἐκείνους ἰωξέφης· μὴ δείσητε, ἐπείπερ ἆρ' ἀντὶ τοῦ ϑεοῦ τελῶ; [20]ὑμεῖς οὖν λελόγισϑε κατ' ἐμοῦ δεινὸν, ϑεὸς λελόγισται κεῖνο εἰς χρηστὸν, ὥστε ποιῆσαι κατὰ τὴν ἡμέραν τηνδί, ζωῶσαι λεὼν πολύν. [21]νῦν οὖν μὴ φοβεῖσϑε· ἔγωγε ϑρέψω ὑμᾶς τό ϑ' ὑμέτερον νήπιον. παρεμυϑήσατό τε σφᾶς καὶ διείλεκται ἐπὶ καρδίας σφίσιν. [22]ἐκαϑέσϑη δ' ἰωξέφης ἐν αἰγύπτῳ, κεῖνος ὅ τε δόμος τοῦ κείνου πατρός. ἔζησέ τ' ἰωξέφης ἑκατὸν καὶ δέκα ἔτεσιν. [23]εἶδέ τ' ἰωξέφης τῷ ἐφραΐμῳ υἱέας τρίτους, ἔτιπερ υἱεῖς μαχίρου τοῦ υἱέως μενασέως τετέχαται ἐπὶ γονάτων ἰωξέφου. [24]ἔφη δ' ἰωξέφης πρὸς τοὺς ἑαυτοῦ ἀδελφούς· ἔγωγε ϑνήσκω· ὁ δὲ ϑεὸς τῷ ἐπισκέπτεσϑαι ἐπισκέψεται ὑμᾶς, ἀνοίσετε γοῦν μεϑ' ὑμῶν πρὸς τῆς γῆς τησδὶ πρὸς τὴν γῆν ἣν ὤμοσε τῷ ἀβραάμῃ, τῷ ἰσχάκῃ καὶ τῷ ἰακώβῳ. [25]ὥρκισέ τ' ἰωξέφης τοὺς υἱεῖς ἰσραέλου τῷ φάναι· τῷ ἐπισκέπτεσϑαι ἐπισκέψεται ὁ ϑεὸς ὑμᾶς, ἀναγάγετε γοῦν τὰ ἐμὰ ὀστᾶ πρὸς τουδί. [26]τέϑνηκέ τ' ἰωξέφης υἱεὺς ἑκατὸν καὶ δέκα ἐτῶν· ἐκήδευσάν τε κεῖνον ἐν κιβωτῷ ἐν αἰγύπτῳ.

---

17. τό τ' [ἀμπλάκημα?] corr. τήν ϑ' [ἁμαρτίαν] cod. καὶ νῦν corr. νῦν δ' 20. ποιῆσαι recte ed. Miro errore Mor. ποιῆσϑαι tribuit codici. 24. ἀνοίσετε γοῦν] וְהַעֲלִיתֶם אִתְּכֶם (cf. v. sq.) pro וְהֶעֱלָה אֶתְכֶם ὤμοσεν corr. ὤμοσε (non ὤμωσε ut ed.) τῷ cod. 26. τε κεῖνον (non τ' ἐκ.) ἐν κιβωτῷ] וַיִּישֶׂם om.

I. Ταδί δὲ τὰ ὀνόματα τῶν υἱέων ἰσραέλου τῶν ἀφιγμένων αἴγυπτόνδε ξὺν ἰακώβῳ· ἕκαστος οἶκός τε κείνου ἀφίκοντο· [2] ῥεουβένης, συμεὼν, λευὶς καὶ ἰευδάος, [3] ἰσασχάρης, ζεβουλούνης καὶ βινιαμὶν, [4] δὰν ναφεταλίς τε, γάδος ἀσέρης τε. [5] κάτέλεσε πᾶσα ψυχὴ ἐξιόντες μηρὸν ἰακώβου ἑβδομήκοντα ψυχαί· ἰωξέφης δ' ὑπῆρξεν ἐν αἰγύπτῳ. [6] τέϑνηκε δ' ἰωξέφης καὶ πάντες οἱ ἀδελφοὶ κείνου πᾶσά ϑ' ἡ γενεὰ κείνου. [7] οἱ δ' υἱεῖς ἰσραέλου ηὔξησαν ἔβρυσάν τε κἀπληϑύνϑησαν, ἐκρατύνϑησάν τε ἐσταάγαν ἄγαν· πέπλησταί ϑ' ἡ γῆ κείνων.

[8] Ἐγήγερται δὲ βασιλεὺς καινὸς ἐπ' αἰγύπτου, ὃς οὐκ ἔγνω τὸν ἰωξέφην. [9] ἔφη τε πρὸς τὸν ἑαυτοῦ λεών· ἰδοὺ λεὼς τῶν υἱέων ἰσραέλου πολὺς, κραταιότερός ϑ' ἡμῶν· [10] αὐτίκα σοφισώμεϑά οἱ μήπως πληϑυνϑῇ, τελέσῃ τ' ἐπὰν συμβαῖεν πόλεμοι, προστεϑῇ τ' ἔτιπερ αὐτὸς ἐπὶ τοῖς μισοῦσιν ἡμᾶς, πολεμήσῃ τ' ἐν ἡμῖν καὶ ἀναβῇ πρὸς τῆς γῆς. [11] ἔϑηκαν οὖν ἐπ' ἐκείνου ἄρχοντας τελῶν ὥστε ταπεινοῦν ἐκεῖνον ἐν βασταγμοῖς σφῶν· ἐδείματό τε πόλεις ὡρείων τῷ παρεῶνι, τὴν πιϑώμην καὶ τὴν ῥαμεξέξην. [12] καϑὰ δὲ ταπεινοῖεν ἐκεῖνον, τῇδε πληϑύνοιτο τῇδέ τε τείνοι· ἐστένωνται δ' ἀπὸ προσώπου τῶν υἱέων ἰσραέλου. [13] ἐδούλωσάν τ' αἴγυπτος τοὺς υἱέας ἰσραέλου ἐν σκληρότητι, [14] κἀπίκραναν τὴν σφῶν βιοτὴν ἐν δουλείᾳ σκληρᾷ, ἐν πηλῷ κἀν πλίνϑοις ἔν τε πάσῃ ἐργασίᾳ ἐν ἀγρῷ, ξὶν πάσῃ τῇ δουλείᾳ σφῶν ἣν ἐδούλευσαν ἐν αὐτοῖς ἐν

I. 5. ἐξιόντες cod., non διεξελόντες, ut relatum erat Ammonio, nec vero διελόντες, ut Mor. legi jubet. Ed. διεξελϑόντες 7. ἐσταάγαν] sic cod. Cf. Gen. XVII, 2. 6. XXVII, 33. 8. καινὸς ipse cod. praebet, non κεῖνος ut ed. Cf. Amm. ad h. l. 10. συμβαῖεν πόλεμοι cod., non συμβαίη πόλεμος ut ed. Etenim pluralem verbi expressit (תִּקְרֶאנָה מִלְחָמָה). γ' ἔτιπερ c. ed. ed. ἐν ex corr. (pro ἐφ'?) cod. 11. [τελ]ῶν in ras. ῥαμεξέξην] sic cod. (item XII, 37. Num. XXXIII, 3. 5.). Cf. Gen. XLVII, 11, ubi idem nomen (רַעְמְסֵס) ῥαμεξέσης reddiderat.

σκληρότητι. [15] ἔφη δ' ὁ βασιλεὺς αἰγύπτου ταῖν μαίαιν τῶν ὑβραΐδων, αἷν ὄνομα τῆς μιᾶς σιφρὰ καὶ ὄνομα τῆς δευτέρας πουά. [16] ἔφη τοίνυν· ἐν τῷ μαιεύειν σφὼ τὰς ὑβραΐδας, ὄψεσθε γοῦν ἐπὶ τῶν καθεδρῶν, εἴ γ' υἱεύς ἐστι, καὶ θανατώσετέ ἑ· εἰ δὲ θυγάτηρ τελεῖ, καὶ ζήτω. [17] ἐδεισάτην δὲ τὰ μαία τὸν θεὸν, οὔκουν ἐποιησάτην καθὼς διείλεκται πρὸς αὐτὰ ὁ βασιλεὺς αἰγύπτου, κἀζώωσαν τὰ βρέφη. [18] κέκληκε γοῦν ὁ βασιλεὺς αἰγύπτου τὰ μαία ἔφη τε σφῷν· διατί πεποιήκατον τὸ πρᾶγμα τοδὶ κἀζωώσατον τὰ βρέφη; [19] ἐφήτην οὖν τὰ μαία πρὸς παρεῶνα· ὅτιπερ οὐ κατὰ γυναῖκας τὰς αἰγυπτίας αἱ ὑβραῖαι· θηρία γάρ εἰσι· πρὶν ἀφίκοιτο πρὸς αὐτὰς ἡ μαῖα, καὶ τετόκασιν. [20] ἠγάθυνεν οὖν ὁ θεὸς ταῖς μαίαις· ἐπλήθυνέ θ' ὁ λεὼς ἐκρατύνθη τ' ἄγαν. [21] ὑπῆρξε δ' ἐπείπερ ἐδεισάτην τὰ μαία τὸν θεὸν, ἐποίησεν οὖν ἐκείναιν δόμους. [22] τοιγαροῦν ἐκέλευσε παρεὼν παντὶ τῷ ἑαυτοῦ λεῷ τῷ φάναι· πάνθ' υἱὸν τὸν τεχθέντα, ἐς τὸν ῥύακα ῥίψετέ ἑ, πᾶσαν δὲ τὴν θυγατέρα ζωώσετε.

[1] Ἀπῆλθε δ' ἀνὴρ ἐκ δόμου λευῖνος, ἔλαβέ τε θυγατέρα λευῖνος. II. [2] ἐκύησεν οὖν ἡ γυνὴ, τέτοκέ θ' υἱόν· ἑώρακε δ' ἐκεῖνον ὅτι χρηστὸς ἦν, ἔκρυψεν οὖν ἐκεῖνον τρισὶ σελήναις. [3] οὐ μὴν ἔσχεν ἔτι κρύπτειν ἐκεῖνον· ἔλαβε τοίνυν ἐκείνῳ θίβην παπύρου ἐτιτάνωσέ τ' αὐτὴν ἐν τιτάνῳ κἀν πίττῃ, κἄθηκεν ἐν αὐτῇ τὸ βρέφος ἔθηκέ τ' ἐν τῷ φύκει ἐπὶ χείλους τοῦ ῥύακος. [4] ἔστη θ' ἡ ἀδελφή οἱ πόρρωθεν, ὡς γνοίη τί ποιηθήσοιτό οἱ. [5] κατέβη δ' ἡ θυγάτηρ παρεῶνος λούσασθαι ἐπὶ τὸν ῥύακα, αἵ τε νέαι κείνης ἐβάδιζον ἐπὶ χειρὶ τοῦ ῥύακος· τεθέαται γοῦν τὴν θίβην ἐν μέσῳ τοῦ φύκους, ἔπεμψέ τε τὴν ἑαυτῆς οἰκέτιν, κἄλαβεν ἐκείνην [6] ἤνοιξέ τε καὶ τεθέαται αὐτὸ τὸ βρέφος, θεῶ τε νέος κλάων· ἐσπλαγχνίσθη

---

16. ταῖς καθέδραις c. cd. ed. θυγατέρα 'cod. Cf. Prol. I, 2, a. 17. ἔδεισαν corr. ἐδεισάτην cod. αἱ μαῖαι corr. τὰ μαία ἔζῳ corr. κἀζώωσαν cod. Ed. καὶ ἔζῳ. 18. τὰς μαίας corr. τὰ μαία ἵνα. corr. διατί πεποιήκατον] ον factum ex ε κἀζωωσάτην c. cd. ed. 19. ἔφ[ησαν] corr. ἐφήτην (cf. Gen. XXXI, 14) cod. αἱ [μαῖαι] corr. τὰ [μαία] τὰς [γυν.] corr. γυναῖκας αἰγυπτίας] vix aliter cod. Ed. αἰγυπτίους 21. δέμους] δόμος cod. 22. ἐκέλευσεν corr. ἐκέλευσε cod.

II. 3. εἰς τὸ [φῦκος] corr. ἐν τῷ [φύκει] cod. 4. ποιηθήσεται (ut ed.) corr. ποιηθήσοιτο cod. 5. θήβην cod. οἰκέτην c. cd. ed. ἐκείνην cod., non ἐκεῖνον ut ed.

γοῦν ἐπ' αὐτοῦ καὶ εἶπεν· ἐκ τῶν βρεφῶν τῶν ὑβραίων ὁδί. [7] ἔφη δ' ἡ ἀδελφὴ κείνου πρὸς τὴν θυγατέρα τοῦ παρεῶνος· ἄρ' ἀπέλθω καλέσω τέ σοι γυναῖκα θηλάζουσαν πρὸς τῶν ὑβραΐδων, καὶ θηλάσει σοι τὸ παιδίον; [8] ἔφη γοῦν ἐκείνη ἡ θυγάτηρ τοῦ παρεῶνος· ἄπιθι. τοιγαροῦν ἀπῆλθεν ἡ κόρη κέκληκέ τε τὴν μητέρα τοῦ βρέφους. [9] ἔφη δὲ ταύτῃ ἡ θυγάτηρ τοῦ παρεῶνος· ἄπαγε τὸ βρέφος τουτὶ θήλασόν τ' αὐτό μοι, κἀγὼ δώσω τὸν σὸν μισθόν. ἔλαβεν οὖν ἡ γυνὴ τὸ βρέφος ἐθήλασέ τε κεῖνο. [10] μεμεγάλυνταί θ' ὁ νέος, καὶ ἤγαγεν ἐκεῖνον τῇ θυγατρὶ παρεῶνος, ἐτέλεσέ τε κείνῃ εἰς υἱόν· ἐκάλεσέ τε τοὔνομά οἱ μωσέα καὶ εἶπεν· ὅτι πρὸς τοῦ ὕδατος εἵλκυσά ἑ. [11] ὑπῆρξε δ' ἐν ταῖς ἡμέραις ἐκείναις, ἐμεγεθύνθη τε μωσεύς, κἀξῆλθε πρὸς τοὺς ἀδελφοὺς ἑαυτοῦ εἶδέ τ' ἐν τοῖς ἐκείνων βασταγμοῖς· ἑώρακέ τ' ἄνδρα αἰγύπτιον τύπτοντα ἄνδρα ὑβραῖον πρὸς τῶν αὐτοῦ ἀδελφῶν· [12] ἠτένισε δ' ἐνθάδε κἀκεῖσε τεθέαταί θ' ὡς οὐκ ἦν ἀνήρ, ἔβαλεν οὖν τὸν αἰγύπτιον κἄκρυψεν ἐκεῖνον ἐν τῇ ψαμμάθῳ· [13] ἐξῆλθε δ' ἐν ἡμέρᾳ τῇ δευτέρᾳ, θεῶ τε δύο ἄνδρε ὑβραίω ἀντοχλουμένω· τοιγαροῦν ἔφη τῷ ἀσεβεῖ· τοῦ χάριν τύψεις τὸν σὸν ἀδελφόν; [14] εἶπεν οὖν· τίς ἔθηκέ σε εἰς ἄνδρα ἄρχοντα κριτήν τ' ἐπὶ νῷν; ἄρ' ἀνελεῖν με σὺ φῄς καθάπερ ἀνεῖλες τὸν αἰγύπτιον; ἔπτηξεν οὖν μωσεὺς ἔφη τε· ὄντως ἔγνωσται τὸ πρᾶγμα. [15] πέπυσται δὲ παρεὼν τὸν λόγον τουτονί, κἀζήτησεν ἀνελεῖν τὸν μωσέα· ἀπέδρα τοίνυν μωσεὺς ἀπὸ προσώπου παρεῶνος ἐκαθέσθη τ' ἐν γῇ μιδιᾶνος, ἐκαθέσθη τ' ἐπὶ τοῦ φρέατος. [16] τῷ γε μὴν ἱερεῖ μιδιᾶνος ἑπτὰ θυγατέρες· ἀφίκοντό τε καὶ ἠρρύσαντο, ἔπλησάν τε τοὺς ὀχετοὺς ὡς ποτίσαιεν τὸ ποίμνιον τοῦ κείνων πατρός. [17] ἀφίκοντο δ' οἱ νομεῖς κἀξήγαγον ἐκείνας. ἐγήγερται δὲ μωσεὺς κἄσωσε κείνας, ἐπότισέ τε τὸ κείνων ποίμνιον. [18] ἦλθον δὲ πρὸς ῥεουέλον τὸν ἑαυτῶν πατέρα, κἄφη· διατί ἐταχύνατε ἀφικέσθαι τήμερον; [19] ἔφησαν οὖν· ἀνὴρ αἰγύπτιος ἀπήλλαξεν ἡμᾶς πρὸς τῆς χειρὸς τῶν νομέων, ἔτι τε τῷ ἱμᾶσθαι ἱμήσατο ἡμῖν ἐπότισέ τε τὸ ποι-

---

7. ἄρα ἀπέλθω c. cd. ed. 10. ἐτέλεσέ τε] ἔτελέ τε cod. Cf. Prol. l. c. 11. ἐμεγ. δὲ c. cd. ed. 13. ὑβραῖοι corr. ὑβραίω cod. 14. φῇς, non φῆς, cod. 16. ἀφίκοντο — ἠρρύσαντο — ἔπλησαν — ποτίσαιεν] omnia haec ex corr. Primo, ut videtur, ἀφικνοῖντο — ἀρρύοιντο — πληροῖεν — ποτίζοιεν. Falso ed. ἐρρύσαντό τε, et mox ἐπλήρωσαν 17. ἐκείνας cod., non ἐκείναις ut ed.

μνιον. [20] ἔφη γοῦν πρὸς τὰς ἑαυτοῦ θυγατέρας· ποῦ δ' ἐστί; διατί τόδε παρήκατε τὸν ἄνδρα; βοήσατέ οἱ, καὶ ἔδεται ἄρτον. [21] ἠθέλησέ τε μωσεὺς καθεσθῆναι ξὺν τῷ ἀνδρί· κἄδωκε σιπορὰν τὴν ἑαυτοῦ θυγατέρα μωσεῖ. [22] τέτοκε γοῦν υἱόν· ἐκάλεσε δὲ τοὔνομά οἱ γερεσώμην, ἔφη γάρ· πάροικος ἐτέλεσα ἐν γῇ ἀλλοτρίᾳ.

[23] Ἐτέλεσε δ' ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις, τέθνηκέ θ' ὁ βασιλεὺς αἰγύπτου· κἀστέναξαν οἱ υἱεῖς ἰσραέλου πρὸς τῆς δουλείας ἐκραύγασάν τε, ἀνέβη γοῦν ἡ κείνων κραυγὴ πρὸς τὸν θεὸν ἀπὸ τῆς δουλείας. [24] πέπυσται τοίνυν ὁ θεὸς τὸν κωκυτὸν αὐτῶν, ἐμνήσθη τε ὁ θεὸς τῆς ἑαυτοῦ ξυνθήκης ξὺν ἀβραάμῃ, ξὺν ἰσχάκῃ ξύν τ' ἰακώβῳ· [25] κἄβλεψεν ὁ θεὸς τοὺς υἱεῖς ἰσραέλου, ἔγνω τε ὁ θεός.

III. [1] Μωσεὺς δ' ἐτύγχανε νέμων τὸ ποίμνιον ἰεθρῶνος τοῦ ἑκυροῦ οἱ τοῦ ἱερέως μιδιᾶνος, ἤγαγέ τε τὸ ποίμνιον κατόπιν τῆς ἐρήμου, καὶ ἀφῖκται πρὸς τὸ ὄρος τοῦ θεοῦ χωρέβηνδε. [2] ὦπται δ' ἄγγελος τοῦ ὀντωτοῦ πρὸς αὐτὸν ἐν φλογὶ πυρὸς μέσοθεν τῆς βάτου· τεθέαται γοῦν, θεῶ θ' ἡ βάτος ὑφήπτετο ἐν πυρί, ἡ μέντοι βάτος οὐ βέβρωται. [3] ἔφη γοῦν μωσεύς· ἀποχωρήσω δὴ καὶ θεάσωμαι τὴν ὄψιν τὴν μεγάλην τηνδί, διατί οὐχ ὑφάπτοιτο ἡ βάτος. [4] τεθέαται δ' ὁ ὀντωτὴς ὡς ἀποχωρεῖ θεάσασθαι, κἀβόησεν πρὸς αὐτὸν ὁ θεὸς μέσοθεν τῆς βάτου καὶ εἶπε· μωσεῦ μωσεῦ. εἶπεν οὖν· ὧδ' ἐγώ. [5] ἔφη δέ· μὴ ἐγγίσῃς ἐνθαδί· ὑπέλυσον τὴν σὴν ἐμβάδα ἄνωθεν τοῦ σοῦ ποδός, ὁ γὰρ τόπος ᾧ σὺ ἕστηκας ἐπ' αὐτοῦ γῆ ἁγίου τελεῖ. [6] καὶ εἶπεν· ἔγωγ' ὁ θεὸς τοῦ σοῦ πατρός, θεὸς ἀβραάμου, θεὸς ἰσχάκου καὶ θεὸς ἰακώβου. ἔκρυψεν οὖν μωσεὺς τὸ πρόσωπον ἑαυτοῦ, πεφόβηται γὰρ πρὸς τοῦ ἀτενίζειν πρὸς τὸν θεόν. [7] ἔφη θ' ὁ ὀντωτής· τῷ θεᾶσθαι τεθέαμαι τὴν τληπάθειαν τοῦ ἐμοῦ λεὼ τοῦ ἐν τῇ αἰγύπτῳ, τήν τε κραυγὴν ἐκείνων πέπυσμαι ἀπὸ προσώπου τῶν ξυνελαστῶν αὐτῶν· ἔγνων γὰρ τὰ ἄλγη κείνου.

---

20. ποῦ δ' ἐστί cod. Ed. δ' om. 22. γερσώμην c. cd. ed.

III. 1. ἑκυροῦ c. cd. ed. 4. [μωσ]εῦ (1) in rasura. 5. [ἐν]θαδί in ras. τὸ σὸν [ὑπόδημα?] corr. τὴν σὴν [ἐμβάδα] cod. Sed pluralem exspectaveris (נְעָלֶיךָ), eundemque pro τοῦ σοῦ ποδὸς (רַגְלֶיךָ). 6. θεὸς ter (2. 3. 4.) ex corr. pro ὁ θεὸς. Primo et secundo loco articulus erasus est (ed. nihilominus ὁ θεὸς), tertio θ scriptum super ὁ 7. λεῶ c. cd. ed. τῶν ξυνελ. αὐτῶν (נֹגְשָׂיו)] cf Prol. II, 2, b.

[8] κατέβην οὖν ἀπαλλάξαι ἐ πρὸς τῆς χειρὸς τῆς αἰγύπτου, ἀναγαγεῖν τε κεῖνον ἀπὸ τῆς γῆς ἐκείνης εἰς γῆν χρηστὴν εὐρεῖάν τε, πρὸς γῆν ῥεομένην γάλακτι μέλιτί τε, πρὸς τὸν τόπον τοῦ κεναανίου, τοῦ χητίου τε τοῦ τ' ἐμορίου, τοῦ περεζίου τε τοῦ τε χευαίου καὶ τοῦ ἰεβουξίου. [9] νῦν οὖν θεῷ ἡ κραυγὴ τῶν υἱέων ἰσραέλου ἀφῖκται πρός με, κἄτι τεθέαμαι τὴν ξυνέλασιν ἣν αἴγυπτος ξυνελῶσι σφᾶς· [10] καὶ νῦν δεῦρο πέμψω τέ σε πρὸς παρεῶνα, ἐξάξει τε τὸν ἐμὸν λεὼν τοὺς υἱέας ἰσραέλου πρὸς αἰγύπτου. [11] ἔφη δὲ μωσεὺς πρὸς τὸν θεόν· τίς ἔγωγ' ὅτιπερ ἀπελεύσομαι πρὸς παρεῶνα ὅτι τ' ἐξάξω τοὺς υἱέας ἰσραέλου πρὸς αἰγύπτου; [12] ἔφη δέ· ὅτι τελέσω ξὺν σοί· τοδὶ δέ σοι τὸ σημεῖον ὡς ἔγωγε πέπομφά σε· ἐν τῷ ἐξαγαγεῖν σε τὸν λεὼν πρὸς αἰγύπτου λατρεύσουσι τῷ θεῷ ἐπὶ τοῦ ὄρους τουδί. [13] ἔφη δὲ μωσεὺς πρὸς τὸν θεόν· αὐτίκ' ἔγωγ' ἀφικνοῦμαι πρὸς τοὺς υἱεῖς ἰσραέλου φήσω τε σφίσιν· ὁ θεὸς τῶν ἡμετέρων πατέρων πέπομφέ με πρὸς ὑμᾶς· ἐροῦσιν οὖν μοι· τί τοὔνομα κείνου; τί φήσω πρὸς αὐτούς; [14] ἔφη γοῦν ὁ θεὸς πρὸς μωσέα· ἔσομαι ὃς ἔσομαι. κἄφη· τῇδε φήσεις τοῖς υἱέσιν ἰσραέλου· ἔσομαι πέπομφέ με πρὸς ὑμᾶς. [15] ἔφη τ' αὖθις ὁ θεὸς πρὸς μωσέα· τῇδε φήσεις πρὸς τοὺς υἱέας ἰσραέλου· ὁ ὀντωτὴς ὁ θεὸς τῶν ὑμῶν πατέρων, ὁ θεὸς ἀβραάμου, ὁ θεὸς ἰσχάκου καὶ ὁ θεὸς ἰακώβου, πέπομφέ με πρὸς ὑμᾶς· τοδίπερ ὄνομά μοι ἐς αἰῶνα τοδί τε μνημόσυνον ἐμὸν ἐς γενεὰν γενεάν. [16] ἄπιθι ξυνάθροισόν τε τοὺς πρέσβυτας ἰσραέλου φήσεις τε πρὸς ἐκείνους· ὁ ὀντωτὴς ὁ θεὸς πατέρων τῶν ὑμετέρων ὦπται πρὸς ἐμέ, ὁ θεὸς ἀβραάμου, ἰσχάκου καὶ ἰακώβου, τῷ φάσκειν· τῷ ἐπισκέπτεσθαι ἐπέσκεμμαι ὑμᾶς τό τε γεγονὸς ὑμῖν ἐν αἰγύπτῳ, [17] καὶ ἔφην· ἀναγάγω ὑμᾶς πρὸς τῆς τληπαθείας αἰγύπτου πρὸς τὴν γῆν τοῦ κεναανίου τοῦ τε χητίου τοῦ τ' ἐμορίου, τοῦ περεζίου τε καὶ τοῦ χευαίου καὶ τοῦ ἰεβουξίου, πρὸς γῆν ῥεομένην γάλακτι μέλιτί τε. [18] ὑπακούσονται τοίνυν τῇ σῇ φωνῇ· καὶ ἥξεις σὺ καὶ οἱ πρέσβυτες ἰσραέλου πρὸς τὸν βασιλέα αἰγύπτου, καὶ φήσετε πρὸς ἐκεῖνον·

---

8. χιτίου et mox περεξίου c. cd. ed. 10. καὶ νῦν in ras. ἐξάξει] Amm. „Legendum forsan ἐξάξη“. Potius ἐξάξεις. An mavis translatorem הוֹצֵא cum הוֹצִיא confudisse? 13. καὶ ἔφη corr. ἔφη δὲ cod. ἡμετέρων cod., non ut ed. ὑμετ., quod quidem secundum text. Hebr. (אֲבוֹתֵיכֶם) scribendum erat. 16. πρέσβυτας] hoc accentu cod. Ed. πρεσβύτας 17. ἀναγαγῶ c. cd. ed. 18. πρέσβυτες cod., non πρεσβύται ut ed.

ὁ ἐντωτὴς ὁ ϑεὸς τῶν ὑβραίων ξυνηντήϑη ἐφ' ἡμῶν· νῦν οὖν ἀπελευσόμεϑα δὴ ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον καὶ ϑύσομεν τῷ ὀντωτῇ τῷ ἡμετέρῳ ϑεῷ. [19] ἔγωγε μὴν ἔγνων ὡς οὐ δώσει ὑμᾶς ὁ βασιλεὺς αἰγύπτου ἀπιέναι, οὔτ' ἐν χειρὶ κραταιᾷ· [20] πέμψω γοῦν χεῖρα τὴν ἐμὴν καὶ τύψω τὴν αἴγυπτον ἐν πᾶσι τοῖς ἐμοῖς ϑαυμαστοῖς ἃ ποιήσω ταύτης ἐν μέσῳ, μετὰ δὲ ταῦτα πέμψει ὑμᾶς. [21] δώσω τε τὴν χάριν τοῦ λεὼ τουδὶ ἐν ὄμμασιν αἰγύπτου· τελέσει τ' ἐπὰν ἀπέρχοισϑε, οὐκ ἀπελεύσεσϑε κενοί· [22] ζητήσει δὲ γυνὴ πρὸς τῆς γείτονος ἑαυτῆς πρός τε τῆς παροίκου τοῦ δόμου ταύτης σκεύη ἀργυρᾶ σκεύη τε χρυσᾶ περιβόλαιά τε, καὶ ϑήσετε ἐπὶ τῶν ὑμετέρων υἱέων ἐπί τε τῶν ὑμῶν ϑυγατέρων, καὶ ἀπαλλάξετε τὴν αἴγυπτον. IV. [1] ἀποκέκριται δὲ μωσεὺς ἔφη τε· καὶ ϑεῶ, οὐ πιστεύσουσί μοι οὔϑ' ὑπακούσονται τῇ ἐμῇ φωνῇ, φήσουσι γάρ· οὐκ ὦπται πρὸς σὲ ὁ ὀντωτής. [2] ἔφη γοῦν πρὸς αὐτὸν ὁ ὀντωτής· τί τοδὶ ἐν χειρί σοι; ἔφη δέ· σκῆπτρον. [3] ἔφη τοίνυν· ῥίψον αὐτὸ ἐς γῆν. ἔρριψεν οὖν ἐκεῖνο ἐς γῆν, ὑπῆρξέ τ' εἰς ὄφιν· ἀπέδρα δὲ μωσεὺς ἀπὸ τοῦ κείνου προσώπου. [4] ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· τεῖνον τὴν σὴν χεῖρα κάτασχέ τ' ἐν τῇ κέρκῳ οἱ. ἔτεινεν οὖν τὴν χεῖρά οἱ κἀλλάβετο ἐν αὐτῷ, κἀτέλεσεν εἰς σκῆπτρον ἐν τῇ αὐτοῦ παλάμῃ· [5] ὡς ἂν πιστεύσαιεν ὅτιπερ ὦπται πρὸς σὲ ὁ ὀντωτὴς ὁ ϑεὸς τῶν αὐτῶν πατέρων, ὁ ϑεὸς ἀβραάμου, ὁ ϑεὸς ἰσχάκου καὶ ὁ ϑεὸς ἰακώβου. [6] ἔφη ϑ' ὁ ὀντωτὴς αὐτῷ· αὖϑις ἄγαγε δὴ τὴν σὴν χεῖρα εἰς τὸν σὸν κόλπον. ἤγαγεν οὖν τὴν ἑαυτοῦ χεῖρα εἰς τὸν ἑαυτοῦ κόλπον· ἐξήγαγε δ' αὐτὴν, ϑεῶ ϑ' ἡ χεὶρ οἱ ἐλέπρα κατὰ χιόνα. [7] ἔφη τε· στρέψον χεῖρα τὴν σὴν πρὸς κόλπον τὸν σόν. ἔστρεψεν οὖν τὴν ἑαυτοῦ χεῖρα πρὸς τὸν ἑαυτοῦ κόλπον· ἐξήγαγέ τε κείνην πρὸς τοῦ κόλπου οἱ, ϑεῶ τ' ἔστραπται κατὰ τὴν αὐτοῦ σάρκα. [8] τελέσει δ' ἢν μὴ πιστεύσωσί σοι μήϑ' ὑπακούσωσι τῇ φωνῇ σημείου τοῦ πρώτου, πιστεύσουσι δὲ τῇ φωνῇ τοῦ σημείου τοῦ ἐσχάτου· [9] τελέσει τ'

---

19. ὑμᾶς cod., non ὑμῖν 20. τὴν αἴγυπτον cod., non γῆν αἰγύπτου ut ed. μεταδεταῦτα cod. Cf. Gen. XXV, 26. 21. τὴν] easu, ut videtur, lineola per vocem traducta. Ed. om.

IV. 2. ἔφη δέ· σκῆπτρον in rasura. 3. ἔφη — γῆν (1)] a margine haec petenda fuerunt. Cf. Prol. I, 2, b. τοίνυν ex corr. (pro δὲ) cod. 6. ϑ' (1) factum ex δ' αὖϑις ἄγαγε in ras. ἐλέπρα] ἡ λέπρα temere ed. Cf. Mor. ad h. l.

ἢν μὴ πιστεύσωσι ἔτι τῷ δευτέρῳ τοῖν σημείοιν τουτοινὶ μήθ' ὑπακούσωσι τῇ φωνῇ σου, λήψῃ γοῦν πρὸς τοῦ ὕδατος τοῦ ῥύακος χεεῖς τ' ἐς τὴν ξηράν, τελέσει τε τὸ ὕδωρ ὃ λήψῃ πρὸς τοῦ ῥύακος ὑπάρξει τ' εἰς αἷμα ἐν τῇ ξηρᾷ. [10] ἔφη δὲ μωσεὺς πρὸς τὸν ὀντωτήν· εἰς ἐμέ, δέσποτ' ἐμέ· οὐκ ἀνὴρ λόγων ἐγὼ καὶ χθιζῆθεν ἔτι προτριτόθεν ἔτι προστουτότε τοῦ διειλέχθαι σε πρὸς τὸν σὸν οἰκέτην· βαρύχειλος γὰρ βαρύγλωττός τε τελῶ. [11] ἔφη δ' ὁ ὀντωτὴς πρὸς αὐτόν· τίς ἔθηκε στόμα τῷ ἀνθρώπῳ, ἢ τίς θείη βωβὸν ἢ κωφὸν ἢ ὀξυδόρκην ἢ τυφλόν; ἆρ' οὐκ ἔγωγ' ὁ ὀντωτής; [12] νῦν οὖν ἄπιθι, κἀγὼ τελέσω ξὺν τῷ σῷ στόματι διδάξω τέ σε ἃ διαλέξῃ. [13] εἶπε δέ· εἰς ἐμέ, δέσποτ' ἐμέ· πέμψον δή, ἐν χειρὶ πέμψεις. [14] ὤργισται τοίνυν ὁ θυμὸς τοῦ ὀντωτοῦ εἰς μωσέα καὶ εἶπεν· ἆρ' οὐκ ἀαρῶνα τὸν σὸν ἀδελφὸν τὸν λευίνιον ἔγνων ὅτι τῷ διαλέγεσθαι διαλέξεται κεῖνος; ἔτι τε θεῷ κεῖνος ἐξέρχεται εἰς ξυνάντησίν σοι, καὶ θεάσεταί σε καὶ χαιρήσει ἐν καρδίᾳ οἱ. [15] διαλέξῃ γοῦν πρὸς αὐτὸν θήσεις τε τοὺς λόγους ἐν στόματί οἱ· κἀγὼ τελέσω ξὺν τῷ σῷ στόματι ξύν τε τῷ στόματι κείνου, διδάξω τε σφὼ ἃ ποιήσετον. [16] καὶ διαλέξεται κεῖνός σοι πρὸς τὸν λεών· τελέσει τε κεῖνος ὑπάρξει σοι εἰς στόμα, σὺ δ' ὑπάρξεις ἐκείνῳ εἰς θεόν. [17] τό τε σκῆπτρον τουτὶ λήψῃ ἐν χειρί σοι, ᾧ ποιήσεις ἐν αὐτῷ τὰ σημεῖα.

[18] Ἀπῆλθεν οὖν μωσεὺς ἐστράφη τε πρὸς ἴεθερον τὸν ἑκυρὸν ἑαυτοῦ κἄφη οἱ· ἀπέλθω δὴ στραφῶ τε πρὸς τοὺς ἐμοὺς ὁμαίμονας τοὺς ἐν αἰγύπτῳ, ὄψομαί τ' ἆρ' ἔτι τυγχάνουσι ζῶντες. ἔφη γοῦν ἰεθρὼν τῷ μωσεῖ· ἄπιθι ἐς εἰρήνην. [19] ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν μιδιᾶνι· ἄπιθι στράφηθι αἰγύπτῳ· τεθνᾶσι γὰρ πάντες ἄνθρωποι οἱ ζητοῦντες τὴν σὴν ψυχήν. [20] ἔλαβε τοίνυν μωσεὺς τὴν ἑαυτοῦ γυναῖκα τούς θ' υἱεῖς ἑαυτοῦ ὤχησέ τε σφᾶς ἐπὶ τοῦ ὄνου, ὑπέστρεψέ τ' εἰς γῆν αἰγύπτου· κἄλαβε μωσεὺς τὸ σκῆπτρον τοῦ θεοῦ ἐν χειρί οἱ. [21] ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἐν τῷ

---

9. πιστεύ cod. Cf. Prol. I, 2, c. not. λήψῃ (1)] λήψεις c. cd. ed. 10. προστουτότε] codicis scripturam servavimus. Cf. Prol. I, 4, d. 13. εἶπέ τ' corr. εἶπε δέ cod. Perperam ed. εἶπε δέ τ' 14. [ἐξ]έρχεται in rasura. 15. θ' [ὑμᾶς?] corr. τε [σφὼ] cod. 16. τε κεῖνος cod., non τ' ἐκεῖνος 18. ἴεθερον] ἴεθρον c. cd. ed. At infra ipse cod. ἰεθρὼν ἑκυρὸν αὐτοῦ c. cd. ed. 19. στράφητι typ. vit. ed. τεθνᾶσι] sic cod. Cf. Gen. VII, 22. 20. ὑπέστρεψέ τ' εἰς in ras.

ἀπιέναι σε τῷ ὑποστρέφειν αἴγυπτόνδε, ϑεῶ πάντα τὰ τέρατα ἃ τέϑειχα ἐν χειρί σοι, ποιήσεις μὲν αὐτὰ ἐπίπροσϑεν παρεῶνος· ἐγὼ δὲ κρατυνῶ τὴν ἐκείνου καρδίαν, οὔκουν πέμψει τὸν λεών. [22]ἐρεῖς δὲ πρὸς παρεῶνα· τῆδ' ἔφη ὁ ὀντωτής· υἱεὺς ἐμὸς πρωτότοκός μοι ἰσραέλος· [23]ἔφην οὖν πρὸς σέ· πέμψον τὸν ἐμὸν υἱὸν, λατρεύσει τέ μοι· καὶ ἀπηνήνω πέμπειν αὐτὸν, ἰδοὺ ἔγωγ' ἀναιρῶ τὸν σὸν υἱὸν τὸν πρωτότοκόν σοι. [24]ὑπῆρξε δ' ἐν τῇ ὁδῷ ἐν τῷ σταϑμῷ, ξυνήντησέ τέ οἱ ὁ ὀντωτὴς κἀζήτησε ϑανατῶσαί ἑ. [25]ἔλαβε δὲ σιπωρὰ λίϑον ἔτεμέ τε τὴν ἀκροποσϑίαν τοῦ ἑαυτῆς υἱέως, ἥψατό τε τῶν ἐκείνου ποδῶν ἔφη τε· ὅτι κηδεστὴς αἱμάτων τελεῖς μοι. [26]κεκούφικεν οὖν ἀπ' αὐτοῦ· τότ' ἔφη· κηδεστὴς αἱμάτων τῶν περιτομῶν.

[27]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς ἀαρῶνα· ἄπιϑι εἰς ξυνάντησιν μωσέως πρὸς ἔρημον. ἀπῆλϑεν οὖν ξυνήντησέ τέ οἱ ἐν τῷ ὄρει τοῦ ϑεοῦ, κἀφίλησέν ἑ. [28]ἤγγειλεν οὖν μωσεὺς τῷ ἀαρῶνι ξύμπαντας τοὺς λόγους τοῦ ὀντωτοῦ ὃς ἔπεμψέν ἑ, ξύμπαντά τε τὰ σημεῖα ἅπερ ἐκέλευσέν οἱ. [29]τοιγαροῦν ἀπῆλϑε μωσεὺς καὶ ἀαρὼν, ξυνηϑροισάτην τε ξύμπαντας τοὺς γέροντας τῶν υἱέων ἰσραέλου. [30]καὶ διείλεκται ἀαρὼν ξύμπαντας τοὺς λόγους οὓς διείλεκται ὁ ὀντωτὴς πρὸς μωσέα, κἀποίησε τὰ σημεῖα ἐν ὄμμασι τοῦ λεώ. [31]πεπίστευκέ ϑ' ὁ λεὼς, ἀκήκοέ ϑ' ὡς ἐπέσκεπται ὁ ὀντωτὴς τοὺς υἱεῖς ἰσραέλου καὶ ὡς τεϑέαται τὴν ἐκείνων τληπάϑειαν· ἔκυψαν οὖν καὶ προσεκύνησαν. [1]εἶτά γε μὴν ἀφῖχϑον μωσεὺς καὶ ἀαρὼν ἐφήτην τε πρὸς παρεῶνα· τῆδ' εἴρηκεν ὁ ὀντωτὴς ὁ ϑεὸς ἰσραέλου· πέμψον τὸν ἐμὸν λεὼν, ἑορτάσουσί τέ μοι ἐν τῇ ἐρήμῳ. [2]ἔφη δὲ παρεών· τίς ὁ ὀντωτὴς ᾧπερ ὑπακούσομαι τῇ φωνῇ οἱ πέμψαι τὸν ἰσραέλον; οὐκ ἔγνων τὸν ὀντωτὴν, ἔτι τε τὸν ἰσραέλον οὐ πέμψω. [3]εἰπέτην οὖν· ὁ ϑεὸς τῶν ὑβραίων καλεῖται ἐφ' ἡμῶν· ἀπέλϑωμεν δὴ ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ ϑύσωμέν τε τῷ ὀντωτῇ τῷ ἡμετέρῳ ϑεῷ, μήπως ξυναντήσῃ ἡμῖν ἐν ϑνήσει ἢ ἐν ξίφει. [4]ἔφη δὲ πρὸς αὐτὼ ὁ βασιλεὺς αἰγύπτου· τοῦ χάριν, V.

21. υποστρέφειν cod., non ἐπιστρ. ut ed. 23. τὸν ἐμὸν υἱὸν in rasura. τὸν σὸν υἱὸν cod., non τὸν σοῦ υἱὸν ut ed.

V. 1. ἐφήτην] sic cod. Cf. I, 19. ἑορτάσουσι] primum ἑορτάσουσιν scripserat, quia aliter ac nunc pergere volebat. 2. ὑπακούουμαι typ. vit. ed. 3. ξυναντήσειεν c. cd. ed.

μωσεῦ καὶ ἀαρὼν, παύσετε τὸν λεὼν πρὸς τῶν ἔργων αὐτοῦ; ἄπιτε ἐς τοὺς ὑμῶν βασταγμούς. [5]ἔφη τε παρεών· θεῶ πολλοὶ νῦν ὁ λεὼς τῆς γῆς, καὶ παύσετε σφᾶς ἀπὸ τῶν σφῶν βασταγμῶν. [6]ἐκέλευσεν οὖν παρεὼν ἐν τῇ ἡμέρᾳ κείνῃ τοῖς ξυνελασταῖς ἐν τῷ λεῷ τοῖς τ' αὐτοῦ κελευσταῖς τῷ φάναι· [7]οὐ προσθήσετε διδόναι ἄχυρον τῷ λεῷ πλινθεύειν τὰς πλίνθους ὡς χθὲς πρότριτα, αὐτοὶ ἀπίτωσαν καὶ καλαμάσθωσαν ἑαυτοῖς ἄχυρον· [8]τόν θ' ὅρον τῶν πλίνθων ἃς αὐτοί γ' ἐποίουν χθὲς πρότριτα θήσετε ἐπ' αὐτῶν, οὐκ ἀφελεῖτε πρὸς αὐτοῦ· χαυνοῦνται γὰρ αὐτοὶ, διὸ τυγχάνουσι κράζοντες τῷ φάσκειν· ἀπίωμεν θύωμεν τῷ ἡμετέρῳ θεῷ. [9]βαρυνέτω ἡ δουλεία ἐπὶ τῶν ἀνθρώπων, ποιούντων τ' ἐν αὐτῇ μήτ' ἐκκλινόντων εἰς λόγους ψεύδους. [10]ἐξῆλθον οὖν οἱ ξυνελατῆρες τοῦ λεὼ οἵ τε κείνου κελευσταὶ κἄφησαν πρὸς τὸν λεὼν τῷ φάναι· τῆδ' εἴρηκε παρεών· οὐκ ἔγωγε δίδωμι ὑμῖν ἄχυρον· [11]ὑμεῖς ἄπιτε λαμβάνετε ἑαυτοῖς ἄχυρον ὅθεν εὑρήσετε, οὐ γὰρ ἀφαιρεῖται πρὸς τῆς ὑμῶν ἐργασίας πρᾶγμα. [12]ἐσκέδασται γοῦν ὁ λεὼς εἰς πᾶσαν γῆν αἰγύπτου καλαμᾶσθαι καλάμην εἰς ἄχυρον· [13]οἱ δὲ ξυνελασταὶ κατήπειγον τῷ φάσκειν· τελειοῦτε τὰ ὑμέτερα ἔργα, πρᾶγμα ἡμέρας ἐν αὐτῇ ἡμέρᾳ, καθάπερ ἐν τῷ τελεῖν τὸ ἄχυρον. [14]ἐτύπησάν θ' οἱ κελευσταὶ τῶν υἱέων ἰσραέλου οὓς ἔθεντο ἐπ' αὐτῶν οἱ ξυνελατῆρες παρεῶνος τῷ φάσκειν· διατί οὐκ ἐτελέσατε τὸν ὑμέτερον τύπον τῷ πλινθεῦσαι ὡς χθὲς πρότριτα χθές τε καὶ τήμερον; [15]ἀφίκοντο γοῦν οἱ κελευσταὶ τῶν υἱέων ἰσραέλου κάκραύγασαν πρὸς παρεῶνα τῷ φάσκειν· τοῦ χάριν ποιήσεις τῆδε τοῖς σοῖς οἰκέταις; [16]ἄχυρον οὐ δίδοται τοῖς σοῖς οἰκέταις, πλίνθους δέ φασιν ἡμῖν ποιεῖτε· θεῶ γοῦν οἱ σοὶ οἰκέται τετύπασιν, ἡ δ' ἁμαρτία τοῦ σοῦ λεώ. [17]ἔφη δέ· χαυνοῦσθε ὑμεῖς, χαυνοῦσθε· διατόδ' ὑμεῖς φάσκετε· ἀπίωμεν θύωμεν τῷ ὀντωτῇ. [18]νῦν οὖν ἄπιτε, ἄχυρόν τ' οὐ δοθήσεται ὑμῖν, τὸν δ' ὅρον τῶν πλίνθων δώσετε. [19]τεθέανται δ' οἱ κελευσταὶ τῶν υἱέων ἰσραέλου σφᾶς ἐν κακῷ τῷ φάσκειν· οὐκ ἀφελεῖτε πρὸς τῶν πλίνθων λόγον ἡμέρας

---

4. ἐς cod., non εἰς ut ed. 7. διδόναι ex corr. (pro δοῦναι?) cod. 8. χαυνοῦνται cod., non χαυνοῦντες ut ed. 14. ἐτύπησάν θ'] וַיֻּכּוּ pro וַיַּכּוּ 16. δέδ. corr. δίδοται cod. τετύπασιν] מֻכִּים pro מֻכִּים 17. διατόδ'] sic cod. Cf. Gen. XVIII, 5. φάσκοντες c. cd. ed. 18. ἄπιτε] עִבְדוּ om. Item cod. 62 Sam.

ἐν ἡμέρᾳ οἱ. [20] ξυνήντησαν οὖν τῷ μωσεῖ τῷ τ' ἀαρῶνι ἑστώτοιν εἰς ξυνάντησιν αὐτοῖς, ἐν τῷ ἐξιέναι σφε πρὸς τοῦ παρεῶνος, [21] ἔφησάν τε πρὸς αὐτώ· θεάσαιτο ὁ ὀντωτὴς ἐπὶ σφῷιν κρίναι τε, οἵπερ ἐδυσωδιώσατε τὴν ἡμετέραν ὀδμὴν ἐν ὄμμασι παρεῶνος κἀν ὄμμασι τῶν οἰκετῶν αὐτοῦ, τῷ δοῦναι ξίφος ἐν χειρὶ σφῶν διαχρήσασθαι ἡμᾶς. [22] ἔστραπται τοίνυν μωσεὺς πρὸς τὸν ὀντωτὴν ἔφη τε· δέσποτ' ἐμέ, τοῦ χάριν ἐκάκωσας τὸν λεὼν τουτονί; διατί τόδε πέπομφάς με; [23] ἀφότου δ' ἀφῖγμαι πρὸς παρεῶνα διαλέγεσθαι ἐν ὀνόματί σου, κεκάκωκε τὸν λεὼν τοῦτον, τῷ γε μὴν ἀπαλλάττειν οὐκ ἀπήλλαξας τὸν σὸν λεών. [1] ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· νῦν ὄψει ἅττα ποιήσω τῷ παρεῶνι· ἐν γὰρ χειρὶ κραταιᾷ πέμψω σφᾶς, κἀν χειρὶ κραταιᾷ ἐξάξει σφᾶς πρὸς τῆς γῆς ἑαυτοῦ. VI.

[2] Διείλεκταί θ' ὁ θεὸς πρὸς μωσέα κἄφη πρὸς αὐτόν· ἔγωγ' ὁ ὀντωτής. [3] ὤφθην τε πρὸς ἀβραάμην, πρὸς ἰσχάκην καὶ πρὸς ἰακῶβον ἐν θεῷ κραταιῷ, τό γε μὴν ἐμὸν ὄνομα ὀντωτὴς οὐκ ἔγνωσμαι σφίσιν· [4] ἔτι τ' ἤγειρα τὴν ἐμὴν ξυνθήκην ξὺν αὐτοῖς δοῦναι σφίσι τὴν γῆν κεναᾶνος, τὴν γῆν τῆς σφῶν παροικίας ἣν παρῴκησαν ἐν αὐτῇ· [5] ἔτι τ' ἔγωγε πέπυσμαι τὸν κωκυτὸν τῶν υἱέων ἰσραέλου, οἷς οἱ αἰγύπτιοι δουλαγωγοῦσι σφᾶς· μνησθήσομαι δὲ τῆς ἐμῆς ξυνθήκης· [6] διὸ φάθι τοῖς υἱέσιν ἰσραέλου· ἔγωγ' ὁ ὀντωτής, ἐξάξω θ' ὑμᾶς κάτωθεν τῶν βασταγμῶν αἰγύπτου, ῥύσομαί θ' ὑμᾶς πρὸς τῆς αὐτῶν δουλείας, λυτρώσομαί θ' ὑμᾶς ἐν βραχίονι κεκλιμένῳ κἀν κρίσεσι μεγάλαις· [7] λήψομαί θ' ὑμᾶς ἐμαυτῷ εἰς λεών, τελέσω θ' ὑμῖν εἰς θεόν, καὶ εἴσεσθε ὡς ἔγωγ' ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ἐν τῷ ἐξάγειν ὑμᾶς κάτωθεν τῶν βασταγμῶν αἰγύπτου· [8] ἄξω θ' ὑμᾶς πρὸς τὴν γῆν ἥπερ ἦρα χεῖρα τὴν ἐμὴν δοῦναι ταύτην ἀβραάμῃ, ἰσχάκῃ καὶ ἰακώβῳ, καὶ δώσω ταύτην ὑμῖν κλῆρον, ἔγωγ' ὁ ὀντωτής. [9] διείλεκται γοῦν μωσεὺς *μερίς*

21. ἐπὶ in ras. οἵπερ cod., non ὅτιπερ ut ed. 23. ἀφότου dedimus ut habet cod. Cf. Prol. I, 4, d. [ὀνόματί] σοι (ut ed.) corr. σου cod. τόν σου λεών c. cd. ed.

VI. 1. πέμψω] libere pro πέμψει (יְשַׁלְּחֵם). τῆς γῆς cod., non τὴν γῆν ut ed. 3. ὤ[φθην] in ras. 4. ξὺν cod., non σὺν 7. ἐν τῷ ἐξάγειν] בְּהוֹצִיא pro הַמּוֹצִיא

οὕτω πρὸς τοὺς υἱέας ἰσραέλου· οὐ μὴν ἤκουσαν πρὸς μωσέα πρὸς βραχύτητος πνεύματος πρός τε δουλείας τῆς σκληρᾶς.

[10]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [11]ἄφιξο διείλεξο πρὸς παρεῶνα τὸν βασιλέα αἰγύπτου, πέμψει τε τοὺς υἱεῖς ἰσραέλου πρὸς τῆς ἑαυτοῦ γῆς. [12]διείλεκται δὲ μωσεὺς ἐνώπιον τοῦ ὀντωτοῦ τῷ φάναι· αὐτίχ' οἱ υἱεῖς ἰσραέλου οὐκ ἤκουσαν πρός με, πῶς οὖν ἀκούσεταί μου παρεών; ἐγώ τε βαρὺς τὰ χείλη.

[13]Διείλεκται γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα πρός τ' ἀαρῶνα, κἀκέλευσε σφίσι πρὸς τοὺς υἱεῖς ἰσραέλου πρός τε παρεῶνα τὸν βασιλέα αἰγύπτου ἐξαγαγεῖν τοὺς υἱεῖς ἰσραέλου πρὸς τῆς γῆς αἰγύπτου.

[14]Αυται αἱ κεφαλαὶ τοῦ δόμου τῶν αὐτῶν πατέρων· υἱεῖς ῥεουβένου τοῦ πρωτοτόκου ἰσραέλου χανῶχος φαλοῦς τε, ἐσερὼν καὶ χαρμίς· αὗται φρῆτραι ῥεουβένου. [15]υἱεῖς δὲ συμεῶνος ἰεμουέλος ἰαμίν τε, ὠάδης τε καὶ ἰαχὶν, σόχαρός τε καὶ σαοῦλος ὁ υἱεὺς τῆς κεναανίτιδος· αὗται αἱ φρῆτραι συμεῶνος. [16]ταυτὶ δὲ τὰ ὀνόματα τῶν υἱέων λευῖνος κατὰ γεννήσεις αὐτῶν· γερσὼν, κεάϑης τε καὶ μεραρίν· ἔτη δὲ τῆς βιοτῆς λευῖνος ἑπτὰ τριάκοντά τε καὶ ἑκατὸν ἔτη. [17]υἱεῖς γερσῶνος λιβενὶν καὶ συμεῖν κατὰ τὰς αὐτῶν φρήτρας. [18]υἱεῖς δὲ κεάϑου ἀμεράμης, ἰσεάρης καὶ χεβρὼν καὶ οὐζιέλος· τὰ δ' ἔτη τοῦ βίου κεάϑου τρία τριάκοντά τε καὶ ἑκατὸν ἔτη. [19]υἱεῖς δὲ μεραρῖνος μαχλὶς καὶ μουσίν. αὗται αἱ φρῆτραι τοῦ λευῖνος κατὰ τὰς αὐτῶν γεννήσεις. [20]ἔλαβε δ' ἀμεράμης τὴν ἰωχεβέδην τὴν ἑαυτοῦ ϑείαν ἑαυτῷ εἰς γυναῖκα, τέτοκέ τέ οἱ τὸν ἀαρῶνα καὶ τὸν μωσέα· τὰ δ' ἔτη τοῦ βίου τοῦ ἀμεράμου ἑπτὰ τριάκοντά τε καὶ ἑκατὸν ἔτη. [21]υἱεῖς δ' ἰσεάρου κόραχος, νέφεγός τε καὶ ζιχρίν. [22]υἱεῖς δ' οὐζιέλου μισαέλος, ἐλσαφάν τε καὶ ξιϑρίν. [23]ἔλαβε δ' ἀαρὼν ἐλισέβαν τὴν ϑυγατέρα

---

11. ἄφιξω διείλεξω typ. vit. ed. 14. Αὗτοι cod. Litera initiali solito more omissa (cf. Prol. II, 1, a) primo ὗτοι scripserat; postea, οι (non αι) in exitu positum negligens, minio A adjecit. ἐσρὼν c. cd. ed. οὗτοι corr. αὗται (αἱ c. cd. add. ed.) cod. Item v. 15. 19. 24. 15. ἰαμίν cod., non ἰαμίνης ut ed. 18. οὐζιέλης c. cd. ed. τὰ δὲ ἔτη c. cd. ed. Item v. 20. 21. ἰσεάρου cod., non ἰσκάρου ut ed. ξιχρίν c. cd. ed. 23. τὴν ἐλισ. corr. ἐλισέβαν cod.

ἀμιναδάβου, τὴν ἀδελφὴν ναχασῶνος, ἑαυτῷ εἰς γυναῖκα, καὶ τέτοκέν οἱ τὸν ναδάβην τόν τ' ἀβιοῦντα, τὸν ἐλαζάρην καὶ τὸν ἠϑάμαρον. [24]υἱεῖς δὲ κοράχου ἀξίρης, ἐλκανάος τε καὶ ἀβιαξάφης· αὗται φρῆτραι τοῦ κοραχίτου. [25]ἐλαζάρης δ' υἱεὺς ἀαρῶνος ἔλαβεν ἑαυτῷ πρὸς τῶν ϑυγατέρων τοῦ ποτιέλου ἑαυτῷ εἰς γυναῖκα, καὶ τέτοκέν οἱ τὸν πινεχάξην. οὗτοι κεφαλαὶ πατέρων τῶν λευινίων κατὰ τὰς φρήτρας αὐτῶν. [26]ὅδ' ἀαρὼν καὶ μωσεὺς οἷν εἴρηκεν ὁ ὀντωτὴς αὐτοῖν· ἐξαγάγετε τοὺς υἱεῖς ἰσραέλου πρὸς τῆς γῆς αἰγύπτου ἐπὶ ταῖς στρατιαῖς αὐτῶν. [27]τώδε τὼ διαλεγομένω πρὸς παρεῶνα τὸν βασιλέα αἰγύπτου ἐξαγαγεῖν τοὺς υἱέας ἰσραέλου πρὸς τῆς γῆς αἰγύπτου· ὁδὶ μωσεὺς καὶ ἀαρών. [28]ὑπῆρξε δ' ἐν ἡμέρᾳ ᾗ διεῖλεκται ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῇ γῇ αἰγύπτου·

[29]Διεῖλεκται γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· ἔγωγ' ὁ ὀντωτής· διεῖλεξο πρὸς παρεῶνα τὸν βασιλέα αἰγύπτου ξύμπανϑ' ἅπερ ἐγὼ διαλέγομαι πρὸς σέ. [30]ἔφη δὲ μωσεὺς ἐνώπιον τοῦ ὀντωτοῦ· αὐτίκ' ἐγὼ βαρὺς τὰ χεῖλη, πῶς οὖν ἀκούσει πρός με παρεών;

VII. [1]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ϑεῶ δέδωκά σε ϑεὸν τῷ παρεῶνι, ἀαρὼν δ' ὁ σὸς ἀδελφὸς τελέσει σὸς προφήτης· [2]σὺ διαλέξῃ ξύμπανϑ' ἃ κελεύσω σοι, ἀαρὼν δ' ὁ σὸς ἀδελφὸς διαλέξεται πρὸς παρεῶνα· πέμψει γοῦν τοὺς υἱεῖς ἰσραέλου πρὸς τῆς αὐτοῦ γῆς. [3]ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν παρεῶνος, πληϑυνῶ τε τὰ ἐμὰ σημεῖα τά τ' ἐμὰ τέρα ἐν γῇ αἰγύπτου· [4]οὐ μὴν ἀκούσεται πρὸς ὑμᾶς παρεών. δώσω τοίνυν χεῖρα τὴν ἐμὴν εἰς αἴγυπτον, ἐξάξω τε τὰς ἐμὰς στρατιάς, τὸν ἐμὸν λεών, τοὺς υἱεῖς ἰσραέλου πρὸς γῆς αἰγύπτου ἐν κρίσεσι μεγάλαις· [5]εἴσονταί τ' αἴγυπτος ὡς ἔγωγ' ὁ ὀντωτὴς ἐν τῷ κλίνειν με τὴν ἐμὴν χεῖρα κατ' αἰγύπτου, ἐξάξω τε τοὺς υἱέας ἰσραέλου μέσοϑεν αὐτῶν. [6]ἔδρασεν οὖν μωσεὺς καὶ ἀαρὼν καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτοῖν, οὕτως ἐδρασάτην. [7]μωσεὺς δ' υἱεὺς ὀγδοηκοντούτης, ἀαρὼν δ'

---

25. ποτιέλου (פּוּטִיאֵל pro פּוּט) cod., non πυτ. ut ed. 27. τώδε cod., non τῷδε ut ed. πρὸς τῆς γῆς αἰγ.] מֵאֶרֶץ מִצְרַיִם (ut Sam., quinque codd. Kenn. et duo Ross. a pr.) pro מִמִּצְרַיִם t. rec.

VII. 2. διαλέξῃ cod., non διαλέξει ut ed. 3. τέρα] Amm. scripturam codicis non ignorans nescio quo jure τέρατα edidit. 4. γῆς] γῆν ed., quod si codex exhibeat, certo est error calami. 5. υἱέας cod., non υἱεῖς ut ed.

υἱεὺς τριῶν καὶ ὀγδοήκοντα ἐτῶν, ἐν τῷ διειλέχθαι σφε πρὸς παρεῶνα.
[8]Ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα πρός τ' ἀαρῶνα τῷ φάναι· [9]ἐπὰν διαλέξοιτο πρὸς σφὼ παρεὼν τῷ φάσκειν· δότε σφῶϊν τεκμήριον, φήσεις τοίνυν πρὸς ἀαρῶνα· λάβε τὸ σὸν σκῆπτρον ῥίψον τ' ἐνώπιον παρεῶνος, ἔσται εἰς δράκοντα. [10]ἀφῖκται γοῦν μωσεὺς ἀαρών τε πρὸς παρεῶνα, κἄδρασάτην οὕτω καθὰ κεκέλευκεν ὁ ὀντωτής. ἔρριψέ τ' ἀαρὼν τὸ σκῆπτρον ἑαυτοῦ ἐπίπροσθεν παρεῶνος ἐπίπροσθέν τε τῶν οἰκετῶν αὐτοῦ, κἀτέλεσεν εἰς δράκοντα. [11]κέκληκε δ' ἔτι παρεὼν τοὺς σοφοὺς καὶ τοὺς γόητας, κἄδρασαν ἔτι κεῖνοι οἱ γενεθλιαλόγοι αἰγύπτου ἐν ταῖς ἐκείνων γοητείαις οὕτω, [12]κἄρριψαν ἕκαστος τὸ σκῆπτρον ἑαυτοῦ, κἀτέλεσαν εἰς δράκοντας· κατέπιε μέντοι τὸ σκῆπτρον ἀαρῶνος τὰ κείνων σκῆπτρα. [13]ἐκρατύνθη δ' ἡ καρδία παρεῶνος, καὶ οὐκ ἤκουσε πρὸς ἐκείνω, καθάπερ διείλεκται ὁ ὀντωτής.

[14]Ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα· βαρεῖα ἡ καρδία παρεῶνος, ἀπηνήνατο πέμψαι τὸν λεών. [15]ἄπιθι πρὸς παρεῶνα ἐν ἕῳ, αὐτίκ' ἔξεισιν ἐς τὸ ὕδωρ, στήσῃ τ' εἰς ὑπάντησίν οἱ ἐπὶ τῆς ὄχθης τοῦ ῥύακος, τό τε σκῆπτρον ὅπερ ἔστραπται εἰς ὄφιν λήψῃ ἐν χειρί σοι, [16]καὶ φήσεις πρὸς ἐκεῖνον· ὁ ὀντωτὴς ὁ θεὸς τῶν ὑβραίων ἔπεμψέ με πρὸς σὲ τῷ φάσκειν· πέμψον τὸν ἐμὸν λεὼν, καὶ λατρεύσουσί μοι ἐν τῇ ἐρήμῳ· θεῷ δ' οὐκ ἤκουσας ἄχρι τουδί. [17]τῇδ' εἶπεν ὁ ὀντωτής· ἐν τῷδ' εἴσῃ ὡς ἔγωγ' ὁ ὀντωτής· αὐτίκ' ἐγὼ τύπτω ἐν τῷ σκήπτρῳ τῷ ἐν χειρί μοι κατὰ τῶν ὑδάτων τῶν ἐν τῷ ῥύακι, στραφήσονται γοῦν εἰς αἷμα. [18]ὁ δ' ἰχθὺς ὁ ἐν τῷ ῥύακι τεθνήξεται, ὀζέσει θ' ὁ ῥύαξ, ἀσθενήσουσί τ' αἴγυπτος πίνειν ὕδωρ πρὸς τοῦ ῥύακος.
[19]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· φάθι πρὸς ἀαρῶνα· λάβε τὸ σὸν σκῆπτρον, κλῖνόν τε τὴν σὴν χεῖρα κατὰ τῶν ὑδάτων αἰγύπτου, κατὰ τῶν αὐτῶν ποταμῶν, κατὰ τῶν αὐτῶν ῥυάκων κατά τε τῶν σφῶν λιμνῶν καὶ κατὰ παντὸς ἀθροίσματος ὑδάτων αὐτῶν, τελέσουσί θ' αἷμα· τελέσει θ' αἷμα ἐν πάσῃ γῇ αἰγύπτου, ἔν τε τοῖς ξύλοις

---

9. ὑμῖν corr. σφῶϊν cod. τὸ σὸν cod. Ed. σὸν om. **11.** ἔδρασάν τε corr. κἄδρασαν cod. **18.** ὀζέσει] Amm. „Lege ὀζήσει et v. 21 ὤζησε." Inconsulte et incaute. Cf. VIII, 10. XVI, 20 cet., ubi itidem per ε cod.

κὰν τοῖς λίϑοις. [20]ἐποιησάτην οὖν τῇδε μωσεὺς καὶ ἀαρὼν καϑάπερ ἐκέλευσεν ὁ ὀντωτής· ὕψωσέ τ' ἐν τῷ σκήπτρῳ κἄβαλε τὰ ὕδατα τὰ ἐν τῷ ῥύακι ἐν ὄμμασι παρεῶνος ἐν ὄμμασί τε τῶν οἰκετῶν ἐκείνου, κἀστράφησαν πάντα τὰ ὕδατα τὰ ἐν τῷ ῥύακι εἰς αἷμα· [21]ὅ τ' ἰχϑὺς ὁ ἐν τῷ ῥύακι τέϑνηκεν, ὤζεσέ ϑ' ὁ ῥύαξ, οὔτ' ἴσχυσαν αἴγυπτος πιεῖν ὕδωρ πρὸς τοῦ ῥύακος· ὑπῆρξέ τε τὸ αἷμα ἐν πάσῃ τῇ γῇ αἰγύπτου. [22]ἐποίησαν δ' οὕτω καὶ οἱ γενεϑλιαλόγοι αἰγύπτου ἐν ταῖς γοητείαις ἐκείνων· ἐκρατύνϑη γοῦν ἡ καρδία παρεῶνος, οὔτ' ἤκουσε πρὸς αὐτὼ, καϑάπερ διείλεκται ὁ ὀντωτής. [23]ἔκλινέ τε παρεὼν ἧκει τε πρὸς τὸν ἴδιον δόμον, οὔκουν ἔϑετο τὴν ἑαυτοῦ καρδίαν ἔτι εἰς τόδε. [24]ὤρυξαν δὲ πᾶσα αἴγυπτος κύκλῳ τοῦ ῥύακος ὕδωρ πιεῖν, οὐ γὰρ ἐδυνήϑησαν πιεῖν πρὸς τοῦ ὕδατος τοῦ ῥύακος. [25]ἔπλησε δ' ἑπτὰ ἡμέρας μετὰ τὸ βεβληκέναι τὸν ὀντωτὴν τὸν ῥύακα.

[26]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἄφιξο πρὸς παρεὸν ἐρεῖς τε πρὸς αὐτόν· τῇδε ἔφη ὁ ὀντωτής· πέμψον τὸν λεών μου, καὶ λατρεύσουσί μοι· [27]ἢν δ' ἀπαναίνῃ σὺ πέμπειν, αὐτίκα ἐγὼ πλήττω ξύμπαντά σου τὸν ὅρον ἐν βατράχοις· [28]γονιμώσει δὲ ὁ ῥύαξ βατράχους, ἀναβήσονταί τε καὶ ἐλεύσονται οἴκαδέ σου καὶ ἐς τὸν οἰκίσκον τῆς κοίτης σου καὶ ἐπὶ τὴν κλίνην σου, καὶ εἰς τὸν οἶκον τῶν δούλων σου καὶ εἰς τὸν λεών σου, καὶ εἰς τοὺς κλιβάνους σου καὶ εἰς τὰς καρδόπους σου· [29]καὶ εἰς σὲ καὶ εἰς τὸν λεών σου, εἰς πάντας τοὺς δούλους σου ἀναβήσονται οἱ βάτραχοι.

VIII. [1]τοίνυν ἔφη ὁ ὀντωτὴς πρὸς μωσέα· φάϑι πρὸς ἀαρῶνα· κλῖνον τὴν χεῖρά σου ἐν τῷ σκήπτρῳ σου ἐπὶ τοὺς ποταμούς, ἐπὶ τοὺς ῥύακας καὶ ἐπὶ τὰς λίμνας, ἀνάγαγέ τε τοὺς βατράχους ἐπὶ τὴν γῆν τῆς αἰγύπτου. [2]τοιγαροῦν ἔκλινεν ἀαρὼν τὴν χεῖρά οἱ ἐπὶ τὰ ὕδατα τῆς αἰγύπτου, καὶ ἀνῆλϑεν ὁ βάτραχος, ἐκάλυψέ τε τὴν γῆν τῆς αἰγύπτου. [3]καὶ ἐποίησαν οὕτως οἱ ἀποτελεσταὶ ἐν

---

21. ϑ' ex corr. (pro τε) cod. 25. ἔπλησε] וַיְמַלֵּא pro וַיִּמָּלֵא βεβληκέναι] hoc verbo altera manus priorem excipit. Cf. Prol. I, 1, i. 26. ὁ ὀντωτὴς] ita ed. Cod. ὁ om. παρεὸν] sic cod., non παρεῶνα ut ed. (cf. Gen. XLI, 17. XLV, 17). Item VIII, 4 παρεὸς pro παρεὼν

VIII. 1. κλίνον cod. (cf. VII, 19. Gen. XXIV, 14). Item v. 12 et saepius. 2. τῆς αἰγ. (bis) cod., non τοῦ αἰγ. ut ed. Item v. sq.

ταῖς γοητείαις αὐτῶν, καὶ ἀνήνεγκαν τοὺς βατράχους ἐπὶ τὴν γῆν τῆς αἰγύπτου. [4] ἐβόησε δὲ παρεὸς τῷ μωσεῖ καὶ τῷ ἀαρῶνι καὶ εἶπεν· ἱκετεύσατε πρὸς τὸν ὀντωτὴν, καὶ ἀφελεῖ τοὺς βατράχους ἀπ' ἐμοῦ κἀπὸ τοῦ λεώ μου, καὶ πέμψω τὸν λεὼν καὶ θύσουσι τῷ ὀντωτῇ. [5] εἶπεν οὖν μωσεὺς τῷ παρεῶνι· καλλωπίσθητι ἐπ' ἐμοί· πότε ἱκετεύσω σοι τοῖς τε σοῖς οἰκέταις καὶ τῷ λεῷ σου, ὥστε φθεῖραι τοὺς βατράχους ἀπὸ σοῦ κἀπὸ τοῦ οἴκου σου; μόνον ἐν τῷ ῥύακι περιλειφθήσονται. [6] καὶ εἶπεν· αὔριον. εἶπεν οὖν· κατὰ τὸν λόγον σου, ἵν' εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν· [7] ἐκλείψουσιν οὖν οἱ βάτραχοι ἀπὸ σοῦ κἀπὸ τῶν οἴκων σου κἀπὸ τῶν δούλων σου κἀπὸ τοῦ λεώ σου· μόνον ἐν τῷ ῥύακι περιλελείψονται. [8] τοιγαροῦν ἐξῆλθε μωσεὺς καὶ ἀαρὼν ἀπὸ τοῦ παρεῶνος· ἐβόησέ τε μωσεὺς πρὸς τὸν ὀντωτὴν ἐπὶ τῷ χρήματι τῶν βατράχων οὓς ἔθηκε τῷ παρεῶνι. [9] καὶ ἐποίησεν ὁ ὀντωτὴς κατὰ τὸν λόγον τοῦ μωσέως, καὶ τεθνάσιν οἱ βάτραχοι ἀπὸ τῶν οἴκων, ἀπὸ τῶν αὐλῶν κἀπὸ τῶν ἀγρῶν· [10] ξυνήθροισάν τε σφᾶς σωροὺς σωρούς, καὶ ὦζεσεν ἡ γῆ. [11] τεθέαται γοῦν ὁ παρεὼν ὅτι ἐτέλεσεν ἡ ἀνακωχὴ, καὶ ἐβάρυνε τὴν καρδίαν ἑαυτοῦ καὶ οὐκ ἤκουσε τοῦ θεοῦ, καθάπερ εἴρηκεν ὁ ὀντωτής.

[12] Ἔφη γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα· φάθι πρὸς ἀαρῶνα· κλῖνον τὸ βάκτρον σου καὶ τύψον τὸν χοῦν τῆς γῆς, τελέσει τε εἰς φθεῖρας ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου. [13] καὶ ἐποιησάτην οὕτως· ἔκλινέ τ' ἀαρὼν τὴν χεῖρά οἱ ἐν τῷ βάκτρῳ οἱ καὶ ἔτυψε τὸν χοῦν τῆς γῆς, ὑπῆρξάν τε οἱ φθεῖρες ἐν ἀνθρώπῳ κἀν κτήνει· πᾶς χοῦς τῆς γῆς ὑπῆρξε φθεῖρες ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου. [14] καὶ ἐποίησαν οὕτως οἱ ἀποτελεσταὶ ἐν ταῖς γοητείαις αὐτῶν ὡς ἐξενέγκαιεν τοὺς φθεῖρας, καὶ οὐκ ἴσχυσαν· ὑπῆρξέ θ' ὁ φθεὶρ ἐν ἀνθρώπῳ κἀν κτήνει. [15] καὶ εἶπον οἱ ἀποτελεσταὶ πρὸς τὸν παρεῶνα· δάκτυλος θεοῦ ἐστιν· ἐκρατύνθη δ' ἡ καρδία τοῦ παρεῶνος καὶ οὐκ ἤκουσεν αὐτῶν, καθάπερ εἴρηκεν ὁ ὀντωτής.

---

4. μωσῇ cod. Cf. v. 1. II, 10 sq. cet. 5. μωσῆς cod. Item v. 8 (bis); sed nusquam ita prima manus, neque dehinc altera. 7. περιλείψονται c. cd. ed. 8. παρεοῦ corr. παρεῶνος cod. 9. τεθνάσιν] sic cod. Cf. Gen. VII, 22. Prol. I, 4, c. 12. τοῦ αἰγ. rursus c. cd. ed. Item v. sq. 13. οἱ φθεῖρες] conjecerit quispiam הַכִּנִּים (ita Sam., cod. Kenn. 69) legisse nostrum pro הַכִּנָּם t. rec. Cf. v. sq., ubi הַכִּנָּם reddit ὁ φθεὶρ

[16] Εἶπεν οὖν ὁ ὀντωτὴς πρὸς μωσέα· ὄρθρισον ἐν ἕῳ καὶ στῆθι ἐνώπιον τοῦ παρεῶνος, αὐτίκα ἔξεισι τὰ ὕδατα, φήσεις τε πρὸς αὐτόν· τῆδε ἔφη ὁ ὀντωτής· πέμψον τὸν λεών μου, καὶ λατρεύσουσί μοι· [17] ἢν γὰρ μὴ ἀποπέμπῃς τὸν λεών μου, αὐτίκα ἐγὼ πέμπω εἰς σὲ καὶ εἰς τοὺς δούλους σου εἴς τε τὸν λεών σου καὶ εἰς τοὺς οἴκους σου τὴν σύγχυσιν· πλησθήσονται οἱ οἶκοι τῆς αἰγύπτου τῆς συγχύσεως, ἔτι τε ἡ γῆ ἥπέρ εἰσιν ἐπ' αὐτῆς· [18] θαυμαστώσω δ' ἐν τῇ ἡμέρᾳ κείνῃ τὴν γῆν τοῦ γοσένου ᾗ ὁ λεώς μου ἵσταται ἐπ' αὐτῆς, τῷ μηδαμῶς τελεῖν ἐκεῖ σύγχυσιν, ὡς ἂν γνῷς ὅτι ἐγὼ ὁ ὀντωτὴς ἐν τῷ μέσῳ τῆς γῆς· [19] θήσω τε λύτρωσιν ἀνὰ τὸν λεὼν μοῦ καὶ ἀνὰ τὸν λεὼν σοῦ· αὔριον ὑπάρξει τὸ σημεῖον τοῦτο. [20] τοιγαροῦν ἐποίησεν ὁ ὀντωτὴς οὕτως, καὶ ἦλθε σύγχυσις βαρεῖα οἴκαδε τῷ παρεῶνι καὶ οἴκαδε τῶν δούλων αὐτοῦ καὶ εἰς πᾶσαν γῆν αἰγύπτου· ἔφθαρται ἡ γῆ ἀπὸ προσώπου τῆς συγχύσεως. [21] ἐβόησε δ' ὁ παρεὼν τῷ μωσεῖ καὶ τῷ ἀαρῶνι καὶ εἶπεν· ἄπιτε θύετε τῷ θεῷ ὑμῶν ἐν τῇ γῇ. [22] καὶ εἶπε μωσεύς· οὐκ εὔθετον ποιῆσαι τῆδε, τὸ γὰρ μύσαγμα τῆς αἰγύπτου θύσομεν τῷ ὀντωτῇ τῷ θεῷ ἡμῶν· αὐτίκα θύσομεν τὸ μύσαγμα τῆς αἰγύπτου ἐν ὄμμασιν ὑμῖν, καὶ οὐ καταλεύσουσιν ἡμᾶς; [23] ὁδὸν τριῶν ἡμερῶν ἀπελευσόμεθα εἰς τὴν ἔρημον, καὶ θύσομεν τῷ ὀντωτῇ τῷ θεῷ ἡμῶν καθάπερ φαίη πρὸς ἡμᾶς. [24] εἶπεν οὖν παρεών· ἐγὼ πέμψω ὑμᾶς, καὶ θύσετε τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ· μόνον τῷ μηκύνειν οὐ μηκυνεῖτε ἀπελθεῖν. ἱκετεύσατε ὑπὲρ ἐμοῦ. [25] καὶ εἶπε μωσεύς· θεῶ ἐγὼ ἔξειμι ἀπὸ σοῦ καὶ ἱκετεύσω πρὸς τὸν ὀντωτήν, καὶ ἐκλείψει ἡ σύγχυσις ἀπὸ τοῦ παρεῶνος, ἀπὸ τῶν δούλων αὐτοῦ κἀπὸ τοῦ λεώ οἱ αὔριον· μόνον μὴ προσθῇ παρεὼν ἀπατῆσαι ὡς μὴ πέμψειε τὸν λεὼν ὡς θύοιτο τῷ ὀντωτῇ. [26] τοιγαροῦν ἐξῆλθε μωσεὺς ἀπὸ τοῦ παρεῶνος καὶ ἱκέτευσε πρὸς τὸν ὀντωτήν. [27] καὶ ἐποίησεν ὁ ὀντουργὸς κατὰ τὸν λόγον τοῦ μωσέως, ἐξέλιπέ τε ἡ σύγχυσις ἀπὸ τοῦ παρεῶνος, ἀπὸ τῶν δούλων αὐτοῦ κἀπὸ τοῦ λεώ οἱ· οὐ περιλέλειπται ἕν. [28] ἐβάρυνε δὲ παρεὼν

16. τὰ ὕδατα] mendum subesse suspiceris (הַמַּ֫יְמָה), aut vestigia Samaritani eum premere, qui ה locale om. Sed cf. Lev. I, 9. 13 sqq. II, 9 cet. 21. [ἐβόησ]ε in ras. 22. τῷ (2) postea insertum est. ἐν ὄμμασιν ὑμῖν] לְעֵינֵיכֶם pro לְעֵינֵיהֶם 25. ὡς μὴ] μὴ ipsi addidimus invito codice (לְבִלְתִּי). 26. τοίνυν corr. τοιγαροῦν prima, ni fallor, manus. Cf. Prol. I, 3, c.

τὴν καρδίαν ἑαυτοῦ ἔτι κἂν τῇ βολῇ ταύτῃ, καὶ οὐκ ἔπεμψε τὸν λεών.

IX. [1]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἄφιξο πρὸς παρεῶνα ἐρεῖς τε πρὸς αὐτόν· τῇδε ἔφη ὁ ὀντωτὴς ὁ θεὸς τῶν ὑβραίων· πέμψον τὸν λεών μου, καὶ λατρεύσουσί μοι· [2]ἢν γὰρ ἀπαναίνῃ σὺ πέμπειν, ἔτι τε σὺ ἀπισχυρίζῃ ἐν αὐτοῖς, [3]ἰδοὺ χεὶρ τοῦ ὀντωτοῦ τελεῖ ἐν τῷ κτήματί σου τῷ ἐν τῷ ἀγρῷ, ἐν ἵπποις, ἐν ὄνοις, ἐν καμήλοις, ἐν βουσὶ κἂν προβάτοις, λοιμὸν βαρύτατον· [4]θαυμαστώσει δ' ὁ ὀντωτὴς ἀνὰ τὸ κτῆμα τοῦ ἰσραέλου καὶ ἀνὰ τὸ κτῆμα τῆς αἰγύπτου, καὶ οὐ τεθνήξεται ἀφ' ὁτουοῦν τῶν υἱῶν τοῦ ἰσραέλου πρᾶγμα. [5]τοίνυν ἔθηκεν ὁ ὀντωτὴς ὅρον τῷ φάναι· αὔριον ποιήσει ὁ ὀντωτὴς τὸ πρᾶγμα τουτὶ ἐν τῇ γῇ. [6]ἐποίησεν οὖν ὁ ὀντωτὴς τὸ πρᾶγμα τοδὶ ἀπαύριον, τεθνήξεται πᾶν κτῆμα αἰγύπτου· ἀπὸ δὲ τοῦ κτήματος τῶν υἱῶν τοῦ ἰσραέλου θνήσκει οὐδέν. [7]ἔπεμψέ τε παρεών, καὶ θεῶ οὐ τέθνηκεν ἀπὸ τοῦ κτήματος ἰσραέλου μέχρις ἑνός. ἐβάρυνε δὲ τὴν καρδίαν ὁ παρεών, καὶ οὐκ ἔπεμψε τὸν λεών.

° [8]Εἶπεν οὖν ὁ ὀντωτὴς πρὸς τὸν μωσέα καὶ πρὸς τὸν ἀαρῶνα· λάβετον σφῷν αὐτοῖς πλήρωμα τῶν κοτυλῶν σφῷιν φύσημα καμίνου, καὶ σκορπισάτω αὐτὸ μωσεὺς ἐς οὐρανὸν ἐν ὄμμασι τοῦ παρεῶνος, [9]τελέσει τ' εἰς κονιορτὸν ἐπὶ πάσης τῆς γῆς τῆς αἰγύπτου· τελέσει τ' ἐπὶ τοῦ ἀνθρώπου κἀπὶ τοῦ κτήνους εἰς ἕλκος ἀνθοῦν πομφόλυγγας ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου. [10]τοιγαροῦν ἐλαβέτην τὸ φύσημα τῆς καμίνου καὶ ἐστήτην ἐνώπιον τοῦ παρεῶνος, ἐσκόρπισέ τε ταύτην μωσεὺς ἐς οὐρανόν· ἐτέλεσέ θ' ἕλκος, πομφόλυγγες, αὖξον ἐν τῷ ἀνθρώπῳ κἂν τῷ κτήνει. [11]οὔκουν ἴσχυσαν οἱ ἀποτελεσταὶ στῆναι ἐνώπιον μωσέως ἀπὸ προσώπου

IX. 1. δ' ὁ] rursus ὁ om. cod. Item v. 4. ἑβρ. corr. ὑβραίων cod. 2. ἀπισχυρίζει corr. ἀπισχυρίζῃ 4. ἀνὰ (1)] αἰεὶ cod., ἀεὶ ed. 5. ἔθηκεν] ita, ut videtur, ex corr. ipse cod., non ἔθελεν, ut relatum erat Ammonio. Cf. not. Mor., ubi ἔθελεν typ. vit. pro ἔθηκεν 6. ἀπαύριον] sic cod. Cf. Lev. XXIII, 16. τεθνήξεται] nonne τέθνηκέ τε (מִמָּחֳרָת)? 8. αὐτοῖς cod., non αὐτῶν ut ed. 9. τε (bis) corr. τ' cod. κἀπ[ὶ] in ras. Cf. Prol. l. c. πομφόλυγγας] Amm. „Lege πομφόλυγας a πόμφολυξ". Sed codicis scriptura videbatur servanda. Cf. v. sq. 10. ἔλαβον — ἔστησαν corr. ἐλαβέτην — ἐστήτην prima manus (v. supra). αὖξον] פֹּרֵה pro פֹּרֵחַ

τοῦ ἕλκους· ὑπῆρξε γὰρ τὸ ἕλκος ἐν τοῖς ἀποτελεσταῖς κἀν πάσῃ τῇ αἰγύπτῳ. [12]ἐκράτυνε δ' ὁ ὀντουργὸς τὴν καρδίαν τοῦ παρεῶνος, καὶ οὐχ ὑπήκουσε σφίσι, καϑάπερ διείλεκται ὁ ὀντουργὸς πρὸς μωσέα. [13]Τοιγαροῦν εἶπεν ὁ ὀντουργὸς πρὸς μωσέα· ὄρϑρισον ἐν ἕῳ καὶ στῆϑι ἐνώπιον τοῦ παρεῶνος φήσεις τε πρὸς αὐτόν· τῇδε ἔφη ὁ ὀντουργὸς ὁ ϑεὸς τῶν ὑβραίων· πέμψον τὸν λεών μου, καὶ λατρεύσουσί μοι. [14]καὶ γὰρ ἐν τῇ βολῇ ταύτῃ ἐγὼ πέμπω πάσας τὰς πληγάς μου πρὸς τὴν καρδίαν σου εἴς τε τοὺς δούλους σου καὶ εἰς τὸν λεών σου, ὡς γνοίης ὅτι οὐκ ἔστι κατ' ἐμὲ ἐν πάσῃ τῇ γῇ. [15]νῦν γὰρ ἔπεμψα τὴν χεῖρά μου καὶ ἔβαλόν σε καὶ τὸν λεών σου ἐν ϑνήξει, ἀρνηϑήσῃ τε ἀπὸ τῆς γῆς· [16]ὄντως τε διατοῦτο ἔστησά σε ὥστε δεῖξαί σε τὴν ἰσχύν μου, ὥστε τε διηγήσασϑαι τοὔνομά μου ἐν πάσῃ τῇ γῇ. [17]ἔτι γὰρ ἐπαίρῃ ἐν τῷ λεῷ μου ὡς μὴ πέμποις σφᾶς. [18]αὐτίκα ἐγὼ ὕω κατὰ τὸν καιρὸν αὔριον χάλαζαν βαρυτάτην, ἥπερ οὐχ ὑπῆρξε τὸ κατὰ ταύτην ἐν τῇ αἰγύπτῳ ἀφ' ἡμέρας τοῦ τεϑεμελιῶσϑαι ταύτην καὶ μέχρι τουνῦν. [19]ἄρτι τοίνυν πέμψον συνάϑροισον τὴν κτῆσίν σου καὶ ξύμπαν ὅπερ ἔχεις ἐν τῷ ἀγρῷ πάσης τῆς γῆς, καὶ τὸ κτῆνος ὅπερ εὑρεϑήσεται ἐν τῷ ἀγρῷ, οὐ μέντοι συναχϑήσεται οἴκοι, πεσεῖται γοῦν ἐπ' αὐτῶν ἡ χάλαζα καὶ τεϑνήξεται. [20]ὁ δείσας τὸν λόγον τοῦ ὀντουργοῦ πρὸς τῶν δούλων τοῦ παρεῶνος συνήλασε τοὺς δούλους ἑαυτοῦ καὶ τὸ κτῆμα ἑαυτοῦ πρὸς τὸν οἶκον· [21]ὁ μέντοι μὴ ϑέμενος τὴν καρδίαν ἑαυτοῦ πρὸς τὸν λόγον τοῦ ὀντωτοῦ, καὶ παρῆκε τοὺς δούλους ἑαυτοῦ καὶ τὸ κτῆμα ἑαυτοῦ ἐν τῷ ἀγρῷ.

[22]Τοιγαροῦν εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· κλῖνον τὴν χεῖρά σου ἐπὶ τοὺς οὐρανούς, τελέσει τε χάλαζα ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου, ἐπὶ τοῦ ἀνϑρώπου κἀπὶ τοῦ κτήνους κἀπὶ πᾶσαν τὴν χλόην τοῦ ἀγροῦ ἐν τῇ γῇ τῆς αἰγύπτου. [23]κέκλικεν οὖν μωσεὺς τὸ

---

13. ἐβρ. corr. ὑβραίων cod. 14. ἔστη corr. ἔστι 16. διατοῦτο] cf. Gen. XXXIII, 10. τις corr. τε cod. Cf. Prol. l. c. 17. πέμποις cod., non πέμπειν ut ed. 18. μέχρι τουνῦν] cf. Gen. XLVI, 34. 19. ἄρτι τοίνυν] invito codice ed. sic distinguit: (μέχρι τουνῦν) ἄρτι. (19) τοίνυν τῆς γῆς] הָאֲדָמָה pro הָאָדָם τεϑνήξεται] l. τεϑνήξονται (וָמֵתוּ). 20. τὸν οἶκον] pluralem exspectaveris (הַבָּתִּים). 23. κέκλικεν οὖν in ras. Cf. Prol. l. c.

σκῆπτρον ἑαυτοῦ ἐπὶ τοὺς οὐρανούς, ὅ τ' ὀντωτὴς ἔδωκε φωνὰς καὶ χάλαζαν, ἐπορεύϑη τε πῦρ ἐς γῆν· ὑσέ ϑ' ὁ ὀντωτὴς χάλαζαν ἐπὶ τῆς γῆς τῆς αἰγύπτου. [24] ἐτέλεσέ τε χάλαζα καὶ πῦρ εἰλημμένον μέσον τῆς χαλάζης βαρύτατον, ᾧπερ οὐχ ὑπῆρξε κατ' ἐκεῖνο ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου ἀφοῦπερ ὑπῆρξεν εἰς ἔϑνος. [25] ἔβαλεν οὖν ἡ χάλαζα ἐν πάσῃ τῇ γῇ τῆς αἰγύπτου ξύμπαν τὸ ἐν τῷ ἀγρῷ ἀπ' ἀνϑρώπου καὶ μέχρι κτήνους· πᾶσάν τε τὴν χλόην τοῦ ἀγροῦ ἔβαλεν ἡ χάλαζα, καὶ ξύμπαν τὸ ξύλον τοῦ ἀγροῦ συνέτριψε· [26] μόνον ἐν τῇ γῇ τοῦ γοσένου, ὅπουπερ οἱ υἱεῖς τοῦ ἰσραέλου, οὐχ ὑπῆρξε χάλαζα. [27] ἔπεμψε τοίνυν παρεὼν ἐκάλεσέ τε τὸν μωσέα καὶ τὸν ἀαρῶνα καὶ εἶπε πρὸς αὐτώ· ἥμαρτον ἅπαξ· ὁ ὀντωτὴς ὁ δίκαιος, ἐγὼ δὲ καὶ ὁ λεώς μου οἱ ἀσεβεῖς. [28] δεήϑητε τοίνυν πρὸς τὸν ὀντωτήν, πολύ τε ἀπὸ τοῦ τελεῖν φωνὰς ϑεοῦ καὶ χάλαζαν· πέμψω τε ὑμᾶς, καὶ οὐ προσϑήσετε ἵστασϑαι. [29] τοιγαροῦν ἔφη πρὸς αὐτὸν μωσεύς· κατὰ τὸ ἐξιέναι με τὴν πόλιν, ἐκτενῶ τὰ παλάμα μου πρὸς τὸν ὀντωτήν· αἱ φωναὶ παύσουσι, καὶ ἡ χάλαζα οὐ τελέσει ἔτι· ὡς ἂν γνοίης ὅτι τοῦ ὀντωτοῦ ἡ γῆ. [30] σὺ δὲ καὶ οἱ δοῦλοί σου, ἔγνων ὅτι πρότερον δείσετε ἀπὸ προσώπου τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ. [31] τὸ δὲ λῖνον καὶ ἡ κριϑὴ βέβληνται· ἡ γὰρ κριϑὴ καλάμη, τὸ δὲ λῖνον λινοκαλάμη· [32] ὁ δὲ πυρὸς καὶ ὁ αἰγιλὸψ οὐ βέβληνται, ὀψίμω γὰρ ἤτην. [33] ἐξῆλϑεν οὖν μωσεὺς ἀπὸ τοῦ παρεῶνος τὴν πόλιν, ἔτεινέ τε τὰ παλάμα οἱ πρὸς τὸν ὀντωτήν· καὶ πέπαυνται αἱ φωναὶ καὶ ἡ χάλαζα, καὶ ὄμβρος οὐκ ἐχέϑη εἰς γῆν. [34] εἶδεν οὖν ὁ παρεὼν ὅτι πέπαυται ὁ ὄμβρος καὶ ἡ χάλαζα καὶ αἱ φωναί, καὶ προσέϑηκεν ἁμαρτάνειν, ἐβάρυνέ τε τὴν καρδίαν ἑαυτοῦ ἐκεῖνος καὶ οἱ δοῦλοι ἐκείνου. [35] ἐκρατύνϑη τε ἡ καρδία τοῦ παρεῶνος, καὶ οὐκ ἔπεμψε τοὺς υἱεῖς τοῦ ἰσραέλου, καϑάπερ διείλεκται ὁ ὀντωτὴς ἐν χειρὶ τοῦ μωσέως.

X. (μερίς) [1] Τοιγαροῦν ἔφη ὁ ὀντωτὴς πρὸς μωσέα· ἄφιξο πρὸς τὸν παρεῶνα· ἐγὼ γὰρ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τὴν καρδίαν τῶν

ὑσέ ϑ' (non ὗσε ϑ' ut ed.)] ϑ factum ex δ (pr. m.). 24. ἀφοῦπερ] cf. Gen. XXXIX, 5. 27. ἔπεμψε τοίνυν in ras. (pr. m.) ἥμαρτον cod., non ἥμαρται ut ed., nec ἥμαρμαι ut Amm. legi jubet. 30. δείσεται cod. et ed. Cf. Deut. I, 29. 31. λῖνον] hoc accentu utitur. Cf. Prol. I, 4, c. 32. αἰγιλὸψ] error calami, ut videtur, pro αἰγίλωψ

δούλων αὐτοῦ, χάριν τοῦ θεῖναί με τὰ σημεῖά μου ταῦτα ἐν τῷ μέσῳ οἱ, [2] καὶ ἵνα διηγήσῃ ἐν τοῖς ὠσὶ τοῦ υἱοῦ σου καὶ τοῦ υἱοῦ τοῦ υἱοῦ σου ἅτταπερ εἴργασμαι ἐν τῇ αἰγύπτῳ, καὶ τὰ σημεῖά μου ἅπερ ἔθηκα ἐν αὐτοῖς, εἴσεσθέ τε ὅτι ἐγὼ ὁ ὀντωτής. [3] ἀφῖκται γοῦν μωσεὺς καὶ ἀαρὼν πρὸς τὸν παρεῶνα εἰπέτην τε πρὸς αὐτόν· τῇδε ἔφη ὁ ὀντουργὸς ὁ θεὸς τῶν ὑβραίων· ἄχρι τίνος ἀπηνήνω ταπεινωθῆναι ἀπὸ προσώπου μου; πέμψον τὸν λεών μου, καὶ λατρεύσουσί μοι· [4] ἢν γὰρ ἀπανήνῃ πέμπειν τὸν λεών μου, θεῶ ἐγὼ φέρω αὔριον ἀκρίδα ἐς τὸν ὅρον σου· [5] καλύψει τε τὸ ὄμμα τῆς γῆς, οὐκ ἴσχυσα θεᾶσθαι τὴν γῆν· ἔδεταί τε τὸ περιττόν, τὸ ἀπάλλαγμα τὸ περιλειφθὲν ὑμῖν ἀπὸ τῆς χαλάζης, ἔδεταί τε ξύμπαν τὸ ξύλον τὸ φύον ὑμῖν ἀπὸ τοῦ ἀγροῦ· [6] πλησθήσονταί τε οἱ οἰκοί σου καὶ οἱ οἶκοι πάντων τῶν δούλων σου καὶ οἱ οἶκοι πάσης τῆς αἰγύπτου, ὅπερ οὐκ εἶδον οἱ πατέρες σου καὶ οἱ πατέρες τῶν πατέρων σου ἀπὸ τῆς ἡμέρας τοῦ τελέσαι σφᾶς ἐπὶ τῆς γῆς ἄχρι τῆς ἡμέρας ταυτησί. καὶ ἔκλινε καὶ ἐξῆλθεν ἀπὸ τοῦ παρεῶνος. [7] τοίνυν εἶπον οἱ δοῦλοι τοῦ παρεῶνος πρὸς αὐτόν· ἄχρι τίνος ὑπάρξει τόδε ἡμῖν εἰς σκανδάληθρον; πέμψον τοὺς ἄνδρας, καὶ λατρευσάντων τῷ ὀντουργῷ τῷ θεῷ σφῶν· ἆρα πρότερον εἴσῃ ὅτι ἀπώλετο αἴγυπτος; [8] ὑπεστράφη τοίνυν μωσεὺς καὶ ἀαρὼν πρὸς τὸν παρεῶνα, ἔφη τε πρὸς ἐκείνω· ἄπιτε λατρεύσατε τῷ ὀντουργῷ τῷ θεῷ ὑμῶν· τίς καὶ τίς οἱ ἀπιόντες; [9] ἔφη γοῦν μωσεύς· ἐν τοῖς νέοις ἡμῶν κἀν τοῖς γέρουσιν ἡμῶν ἀπελευσόμεθα, ἐν τοῖς υἱέσιν ἡμῶν κἀν ταῖς θυγατράσιν ἡμῶν, ἐν τοῖς ποιμνίοις ἡμῶν κἀν τοῖς βουκολίοις ἡμῶν ἀπελευσόμεθα· καὶ γὰρ ἑορτὴ τοῦ ὀντουργοῦ ἡμῖν. [10] ἔφη γοῦν πρὸς αὐτούς· εἴη τῇδε ὁ ὀντουργὸς ξὺν ἡμῖν, καθάπερ πέμψω ὑμᾶς καὶ τὸ νήπιον ὑμῶν· θεᾶσθε ὅτι κακία ἀντικρὺ τῶν προσώπων ὑμῶν. [11] οὐχ οὕτως· ἄπιτε δή, καὶ οἱ ἄνδρες, καὶ λατρεύσατε τῷ ὀντουργῷ· κεῖνο γὰρ ὑμεῖς ζητεῖτε. τοίνυν ἀπήλασε σφᾶς ἀπὸ τοῦ προσώπου τοῦ παρεῶνος. [12] Τοιγαροῦν ἔφη ὁ ὀντουργὸς

X. 1. δουλῶν c. cd. ed. Item v. 6. 3. ἑβραίων cod. Cf. not. ad IX, 13. 4. ἀπαναίνῃ (cf. VII, 27. IX, 2)? 5. Inter τὸ et ὄμμα deletum videtur σόν. Male ed. τὸ σοῦ ὄμμα οὐκ ἴσχυσα] l. οὔτ' aut (si cum cod. Kenn. 84 לא pro וְלֹא habuit) οὐκ ἰσχύσει (וְלֹא יוּכַל t. rec.). 11. καὶ οἱ ἄνδρες] καὶ nescio unde sumptum (הַגְּבָרִים). Emendaverim ὦ, sed obstat articulus. Esse potest καὶ explicativum *(et quidem)*.

πρὸς μωσέα· κλῖνον τὴν χεῖρά σου ἐπὶ τὴν γῆν τῆς αἰγύπτου ἐν ἀκρίδι, καὶ ἀναβήτω ἐπὶ τὴν γῆν τῆς αἰγύπτου φαγέτω τε ξύμπασαν χλόην τῆς γῆς, ξύμπαν ὅπερ κατέλιπεν ἡ χάλαζα. [13]τοίνυν ἔκλινε μωσεὺς τὴν ῥάβδον ἑαυτοῦ ἐπὶ τὴν γῆν τῆς αἰγύπτου, ὁ δ' ὀντουργὸς ἐξήγαγε πνεῦμα ἀφηλιώτου ἐν τῇ γῇ ὅλῃ τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ὅλῃ τῇ νυκτί· ἡ ἕως ὑπῆρξε, καὶ πνεῦμα ἀφηλιώτου ἦρε τὴν ἀκρίδα. [14]τοίνυν ἀνῆλθεν ἡ ἀκρὶς ἐφ' ὅλην τὴν γῆν τῆς αἰγύπτου, καὶ ἀναπέπαυται ἐν παντὶ ὅρῳ τῆς αἰγύπτου βαρυτάτη· πρὸ ταύτης οὐχ ὑπῆρξεν οὕτως ἀκρὶς ὡς αὐτοῦ, καὶ μετ' αὐτὴν οὐ τελέσει τῆδε. [15]τοιγαροῦν ἐκάλυψε τὸν ὀφθαλμὸν ὅλης τῆς γῆς ἐσκότισέ τε τὴν γῆν, καὶ βέβρωκε ξύμπασαν χλόην τῆς γῆς καὶ ξύμπαντα τὸν καρπὸν τοῦ ξύλου ὃν παρέλιπεν ἡ χάλαζα· καὶ οὐ περιλέλειπται ὁτιοῦν χλωρὸν ἐν τῷ ξύλῳ κἀν τῇ χλόῃ τοῦ ἀγροῦ ἐν ὅλῃ τῇ γῇ τῆς αἰγύπτου. [16]ἔσπευσεν οὖν ὁ παρεὼν καλέσαι μωσέα καὶ ἀαρῶνα καὶ εἶπεν· ἥμαρτον τῷ ὀντωτῇ τῷ θεῷ σφῶϊν καὶ σφῶϊν· [17]νῦν οὖν ἆρον δὴ τὴν ἁμαρτίαν μου μόνον ἅπαξ, ἱκετεύσατόν τε τὸν ὀντουργὸν τὸν θεὸν σφῶϊν, καὶ ἀφῃρήσθω ἄνωθέν μου μόνον τὸν θάνατον τουτονί. [18]τοίνυν ἐξῆλθεν ἀπὸ τοῦ παρεῶνος καὶ ἱκέτευσε πρὸς τὸν ὀντουργόν. [19]μετέστρεψε δ' ὁ ὀντουργὸς πνεῦμα θαλάττης κραταιότατον, καὶ ἦρε τὴν ἀκρίδα καὶ ἐβύθισεν αὐτὴν εἰς θάλατταν φύκους· οὐ περιλέλειπται ἀκρὶς μία ἐν ὅλῳ τῷ ὅρῳ τῆς αἰγύπτου. [20]ἐκράτυνε δ' ὁ ὀντουργὸς τὴν καρδίαν τοῦ παρεῶνος, καὶ οὐκ ἔπεμψε τοὺς υἱεῖς τοῦ ἰσραέλου.

[21]Τοίνυν εἶπεν ὁ ὀντουργὸς πρὸς τὸν μωσέα· κλῖνον τὴν χεῖρά σου ἐπὶ τοὺς οὐρανούς, τελεσάτω τε σκότος ἐπὶ τῆς γῆς τῆς αἰγύπτου, καὶ ψηλαφήσει σκότος. [22]ἔκλινεν οὖν μωσεὺς τὴν χεῖρά οἱ ἐπὶ τοὺς οὐρανούς, καὶ ὑπῆρξε σκότος ἀνοφερότητος ἐν ὅλῃ τῇ γῇ τῆς αἰγύπτου τρισὶν ἡμέραις· [23]οὐκ εἶδον ἀνὴρ τὸν ἀδελφὸν ἑαυτοῦ, οὔτ' ἠγέρθησαν ἀνὴρ κάτωθεν ἑαυτοῦ τρισὶν ἡμέραις· πᾶσι δὲ τοῖς υἱέσι τοῦ ἰσραέλου ὑπῆρξε φῶς ἐν ταῖς καθέδραις αὐτῶν. [24]ἐβόησεν οὖν ὁ παρεὼν πρὸς μωσέα καὶ εἶπεν· ἄπιτε

---

14. αὐτοῦ] **exspectaveris** αὐτῇ 17. ἆρον] **ita procul dubio emendanda erat codicis scriptura, quam et ed. retinuit:** εὗρον 22. ἀνοφερότητος] **vox palam corrupta; sed dubitari potest utrum** ἀνωφερότητος **legendum sit an** ἀνωφερέστατος; **vix** ἀναφαίρετος

λατρεύσατε τῷ ὀντουργῷ, μόνον τὸ ποίμνιον ὑμῶν καὶ τὸ βουκόλιον ὑμῶν στήτω· ἔτι τὸ νήπιον ὑμῶν ἀπίτω ξὺν ὑμῖν. [25]ἔφη τοίνυν μωσεύς· ἔτι σὺ δώσεις ἐν ταῖς χερσὶν ἡμῶν ϑύματα καὶ ἀναφορὰς, καὶ ποιήσομεν τῷ ὀντουργῷ τῷ ϑεῷ ἡμῶν· [26]ἔτι τε τὸ κτῆμα ἡμῶν ἀπελεύσεται ξὺν ἡμῖν, οὐ περιλειφϑήσεται ὀπλή· καὶ γὰρ ἐξ αὐτοῦ ληψόμεϑα λατρεύειν τῷ ὀντουργῷ τῷ ϑεῷ ἡμῶν· ἡμεῖς δὲ οὐκ εἰσόμεϑα τί λατρεύσομεν τῷ ὀντωτῇ μέχρι τοῦ ἀφικέσϑαι ἡμᾶς ἐκεῖσε. [27]ἐκράτυνεν οὖν ὁ ὀντωτὴς τὴν καρδίαν τοῦ παρεῶνος, καὶ οὐ βεβούληται πέμψειν αὐτούς. [28]εἶπε δ' αὐτῷ παρεών· ἄπιϑι ἄνωϑέν μου· πεφύλαξο σαυτῷ μὴ προσϑῇς ἰδεῖν τὸ πρόσωπόν μου, ἐν γὰρ τῇ ἡμέρᾳ τοῦ ἰδεῖν σε τὸ πρόσωπόν μου τεϑνήξῃ. [29]καὶ εἶπε μωσεύς· οὕτω διείλεξαι· οὐ προσϑήσω ἔτι ϑεάσασϑαι τὸ πρόσωπόν σου.

XI. [1]Ἔφη δ' ὁ ὀντουργὸς πρὸς μωσέα· ἔτι ϑίξιν μίαν οἴσω ἐπὶ τὸν παρεῶνα κἀπὶ τὴν αἴγυπτον, ἔπειτα πέμψει ὑμᾶς ἐντεῦϑεν· ὡς πέμποι ἂν αὐτὸς νύμφην, τῷ ἐξάγειν ἐξάξει ὑμᾶς ἐνϑένδε. [2]διείλεξο δὴ ἐν τοῖς ὠσὶ τοῦ λεὼ, καὶ ζητησάντων ἕκαστος πρὸς τοῦ ἑταίρου οἱ γυνή τε πρὸς τῆς φίλης ἑαυτῆς σκεύη ἀργύρου καὶ σκεύη χρυσοῦ. [3]παρέσχετο δ' ὁ ὀντουργὸς τὴν χάριν τοῦ λεὼ ἐν ὄμμασι τῆς αἰγύπτου· ἔτι ὁ ἀνὴρ μωσεὺς μέγιστος ἐν τῇ γῇ τῆς αἰγύπτου ἐν ὄμμασι τῶν δούλων τοῦ παρεῶνος κἀν ὄμμασι τοῦ λεώ. [4]Τοιγαροῦν ἔφη μωσεύς· τῇδε ἔφη ὁ ὀντουργός· ἐν τῷ μεσονυκτίῳ ἐγὼ ἔξειμι μέσον τῆς αἰγύπτου· [5]καὶ τεϑνήξεται πᾶν πρωτότοκον ἐν τῇ γῇ τῆς αἰγύπτου, ἀπὸ πρωτοτόκου παρεῶνος τοῦ καϑεζομένου ἐπὶ τοῦ ϑρόνου οἱ μέχρι πρωτοτόκου τῆς ϑεραπαινίδος τῆς ὀπίσω τοῦ μύλωνος, πᾶν τε πρωτότοκον κτήνους. [6]τελέσει δὲ κραυγὴ μεγάλη ἐν πάσῃ γῇ αἰγύπτου, ᾗ κατ' αὐτὴν οὐχ ὑπῆρξε καὶ κατ' αὐτὴν οὐ προσϑήσει. [7]πᾶσι δὲ τοῖς υἱέσιν ἰσραέλου οὐ κινήσει κύων τὴν γλῶτ-

25. ἡμῶν (1) cod., non ὑμῶν ut ed. 26. ὀπλή] sic cod. Cf. Prol. I, 4, c. 27. τὴν καρδίαν ipsi addidimus invito codice. 28. πεφύλεξο cod.

XI. 1. νύμφην] quasi כַּלָּה scriptum esset, non כָּלָה 2. λεῷ cod. et ed. At vicissim v. 3 λεὼ (bis) recte cod., ubi ed. λεῷ 3. δούλων obstinate c. cd. ed. 4. ἐν τῷ μεσονυκτίῳ] בַּחֲצֹת pro כַּחֲ 5. μύλωνος] codicis accentum servavimus. Cf. Num. XI, 8. Deut. XXIV, 6. 7. οὐ κινήσει] cave conjicias legendum esse οὐκ ἀκονήσει (לֹא יֶחֱרַץ). Kimchium sequitur interpres. Cf. Prol. II, 3, B, g.

ταν ἑαυτοῦ, ἀπ' ἀνδρὸς καὶ μέχρι κτήνους· ἵνα γνῶτε ὥσπερ θαυμαστώσει ὁ ὀντουργὸς ἀνὰ τὴν αἴγυπτον καὶ ἀνὰ τὸν ἰσραέλον. [8]καταβήσονται δὲ πάντες οἱ δοῦλοί σου οὗτοι πρός με καὶ προσκυνήσουσί με τῷ φάσκειν· ἄπιθι σὺ καὶ πᾶς ὁ λεὼς ὁ ἐν τοῖς ποσί σου· μετὰ δὲ ταῦτα ἐξελεύσομαι. τοίνυν ἐξῆλθεν ἀπὸ τοῦ παρεῶνος ἐν ὀργῇ θυμοῦ. [9]Ἔφη γοῦν ὁ ὀντουργὸς πρὸς μωσέα· οὐχ ὑπακούσεται ὑμῖν παρεὼν ὥστε πληθυνθῆναι τὰ τέρατά μου ἐν τῇ γῇ τῆς αἰγύπτου. [10]μωσεὺς δὲ καὶ ἀαρὼν ἐποιησάτην ξύμπαντα τὰ τέρατα ταῦτα ἐνώπιον τοῦ παρεῶνος· ἀλλ' ἐκράτυνεν ὁ ὀντωτὴς τὴν καρδίαν τοῦ παρεῶνος, καὶ οὐκ ἔπεμψε τοὺς υἱεῖς τοῦ ἰσραέλου ἀπὸ τῆς γῆς ἑαυτοῦ.

XII. [1]Τοιγαροῦν εἶπεν ὁ ὀντουργὸς πρὸς τὸν μωσέα καὶ πρὸς τὸν ἀαρῶνα ἐν τῇ γῇ τῆς αἰγύπτου τῷ φάσκειν· [2]ὁ μὴν οὗτος ὑμῖν κεφαλὴ τῶν μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐς τοὺς μῆνας τοῦ ἔτους. [3]διείλεχθον πρὸς πᾶσαν συνάθροισιν τοῦ ἰσραέλου τῷ φάναι· ἐν τῇ δεκάτῃ τοῦ μηνὸς τουτουΐ, καὶ λήψονται σφίσιν ἕκαστος πρόβατον τῷ οἴκῳ τῶν πατέρων, πρόβατον τῷ οἴκῳ· [4]ἢν μέντοι ὀλιγῶται ὁ οἶκος ἀπὸ τοῦ τελεῖν ἀπὸ προβάτου, λήψεται μέντοι κεῖνος καὶ ὁ γείτων αὐτοῦ, ὁ ἐγγὺς πρὸς τὸν οἶκον αὐτοῦ, ἐν ἀριθμῷ τῶν ψυχῶν· ἕκαστος κατὰ τὸ βρῶμά οἱ ἀριθμηθήσεσθε ἐπὶ τοῦ προβάτου. [5]πρόβατον τέλειον, ἄρσεν, τέκνον ἔτους τελέσει ὑμῖν· ἀπὸ τῶν προβάτων κἀπὸ τῶν αἰγῶν λήψεσθε. [6]τελέσει τε ὑμῖν εἰς τήρησιν ἄχρι τῆς τετταρεσκαιδεκάτης ἡμέρας τοῦ μηνὸς τουτουΐ· θύσετε δὲ αὐτὸ πᾶσα ἡ ἐκκλησία τοῦ συναθροίσματος τοῦ ἰσραέλου μέσον τῆς ἑσπέρας. [7]λήψονται μέντοι ἀπὸ τοῦ αἵματος καὶ δώσουσιν ἐπὶ τοῖν δυοῖν παραστάδοιν καὶ ἐπὶ τῆς φλιᾶς, ἐπὶ τῶν οἴκων οἷς ἔδονται αὐτὸ ἐκεῖ. [8]ἔδονται τοίνυν τὸ κρέας ἐν τῇ νυκτὶ ταύτῃ ὀπτὸν πυρί, καὶ ἄζυμα ἐπὶ πικρίσιν ἔδονται αὐτό. [9]μὴ φάγητε ἀπ' αὐτοῦ ὠμὸν καὶ τῷ μιστύλλειν μεμιστυλλημένον ἐν ὕδατι, ἀλλ' ὀπτὸν πυρί, τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τοῖς μέλεσιν αὐτοῦ, ἐπὶ τῷ σπλάγχνῳ οἱ. [10]οὐ μέντοι παραλείψετε ἀπ' αὐτοῦ μέχρις ἕω· τὸ δὲ περιλειφθὲν ἀπ' αὐτοῦ μέχρις

XII. 2. τέτταρες καὶ δεκάτης cod. et ed. Cf. Gen. V, 8. VIII, 4 cet. 7. ἐκεῖ] quasi שָׁם legisset, non בָּהֶם 9. μέλεσιν] l. σκέλεσιν (כְּרָעָיו). Cf. Lev. I, 13. XI, 21. 10. παραλείψεται cod. et ed. Mallem περιλείψετε (תוֹתִירוּ). Cf. Lev. XXII, 30. Num. XXXIII, 55 cet.

ἕω ἐν πυρὶ καύσετε. [11]τῇδε μέντοι ἔδεσϑε αὐτό· τῶν ὀσφύων ὑμῶν ἐζωσμένων, τῶν ὑποδημάτων ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν καὶ τῶν σκήπτρων ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν· ἔδεσϑε δὲ αὐτὸ ἐν ἐπειγωλῇ· ἄλμα ἐστὶ τοῦ ὀντουργοῦ. [12]διελεύσομαι δὲ ἐν τῇ γῇ τῆς αἰγύπτου ἐν τῇ νυκτὶ ταύτῃ, βαλῶ τε πᾶν πρωτότοκον ἐν τῇ γῇ τῆς αἰγύπτου ἀπ' ἀνϑρώπου καὶ μέχρι κτήνους, ἔν τε παντὶ ϑεῷ τῆς αἰγύπτου ποιήσω κρίσεις, ἐγὼ ὁ ὀντουργός. [13]τελέσει δὲ τὸ αἷμα ὑμῖν εἰς σημεῖον ἐπὶ τοῖς οἴκοις οἷς ὑμεῖς ἐκεῖ· καὶ ὄψομαι τὸ αἷμα, καὶ ἀλοῦμαι ὑπὲρ ὑμᾶς, καὶ οὐ τελέσει ἐν ὑμῖν πληγὴ τοῦ φϑείροντος ἐπὰν πλήττοιμι ἐγὼ ἐν τῇ γῇ τῆς αἰγύπτου. [14]τελέσει τε ἡ ἡμέρα αὕτη ὑμῖν εἰς μνήμην, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν τῷ ὀντουργῷ· ἐς τὰς γενεὰς ὑμῶν τύπον αἰῶνος ἑορτάσετε αὐτήν. [15]ἑπτὰ ἡμέραις ἄζυμα ἔδεσϑε, μόνον ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ παύσετε προζύμην ἀπὸ τῶν οἴκων ὑμῶν· πᾶς γὰρ ἐσϑίων ζυμωτὸν, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ ἰσραέλου, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἄχρι τῆς ἡμέρας τῆς ἑβδόμης. [16]ἐν δὲ τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάγνωσις ἁγία, κἀν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνάγνωσις ἁγία τελέσει ὑμῖν· ἡτισοῦν ὑπηρεσία οὐ ποιηϑήσεται ἐν αὐταῖς, πλὴν ὅπερ βρωϑήσεται ἡτινιοῦν ψυχῇ, ἐκεῖνο μόνον ποιηϑήσεται ὑμῖν. [17]τηρήσετε δὲ τὰ ἄζυμα, ὅτι ἐν χρῷ τῆς ἡμέρας ταύτης ἐξήνεγκα τὰς στρατιὰς ὑμῶν ἀπὸ τῆς γῆς τῆς αἰγύπτου· τηρήσετε τοίνυν τὴν ἡμέραν ταύτην ἐς τὰς γενεὰς ὑμῶν τύπον αἰῶνος· [18]ἐν τῷ πρώτῳ ἐν τῇ τετταρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἐν τῇ ἑσπέρᾳ ἔδεσϑε ἄζυμα, ἄχρι τῆς ἡμέρας τῆς πρώτης καὶ εἰκοστῆς τοῦ μηνὸς ἐν τῇ ἑσπέρᾳ. [19]ἑπτὰ ἡμέραις προζύμη οὐχ εὑρεϑήσεται ἐν τοῖς οἴκοις ὑμῶν· πᾶς γὰρ ἐσϑίων ζυμωτὸν, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ συναϑροίσματος τοῦ ἰσραέλου, ἐν παροίκῳ καὶ ἐν αὐτόχϑονι τῆς γῆς· [20]ὁτιοῦν ζυμωτὸν οὐκ ἔδεσϑε, ἐν πάσαις ταῖς καϑέδραις ὑμῶν ἔδεσϑε ἄζυμα.

[21]Ἐβόησε δὲ μωσεὺς πᾶσι τοῖς γέρουσι τοῦ ἰσραέλου καὶ ἔφη πρὸς αὐτούς· ἑλκύσατε καὶ λάβετε ὑμῖν αὐτοῖς πρόβατον εἰς τὰς

---

11. τῶν σκήπτρων ὑμ. ἐν ταῖς χερσὶν ὑμ.] bis singularem textus Hebr. exhibet (וּמַקֶּלְכֶם בְּיֶדְכֶם). Sed cf. Sam. (ומקליכם בידיכם), LXX. Hier. ἅλμα] ἀλμα cod. At ἅλμα v. 21. 48 ipse habet. Cf. Prol. I. 4, c. 13. ὑμῖν (1) cod., non ὑμῶν ut ed. 18. τέτταρες καιδεκάτη cod. Ed. ut supra.

φρήτρας ὑμῶν, καὶ θύσατε τὸ ἅλμα. [22]λήψεσθέ τε κώμυθας ὑσσώπου καὶ βαπτιεῖτε ἐν τῷ αἵματι τῷ ἐν τῇ λεκάνῃ, καὶ ἐγγιεῖτε πρὸς τὴν ἄνω φλιὰν καὶ πρὸς τὰ δύο παραστάδε ἀπὸ τοῦ αἵματος τοῦ ἐν τῇ λεκάνῃ· ὑμεῖς τε οὐκ ἐξελεύσεσθε ὅστισοῦν ἀπὸ τῆς πύλης τοῦ οἴκου οἱ μέχρις ἔω. [23]διέβη γοῦν ὁ ὀντωτὴς ὀλοθρεύειν τὴν αἴγυπτον, ὄψεται δὲ τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπὶ τοῖν δυοῖν παραστάδοιν· καὶ ἀλεῖται ὁ ὀντωτὴς ὑπὲρ τὴν πύλην, καὶ οὐ δώσει τὸν φθείροντα ἀφικέσθαι πρὸς τοὺς οἴκους ὑμῶν ὥστε ὀλοθρεύειν. [24]τηρήσετε δὲ τὸν λόγον τοῦτον εἰς τύπον σοὶ καὶ τοῖς υἱέσι σου μέχρις αἰῶνος. [25]τελέσει δὲ ὅτι ἐλεύσεσθε πρὸς τὴν γῆν ἣν δώσει ὁ ὀντωτὴς ὑμῖν καθὰ διείλεκται, καὶ τηρήσετε τὴν λατρείαν ταύτην· [26]τελέσει τε ὅτι ἐροῦσι πρὸς ὑμᾶς οἱ υἱεῖς ὑμῶν· τίς ἡ λατρεία αὕτη ὑμῖν; [27]καὶ ἐρεῖτε· θυσία ἅλματός ἐστι τοῦ ὀντουργοῦ, ὃς ἥλατο ὑπὲρ τοὺς οἴκους τῶν υἱῶν τοῦ ἰσραέλου ἐν τῇ αἰγύπτῳ, ἐν τῷ ὀλοθρεύειν αὐτὸν τὴν αἴγυπτον, τὰς δ' οἰκίας ἡμῶν ἀπήλλαξεν. ἔκλινεν οὖν ὁ λεὼς καὶ προσεκύνησαν. [28]ἀπῆλθόν τε καὶ ἐποίησαν οἱ υἱεῖς τοῦ ἰσραέλου καθάπερ ἐκέλευσεν ὁ ὀντουργὸς τῷ μωσεῖ καὶ ἀαρῶνι, τῇδε ἐποίησαν. [29]Ὑπῆρξε δ' ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ ὁ ὀντωτὴς ἔπληττε πᾶν πρωτότοκον ἐν τῇ γῇ τῆς αἰγύπτου, ἀπὸ πρωτοτόκου παρεῶνος τοῦ καθεζομένου ἐπὶ τοῦ θρόνου οἱ μέχρι πρωτοτόκου ἀνδραπόδου τοῦ ἐν τῷ οἴκῳ τοῦ βόθρου, καὶ πᾶν πρωτότοκον κτήνους. [30]ἐγήγερται δὲ παρεὼν νύκτωρ, ἐκεῖνος πάντες τε οἱ οἰκέται οἱ καὶ πᾶσα ἡ αἴγυπτος, ὑπῆρξέ τε βοὴ μεγάλη ἐν αἰγύπτῳ; οὐ γὰρ ἦν οἶκος ᾧ οὐκ ἦν ἐκεῖ τεθνηκώς. [31]ἐβόησε δὲ τῷ μωσεῖ καὶ τῷ ἀαρῶνι νύκτωρ ἔφη τε· ἐγείρεσθε ἔξιτε μέσοθεν τοῦ λεώ μου, ὑμεῖς τε καὶ οἱ υἱεῖς τοῦ ἰσραέλου, καὶ ἄπιτε λατρεύετε τῷ ὀντουργῷ κατὰ τὸ διαλέγεσθαι ὑμᾶς· [32]ἔτι τὸ ποίμνιον ὑμῶν ἔτι τὸ βουκόλιον ὑμῶν λάβετε, καθάπερ διείλεχθε, καὶ ἄπιτε, εὐλογήσετε δὲ κἀμέ. [33]ἐπίσχυσε δὲ ἡ αἴγυπτος ἐπὶ τοῦ λεὼ σπεύδειν ὥστε πέμπειν ἀπὸ τῆς γῆς, καὶ γὰρ

---

22. ἄνω φλιὰν] ἀνωφλιὰν in autographo translatoris scriptum fuisse suspicor. Cf. apud Suidam ἀνώφλιον   ὅστις οὖν c. cd. ed.   23. διέβη] legendum puto διαβαίη (cf. Num. XXXII, 21).   31. ὑμᾶς] ὑμῶν cod. et ed. Cf. XXXIV, 29. Gen. L, 17 cet.   33. ὥστε πέμπειν] excidit αὐτὸν vel αὐτοὺς (לְשַׁלְּחָם).

εἶπον· πάντες ἡμεῖς ἀποθνήσκομεν. [34]ἦρεν οὖν ὁ λεὼς τὸ φύραμα ἑαυτοῦ, πρὶν ἂν ζυμωθείη, τὰς ζύμας ἑαυτῶν δεδεμένας ἐν τοῖς ἐνδύμασιν ἑαυτῶν ἐπ' ὤμου σφῶν. [35]οἱ δὲ υἱεῖς ἰσραέλου ἐποίησαν κατὰ τὸν λόγον τοῦ μωσέως, ἐζήτησάν τε ἀπ' αἰγύπτου σκεύη ἀργύρου σκεύη τε χρυσοῦ καὶ περιβόλαια. [36]ὁ δ' ὀντωτὴς ἔδωκε τὴν χάριν τοῦ λεὼ ἐν ὄμμασι τῆς αἰγύπτου, ἐζήτησάν τ' αὐτούς· καὶ ἀπήλλαξαν τὴν αἴγυπτον.

[37]Ἀπῆραν οὖν οἱ υἱεῖς τοῦ ἰσραέλου ἀπὸ ῥαμεξέξου καλύβασδε ἐν ἑξακοσίαις χιλιάσι πεζοῦ τῶν ἰσχυρῶν, μόνον ὑπὲρ νήπιον· [38]ἔτι τε μίγμα πολὺ συνανέβη σφίσι, ποίμνιόν τε καὶ βουκόλιον, κτῆμα βαρύτατον. [39]ἐκλιβάνωσάν τε τὸ φύραμα ὃ ἐξήνεγκαν ἀπ' αἰγύπτου ψήττας ἀζύμους· οὐ γὰρ ἐζύμωται, ἐπεὶ ἀπελήλανται ἀπ' αἰγύπτου καὶ οὐκ ἴσχυσαν βραδύναι, ἔτι τε τροφὴν οὐκ ἐποίησαν ἑαυτοῖς. [40]ἡ δὲ κάθησις τῶν υἱέων τοῦ ἰσραέλου ἣν ἐκαθέσθησαν ἐν τῇ αἰγύπτῳ, τριάκοντα ἔτη καὶ τετρακόσια ἔτη· [41]ὑπῆρξε δ' ἀπ' ἄκρου τῶν τριάκοντα ἐτῶν καὶ τῶν τετρακοσίων ἐτῶν, ἐτέλεσέ τε ἐν χρῷ τῆς ἡμέρας ταυτησὶν ἐξῆλθον πᾶσαι αἱ στρατιαὶ τοῦ ὀντωτοῦ ἀπὸ τῆς γῆς αἰγύπτου. [42]νὺξ φυλακῆς ἐστι τοῦ ὀντουργοῦ, ὡς ἐξαγάγοι σφᾶς ἀπὸ τῆς γῆς αἰγύπτου· ἐκείνη ἡ νὺξ ταὐτοῦ τοῦ ὀντουργοῦ φυλακὴ πᾶσι τοῖς υἱέσι τοῦ ἰσραέλου ἐς τὰς γενεὰς αὐτῶν.

°[43]Ἔφη τοίνυν ὁ ὀντωτὴς πρὸς μωσέα καὶ ἀαρῶνα· οὗτος τύπος τοῦ ἅλματος· ὁστισοῦν υἱὸς ἀλλοτρίου οὐκ ἔδεται ἐν αὐτῷ· [44]ὁστισοῦν τε δοῦλος, ἀνὴρ κτῆμα ἀργύρου, περιτεμεῖς τε αὐτὸν, τότε ἔδεται ἐν αὐτῷ· [45]κάθεδρος καὶ μισθωτὸς οὐκ ἔδεται ἐν αὐτῷ. [46]ἐν οἴκῳ ἑνὶ βρωθήσεται, οὐκ ἐξοίσεις ἀπὸ τοῦ οἴκου πρὸς τοῦ κρέως θύραζε· ὀστοῦν τε οὐ συντρίψετε ἐν αὐτῷ. [47]πᾶσα συνάθροισις ἰσραέλου ποιήσουσιν αὐτό. [48]ἐπὰν δὲ παροικήσειε σὺν σοὶ πάροικος καὶ ποιήσειε ἅλμα τῷ ὀντουργῷ, περίτεμον αὐτῷ πᾶν ἄρρεν· καὶ τότε ἐγγισάτω ποιεῖν αὐτὸ, τελέσει τε κατὰ τὸν φύντα τῆς γῆς· ὁστισοῦν τε ἀκρόβυστος οὐκ ἔδεται ἐν αὐτῷ.

εἶπον· πάντες κτλ.] invito codice ed. sic distinguit: εἶπον πάντες· ἡμεῖς κτλ. 37. ἐν ἑξακοσίαις] בְּשֵׁשׁ (ita cod. Kenn. 109) pro כְּשֵׁשׁ 39. ἀπελήλακται cod. et ed. An legendum ἀπεληλάκαται (cf. XV, 4. Prov. XIX, 29)? Vix ἀπεληλέαται (cf. Hom. Od. η, 86). 42. ταὐτοῦ] codicis scripturam restituimus. Ed. αὐτοῦ 46. συντρίψεται corr. συντρίψετε cod. 48. παροικήσεις cod. et ed., ac dein ποιήσει. Cf. Num. XV, 14.

[49]νόμος εἷς τελέσει τῷ φύντι καὶ τῷ παροίκῳ τῷ παροικοῦντι μέσον ὑμῶν. [50]ἐποίησαν οὖν πάντες οἱ υἱεῖς τοῦ ἰσραέλου καθάπερ ἐκέλευσεν ὁ ὀντουργὸς τῷ μωσεῖ καὶ τῷ ἀαρῶνι, τῆδε ἐποίησαν. [51]Ὑπῆρξε δ' ἐν χρῷ τῆς ἡμέρας τησδὶ ἐξήνεγκεν ὁ ὀντουργὸς τοὺς υἱέας τοῦ ἰσραέλου ἀπὸ τῆς γῆς τῆς αἰγύπτου ἐπὶ ταῖς στρατιαῖς αὐτῶν.

XIII. [1]Τοιγάρτοι διείλεκται ὁ ὀντουργὸς πρὸς μωσέα τῷ φάναι· [2]ἁγίασόν μοι πᾶν πρωτότοκον, δίαρμα πάσης νηδύος ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου, ἐν ἀνθρώπῳ κἀν κτήνει· ἐμοί ἐστιν. [3]εἶπεν οὖν μωσεὺς πρὸς τὸν λεών· μνημόνευε τῆς ἡμέρας ταύτης ᾗ ἐξεληλύθατε ἀπ' αἰγύπτου, ἐξ οἴκου οἰκετῶν· ἐν γὰρ ἰσχύϊ χειρὸς ἐξήγαγεν ὁ ὀντουργὸς ὑμᾶς ἐντεῦθεν· καὶ οὐ βρωθήσεται ζυμωτόν. [4]τήμερον ὑμεῖς ἐξέρχεσθε, ἐν τῷ μηνὶ τῆς φυταλίας. [5]τελέσει τε ὅτι ἄξει σε ὁ ὀντουργὸς πρὸς τὴν γῆν τοῦ κεναανίου τοῦ τε ἠτίου καὶ τοῦ ἐμορίου καὶ τοῦ χευαίου καὶ τοῦ ἰεβουξίου, ἣν ὤμοσε τοῖς πατράσι σου δοῦναί σοι, γῆν ῥεομένην γάλακτι καὶ μέλιτι, λατρεύσεις τε τὴν λατρείαν ταυτηνὶ ἐν τῷ μηνὶ τῳδί. [6]ἑπτὰ ἡμέρας ἔδῃ ἄζυμα, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ τῷ ὀντωτῇ· [7]ἄζυμα βρωθήσεται ταῖς ἑπτὰ ἡμέραις, οὐκ ὀφθήσεται δέ σοι ζυμωτὸν οὔτε ὀφθήσεται ζύμη ἐν παντὶ ὅρῳ σου. [8]ἀγγελεῖς τε τῷ υἱεῖ σου ἐν τῇ ἡμέρᾳ κείνῃ τῷ φάσκειν· ἕνεκα τοῦδε ἐποίησεν ὁ ὀντουργός μοι, ἐπεὶ ἐξῄειν ἐξ αἰγύπτου. [9]τελέσει τέ σοι εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ εἰς μνημεῖον μέσον τῶν ὀφθαλμῶν σου, ὡς ἂν τελέσειε ὁ νόμος τοῦ ὀντωτοῦ ἐν τῷ στόματί σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε ὁ ὀντωτὴς ἐξ αἰγύπτου. [10]φυλάξεις τε τὸν τύπον τοῦτον ἐς τὸν καιρὸν αὐτοῦ, ἀφ' ἡμερῶν ἐς ἡμέρας.
[11]Τελέσει δὲ ἐπὰν ἀγάγοι σε ὁ ὀντουργὸς πρὸς τὴν γῆν τοῦ κεναανίου, καθάπερ ὤμοσέ σοι καὶ τοῖς πατράσι σου, καὶ δώσει αὐτήν σοι, [12]καὶ διάξεις πᾶν δίαρμα νηδύος τῷ ὀντουργῷ· πᾶν

XIII. 4. φυταλίας, non φυταλιᾶς, cod. Cf. XXIII, 15. Deut. XVI, 1. 5. χευαίου] in codice nil nisi ....ίου. Ed. αὐΐου. Sed cf. Gen. X, 17. XXXIV, 2. Si mavis χευίου (cf. Gen. XXXVI, 2), nihil obstat. 7. οὐχ ὀφθ. c. cd. ed. οὔτε ὀφθήσεται] ךָ לְ om. 9. τελέσειε] τελέσει cod. et ed. Cf. XX, 20. 11. ἀγάγει cod. et ed. Cf. Deut. VI, 10. VII, 1 cet.

τε δίαρμα ἀφέσεως κτήνους ὅπερ ἔσται σοι, τὰ ἄρρενα τῷ ὀντουργῷ. [13]πᾶν δὲ δίαρμα ὄνου λυτρώσῃ ἐν προβάτῳ· κἂν μὴ λυτρώσῃ, καὶ τραχηλιεῖς αὐτό· πᾶν τε πρωτότοκον ἀνθρώπου ἐν τοῖς υἱέσι σου λυτρώσῃ. [14]τελέσει δὲ ὅτι ἐρήσεταί σε ὁ υἱός σου αὔριον τῷ φάσκειν· τί τόδε; καὶ φήσεις πρὸς αὐτόν· ἐν κράτει χειρὸς ἐξήνεγκεν ἡμᾶς ὁ ὀντωτὴς ἀπ' αἰγύπτου, ἀπ' οἴκου δούλων· [15]ὑπῆρξέ τε ἐπεὶ ἐσκλήρυνε παρεὼν πέμπειν ἡμᾶς, καὶ ἀπέκτεινεν ὁ ὀντωτὴς πᾶν πρωτότοκον ἐν τῇ γῇ τῆς αἰγύπτου ἀπὸ πρωτοτόκου ἀνθρώπου καὶ μέχρι πρωτοτόκου κτήνους· διόπερ ἐγὼ θύω τῷ ὀντωτῇ πᾶν δίαρμα νηδύος, τὰ ἄρρενα, πᾶν τε πρωτότοκον τῶν υἱῶν μου λυτρώσομαι. [16]τελέσει τε εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ εἰς προμετωπίδα ἀνὰ τὰ ὄμματά σου· ὅτι ἐν ἰσχύϊ χειρὸς ἐξήνεγκεν ἡμᾶς ὁ ὀντωτὴς ἀπ' αἰγύπτου.

ρη'

[17]Ὑπῆρξεν οὖν ἐπεὶ πέμπει παρεὼν τὸν λεών, οὐ μέντοι ὡδήγησε σφᾶς ὁ θεὸς τὴν ὁδὸν τῆς γῆς τῶν παλαιστίνων, ἐγγὺς γὰρ ἦν· ἔφη γὰρ ὁ θεός· μήποτε μεταμεληθῇ ὁ λεὼς ἐπὰν ἴδοι πόλεμον, καὶ στραφῶσιν εἰς αἴγυπτον. [18]ἔστρεψε δ' ὁ θεὸς τὸν λεὼν εἰς ὁδὸν τῆς ἐρήμου τῆς θαλάττης τοῦ φύκους, καὶ ὡπλισμένοι ἀνέβησαν οἱ υἱεῖς τοῦ ἰσραέλου ἀπὸ τῆς γῆς τῆς αἰγύπτου. [19]ἔλαβε δὲ μωσεὺς τὰ ὀστᾶ τοῦ ἰωξέφου ξὺν ἑαυτῷ· τῷ γὰρ ὁρκοῦν ὥρκωσε τοὺς υἱεῖς τοῦ ἰσραέλου τῷ φάναι· τῷ ἐπισκέπτεσθαι ἐπισκέψεται ὁ θεὸς ὑμᾶς, ἀνοίσετε γοῦν τὰ ὀστᾶ μου ἐνθένδε ξὺν ὑμῖν αὐτοῖς. [20]ἀπῆραν δ' ἀπὸ χαλυβῶν καὶ ἐστρατοπεδεύσαντο ἐν αἰθάμῳ ἐν ἄκρῳ τῆς ἐρήμου. [21]ὁ δ' ὀντωτὴς ἀπῄει πρὸ αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης ὡς ἡγήσοιτο σφίσι τὴν ὁδὸν, νύκτωρ δὲ ἐν στύλῳ πυρὸς ὥστε φωτίζειν αὐτοῖς· ὡς πορεύοιντο ἡμέρας τε καὶ νύκτωρ. [22]οὐκ ἐκλίποι ἂν ὁ στύλος τῆς νεφέλης ἡμέρας καὶ ὁ στύλος τοῦ πυρὸς νύκτωρ ἔμπροσθεν τοῦ λεώ.

μερίς

XIV.

[1]Διείλεκται γοῦν ὁ ὀντουργὸς πρὸς μωσέα τῷ φάσκειν· [2]διείλεξο πρὸς τοὺς υἱεῖς τοῦ ἰσραέλου, καὶ στραφήτωσαν καὶ στρατοπεδευσάντων πρὸ τοῦ στόματος τῶν ἡρῶν, ἀνὰ τὸν μιγδῶλον καὶ ἀνὰ

15. σκλήρυνε cod. et ed. Cf. Deut. II, 30. 16. De numero (ρη') subscripto cf. Prol. II, 1, a. 17. τῆς γῆς τῆς παλαιστίνων cod. et ed. 18. ὠπλησμένοι cod. et ed. 22. στύλος] hoc accentu utitur. Cf. Prol. I, 4, c.
XIV. 2. ἀνὰ τὸν] ἀνά τε cod. et ed. μιγδῶλον cod., non μιγδῶλα ut ed.

τὴν θάλατταν, ἐνώπιον τοῦ δεσπότου τῶν ἄρκτων· ἀντικρύ οἱ στρατοπεδεύσεσθε ἐπὶ τῆς θαλάττης. [3] ἐρεῖ παρεὼν ἐπὶ τοῖς υἱέσι τοῦ ἰσραέλου· πλανώμενοι τελοῦσιν ἐν τῇ γῇ, ἔκλεισε κατ' αὐτῶν ἡ ἔρημος. [4] κρατυνῶ δὲ τὴν καρδίαν τοῦ παρεῶνος, διώξει τε κατόπιν αὐτῶν· καὶ δοξασθήσομαι ἐν τῷ παρεῶνι κἂν πάσῃ τῇ δυνάμει αὐτοῦ, εἴσονταί τε ἡ αἴγυπτος ὅτι ἐγὼ ὁ ὀντωτής. τοίνυν ἐποίησαν οὕτω. [5] καὶ ἤγγελται τῷ βασιλεῖ τῆς αἰγύπτου ὅτι πέφευγεν ὁ λεώς· ἀντέστραπται δὲ ἡ καρδία τοῦ παρεῶνος καὶ τῶν δούλων αὐτοῦ πρὸς τὸν λεών, καὶ εἶπον· τί τόδε ἐποιήσαμεν ὅτι ἐπέμψαμεν τὸν ἰσραέλον ἀπὸ τοῦ δουλεύειν ἡμῖν; [6] ἔδησεν οὖν τὸ ὄχημά οἱ, τόν τε λεὼν ἑαυτοῦ ἔλαβε ξὺν ἑαυτῷ, [7] καὶ ἔλαβεν ἑξακόσια ὀχήματα νεανίσκων πᾶν τε ὄχημα αἰγύπτου καὶ ἡγεμόνας ἐφ' ὅλου. [8] ἐκράτυνε δ' ὁ ὀντουργὸς τὴν καρδίαν παρεῶνος τοῦ βασιλέως τῆς αἰγύπτου, καὶ ἐδίωξε κατόπιν τῶν υἱέων τοῦ ἰσραέλου· οἱ μέντοι υἱεῖς τοῦ ἰσραέλου ἐξήεσαν ἐν χειρὶ μετεώρῳ. [9] ἐδίωξαν οὖν ἡ αἴγυπτος κατόπιν αὐτῶν, ἔφθασάν τε σφᾶς στρατοπεδευομένους ἐπὶ τῆς θαλάττης, πᾶς ἵππος ὀχήματος τοῦ παρεῶνος οἵ τε κέλητες αὐτοῦ καὶ ἡ δύναμις αὐτοῦ, ἐπὶ τοῦ στόματος τῶν ἡρῶν, ἔμπροσθεν τοῦ δεσπότου τῶν ἄρκτων. [10] ὅ τε παρεὼν ἤγγικεν· ἦραν μέντοι οἱ υἱεῖς τοῦ ἰσραέλου τοὺς ὀφθαλμοὺς ἑαυτῶν, καὶ θεῶ ἡ αἴγυπτος ἀπῆρε κατόπιν αὐτῶν· ἔδεισαν οὖν ἐπιεικῶς, ἐβόησάν τε οἱ υἱεῖς τοῦ ἰσραέλου πρὸς τὸν ὀντουργόν· [11] εἶπόν τε πρὸς μωσέα· ἆρ' ἀπὸ τοῦ μὴ εἶναι μνήματα ἐν αἰγύπτῳ ἔλαβες ἡμᾶς ὥστε τεθνάναι ἐν ἐρήμῳ; τί τόδε ἐποίησας ἡμῖν ὡς ἐξαγάγοις ἡμᾶς ἀπὸ τῆς αἰγύπτου; [12] ἆρ' οὐχ οὗτος ὁ λόγος ὃν διειλέγμεθα πρὸς σὲ ἐν τῇ αἰγύπτῳ τῷ φάσκειν· πέπαυσο ἀφ' ἡμῶν, δουλεύσομέν τε τῇ αἰγύπτῳ; κρεῖττον γὰρ ἡμῖν τὸ δουλεύειν τῇ αἰγύπτῳ τοῦ τεθνάναι ἡμᾶς ἐν τῇ ἐρήμῳ. [13] ἔφη δὲ μωσεὺς πρὸς τὸν λεών· μὴ δείσητε, στῆτε καὶ θεάσασθε τὴν σωτηρίαν τοῦ ὀντωτοῦ ἣν ποιήσει ἡμῖν σήμερον· καὶ γὰρ καθ-

---

3. τελοῦσιν] vix aliter cod. Ed. τελῶσιν 4. οἱ αἴγυπτος cod. et ed. Cf. v. 9. 18. 23 cet. 5. ἡμῖν] ἡμᾶς cod. et ed. 7. ἑξακόσια (sic) cod., non διακόσια ut ed. 9. κέλητες] scriptura fere evanuit, sed vix aliter legendum (v. infra). 10. ὅ τε] ὅτι cod. ἐπιεικῶς] sic cod. Nescio quomodo edi potuerit ἐπίπολυ ἄγαν τὸν ὀντουργόν] τὸν, quod codici deest, jam ed. suppleverat. 11. ἐξαγάγοις cod., non ἐξαγαγεῖν ut ed. 12. πέπαυσο cod., non πέπαυσ' 13. ἡμῖν] לָנוּ pro לָכֶם. Item LXX.

άπερ ἑωράκατε τὴν αἴγυπτον σήμερον, οὐ προσϑήσετε ϑεάσασϑαι σφᾶς ἔτι μέχρις αἰῶνος· [14] ὁ ὀντωτὴς πολεμήσει ὑμῖν, ὑμεῖς δὲ σιωπήσετε.

[15] Εἶπεν οὖν ὁ ὀντουργὸς πρὸς μωσέα· τί βοήσεις πρός με; διείλεξο τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ ἀπαράτωσαν· [16] σὺ δὲ ὕψωσον τὸ σκῆπτρόν σου, κλῖνόν τε τὴν χεῖρά σου ἐπὶ τὴν ϑάλατταν ῥῆξόν τε ταύτην, καὶ εἰσελϑέτωσαν οἱ υἱεῖς τοῦ ἰσραέλου μέσον τῆς ϑαλάττης ἐν τῇ ξηρᾷ. [17] ἐγὼ μέντοι, αὐτίκα ἐγὼ κρατύνω τὴν καρδίαν τῆς αἰγύπτου, καὶ ἐλεύσονται μετ' αὐτούς· δοξασϑήσομαί τε ἐν τῷ παρεῶνι κἀν πάσῃ τῇ δυνάμει οἱ, ἐν τῷ ὀχήματί οἱ κἀν τοῖς κέλησιν αὐτοῦ. [18] καὶ εἴσονται ἡ αἴγυπτος ὅτι ἐγὼ ὁ ὀντωτὴς, ἐπὰν δοξαζοίμην ἐγὼ ἐν τῷ παρεῶνι, ἐν τῷ ὀχήματί οἱ κἀν τοῖς κέλησίν οἱ. [19] τοιγαροῦν ἀπῆρεν ὁ ἄγγελος τοῦ ϑεοῦ ὁ ἀπιὼν ἔμπροσϑεν τοῦ στρατοπέδου τοῦ ἰσραέλου καὶ ἀπῆλϑεν ὄπισϑεν αὐτῶν, ἀπῆρέ τε ὁ στύλος τῆς νεφέλης ἀπέμπροσϑεν αὐτῶν καὶ ἔστη πρὸς τῶν ὀπίσω αὐτῶν, [20] ἀφῖκταί τε ἀνὰ τὸ στρατόπεδον τῆς αἰγύπτου καὶ ἀνὰ τὸ στρατόπεδον τοῦ ἰσραέλου· ὑπῆρξε δ' ἡ νεφέλη καὶ τὸ σκότος, καὶ ἐφώτισε τὴν νύκτα, καὶ οὐκ ἤγγισεν ὁδὶ πρὸς τουδὶ πάσῃ τῇ νυκτί. [21] τοίνυν ἔκλινε μωσεὺς τὴν χεῖρά οἱ ἐπὶ τὴν ϑάλατταν· ἤνεγκέ ϑ' ὁ ὀντουργὸς τὴν ϑάλατταν ἐν πνεύματι ἀφηλιώτου κραταιῷ πάσῃ τῇ νυκτί, τέϑεικέ τε τὴν ϑάλατταν εἰς αὐχμηρὰν, ἐρρώγασί τε τὰ ὕδατα. [22] καὶ ἀφίκοντο οἱ υἱεῖς τοῦ ἰσραέλου μέσον τῆς ϑαλάττης ἐν τῇ ξηρᾷ, τὰ ὕδατα σφίσι τεῖχος δεξιόϑεν σφίσι καὶ εὐωνυμόϑεν σφίσιν· [23] ἐδίωξαν δ' ἡ αἴγυπτος καὶ ἀφίκοντο μετ' αὐτοὺς, πᾶς ἵππος τοῦ παρεῶνος, ὄχημα καὶ ἱππεῖς αὐτοῦ, πρὸς τὸ μέσον τῆς ϑαλάττης. [24] ὑπῆρξε δ' ἐν τῇ φυλακῇ τῆς ἕω, καὶ ἔκυψεν ὁ ὀντουργὸς πρὸς τὸ στρατόπεδον τῆς αἰγύπτου ἐν στύλῳ πυρὸς καὶ νεφέλης, ἐκύκησέ τε τὸ στρατόπεδον τῆς αἰγύπτου, [25] καὶ ἐξεῖλε τὸν τροχὸν τῶν ἁρμαμαξῶν αὐτοῦ, διήγαγέ τε ἐν βάρει. ἔφη τε αἴγυπτος· φευξοῦμαι ἀπὸ προσώπου τοῦ ἰσραέλου· ὁ γὰρ ὀντωτὴς πολεμεῖ αὐτοῖς εἰς τὴν αἴγυπτον.

---

15. βοήσει cod. et ed. διάλεξο c. cd. ed. 16. εἰσέλϑωσαν c. cd. ed. 17. κέλλησιν cod. Item v. sq. 19. στύλος] cf. XIII, 22. 21. τέϑεικέ τε] τε ipsi addidimus invito codice. 23. ὄχημα] l. ὄχημά οἱ (רִכְבּוֹ) ut v. 26. 25. διήγαγέ τε] excidit pronomen (וַיְנַהֲגֵהוּ).

[26] Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· κλῖνον τὴν χεῖρά σου ἐπὶ τὴν θάλατταν, καὶ στραφήσονται τὰ ὕδατα ἐπὶ τὴν αἴγυπτον, ἐπὶ τὸ ὄχημά οἱ καὶ ἐπὶ τοὺς ἱππεῖς αὐτοῦ. [27] τοίνυν ἔκλινε μωσεὺς τὴν χεῖρά οἱ ἐπὶ τὴν θάλατταν, ἐστράφη τε ἡ θάλαττα τῷ κλίνειν ἕω εἰς τὸ κράτος ἑαυτῆς· ἡ δ' αἴγυπτος ἔφευγεν ἐς ὑπάντησιν αὐτοῦ, καὶ ἐτίναξεν ὁ ὀντουργὸς τὴν αἴγυπτον μέσον τῆς θαλάττης. [28] ἐστράφησάν τε τὰ ὕδατα καὶ ἐκάλυψαν τὸ ὄχημα καὶ τοὺς ἱππεῖς ἐς πᾶσαν τὴν δύναμιν τοῦ παρεῶνος, τοὺς ἀφικνουμένους κατόπιν αὐτῶν ἐν τῇ θαλάττῃ· οὐχ ὑπολέλειπται ἐν αὐτοῖς ἄχρις ἑνός. [29] οἱ δ' υἱεῖς τοῦ ἰσραέλου ἀπῆλθον ἐν τῇ ξηρᾷ μέσον τῆς θαλάττης, τὰ ὕδατα σφίσι τεῖχος δεξιόθεν αὐτῶν καὶ εὐωνυμόθεν αὐτῶν. [30] τοιγαροῦν ἔσωσεν ὁ ὀντουργὸς ἐν τῇ ἡμέρᾳ κείνῃ τὸν ἰσραέλον ἀπὸ χειρὸς τῆς αἰγύπτου· τεθέαται δ' ἰσραέλος τὴν αἴγυπτον τεθνηκυῖαν ἐπὶ τοῦ χείλους τῆς θαλάττης. [31] ἑώρακέ τε ἰσραέλος τὴν χεῖρα τὴν μεγάλην ἣν ἐποίησεν ὁ ὀντουργὸς ἐν τῇ αἰγύπτῳ· πεφόβηνταί τε ὁ λεὼς τὸν ὀντωτήν, καὶ ἐπίστευσαν ἐν τῷ ὀντωτῇ κἂν μωσεῖ τῷ δούλῳ οἱ.

XV. [1] Τότε ᾄσειε μωσεὺς καὶ οἱ υἱεῖς τοῦ ἰσραέλου τὴν ᾠδὴν ταυτηνὶ τῷ ὀντωτῇ καὶ εἶπον τῷ φάσκειν· ᾄσομαι τῷ ὀντωτῇ, τῷ γὰρ αἱρεσθαι ἦρται· ἵππον καὶ ἀναβάτην αὐτοῦ ἔρριψεν εἰς τὴν θάλατταν. [2] κράτος μου καὶ ᾠδὴ ὁ ὀντωτής, ἐτέλεσέ τέ μοι εἰς σωτηρίαν· οὑτοσὶ θεός μου, καὶ χωρώσω οἱ· θεὸς τοῦ πατρός μου, καὶ καθυψώσω ἑ. [3] ὁ ὀντωτὴς ἀνὴρ πολέμου, ὀντωτὴς τοὔνομά οἱ. [4] τὰς ἁρμαμάξας τοῦ παρεῶνος καὶ τὴν δύναμιν αὐτοῦ ἔβαλεν ἐς θάλατταν, τό τ' ἐξῃρημένον τῶν ἡγεμόνων αὐτοῦ βεβυθίκαται ἐν τῇ θαλάττῃ τοῦ φύκους. [5] ἄβυσσοι καλύψαιεν σφᾶς· κατέβησαν ἐς βυθοὺς ὥσπερ λίθος. [6] ἡ δεξιά σου, ὀντωτά, κεκραταίωταί μοι ἐν ἰσχύϊ· ἡ δεξιά σου, ὀντωτά, ἐπιτρίψειεν ἐχθρόν. [7] κἂν τῷ πλήθει τῆς ἄρσεώς σου καθελεῖς τοὺς ἐγειρομένους σοι· πέμψαις τὸν θυμόν σου, ἔδοιτο σφᾶς ὡς καλάμην. [8] ἐν πνεύματι θυμοῦ

---

27. ἔφευγεν] exspectaveris ἔφευγον (נָסִים; cf. v. 18. 23 cet.). Sed cf. Prol. II, 2, b. d. 30. τεθνηκυῖαν cod. et ed. Cf. Num. XXIII, 28. XXXI, 17. 31. θ' ὁ λεὼς c. cd. ed.

XV. De scriptione cantici cf. Prol. II, 1, a. 5. κάλυψαν c. cd. ed. E. Recte jam ed. A. εἰς βύθους c. cd. ed. E. 7. ἔδητο cod. (cf. Amm. ad h. l.). Si mavis ἔδεται, non moror.

σου σεσώρευνται ὕδατα, ἔστησαν ὥσπερ ἀσκὸς ῥέοντα· πεπήγασιν ἄβυσσοι ἐν καρδίᾳ θαλάττης. [9] εἶπεν ἐχθρός· διώξω, φθάσω, μεριῶ λείαν· πλησθήσεται αὐτῶν ἡ ψυχή μου, χεῶ τὸ ξίφος μου, ἀποκληρώσει σφᾶς ἡ χείρ μου. [10] ἔπνευσας ἐν τῷ πνεύματί σου, ἐκάλυψε σφᾶς θάλαττα· βεβυθίκαται ὡς μόλυβδος ἐν ὕδασι κραταιοῖς. [11] τίς κατὰ σὲ ἐν θεοῖς, ὀντωτά; τίς κατὰ σὲ κεκραταίωται ἐν ἁγίῳ; φοβερὸς τοὺς αἴνους, ποιῶν θαῦμα. [12] ἔκλινας τὴν δεξιάν σου, κατέπιε σφᾶς γῆ. [13] ὡδήγησας ἐν τῷ ἐλέει σου τὸν λεών σου ὃν ἐρρύσω· διήγαγες ἐν τῷ κράτει σου πρὸς χῶρον ἅγιόν σου. [14] ἤκουσαν ἔθνη, φρυάξονται· ὠδὶν ἔλαβε τοὺς καθέδρους τῆς παλαιστίνης. [15] τότε τεθάμβηνται οἱ χιλίαρχοι τοῦ ἰδώμου· τοὺς κραταιοὺς τοῦ μωάβου, καθέξει σφᾶς τρόμος· ἐτάκησαν πάντες οἱ κάθεδροι τοῦ κεναᾶνος. [16] πέσοι ἐπ' αὐτῶν δεῖμος καὶ φόβος, ἐν τῷ μεγεθύνειν τὸν βραχίονά σου σιγήσαιεν ὡς λίθος, ἄχρις ἂν διαβαίη ὁ λεώς σου, ὀντωτὰ, μέχρις ἂν διαβαίη ὁ λεὼς ὃν ἐκτήσω. [17] .... καὶ φυτεύσεις αὐτοὺς ἐν ὄρει κληρονομίας σου, χῶρον τῇ καθέδρᾳ σου εἴργασαι, ὀντωτά· ἱερὸν, ὀντωτὰ, κατήρτισαν αἱ χεῖρές σου. [18] ὁ ὀντωτὴς βασιλεύσει ἐς αἰῶνα καὶ ἀΐδιον. [19] ἦλθε γὰρ ἵππος τοῦ παρεῶνος ἐν τῷ ὀχήματί οἱ κἂν τοῖς ἱππεῦσιν αὐτοῦ ἐς θάλατταν, ἔστρεψε δ' ὁ ὀντωτὴς ἐπ' αὐτοὺς τὰ ὕδατα τῆς θαλάττης· οἱ δ' υἱεῖς τοῦ ἰσραέλου ἐβάδισαν ἐν ξηρᾷ μέσον τῆς θαλάττης.

[20] Τοιγαροῦν ἔλαβε μαριάμη ἡ προφῆτις, ἡ ἀδελφὴ τοῦ ἀαρῶνος, τὸ τύμπανον ἐν τῇ χειρὶ ταύτης, ἐξῆλθόν τε πᾶσαι αἱ γυναῖκες κατόπιν αὐτῆς ἐν τυμπάνοις καὶ χοροῖς· [21] καὶ ἀποκέκριται ταύταις ἡ μαριάμη· ᾄσατε τῷ ὀντωτῇ, τῷ γὰρ αἱρέσθαι ἦρται· ἵππον καὶ ἀναβάτην αὐτοῦ ἔρριψεν εἰς τὴν θάλατταν.

[22] Τοίνυν ἀπῆρε μωσεὺς τὸν ἰσραέλον ἀπὸ τῆς θαλάττης τοῦ φύκους, ἐξῆλθέ τε πρὸς τὴν ἔρημον σούρου· καὶ ἐβά-

8. σεσώρωνται cod., σεσώρονται ed. E. 13. τὸν λεών σου (עַם־זוּ)] cf. Prol. II, 2, i. 16. πεσοῖ (sic) cod., non πέσει ut ed. E. δεῖμος] hoc accentu utitur. Cf. Prol. I, 4, c. 17. Post ἐκτήσω spatium dimidiae fere lineae vacuum. Excidit ἄξεις αὐτοὺς (תְּבִאֵמוֹ) vel aliquid simile. φυτεύσης cod. ὀντωτὰ (2)] legit יְהוָֹה (ita multi codd.) pro אֲדֹנָי t. rec. Item Sam. 18. βασιλεύσοι c. cd. ed. A. 20 sq. μαριάμη (מִרְיָם)] cf. LXX. 22. ἐξῆλθέ τε] l. ἐξῆλθόν τε (וַיֵּצְאוּ).

δισαν τρισὶν ἡμέραις ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὗρον ὕδωρ. [23]ἀπῆλϑον οὖν μαράνδε, καὶ οὐκ ἴσχυσαν πιεῖν ὕδωρ ἀπὸ μερᾶς, πικρὸν γὰρ ἦν· διόπερ ἐκάλεσε τοὔνομα ταύτης μαρά. [24]τοίνυν ἐγόγγυσαν ὁ λεὼς ἐπὶ μωσεῖ τῷ φάσκειν· τί πιόμεϑα; [25]τοίνυν ἐβόησε πρὸς τὸν ὀντουργόν· ἔδειξέ τέ οἱ ὁ ὀντουργὸς ξύλον, καὶ ἔρριψε πρὸς τὸ ὕδωρ, ἐγλυκάνϑη τε τὸ ὕδωρ. ἐκεῖ ἔϑετό οἱ τύπον καὶ κρίσιν, κἀκεῖ ἐπείρασέν ἑ, [26]καὶ ἔφη· ἢν τῷ ἀκούειν ἀκούῃ τῆς φωνῆς ὀντουργοῦ τοῦ ϑεοῦ σου καὶ τὸ εὐϑὲς ἐν ὄμμασίν οἱ ποιῇς, καὶ ἀκροᾷ τῶν κελευσμάτων αὐτοῦ τηρῇς τε πάντας τοὺς τύπους αὐτοῦ, ἡντιναοῦν νόσον ἣν ἔϑηκα ἐν αἰγύπτῳ οὐ ϑήσω ἐπὶ σοῦ· ἐγὼ γὰρ ὁ ὀντουργὸς ὁ ἰατρός σου.

[27]Τοιγαροῦν ἀφίκοντο εἰς αἰλάς· ἐκεῖ δὲ δυοκαίδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα φοίνικες· ἐστρατοπεδεύσαντό τε

XVI. ἐκεῖ ἐπὶ τοῦ ὕδατος. [1]μετῆραν δ' ἀπὸ αἰλῶν, καὶ ἀφίκοντο πᾶν συνάϑροισμα υἱῶν ἰσραέλου πρὸς τὴν ἔρημον τοῦ ξινὸς τὴν μέσον αἰλῶν καὶ μέσον ξιναῖνος, ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ δευτέρου τοῦ ἐξελϑεῖν σφᾶς ἐκ γῆς αἰγύπτου. [2]ἐγόγγυσαν οὖν πᾶσα συνάϑροισις υἱῶν ἰσραέλου ἐπὶ μωσέα καὶ ἐπὶ ἀαρῶνα ἐν τῇ ἐρήμῳ, [3]εἶπόν τε πρὸς αὐτοὺς υἱεῖς ἰσραέλου· τίς δοίη τεϑνάναι ἡμᾶς ἐν χειρὶ τοῦ ὀντουργοῦ ἐν τῇ γῇ τῆς αἰγύπτου, ἐπεὶ καϑεζοίμεϑα ἐπὶ τοῦ λέβητος τοῦ κρέως, ἐπεὶ ἐσϑίοιμεν ἡμεῖς ἄρτον ἐς κόρον· ἐξηνέγκατον γὰρ ἡμᾶς πρὸς τὴν ἔρημον ταυτηνὶ ὥστε ϑανατῶσαι ξύμπασαν τὴν ἐκκλησίαν ταύτην ἐν λιμῷ.

[4]Τοιγαροῦν εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· αὐτίκα ἐγὼ ὕω ὑμῖν ἄρτον ἀπ' οὐρανῶν, ἐξελεύσεταί ϑ' ὁ λεὼς καὶ συλλέξουσι λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ οἱ, ὡς ἂν πειράσω ἑ ἆρα βαδιεῖται ἐν τῷ νόμῳ μου εἴτε μή· [5]τελέσει δ' ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ, καὶ ἑτοιμάσουσιν ἅπερ οἴσουσι, τελέσει τε τὸ διπλοῦν ἐφ' ᾧ συλλέξετε ἡμέρᾳ ἡμέρᾳ· [6]εἶπε δὲ μωσεὺς καὶ ἀαρὼν πρὸς πάντας τοὺς υἱεῖς τοῦ ἰσραέλου· ἑσπέρα, καὶ εἴσεσϑε ὅτι ὁ ὀντωτὴς ἐξή-

---

23. μερᾶς] exspectaveris μαρᾶς (מִמָּרָה). Sed cf. LXX (μερρᾶς). 26. τοῦ ἀκούειν cod. et ed. Cf. XIX, 5. XXII, 22 cet. ἡντινασοῦν cod. et ed. 27. ἐστρατοπέδευσαν τότε ed., nescio an et ipse cod.

XVI. 3. ἐπεὶ (1) ex corr. (pro ἐπὰν) cod. κρέως] ἀρέως cod. Sic emendandum esse jam Vill. indicaverat. ἐσϑίοιμον cod. et ed. ἐξηνεγκάτην c. cd. ed. 4. εἴτε cod., non εἰ δὲ ut ed. 5. συλλέξετε] תִּלְקְטוּ pro יִלְקְטוּ. 6. ὁ ὀντωτὴς cod., non ὡντωτὴς ut miro modo ed.

νεγκεν ὑμᾶς ἀπὸ τῆς γῆς αἰγύπτου, [7] ἕως τε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ ὀντωτοῦ ἐν τῷ ἀκούειν αὐτὸν τῶν γογγυσμῶν ὑμῶν ἐπὶ τοῦ ὀντωτοῦ· ἡμεῖς δὲ τί ὅτι γογγύσετε ἐφ' ἡμῖν; [8] ἔφη τοίνυν μωσεύς· ἐπὰν δοίη ὁ ὀντωτὴς ὑμῖν ἐν ἑσπέρᾳ κρέας ὡς ἔδοισθε καὶ ἄρτον ἐν ἕῳ ὡς κορεσθείητε, ἐν τῷ ἀκούειν τὸν ὀντωτὴν τῶν γογγυσμῶν ὑμῶν οὓς ὑμεῖς γογγύζετε ἐπ' αὐτῷ· ἡμεῖς δὲ τί; οὐκ ἐφ' ἡμῖν οἱ γογγυσμοὶ ὑμῶν ἀλλ' ἐπὶ τὸν ὀντωτήν. [9] καὶ εἶπε μωσεὺς πρὸς τὸν ἀαρῶνα· φάθι πρὸς πᾶν ἄθροισμα υἱῶν ἰσραέλου· ἐγγίσατε ἐνώπιον τοῦ ὀντωτοῦ, ἐπύθετο γὰρ τοὺς γογγυσμοὺς ὑμῶν. [10] ὑπῆρξέ τε ἐν τῷ διαλέγεσθαι τὸν ἀαρῶνα πρὸς πᾶν ἄθροισμα τῶν υἱῶν τοῦ ἰσραέλου, καὶ ἐξένευσαν πρὸς τὴν ἔρημον, αὐτίκα τε δόξα τοῦ ὀντωτοῦ ὦπται ἐν νεφέλῃ.

[11] Διείλεκται τοίνυν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάσκειν· [12] ἐπύθόμην τοὺς γογγυσμοὺς τῶν υἱῶν τοῦ ἰσραέλου· διείλεξο πρὸς αὐτοὺς τῷ φάναι· μεταξὺ ἑσπερῶν ἔδεσθε κρέας, κἀν ἕῳ κορεσθήσεσθε ἄρτου· καὶ εἴσεσθε ὅτι ἐγὼ ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν. [13] ὑπῆρξε δ' ἐν τῇ ἑσπέρᾳ, καὶ ἀνέβη ὁ ὄρτυξ ἐκάλυψέ τε τὸ στρατόπεδον· ἐν δὲ τῇ ἕῳ ὑπῆρξε κατάβασις τῆς δρόσου κύκλῳ τοῦ στρατοπέδου· [14] ἀνῆλθέ τε ἡ κατάβασις τῆς δρόσου, αὐτίκα γοῦν ἐπὶ προσώπου τῆς ἐρήμου λεπτοστρογγύλον λεπτὸν ὡς πάχνη ἐπὶ τῆς γῆς. [15] εἶδον οὖν οἱ υἱεῖς τοῦ ἰσραέλου καὶ εἶπον ἕκαστος πρὸς τὸν ἀδελφὸν ἑαυτοῦ· τί ἐστιν; οὐ γὰρ ἔγνωσαν τί ἦν. ἔφη δὲ μωσεὺς πρὸς αὐτούς· οὗτος ὁ ἄρτος ὃν ἔδωκεν ὁ ὀντωτὴς ὑμῖν φαγεῖν· [16] οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτής· συλλέξατε ἀπ' αὐτοῦ ἕκαστος κατὰ τὴν βρῶσιν ἑαυτοῦ, δέκατον τῷ κρανίῳ, ἀριθμῷ τῶν ψυχῶν ὑμῶν· ἕκαστος τοῖς ἐν τῇ σκηνῇ οἱ λήψεσθε. [17] καὶ ἐποίησαν τῇδε οἱ υἱεῖς τοῦ ἰσραέλου, συνέλεξάν τε ὁ πληθύνων καὶ ὁ ὀλιγῶν· [18] ἐμέτρησάν τε ἐν τῷ δεκάτῳ, καὶ οὐκ ἐπερίττευσεν ὁ πληθύνων, ὅ τ' ὀλιγῶν οὐκ ἐδέησεν· ἕκαστος κατὰ τὴν βρῶσιν ἑαυτοῦ συνέλεξαν. [19] ἔφη δὲ μωσεὺς πρὸς αὐτούς· ἀνὴρ μὴ καταλιπέτω ἀπ' αὐτοῦ μέχρις ἕω. [20] καὶ οὐχ ὑπήκουσαν τῷ μωσεῖ· κατέλιπον οὖν ἄνδρες ἐξ αὐτοῦ μέχρις ἕω, καὶ ἀνέδωκε σκώληκας, ὦζεσέ τε· καὶ ὤργισται ἐπ'

---

10. ἐν τῷ διαλ.] בְּדַבֵּר pro כְּ 12. κορεσθήσεται cod. Emendationem Amm. praeivit. 20. οὐκ ὑπήκουσαν c. cd. ed. ὦζεσε, non ὤζησε, cod. Cf. VII, 18. 21.

αὐτοῖς μωσεύς. [21] συνέλεξαν οὖν αὐτὸ ἐν ἕῳ ἐν ἕῳ ἕκαστος κατὰ τὴν βρῶσιν ἑαυτοῦ· ἐθέρμανε δὲ ὁ ἥλιος, καὶ ἐτάκη. [22] ἐτέλεσε δ' ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ συνέλεξαν ἄρτον διπλοῦν, διττὸν δέκατον τῷ ἑνί· τοίνυν ἀφίκοντο πάντες οἱ ὑπερέχοντες τῆς ἀθροίσεως ἤγγειλάν τε τῷ μωσεῖ. [23] καὶ εἶπε πρὸς αὐτούς· τοῦθ' ὅπερ διείλεκται ὁ ὀντωτής· παῦλα παῦμα ἅγιον τῷ ὀντουργῷ αὔριον· ἀττανὴ κλιβανώσαιτε κλιβανώσατε, ἅττα τε ἂν μιστύλλητε μιστύλλατε· πᾶν τε τὸ περιττεῦον πάρετε ὑμῖν αὐτὸ ἐς τήρησιν ἄχρι τῆς ἕω. [24] παρῆκάν τε αὐτὸ μέχρι τῆς ἕω καθάπερ ἐκέλευσε μωσεὺς, καὶ οὐκ ὦζεσεν, ἀνάδοσίς τε οὐχ ὑπῆρξεν ἐν αὐτῷ. [25] εἶπέ τε μωσεύς· φάγετε αὐτὸ τήμερον· παῦσις γὰρ τήμερον τῷ ὀντωτῇ, τήμερον οὐχ εὑρήσετε αὐτὸ ἐν τῷ ἀγρῷ. [26] ἓξ ἡμέραις συλλέξετε αὐτό· ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ παῦσις, οὐκ ἔσται ἐν αὐτῇ. [27] ἐτέλεσε δ' ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ἐξῆλθον ἀπὸ τοῦ λεὼ συλλέξαι, καὶ οὐχ εὗρον. [28] Τοιγαροῦν εἶπεν ὁ ὀντουργὸς πρὸς μωσέα· μέχρι τίνος ἀπηνήνασθε τηρεῖν τὰ κελεύσματά μου καὶ τοὺς νόμους μου; [29] θεάσασθε ὅτι ὁ ὀντουργὸς ἔδωκεν ὑμῖν τὴν παῦσιν, διόπερ ἐκεῖνος δίδωσιν ὑμῖν ἐν ἡμέρᾳ τῇ ἕκτῃ ἄρτον διημέρου· καθέζεσθε ἕκαστος ἐφ' ἑαυτῷ, μὴ ἐξίτω ἀνὴρ ἀπὸ τοῦ τόπου οἱ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. [30] ἔπαυσαν οὖν ὁ λεὼς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. [31] ἐκάλεσαν δὲ ὁ οἶκος ἰσραέλου τοὔνομά οἱ μάν· ἔστι δὲ κατὰ σπέρμα κοριάννου λευκὸν, γεῦσις δ' αὐτοῦ ὥσπερ πλακοῦντος ἐν μέλιτι. [32] καὶ ἔφη μωσεύς· οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτής· πληρῶσαι τὸ δέκατον ἀπ' αὐτοῦ εἰς τήρησιν ἐς τὰς γενεὰς ὑμῶν, ἵνα θεᾶσθε τὸν ἄρτον ὅνπερ ἐσίτησα ὑμᾶς ἐν τῇ ἐρήμῳ, ἐπὰν ἐξενέγκαιμι ὑμᾶς ἀπὸ τῆς γῆς αἰγύπτου. [33] καὶ ἔφη μωσεὺς πρὸς ἀαρῶνα· λάβε στάμνον μίαν καὶ δὸς ἐκεῖ πλῆσαι τὸ δέκατον τοῦ μανὸς, θές τε αὐτὴν ἐνώπιον τοῦ ὀντωτοῦ εἰς τήρησιν ἐς τὰς γενεὰς ὑμῶν· [34] καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς πρὸς μωσέα. τέθεικεν οὖν αὐτὴν ἀαρὼν ἐνώπιον τῆς μαρτυρίας εἰς τήρησιν. [35] οἱ δ' υἱεῖς τοῦ ἰσραέλου ἔφαγον τὸν μᾶνα τετταράκοντα ἔτεσιν, ἄχρι τοῦ ἀφικέσθαι σφᾶς πρὸς

---

23. παῦλα] παύλα cod. Sed cf. Gen. VIII, 9 etc. ἀττανή] codicis scripturam mutare non ausi sumus. Legendum fort. ἀτταοῦν vel ἅττα ἂν 31. κοριάνου cod. et ed. Cf. Num. XI, 7. 32. θεᾶσθε] quasi תִּרְאוּ scriptum esset, non יִרְאוּ 33. αὐτὴν cod., non αὐτὸν ut ed.

γῆν καθεζομένων· τὸν μᾶνα ἔφαγον ἄχρι τοῦ ἀφικέσθαι σφᾶς πρὸς ἄκρον τῆς γῆς τοῦ κεναᾶνος. [36] τὸ μέντοι δέκατον δέκατον τοῦ μεδίμνου ἐστίν.

XVII. [1] Μετῆραν οὖν πᾶσα ἡ συνάθροισις τῶν υἱῶν τοῦ ἰσραέλου ἀπὸ τῆς ἐρήμου τοῦ ξινὸς ἐς τὰ μετάρματα σφῶν ἐπὶ τῷ στόματι τοῦ ὀντωτοῦ, καὶ ἐστρατοπεδεύσαντο ἐν ῥεφιδοῖς· οὐκ ἦν δὲ ὕδωρ ὥστε πιεῖν τὸν λεών. [2] ἤρισε τοίνυν ὁ λεὼς ξὺν μωσεῖ καὶ εἶπον· δὸς ἡμῖν ὕδωρ, καὶ πιόμεθα. ἔφη δὲ σφίσι μωσεύς· τί ἐρίσετε σὺν ἐμοί; τί πειράσετε τὸν ὀντωτήν; [3] ἐδίψησε δὲ ἐκεῖ ὁ λεὼς ὕδατος, ἐγόγγυσέ θ' ὁ λεὼς ἐπὶ μωσέα εἶπέ τε· διατί τόδε ἀνήνεγκας ἡμᾶς ἀπ' αἰγύπτου ὡς θανατώσαις ἐμὲ καὶ τοὺς υἱεῖς μου καὶ τὰ κτήματά μου ἐν δίψει; [4] ἐβόησε δὲ μωσεὺς πρὸς τὸν ὀντωτὴν τῷ φάναι· τί ποιήσω τῷ λεῷ τῳδί; ἔτι ὀλίγον, καὶ λεύσουσί με. [5] ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· διάβηθι ἐνώπιον τοῦ λεὼ λάβε τε σὺν σαυτῷ πρὸς τῶν γερόντων τοῦ ἰσραέλου, καὶ τὸ σκῆπτρόν σου ᾧπερ ἔπληξας ἐν αὐτῷ τὸν ῥύακα λάβε ἐν τῇ χειρί σου καὶ βαδιεῖς. [6] αὐτίκα ἐγὼ ἵσταμαι ἐνώπιόν σου ἐκεῖ ἐπὶ τῆς πέτρας ἐν τῷ ὠρέβῳ· πλήξεις οὖν ἐς τὴν πέτραν, ἐξελεύσονταί τε ἀπ' ἐκείνης ὕδατα, καὶ πίεται ὁ λεώς. ἐποίησεν οὖν οὕτω μωσεὺς ἐν ὄμμασι τῶν γερόντων τοῦ ἰσραέλου. [7] ἐκάλεσε δὲ τοὔνομα τοῦ τόπου πεῖρα καὶ ἔρις, ἐπὶ τῇ ἔριδι τῶν υἱῶν ἰσραέλου κἀπὶ τῷ πειράσαι σφᾶς τὸν ὀντωτὴν τῷ φάναι· ἆρ' ἔστιν ὁ ὀντωτὴς ἐν μέσῳ ἡμῶν εἴτε μή;

[8] Ἀφῖκται δ' ἀμαλέκης καὶ ἐπολέμησε σὺν τῷ ἰσραέλῳ ἐν ῥεφιδοῖς. [9] ἔφη τε μωσεὺς πρὸς τὸν ἰωσούαν· ἔκλεξαι ἡμῖν ἄνδρας, καὶ ἔξελθε πολέμησον ἐν τῷ ἀμαλέκῃ· αὔριον ἐγὼ ἵσταμαι ἐπὶ τῆς κρατὸς τοῦ λόφου, τὸ δὲ σκῆπτρον τοῦ θεοῦ ἐν τῇ χειρί μου. [10] τοίνυν ἐποίησεν ἰωσούας καθὼς ἔφη οἱ μωσεὺς ὡς πολεμήσειεν ἐν τῷ ἀμαλέκῃ· μωσεὺς δὲ ἀαρών τε καὶ χοῦρος ἀνέβησαν τὴν ἀκρώρειαν. [11] ὑπῆρξέ τε καθάπερ ὑψοίη μωσεὺς τὴν χεῖρά οἱ, καὶ ἰσχύσειεν ἰσραέλος· καθάπερ δὲ παρείη τὴν χεῖρά οἱ, καὶ ἰσχύσειεν

---

35. καθεζομένην (כּוֹשָׁבֶת)?

XVII. 2. δὸς] legit תְּנָה (ita nonn. codd.) pro תְּנוּ t. rec. Item Sam. LXX. Hier. Syr. τί (1)] τίς cod. 3. δ' ἐκεῖ c. cd. ed. 5. τὸν ῥύακα cod. Ed. τὸν om. 7. πειράσαι, non πειρᾶσαι, cod. Cf. Prol. I, 4, c. 9. τοῦ κρατὸς c. cd. ed.

ἀμαλέκης. [12]τὼ δὲ χεῖρε τοῦ μωσέως βαρεία· ἔλαβον οὖν λίϑον καὶ ἔϑηκαν ὑπ' αὐτῷ, ἐκαϑέσϑη τ' ἐπ' αὐτοῦ· ἀαρὼν δὲ καὶ χοῦρος ἐστηριξάτην ἐν ταῖν χεροῖν αὐτοῦ, ἔνϑεν εἷς κἀκεῖϑεν εἷς· ὑπηρξάτην δὲ τὼ χεῖρέ οἱ πίστει μέχρι τοῦ δῦναι τὸν ἥλιον. [13]ἐκεχαυνώκει δ' ἰωσούας τὸν ἀμαλέκην καὶ τὸν λεὼν αὐτοῦ στόματι ξίφους.

[14]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· γράψον τόδε μνήμην ἐν βίβλῳ, ϑές τε ἐν τοῖς ὠσὶ τοῦ ἰωσούου· ὅτι τῷ ἀπαλείφειν ἀπαλείψω τὸ μνημόσυνον τοῦ ἀμαλέκου κάτωϑεν τοῦ οὐρανοῦ. [15]ἐδειμάσατο δὲ μωσεὺς ϑυτήριον, ἐκάλεσέ τε τοὔνομά οἱ· ὁ ὀντωτὴς σημεῖα μοι, [16]καὶ εἶπεν· ὅτι χεὶρ ἐφ' ὑμῖν τοῦ ὀντωτοῦ· πόλεμος τῷ ὀντωτῇ ἐν ἀμαλέκῃ ἀπὸ γενεᾶς γενεᾶς.

ρις' ξναε

XVIII. (μερίς) [1]Ἐπύϑετο δ' ἰϑρὼν ὁ ἱερεὺς μιδιᾶνος, ὁ ἑκυρὸς τοῦ μωσέως, ξύμπαντα ἅπερ ἐποίησεν ὁ ϑεὸς τῷ μωσεῖ καὶ ἰσραέλῳ τῷ λεῷ οἱ, ὅτι ἐξήνεγκεν ὁ ὀντουργὸς τὸν ἰσραέλον ἀπ' αἰγύπτου. [2]καὶ ἔλαβεν ἰϑρὼν ὁ ἑκυρὸς τοῦ μωσέως σιφορὰν τὴν γυναῖκα τοῦ μωσέως, μετὰ τὴν πέμψιν αὐτῆς, [3]καὶ τὼ δύο υἱὼ ταύτης οἷν ὄνομα τῷ ἑνὶ γαρεσόμης· ἔφη γάρ· πάροικος ὑπῆρξα ἐν γῇ ἀλλοτρίᾳ· [4]καὶ ὄνομα ϑατέρῳ ἐλιέζερος· ὁ γὰρ ϑεὸς τοῦ πατρός μου ἐν συνάρσει μοι, καὶ ἐξείλετό με ἀπὸ τοῦ ξίφους τοῦ παρεῶνος. [5]καὶ ἀφῖκται ἰϑρὼν ὁ ἑκυρὸς τοῦ μωσέως τώ ϑ' υἱώ οἱ καὶ ἡ γυνή οἱ πρὸς τὸν μωσέα πρὸς τὴν ἔρημον, ὅπου κεῖνος ἐστρατοπεδεύετο ἐκεῖ τὸ ὄρος τοῦ ϑεοῦ. [6]ἔφη τε πρὸς μωσέα· ἐγὼ ὁ ἑκυρός σου ἰϑρὼν ἀφικνοῦμαι πρὸς σέ, ἥ τε γυνή σου καὶ τὼ δύο υἱὼ ταύτης σὺν αὐτῇ. [7]τοίνυν ἐξῆλϑε μωσεὺς εἰς ξυνάντησιν τοῦ ἑκυροῦ οἱ, προσεκύνησέ τε καὶ ἐφίλησεν αὐτόν· ἠρέσϑην τε ἑκάτερος τὸν ἑταῖρον ἑαυτοῦ εἰς εἰρήνην, ἀφικέσϑην τε εἰς τὴν σκηνήν. [8]διηγήσατο δὲ μωσεὺς τῷ ἑκυρῷ οἱ πάνϑ' ὅσα ἐποίησεν ὁ ὀντωτὴς τῷ παρεῶνι καὶ τῇ αἰγύπτῳ ἐπὶ τοῖς χρήμασι τοῦ ἰσραέλου, ξύμ-

---

12. δύναι cod. 13. κεχαυνώκει cod. et ed. An voluit κεχαύνωκε? 15. σημεῖα corr. σημεία cod. Legendum σημαία ut Num. XXI, 8 sq. 16. ἐφ' ὑμῖν] conjecturane haec substituit (עֲלֵיכֶם pro עַל־כֵּס), an literarum simillimitudine deceptus est? De subscriptione cf. Prol. II, 1, a.

XVIII. 6. σὺν αὐτῆς cod. et ed. 7. ἠρέσϑην cod., non ἠάρσϑην ut relatum erat Ammonio, neque ἠράσϑην ut Mor. legit. εἰρήνην] ρήνην cod.

παντα τὸν μόχθον τὸν εὑρόντα σφᾶς ἐν τῇ ὁδῷ, καὶ ἐξείλετο σφᾶς ὁ ὀντωτής. [9] ἠγαλλίασεν οὖν ἰθρὼν ἐπὶ πάσῃ τῇ χρηστότητι ἣν ἐποίησεν ὁ ὀντωτὴς τῷ ἰσραέλῳ, ὃς ἐρρύσατό ἑ ἀπὸ χειρὸς τῆς αἰγύπτου· [10] ἔφη τε ἰθρών· εὐλογητὸς ὁ ὀντωτὴς ὃς ἐξείλετο ὑμᾶς ἀπὸ τῆς χειρὸς τῆς αἰγύπτου καὶ ἀπὸ τῆς χειρὸς τοῦ παρεῶνος, ὃς ἐξείλετο τὸν λεὼν κάτωθεν τῆς χειρὸς τῆς αἰγύπτου. [11] νῦν ἔγνων ὅτι μέγας ὁ ὀντωτὴς ὑπὲρ πάντας τοὺς θεούς, ὅτι ἐν τῷ λόγῳ ᾧ ἠκρατεύσαντο ἐπ' αὐτοῖς. [12] ἔλαβε δὲ ἰθρὼν ὁ ἑκυρὸς τοῦ μωσέως ἀναφορὰν καὶ θύματα τῷ θεῷ· ἀφῖκται δὲ ἀαρὼν καὶ πάντες οἱ γέροντες τοῦ ἰσραέλου φαγεῖν ἄρτον ξὺν τῷ ἑκυρῷ τοῦ μωσέως ἐνώπιον τοῦ θεοῦ. [13] ὑπῆρξε δ' ἐν τῇ αὔριον, καὶ ἐκαθέσθη μωσεὺς ὡς κρίνοι τὸν λεών· ἔστη τε ὁ λεὼς ἐπὶ τοῦ μωσέως ἀπὸ τῆς ἕω μέχρι τῆς ἑσπέρας. [14] ἑώρακε δ' ὁ ἑκυρὸς τοῦ μωσέως ξύμπαντα ἅπερ ἐκεῖνος ἐποίει τῷ λεῷ, καὶ εἶπε· τί τὸ χρῆμα τοδὶ ὅπερ σὺ ποιεῖς τῷ λεῷ; τοῦ χάριν σὺ καθέζῃ μόνος σοι, καὶ πᾶς ὁ λεὼς ἵσταται ἐπὶ σοῦ ἀφ' ἕω μέχρις ἑσπέρας; [15] ἔφη δὲ μωσεὺς τῷ ἑκυρῷ οἱ· ὅτι ἐλεύσεται πρός με ὁ λεὼς ζητεῖν τὸν θεόν· [16] ἐπεὶ τελέσει σφίσι λόγος, ἔρχεται πρός με· κρινῶ τοίνυν ἀνὰ ἄνδρα καὶ ἀνὰ τὸν ἑταῖρον αὐτοῦ, γνωριῶ τε τοὺς τύπους τοῦ θεοῦ καὶ τοὺς νόμους αὐτοῦ. [17] τοιγαροῦν ἔφη ὁ ἑκυρὸς τοῦ μωσέως πρὸς αὐτόν· οὐ χρηστὸν τὸ πρᾶγμα ὅπερ σὺ ποιεῖς· [18] τῷ πίπτειν πεσῇ σύ τε καὶ ὁ λεὼς οὗτος ὁ σὺν σοί· βαρὺ γὰρ ὑπὲρ σὲ τὸ χρῆμα, οὐχ ἕξεις ποιεῖν αὐτὸ μόνος σαυτῷ. [19] νῦν πυθοῦ τὴν φωνήν μου, βουλεύσω σοι, καὶ τελέσει ὁ θεὸς ξὺν σοί· ἔσο σὺ τῷ λεῷ ἐνώπιον τοῦ θεοῦ, οἴσεις τε σὺ τοὺς λόγους πρὸς τὸν θεόν· [20] νουθετήσεις τε σφᾶς τοὺς τύπους καὶ τοὺς νόμους, γνωριεῖς τε σφίσι τὴν ὁδὸν ᾗ βαδιοῦσι καὶ τοὔργον ὅπερ ποιήσουσι. [21] σὺ γοῦν ὄψει πρὸς παντὸς τοῦ λεὼ ἄνδρας ἀρετῆς δεδιότας θεόν, ἄνδρας ἀληθείας, ἄνδρας μισοῦντας ὄρεξιν, θήσεις τε ἐπὶ σφῶν χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους καὶ δεκάρχους· [22] κρινοῦσί τε τὸν λεὼν ἐν παντὶ καιρῷ· τελέσει τε, πᾶς λόγος μέγας ἐλεύσεται πρὸς σέ, πάντα δὲ λόγον ἧττω κρινοῦσιν ἐκεῖνοι· κούφισόν τε ἄνωθεν σαυτοῦ, καὶ ξυνα-

---

14. μωσέος ed., nescio an etiam cod. **20.** γνωριεῖς ipse cod., non γνωρεῖς ut ed. Cf. Amm. ad h. l. **21.** ἄνδρας (3) redundat. **22.** ἐλεύσεται] יָבוֹא pro יָבִיאוּ

ρoῦνταί σοι. [23]ἢν τὸ χρῆμα τοδὶ ποιήσῃς, κελεύσει τέ σοι ὁ ϑεός, καὶ ἕξεις ἵστασϑαι, ἔτι τε πᾶς ὁ λεὼς ὁδὶ ἐπὶ τὸν τόπον ἑαυτοῦ ἐλεύσεται ἐν εἰρήνῃ. [24]ὑπήκουσεν οὖν μωσεὺς τῇ φωνῇ τοῦ ἑκυροῦ οἱ, καὶ ἐποίησε πᾶν ὅπερ ἔφη. [25]τοιγαροῦν εἵλετο μωσεὺς ἄνδρας ἀρετῆς πρὸς παντὸς τοῦ ἰσραέλου καὶ ἔδωκε σφᾶς ἄρχοντας ἐπὶ τοῦ λεὼ, χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους καὶ δεκάρχους· [26]κρίνοιέν τε τὸν λεὼν ἐν παντὶ καιρῷ· τὸν λόγον τὸν σκληρὸν ἐνέγκαιεν πρὸς μωσέα, πάντα μέντοι λόγον ἧττω κρίνοιεν ἐκεῖνοι. [27]ἔπεμψε δὲ μωσεὺς τὸν ἑκυρὸν ἑαυτοῦ, καὶ ἀπῆλϑεν ἑαυτῷ ἐς τὴν γῆν ἑαυτοῦ.

XIX. [1]Ἐν τῷ μηνὶ τῷ τρίτῳ τοῦ ἐξελϑεῖν τοὺς υἱεῖς ἰσραέλου ἀπὸ γῆς αἰγύπτου, ἐν τῇ ἡμέρᾳ τῃδὶ παρεγένοντο εἰς τὴν ἔρημον τῆς ξινάϊδος. [2]μετῆράν τε ἀπὸ ῥεφιδῶν καὶ ἀφίκοντο εἰς τὴν ἔρημον τῆς ξινάϊδος, ἐστρατοπεδεύσαντό τε ἐν τῇ ἐρήμῳ· καὶ ἐστρατοπεδεύσατο ἐκεῖ ὁ ἰσραέλος ἀντικρὺ τοῦ ὄρους. [3]μωσεὺς δὲ ἀνῆλϑεν ἐπὶ τὸν ϑεόν, ἐβόησέ τε πρὸς αὐτὸν ὁ ὀντωτὴς πρὸς τοῦ ὄρους τῷ φάναι· τῇδε ἐρεῖς τῷ δόμῳ τοῦ ἰακώβου καὶ ἀγγελεῖς τοῖς υἱέσι τοῦ ἰσραέλου· [4]ὑμεῖς τεϑέασϑε ἃ ἐποίησα τῇ αἰγύπτῳ, ἦρά τε ὑμᾶς ἐπὶ πτερύγων ἀετῶν, ἤνεγκά τε ὑμᾶς πρὸς ἐμαυτόν. [5]νῦν οὖν ἢν τῷ ἀκούειν ὑπακούητε τῇ φωνῇ μου καὶ φυλάττητε τὴν συνϑήκην μου, καὶ τελέσετέ μοι σφετέρισμα πρὸς πάντων τῶν λεῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ· [6]ὑμεῖς δὲ τελέσετέ μοι βασιλεία, ἱερεῖς καὶ ἔϑνος ἅγιον. οὗτοι οἱ λόγοι οὓς διαλέξῃ πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου. [7]τοίνυν ἀφῖκται μωσεὺς ἐβόησέ τε τοῖς γέρουσι τοῦ λεὼ, καὶ τέϑεικεν ἐνώπιον σφῶν ξύμπαντας τοὺς λόγους τούτους οὓς ἐκέλευσεν ὁ ὀντωτής. [8]ἀπεκρίναντο δὲ πᾶς ὁ λεὼς ἅμα καὶ εἶπον· ἅπαν ὅπερ διείλεκται ὁ ὀντωτὴς ποιήσομεν. ἐπανέστρεψε δὲ μωσεὺς τοὺς λόγους τοῦ λεὼ πρὸς τὸν ὀντωτήν. [9]ἔφη τε ὁ ὀντωτὴς πρὸς μωσέα· αὐτίκα ἐγὼ ἀφικνοῦμαι πρὸς σὲ ἐν παχείᾳ νεφέλῃ, ἵνα ἀκούσῃ ὁ λεὼς ἐπὰν διαλεγοίμην ἐγὼ σὺν σοί, ἔτι τε σοὶ πιστεύωσιν ἐς αἰῶνα. τοίνυν ἤγγειλε μωσεὺς τοὺς λόγους τοῦ λεὼ πρὸς τὸν ὀντωτήν. [10]ἔφη τε ὁ ὀντωτὴς πρὸς μωσέα· ἄπιϑι πρὸς τὸν λεών, ἁγιάσεις

XIX. 1. τοῦ ξινάϊδος cod. itemque v. 2. 11. 20. 23 (non v. 18). An legendum τοῦ ξινάϊνος (cf. XVI, 1. Lev. XXVII, 34 cet.)? 2. τὴν ἔρημον cod. Ed. τὴν om. 5. ἣν] ἐν cod. et ed. 7. ἐκέλευσεν] excidit αὐτῷ vel οἱ (צִוָּהוּ). 9. ἐπᾶν cod. Cf. not. ad XXI, 7.

τε σφᾶς τήμερον καὶ αὔριον, πλυνοῦσί τε τὰς ἀναβολὰς αὐτῶν· [11]καὶ τελέσουσιν ἕτοιμοι τῇ ἡμέρᾳ τῇ τρίτῃ· ἐν γὰρ τῇ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται ὁ ὀντωτὴς ἐν ὄμμασι παντὸς τοῦ λεὼ ἐπὶ τὸ ὄρος τῆς ξινάϊδος. [12]ὁροϑετήσεις τε τὸν λεὼν κύκλῳ τῷ φάναι· πεφύλαχϑε ὑμῖν αὐτοῖς ἀνιέναι ἐς τὸ ὄρος καὶ ϑίγειν ἐν τῷ ἄκρῳ αὐτοῦ· πᾶς γὰρ ϑιγάνων τοῦ ὄρους τῷ ϑνήσκειν ϑανατωϑήσεται. [13]οὐ ψαύσει αὐτοῦ χείρ· τῷ λεύειν γὰρ λευσϑήσεται ἢ τῷ τοξεύειν τοξευϑήσεται· εἴτε κτῆνος εἴτ' ἀνήρ, οὐ ζήσεται. ἐν τῷ ἕλκειν τὸ κέρας ἐκεῖνοι ἀναβήσονται ἐς τὸ ὄρος. [14]κατέβη δὲ μωσεὺς ἀπὸ τοῦ ὄρους πρὸς τὸν λεών, ἡγίασέ τε τὸν λεών· καὶ ἔπλυναν τὰ ἐνδύματα σφῶν. [15]ἔφη τε πρὸς τὸν λεών· τελεῖτε ἕτοιμοι ἐς τρεῖς ἡμέρας, μὴ ἐγγίσητε πρὸς γυναῖκα. [16]τελέσει τε ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἐν τῷ εἶναι τὴν ἕω· ἐτέλεσαν δὲ φωναὶ καὶ ἀστραπαί, νεφέλη τε βαρεῖα ἐπὶ τοῦ ὄρους, καὶ φωνὴ κέρως κραταιοτάτου· τέτρομε δὲ πᾶς ὁ λεὼς ὁ ἐν τῷ στρατοπέδῳ. [17]ἐξήνεγκε μέντοι μωσεὺς τὸν λεὼν εἰς ἀπάντησιν τῷ ϑεῷ πρὸς τοῦ· στρατοπέδου, καὶ ἔστησαν ἐν τῇ ὑπωρείᾳ. [18]τὸ δ' ὄρος τῆς ξινάϊδος καπνιεῖ ὅλον αὐτό, ᾧπερ κατέβη ἐπ' αὐτῷ ὁ ὀντωτὴς ἐν πυρί· ἀνῆλϑέ τε ὁ καπνὸς αὐτοῦ ὥσπερ κάπνισις καμίνου, τέτρομε δὲ πᾶν τὸ ὄρος ἄγαν. [19]ὑπῆρξε δὲ φωνὴ τοῦ κέρως προϊοῦσα καὶ κρατύνουσα σφόδρα· μωσεὺς διαλέγοιτο, καὶ ὁ ϑεὸς ἀποκρίνοιτό οἱ ἐν φωνῇ. [20]κατέβη δ' ὁ ὀντωτὴς ἐπὶ τὸ ὄρος τῆς ξινάϊδος πρὸς τὴν ἀκρώρειαν· ἐκάλεσε δ' ὁ ὀντωτὴς τὸν μωσέα πρὸς τὴν ἀκρώρειαν, καὶ ἀνέβη μωσεύς. [21]ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· κατάβηϑι μάρτυραι ἐν τῷ λεῷ, μήποτε χαλάσωσι πρὸς τὸν ὀντωτὴν ὡς ϑεάσαιντο, καὶ πέσῃ ἀπ' αὐτοῦ πολύς. [22]ἔτι δ' ἱερεῖς οἱ ἐγγίζοντες πρὸς τὸν ὀντωτὴν ἡγιάσϑωσαν, μὴ καϑέλῃ ἐν αὐτοῖς ὁ ὀντωτής. [23]ἔφη δὲ μωσεὺς πρὸς τὸν ὀντωτήν· οὐχ ἕξει ὁ λεὼς ἀναβῆναι πρὸς τὸ ὄρος τῆς ξινάϊδος· σὺ γὰρ ἐμαρτύρω ἐν ἡμῖν τῷ φάναι· ὁροϑέτησον τὸ ὄρος καὶ ἁγιάσεις αὐτό. [24]ἔφη δὲ πρὸς αὐτὸν ὁ ὀντωτής· ἄπιϑι κατάβα, καὶ ἀνα-

10. αὐτῶν] αὐτοῦ cod. et ed. 12. πᾶς γὰρ ϑιγάνων] כָּל־הַנֹּגֵעַ (sine כִּי) text. Hebr. Legendum fort. πᾶς ὁ ϑιγάνων (cf. LXX: πᾶς ὁ ἁψάμενος). Ceterum cf. Prol. II, 2, i. 16. τελέσει τε] וְהָיָה pro וַיְהִי κραταιοτάτη? 24. ʽὠντωτὴς rursus invito codice ed., nisi quod alterum o ad alterum propius justo accedit.

βήσῃ σὺ καὶ ἀαρὼν ξὺν σοί· οἱ δ' ἱερεῖς καὶ ὁ λεὼς μὴ χαλάσαιεν ὡς ἀνέλθοιεν πρὸς τὸν ὀντωτὴν, μήποτε καθέλῃ ἐν αὐτοῖς. [25]κατέβη δὲ μωσεὺς πρὸς τὸν λεὼν, ἔφη τε πρὸς αὐτούς.

XX. [1]Διείλεκται δ' ὁ θεὸς ξύμπαντας τοὺς λόγους τούτους τῷ φάναι· [2]Ἐγὼ ὁ ὀντωτὴς ὁ θεός σου, ὅς ἐξήνεγκά σε ἀπὸ γῆς αἰγύπτου, ἐξ οἴκου οἰκετῶν. [3]οὐχ ὑπάρξουσί σοι θεοὶ ἕτεροι ἐπὶ προσώπου μου. [4]οὐ ποιήσεις σαυτῷ λάξευμα καὶ ὁτιοῦν σχῆμα, ὃ ἐν οὐρανοῖς ἄνωθεν ὅ τε ἐν τῇ γῇ κάτωθεν καὶ ὅπερ ἐν ὕδασι κάτωθεν τῆς γῆς· [5]οὐ προσκυνήσεις αὐτὰ οὔτε λατρεύσεις αὐτοῖς· ὅτι ἐγὼ ὁ ὀντωτὴς ὁ θεός σου θεὸς ζηλότυπος, ἐπισκεπτόμενος ἀμπλάκημα πατέρων ἐφ' υἱέσιν ἐπὶ τριττεύουσι καὶ ἐπὶ τεταρτεύουσι τοῖς μισοῦσί με, [6]ποιῶν τε ἔλεον ἐς χιλιάδας τοῖς φιλοῦσί με καὶ τοῖς τηροῦσι τὰ κελεύσματά μου.

[7]Οὐκ ἀρεῖς τοὔνομα τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου εἰς τὸ ψεῦδος· οὐ γὰρ ἀθωώσει ὁ ὀντωτὴς, ὃς ἂν ἄροι τοὔνομά οἱ εἰς τὸ ψεῦδος.

°[8]Μνημόνευε τῆς ἡμέρας τῆς παύσεως ὥστε ἁγιάζειν αὐτήν· [9]ἓξ ἡμέραις ἐργάσῃ ποιήσεις τε πᾶσαν ἐργασίαν σου· [10]ἡ δ' ἡμέρα ἡ ἑβδόμη παῦσις τῷ ὀντωτῇ τῷ θεῷ σου· οὐ ποιήσεις ἡντιναοῦν ἐργασίαν, σὺ ὅ θ' υἱός σου ἥ τε θυγάτηρ σου καὶ ὁ δοῦλός σου καὶ ἡ θεραπαινίς σου τό τε κτῆνός σου καὶ ὁ πάροικός σου ὁ ἐν ταῖς πύλαις σου. [11]καὶ γὰρ ἓξ ἡμέραις ἐποίησεν ὁ ὀντωτὴς τοὺς οὐρανοὺς καὶ τὴν γῆν, τὴν θάλατταν καὶ ξύμπαντα τὰ ἐν αὐτοῖς, πέπαυται δ' ἐν ἡμέρᾳ τῇ ἑβδόμῃ· διόπερ εὐλόγησεν ὁ ὀντωτὴς τὴν ἡμέραν τῆς παύσεως ἡγίασέ τε αὐτήν.

[12]Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὡς ἂν μηκύνωσιν αἱ ἡμέραι σου ἐπὶ τῆς γῆς ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι. [13]Οὐ φονεύσεις. [14]Οὐ μοιχεύσεις. [15]Οὐ κλέψεις. °[16]Οὐκ ἀποκρινεῖ ἐν τῷ ἑταίρῳ σου μαρτυρίαν ψεύδους. [17]Οὐκ ἐπιθυμήσεις τοῦ οἴκου τοῦ ἑταίρου σου. °Οὐχ ἱμειρῇ τῆς γυναικὸς τοῦ ἑταίρου σου τοῦ τ' οἰκέτου οἱ καὶ τῆς θεραπαίνης αὐτοῦ, τοῦ βοὸς αὐτοῦ τοῦ τ' ὄνου οἱ καὶ οὑτινοσοῦν τῶν τοῦ ἑταίρου σου.

χελάσαιεν et mox ἂν ἔλθοιεν cod. et ed.

XX. 1. Διείλεκταί θ' c. cd. ed. 7. εἰς τὸ ψεῦδος (1) cod. Ed. τὸ om. 17. ἑταίρου σου (3)] ἑταίρου οἱ c. cd. ed.

[18] Πᾶς δ' ὁ λεὼς ἑώρων τὰς φωνὰς τούς τε σπινϑῆρας τήν τε φωνὴν τοῦ κέρως καὶ τὸ ὄρος καπνίζον· εἶδε δ' ὁ λεὼς, καὶ κεκίνηνται καὶ ἔστησαν πόρρωϑεν· [19] ἔφησάν τε πρὸς τὸν μωσέα· διαλέγου σὺ ξὺν ἡμῖν, καὶ ἀκουσόμεϑα· καὶ μὴ διαλεγέσϑω ξὺν ἡμῖν ὁ ϑεὸς, μήπατε ἀποϑάνωμεν. [20] ἔφη δὲ μωσεὺς πρὸς τὸν λεών· μὴ φοβεῖσϑε· χάριν γὰρ τοῦ πειράσαι ὑμᾶς ἀφικνεῖται ὁ ϑεὸς, καὶ ὡς ἂν τελέσειεν ὁ φόβος αὐτοῦ ἐπὶ προσώπου ὑμῶν, ὡς ἂν μὴ ἁμαρτάνητε. [21] τοίνυν ἔστη ὁ λεὼς πόρρωϑεν· ὁ δὲ μωσεὺς ἤγγισε πρὸς τὸν ζόφον ᾧπερ ἐκεῖ ὁ ϑεός.

[22] Ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα· τῇδε ἐρεῖς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου· ὑμεῖς τεϑέασϑε ὅτι πρὸς τῶν οὐρανῶν διείλεγμαι ξὺν ὑμῖν· [23] οὐ ποιήσετε ξὺν ἐμοὶ ϑεοὺς ἀργύρου, καὶ ϑεοὺς χρυσοῦ οὐ ποιήσετε παρ' ὑμῖν αὐτοῖς. [24] ϑυτήριον γῆς ποιήσεις μοι, ϑύσεις τε ἐπ' αὐτοῦ τὰς ἀναφοράς σου τά τ' εἰρηναῖά σου, τὰ πρόβατά σου καὶ τοὺς βοῦς σου· ἐν παντὶ τόπῳ ᾧ ἀναμνήσω τοῦ ὀνόματός μου ἐλεύσομαι πρὸς σὲ καὶ εὐλογήσω σε. [25] κἂν ϑυτήριον λίϑων ποιήσῃς μοι, οὐ δομήσῃ σφᾶς τομῇ· τὸ γὰρ ξίφος σου ἐκίνησας ἐπ' αὐτοῦ καὶ ἀνεβεβήλωσας αὐτό· [26] οὔτ' ἀναβήσῃ ἐν βαϑμοῖς ἐπὶ τὸ ϑυτήριόν μου, οἷς οὐκ ἐκφανεῖς τὴν ἀσχημοσύνην σου ἐπ' αὐτοῦ.

οβ' αλιαλ

XXI. (μερίς)

[1] Αὗται δὲ αἱ κρίσεις ἃς ϑήσεις πρὸ προσώπου σφῶν. [2] ἐπὰν ὠνήσαιο δοῦλον ὑβραῖον, ἓξ ἔτεσι δουλεύσει, τῷ δ' ἑβδόμῳ ἐξελεύσεται εἰς ἐλεύϑερον χάριν. [3] εἴπερ ἐν σώματι αὐτοῦ ἐλεύσοιτο, ἐν σώματι αὐτοῦ ἐξελεύσεται· εἴπερ ἀνὴρ γυναικὸς εἴη, καὶ ἐξελεύσεται ἡ γυνή οἱ ξὺν αὐτῷ. [4] εἴπερ ὁ δεσπότης αὐτοῦ δοίη αὐτῷ γυναῖκα, τέκοι δέ οἱ υἱοὺς ἢ ϑυγατέρας, ἡ γυνὴ καὶ τὰ τέκνα ταύτης τελέσουσι τῷ δεσπότῃ ταύτης, κἀκεῖνος ἐξελεύσεται ἐν σώματι αὐτοῦ. [5] ἢν δὲ τῷ φάσκειν φῇ ὁ δοῦλος· ἐφίλησα τὸν δεσπότην μου, τὴν γυναῖκά μου καὶ τοὺς υἱεῖς μου, οὐκ ἐξελεύ-

---

20. πειράσαι, non πειρᾶσαι, cod. Cf. XVII, 7. 24. ἐλεύσομαι cod., non ἐλεύσεται ut ed. 25. ἀναβεβήλωσας cod. Legendum puto ἐβεβήλωσας (cf. XXXI, 14. Gen. XLIX, 4 cet.) Corruptio inde orta esse potest, quod auctor primo ἀνόσιον ἐτίϑεις scripsit vel scribere coeperat. Cf. Prol. I, 2, e. f. 26. ἐκφανεῖς τὴν ἀσχ. (εὐσχ. cod.)] תְגַלֶּה pro תִגָּלֶה

XXI. 2. ἑβραῖον cod. et ed. Cf. Gen. XIV, 13 etc.

σομαι ἐλεύϑερος· [6]ἐγγιεῖ τέ ἑ ὁ δεσπότης αὐτοῦ πρὸς τοὺς κριτάς, ἐγγιεῖ τέ ἑ πρὸς τῇ ϑύρᾳ ἢ πρὸς τῇ παραστάδι, τρυπήσει τε ὁ δεσπότης αὐτοῦ τὸ οὖς αὐτοῦ ἐν περόνῃ· δουλεύσει τέ οἱ ἐς αἰῶνα. [7]Ͼπάν τε πράσειεν ἀνὴρ τὴν ϑυγατέρα οἱ εἰς ϑεράπαιναν, οὐκ ἐξελεύσεται κατὰ τὸ ἐξιέναι τῶν δούλων. [8]εἴπερ πονηρὰ ἐν ὄμμασι τοῦ δεσπότου ταύτης ὃς οὐχ ὡρίσατο ταύτην, καὶ λυτρώσεται ταύτην· λεῷ ἀλλοκότῳ οὐκ ἐξουσιάσει ταύτην ἀπεμπολῆσαι, ἐν τῷ βεβιάσϑαι ἑ. [9]ἢν μέντοι τῷ υἱῷ οἱ ὁρίσαιτο ταύτην, κατὰ τὴν κρίσιν τῶν ϑυγατέρων ποιήσει ταύτῃ. [10]ἐὰν ἑτέραν λάβῃ ἑαυτῷ, τὴν τροφὴν αὐτῆς, τὴν σκέπην ταύτης καὶ τὸν ὅρον ταύτης οὐκ ἐλαττώσει. [11]ἢν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ ταύτῃ, ἐξελεύσεται μὲν τὴν χάριν ἀναργύρην.

[12]Ὁ πλήττων ἄνδρα, καὶ τέϑνηκε, τῷ ϑνήσκειν ϑανατούσϑω. [13]ὃς μέντοι οὐκ ἐϑηράσατο, ὁ δὲ ϑεὸς προεξένησε τῇ χειρί οἱ, καὶ ϑήσω σοι τόπον ᾧ φεύξεται ἐκεῖσε.

[14]Ͼπὰν δὲ ἐϑελοκακήσειεν ἀνὴρ κατὰ τοῦ ἑταίρου οἱ ὡς φονεύσειεν αὐτὸν ἐν δόλῳ, πρὸς τοῦ ϑυτηρίου μου λήψῃ αὐτὸν ὡς ἀποϑάνοι. [15]Τύπτων δὲ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα ἑαυτοῦ, τῷ ϑνήσκειν ϑανατούσϑω.

[16]Κλέπτων τε ἄνδρα καὶ ἀπεμπολῶν αὐτὸν, καίτοι εὑρίσκεται ἐν τῇ χειρί οἱ, τῷ ϑνήσκειν ϑανατούσϑω.

[17]Βλασφημῶν τε τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα ἑαυτοῦ, τῷ ϑνήσκειν ϑανατούσϑω. [18]Ͼπάν τε ἐρίσαιεν ἄνδρες, καὶ πλήξειεν ἀνὴρ τὸν ἑταῖρον ἑαυτοῦ ἐν λίϑῳ ἢ ἐν πυγμῇ, καὶ οὐ τεϑνήξει, πέσοι δὲ εἰς κλίνην· [19]ἐὰν ἀναστῇ καὶ βαδίσῃ ἔξω ἐπὶ τῆς βακτηρίας ἑαυτοῦ, καὶ ἀϑωωϑήσεται ὁ πλήκτης· μόνον περὶ παῦλαν αὐτοῦ δώσει καὶ τῷ ἰατρεύειν ἰατρεύσει.

[20]Ͼπὰν τύψειεν ἀνὴρ τὸν δοῦλον ἑαυτοῦ ἢ τὴν ϑε-

---

7. ἐπᾶν corr. ἐπάν cod. Cf. Prol. I, 3, c. 8. οὐχ] textus lect. (לא) exprimit (Keri לוֹ). 8. βεβιάσϑαι ἑ] excidit αὐτὴν vel ἐν αὐτῇ (בְּבִגְדוֹ־בָהּ). 10. σκέπιν cod. et mox ὅρον 11. ἐξελ. — ἀνσργύρην] sic cod., non ut ed. καὶ ἐξελ. χάριν, οὐκ ἀργύρος (sic). Correxerim ἐξελεύσεται μέντοι (cf. v. 30. Gen. XLI, 24. Lev. IV, 13 cet.) χάριν, ἀνάργυρος. 13. προεξένησε] scriptura fere evanuit, sed vix aliter legendum. Nescio unde ἔδωκε Vill. sumpserit. 14. ὡς (1) cod., non καὶ ut ed. ὡς (2)] καὶ cod. et ed. 16. εὐρίσεται cod. 19. περὶ παῦλαν] codicis scripturam servavimus. Legendum fort. περίπαυλαν (שִׁבְתּוֹ). ἑαυτοῦ c. cd. ed. 20. τυψείη c. cd. ed.

ράπαιναν ἑαυτοῦ ἐν ῥάβδῳ, τεϑνήκοι ϑ' ὑπὸ τῇ χειρί οἱ, τῷ ἐκδικεῖσϑαι ἐκδικηϑήσεται. [21]........... ἢ διήμερον σταίη, οὐκ ἐκδικηϑήσεται· ἀργύριον γὰρ αὐτοῦ ἐστιν. °[22]Ἐπὰν δ' ἐρίσαιεν ἄνδρες καὶ πλήξαιεν γυναῖκα κύουσαν, καὶ ἐξέλϑειεν τὰ τέκνα ταύτης, οὐ μέντοι τελέσειε μόρος, τῷ ζημιοῦσϑαι ζημιωϑήσεται· καϑάπερ ϑείη ἐπ' αὐτοῦ ὁ ἀνὴρ τῆς γυναικὸς, δοίη τε ἐν τοῖς κριταῖς. [23]ἢν δὲ μόρος χρηματίσῃ, καὶ δώσει ψυχὴν ἀντὶ ψυχῆς, [24]ὀφϑαλμὸν ἀντ' ὀφϑαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρὸς, πόδα ἀντὶ ποδὸς, [25]καῦσιν ἀντὶ καύσεως, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος.

[26]Ἐπάν τε πλήξειεν ἀνὴρ ὀφϑαλμὸν οἰκέτου οἱ ἢ ὀφϑαλμὸν δούλης ἑαυτοῦ, φϑείροι τ' αὐτὸν, εἰς ἐλεύϑερον πέμψει αὐτὸν ἀντὶ τοῦ ὀφϑαλμοῦ οἱ. [27]κἂν ὀδόντα δούλου οἱ ἢ ὀδόντα δούλης ἑαυτοῦ ῥίψῃ, εἰς ἐλεύϑερον πέμψει αὐτὸν ἀντὶ τοῦ ὀδόντος αὐτοῦ.

[28]Καὶ ἐπὰν κυρίξειε βοῦς ἄνδρα ἢ γυναῖκα, καὶ τεϑνήκοι, τῷ λεύεσϑαι λευσϑήσεται ὁ βοῦς, οὐ μὴν βρωϑήσεται τὸ κρέας αὐτοῦ· ὁ μέντοι κύριος τοῦ βοὸς ἀϑῶος. [29]ἢν δὲ βοῦς κερατιστὴς ᾖ ἀπὸ χϑὲς πρότριτα, ἐμαρτυρήϑη δ' ἐν τῷ κυρίῳ οἱ, οὐ μήν γ' ἐφύλαξεν αὐτὸν, καὶ ϑανατώσει ἄνδρα ἢ γυναῖκα· ὁ βοῦς λευσϑήσεται, ἔτι δ' ὁ κύριος αὐτοῦ ϑανατωϑήσεται. [30]εἰ λύτρον τεϑείη ἐπ' αὐτοῦ, δώσει μέντοι ἐλευϑερίαν τῆς ψυχῆς ἑαυτοῦ κατὰ πᾶν ὃ τεϑήσεται ἐπ' αὐτοῦ. [31]ἢ υἱὸν κυρίξειεν ἢ ϑυγατέρα κυρίξειεν, ἐν τῇ κρίσει ταύτῃ πραχϑήσεταί οἱ. [32]ἢν δοῦλον κυρίξῃ ὁ βοῦς ἢ ϑεράπαιναν, ἀργύριον τριάκοντα στατήρων δώσει τοῖς δεσπόταις αὐτοῦ· ὁ βοῦς λευσϑήσεται. [33]Ἐπὰν δ' ἀνοίξειεν ἀνὴρ βόϑυνον, ἢ ἐπὰν ὀρύξειεν ἀνὴρ βόϑυνον καὶ οὐ σκεπάσει αὐτὸν, πεσεῖται δ' ἐκεῖ βοῦς ἢ ὄνος· [34]ὁ κύριος τοῦ βοϑύνου ἀποτίσει, ἀργύριον ἀποστρέψει τῷ δεσπότῃ αὐτοῦ, τὸ δὲ τεϑνηκὸς τελέσει αὐτῷ. [35]Ἐπὰν βάλοι

τεϑνήκοι cod., non τέϑνηκε ut ed. 21. Desunt nonnulla (אַךְ אִם־יוֹם), sed locus ad ea scribenda relictus. διήμερ, omissa terminatione, cod. Cf. XVI, 29. 22. ἐξέλϑοιεν c. cd. ed. ϑείη] ϑει cod. 23. δώσει] וְנָתַן pro וְנָתַתָּה. Item LXX. Hier. 24. ἀντ' ὀδόντος c. cd. ed. 26. ὀφϑαλμὸν (2) cod., non ὀφϑαλμοὺς ut ed. 29. ᾖ cod., non ἦν πρότριτον cod. et ed. Cf. v. 36. V, 8 cet. μήν τ' (sic) cod., non μέντ' ut ed. 31. κυρίξειεν (2)] κυρίσειεν c. cd. ed. ἐν τῇ κρίσει] בְּמִשְׁפָּט pro כַּמִּשְׁפָּט 33. σκεπάσειεν?

βοῦς βοῦν ἑταίρου οἱ, καὶ τεθνήξῃ, ἀπεμπολήσουσί τε τὸν βοῦν τὸν ζῶντα, διελοῦνται τὸ ἀργύριον αὐτοῦ, ἔτι τε τὸν τεθνηκότα διελοῦνται. [36] ἢ ἔγνωσται ὅτι βοῦς κυρίκτης ἦν ἀπὸ χθὲς πρότριτα, καὶ οὐ φυλάξειεν αὐτὸν ὁ κύριος αὐτοῦ, τῷ τιννύναι τίσει βοῦν ἀντὶ βοὸς, ὁ μέντοι τεθνηκὼς ἔσται αὐτοῦ.

[37] Ἐπὰν ὑφέλοιτο ἀνὴρ βοῦν ἢ πρόβατον, κρεωνομήσειεν αὐτὸ ἢ πράσειεν αὐτὸ, πέντε βοῦς τίσει ἀντὶ τοῦ βοὸς καὶ XXII. τέτταρα πρόβατα ἀντὶ τοῦ προβάτου. [1] εἴπερ δ' ἐν τῷ ὀρύγματι εὑρεθείη ὁ φὼρ, καὶ πληγῇ καὶ ἀποθάνῃ· οὐκ εἰσὶν αὐτῷ αἵματα. [2] εἰ μέντοι ἀνέτειλεν ὁ ἥλιος ἐπ' αὐτοῦ, αἵματά εἰσιν αὐτῷ, τῷ ἀποτιννύναι ἀποτίσει· ἢν δὲ μὴ σχῇ, καὶ πραθήσεται ἐν τῇ κλοπῇ αὐτοῦ. [3] ἢν τῷ εὑρίσκεσθαι εὑρεθῇ ἐν τῇ χειρί οἱ ἡ κλοπὴ ἀπὸ βοὸς ἄχρις ὄνου μέχρι προβάτου ζώντων, δύο ἀποτίσει.

[4] Ἐπὰν νεμήσειεν ἀνὴρ ἀγρὸν ἢ ἀμπελῶνα, καὶ πέμψειε τὸ βόσκημά οἱ καὶ νεμήσοιτο ἐν ἀγρῷ ἑτέρῳ, τὸ ἄριστον τοῦ ἀγροῦ οἱ καὶ τὸ ἄριστον τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει.

[5] Ἐπὰν δ' ἐξέλθοι πῦρ καὶ εὕροι ἀκάνθας, βρωθείη τε σωρὸς ἢ βλάστημον ἢ ὁ ἀγρὸς, τῷ ἀποτιννύναι ἀποτίσει ὁ ὑφάψας τὴν ἀφήν. [6] Ἐπὰν δοίη ἀνὴρ πρὸς τὸν ἑταῖρον ἑαυτοῦ ἀργύριον ἢ σκεύη φυλάττειν, καὶ κλαπείη πρὸς τοῦ οἴκου τοῦ ἀνδρὸς, ἐὰν εὑρεθῇ ὁ φὼρ, ἀποτίσει διττά· [7] ἢν μέντοι μὴ εὑρεθῇ ὁ φὼρ, καὶ πλησιασθήσεται ὁ κύριος τοῦ οἴκου πρὸς τοὺς κριτὰς, εἴπερ μὴ πέμψειε τὴν χεῖρά οἱ ἐς τὴν ἐργασίαν τοῦ ἑταίρου οἱ. [8] ἐφ' ὁτιοῦν χρῆμα ἀμπλακήματος, ἐπὶ βοῦν, ἐπ' ὄνον, ἐπὶ πρόβατον, ἐπὶ περιβόλαιον, ἐφ' ἥντιναοῦν ἀπώλειαν ἢν ἐρεῖ ὅτι ἐστὶν οὗτος, ἄχρι τῶν κριτῶν ἀφίξεται τὸ χρῆμα ἀμφοῖν αὐτοῖν· ὅπερ καταkρινοῦσιν οἱ κριταί, ἀποτίσει διττὰ τῷ ἑταίρῳ οἱ. [9] Ἐπὰν δοίη ἀνὴρ πρὸς τὸν ἑταῖρον ἑαυτοῦ ὄνον ἢ βοῦν ἢ πρόβατον καὶ ὁτιοῦν κτῆνος φυλάξαι, καὶ τεθναίη ἢ ξυντριβείη ἢ σκυλευθείη οὐχ ὁρῶντος, [10] ὅρκος τοῦ ὀντωτοῦ τελέσει μέσον ἀμφοῖν αὐτοῖν, εἰ μὴ ἔπεμψε τὴν χεῖρά

---

35. βοῦς] excidit ἀνδρὸς (שׁוֹר־אִישׁ). ζῶντα] ζῶν cod. Emendationem Amm. praeivit. θνηκότα cod. 36. ἀποχθὲς cod. et ed. At v. 29 ἀπὸ χθὲς uterque.

XXII. 2. πραθήσεται] προσθήσεται cod. et ed. 3. ἄχρις ὄνους cod. et ed. 7. εἴπερ] ὅπερ cod. et ed. Cf. v. 10. 9. ἑαυτοῦ cod., non αὐτοῦ ut ed.

οἱ εἰς τὴν ἐργασίαν τοῦ ἑταίρου οἱ· καὶ λήψεται ὁ κύριος αὐτοῦ, καὶ οὐκ ἀποτίσει. [11]κἂν τῷ κλέπτειν κλαπῇ παρ' αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ οἱ. [12]ἦν τῷ ἁρπάζειν ἁρπαγῇ, οἴσει αὐτῷ μάρτυρα· τὴν ἁρπαγὴν οὐκ ἀποτίσει. [13]'Επὰν ζητήσειεν ἀνὴρ πρὸς τοῦ ἑταίρου οἱ, καὶ ξυντριβείη ἢ τεϑναίη τοῦ κυρίου αὐτοῦ οὐκ ὄντος ξὺν αὐτῷ, τῷ ἀποτιννύναι ἀποτίσει· [14]ἦν δ' ὁ κύριος αὐτοῦ ξὺν αὐτῷ ᾖ, οὐκ ἀποτίσει· εἰ μίσϑαρνός ἐστιν, ἔρχεται εἰς τὸν μισϑὸν αὐτοῦ. [15]'Επάν τε φενακίσειεν ἀνὴρ παρϑένον ἥτις οὐ μεμνήστευται, καὶ ἀνακλιϑείη ξὺν αὐτῇ, τῷ ἑδνοῦν ἑδνῷ ἑαυτῷ εἰς γυναῖκα. [16]ἦν τῷ ἀπαναίνεσϑαι ἀπανήνηται ὁ πατὴρ αὐτῆς δοῦναι ταύτην αὐτῷ, ἀργύριον στήσει κατὰ τὴν φέρνην τῶν παρϑένων.

[17]Φαρμακίδα οὐ ζωώσεις. [18]ἅπας ἀνακλινόμενος σὺν κτήνει τῷ ϑνήσκειν ϑανατούσϑω.

[19]Θύων τοῖς ϑεοῖς ὁλοϑρευϑήσεται, χωρὶς τοῦ ὄντωτοῦ μόνου αὐτοῦ. [20]μετοίκῳ τ' οὐκ ὀνειδιεῖς οὔτ' ὠστιεῖς αὐτόν· μέτοικοι γὰρ ὑπήρξατ' ἐν γῇ αἰγύπτῳ. [21]ἥντιναοῦν χήραν καὶ ὀρφανὸν οὐ ταπεινώσετε· [22]ἐὰν τῷ ταπεινοῦν ταπεινώσῃς αὐτὸν, ἦν γὰρ τῷ κραυγάζειν κραυγάσῃ πρός με, τῷ ἀκούειν ἀκούσομαι τῆς κραυγῆς αὐτῶν, [23]ὀργισϑήσεταί τε ὁ ϑυμός μου, κτενῶ τε ὑμᾶς ἐν ξίφει, καὶ τελέσουσιν αἱ γυναῖκες ὑμῶν χῆραι καὶ οἱ υἱεῖς ὑμῶν ὀρφανοί.

°[24]'Εὰν ἀργύριον δανείσῃς τῷ λεῷ μου τῷ πτωχῷ ξὺν σοί, οὐ τελέσεις αὐτῷ καϑὰ δανειστής, οὐ ϑήσετε ἐπ' αὐτῷ τόκον. [25]ἦν τῷ ἐνεχυράζειν ἐνεχυράσῃς περιβόλαιον τοῦ ἑταίρου σου, μέχρις ἂν δύοι ὁ ἥλιος ἀποστρέψεις αὐτό οἱ· [26]ἐκεῖνο γὰρ τὰ ἐσκεπασμένα οἱ, μόνον ἐκεῖνο τὸ περιβόλαιον αὐτοῦ τοῦ δέρματος αὐτοῦ· ἐν τίνι ἀνακλινεῖται; τελέσει δὲ ὅτι βοήσεται πρός με, καὶ ἀκούσομαι· ἐλεήμων γάρ εἰμι. [27]Θεοὺς οὐ βλασφημήσεις, ἄρχοντάς τε ἐν τῷ λεῷ σου οὐ καταράσῃ. [28]τὴν

---

10. τοῦ (2)] τῶν cod. 11. κἀν cod. et ed. 12. ἁρπαγῇ] ἁρπαγῆς cod. et ed. ac dein οἴσοι 14. μισϑαρνὸς ἐστὶν cod. 15. ἀνακλιϑεῖ cod. et ed. ἑδνῷ (sic, non ἑδνοῖ, cod. Cf. Gen. VI, 19 sq.)] excidit αὐτὴν (יִמְהָרֶנָּה). Ceterum cf. Prol. II, 2, f. 22. ἐὰν τῷ] ἑαυτῷ cod. αὐτῶν] l. αὐτοῦ (צַעֲקָתוֹ). 25. ἑτέρου cod. Recte jam ed. 27. ἄρχοντας] plural. pro sing. (נָשִׂיא).

πλήρωσίν σου καὶ τὸ δάκρυ σου οὐκ ἀναβαλῇ· τὸν πρωτότοκον τῶν υἱῶν σου δώσεις ἐμοί. [29] τῇδε ποιήσεις· τοῦ βοός σου, τοῦ προβάτου σου· ἑπτὰ ἡμέραις ὑπάρξει ξὺν τῇ μητρί οἱ, ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ δώσεις αὐτό μοι. [30] ἄνδρες τε ἁγιότητος τελέσετέ μοι· καὶ κρέας ἐν τῷ ἀγρῷ, ἅρπαγμα οὐκ ἔδεσθε, τῷ κυνὶ ῥίψετε αὐτό.

XXIII. [1] Οὐκ ἀρεῖς ἀκοὴν ψεύδους· μὴ θῇς τὴν χεῖρά σου ξὺν ἀσεβεῖ ὥστ' εἶναι μάρτυς ἀδικίας. [2] οὐ τελέσεις κατόπιν πολλῶν εἰς κακώσεις· οὐδ' ἀποκρινῇ ἐπὶ δίκῃ, ὡς κλίνοι κατόπιν πολλῶν ὥστε κλίνειν. [3] εὐτελῆ τε οὐ τιμήσεις ἐν τῇ δίκῃ αὐτοῦ. [4] Ἐπὰν ξυναντήσειας βοῒ ἐχθροῦ σου ἢ ὄνῳ αὐτοῦ πλανωμένῳ, τῷ ἀποστρέφειν ἀποστρέψεις αὐτὸν αὐτῷ. [5] Ἐπὰν θεάσαιο ὄνον μισοῦντός σε σηκούμενον ὑπὸ τῷ φορτίῳ αὐτοῦ, καὶ παύσαιο ἀπὸ τοῦ ἀφιέναι οἱ, τῷ ἀφιέναι ἀφήσεις ξὺν αὐτῷ.

[6] Οὐ κλινεῖς κρίσιν πένητός σου ἐν δίκῃ αὐτοῦ. [7] ἀπὸ λόγου ψεύδους ἀποστήσῃ. ἀθῷόν τε καὶ δίκαιον μὴ ἀποκτείνῃς· οὐ γὰρ δικαιώσω τὸν ἀσεβῆ. [8] δῶρόν τε οὐ λήψῃ· τὸ γὰρ δῶρον τυφλώσει ἀνεῳγότας καὶ σκολιώσει λόγους δικαίων. [9] πάροικον δὲ οὐ θλίψεις· καὶ ὑμεῖς ἔγνωτε τὴν ψυχὴν τοῦ παροίκου, ἐπεὶ πάροικοι ἐτελέσατε ἐν γῇ αἰγύπτου. [10] ἓξ μέντοι ἔτεσι σπερεῖς τὴν γῆν σου καὶ συνάξεις τὴν εἰσφορὰν αὐτῆς· [11] τῷ δ' ἑβδόμῳ παρήσεις καὶ καταλείψεις αὐτήν, ἔδονταί θ' οἱ πτωχοὶ τοῦ λεώ σου· τὸ δὲ περιττὸν αὐτῶν ἔδεται τὸ ζῶον τοῦ ἀγροῦ. τῇδε ποιήσεις τῷ ἀμπελῶνί σου, τῷ ἐλαιῶνί σου. [12] ἓξ ἡμέραις ἐργάσῃ τὰ ἔργα σου, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀναπαύσῃ· ὡς ἂν παύσηται ὁ βοῦς σου καὶ ὁ ὄνος σου, καὶ ἀναψύξῃ ὁ υἱὸς τῆς θεραπαίνης σου καὶ ὁ πάροικος. [13] κἂν πᾶσιν ἅπερ εἴρηκα πρὸς ὑμᾶς φυλάξεσθε· καὶ ὀνόματος θεῶν ἑτέρων οὐ μνησθήσεσθε, οὐδ' ἀκουσθήσεται ἐπὶ τοῦ στόματός σου. [14] τρισὶ βολαῖς ἑορτάσεις μοι ἐν τῷ ἔτει. [15] τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξεις· ἑπτὰ ἡμέραις ἔδῃ ἄζυμα, καθάπερ ἐκέλευσά σοι, ἐν τῷ καιρῷ τοῦ μηνὸς τῆς

---

29. τοῦ βοός σου κτλ.] utrumque τοῦ factum ex τῷ, at reliqua integra. Legendum fort. τῷ βοΐ σου, τῷ προβάτῳ σου, nisi forte intelligi vult: τῷ πρωτοτόκῳ τοῦ βοός σου κτλ. 30. τελέσετέ σοι cod.

XXIII. 2. κλίνοι] l. κλίνοις 7. ἀποκτείνῃς cod., non ἀποκτενεῖς ut ed. Primo ἀποκτεῖνε scriptum erat. 11. καταλήψεις cod. et ed.

φυταλίας· ἐπεὶ ἐν αὐτῷ ἐξῆλθες ἀπ' αἰγύπτου. καὶ οὐκ ὀφθήσεται τὸ πρόσωπόν μου κενῶς. [16] καὶ τὴν ἑορτὴν τοῦ ἀμητοῦ, τὰ πρωτότοκα τῶν ἔργων σου ἅπερ σπερεῖς ἐν τῷ ἀγρῷ· τὴν ἑορτὴν τῆς συναγωγῆς ἐν τῷ ἐξιέναι τὸ ἔτος, ἐπὰν συνάγοις τὰ ἔργα σου ἀπὸ τοῦ ἀγροῦ. [17] τρὶς ἐν τῷ ἔτει φανήσεται πᾶσα ἡ ἀρρενότης σου πρὸς τῷ προσώπῳ τοῦ δεσπότου τοῦ ὀντωτοῦ. [18] οὐ θύσεις ἐπὶ ζυμωτῷ αἷμα θυσίας μου, οὐδὲ μενεῖ στέαρ ἑορτῆς μου μέχρις ἕω. [19] τὴν ἀρχὴν τῶν πρωτοτόκων τῆς γῆς σου οἴσεις οἴκαδε τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου. οὐ μιστυλεῖς ἔριφον ἐν τῷ γάλακτι τῆς μητρὸς αὐτοῦ.

[20] Αὐτίκα ἐγὼ πέμπω ἄγγελον ἐπίπροσθέν σου, φυλάττειν σε ἐν τῇ ὁδῷ καὶ ἄγειν σε πρὸς τὸν τόπον ὃν ἡτοίμασα. [21] πεφύλαξο ἀπὸ προσώπου οἱ καὶ ἀκροῶ τῆς φωνῆς αὐτοῦ, μὴ μεταβάλῃς ἐν αὐτῷ· οὐ γὰρ ἀρεῖ τὰς ἀμπλακίας ὑμῶν, τὸ γὰρ ὄνομά μου ἐν μέσῳ αὐτοῦ. [22] ἣν γὰρ τῷ ἀκούειν ἀκούσῃ τῆς φωνῆς αὐτοῦ καὶ ποιήσῃς πάνθ' ὅσαπερ διαλέξομαι, καὶ ἐχθρανῶ τοῖς ἐχθροῖς σου θλίψω τε τοὺς θλίβοντάς σε· [23] ὅτι ἀπελεύσεται ὁ ἄγγελός μου πρόσθεν σου, καὶ ἄξει σε πρὸς τὸν ἐμόριον καὶ τὸν ἡταῖον, τόν τε περίτιον καὶ τὸν κεναάνιον, τὸν χευαῖον καὶ τὸν ἰεβουξαῖον· ἀρνήσομαί τ' αὐτόν. [24] οὐ προσκυνήσεις τοὺς θεοὺς αὐτῶν οὔτε λατρεύσεις αὐτοῖς οὔτε ποιήσεις κατὰ τὰ ἔργα σφῶν· τῷ γὰρ καθαιρεῖν καθελεῖς σφᾶς καὶ τῷ ξυντρίβειν ξυντρίψεις τὰ ἱδρύματα σφῶν. [25] λατρεύσετε δὲ τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν, καὶ εὐλογήσει τὸν ἄρτον σου καὶ τὸ ὕδωρ σου· ἀφελοῦμαί τε νόσον ἐκ τῶν μέσων σου. [26] Οὐκ ἔσται ἄτεκνος καὶ στεῖρα ἐν τῇ γῇ σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου πληρώσω. [27] τὸ θάμβος μου πέμψω πρὸ προσώπου σου καὶ ἐπιτρίψω ξύμπαντα τὸν λεὼν ᾧπερ ἐλεύσετε εἰς αὐτούς, δώσω τε ξύμπαντας τοὺς ἐχθρούς σου πρὸς σὲ νῶτον. [28] πέμψω τε τὸν σφῆκα ἐπίπροσθέν σου, καὶ ἐξελάσει τὸν χευαῖον, τὸν κεναάνιον τόν τε

---

15. φυταλίας] hoc accentu utitur. Cf. XIII, 4. XXXIV, 18 cet. 16. ἀμητοῦ] sic, non ἀμ., cod. Cf. Prol. I, 4, c. συνάγοις cod., non συνάγεις ut ed. 20. ἀγεῖν c. cd. ed. τόπον] ὀντωτὴν cod. et ed. Cf. Prol. II, 4, b. 22. τὸ ἀκούειν ἀκούσει — ποιήσεις cod. et ed. Cf. XIX, 5 etc. 23. ἄξει σε cod. Ed. σε om. περίτιον] l. περίζιον. Cf. III, 8. 17. Gen. XIII, 7 cet. 27. ἐλεύσεται cod. et ed. Mallem ἐλεύσῃ (בָּא). Cf. Gen. XV, 15.

ἠταῖον ἀπέμπροσϑέν σου. [29] οὐκ ἐξελάσω ε̄ ἀπὸ προσώπου σου ἐν ἔτει ἑνὶ, μήπως τελέση ἡ γῆ φρούδη καὶ πληϑυνϑῇ ἐπὶ σοῦ τὸ ϑηρίον τοῦ ἀγροῦ· [30] ὀλίγῳ ὀλίγῳ ἐξελάσω ε̄ ἀπὸ προσώπου σου, μέχρις ἂν αὐξήσαις καὶ κληρώσαιο τὴν γῆν. [31] ϑήσω τε τὸν ὅρον σου ἀπὸ ϑαλάττης τοῦ φύκους ἄχρι ϑαλάττης τῶν παλαιστίνων καὶ ἀπὸ τῆς ἐρήμου μέχρι τοῦ ποταμοῦ· ἐπὰν δοίην ἐν χειρὶ ὑμῶν τοὺς καϑέδρους τῆς γῆς, ἐξελάσω σφᾶς ἀπὸ προσώπου σου. [32] οὐ τεμεῖς αὐτοῖς καὶ τοῖς ϑεοῖς αὐτῶν ξυνϑήκην. [33] οὐ καϑεδοῦνται ἐν τῇ γῇ σου, μήπως ἁμαρτιώσωσί σε ἐμοί· ὅτι λατρεύσεις τοῖς ϑεοῖς σφῶν, ὅτι τελέσει σοι εἰς παγίδευμα.

XXIV. [1] Πρὸς μέντοι τὸν μωσέα ἔφη· ἀνάβα πρὸς τὸν ὀντωτὴν σὺ καὶ ἀαρὼν, ναδάβης καὶ ἀβιοῦς ἑβδομήκοντά τε ἀπὸ τῶν γερόντων τοῦ ἰσραέλου, καὶ προσκυνήσετε πόρρωϑεν. [2] ἤγγισεν οὖν μωσεὺς μόνος αὐτὸς πρὸς τὸν ὀντωτὴν, ἐκεῖνοι δὲ οὐκ ἤγγισαν· ὁ δὲ λεὼς οὐκ ἀνέλϑοιεν ξὺν αὐτῷ. [3] ἀφῖκται δὲ μωσεὺς καὶ διηγήσατο τῷ λεῷ ξύμπαντας τοὺς λόγους τοῦ ὀντωτοῦ καὶ ξυμπάσας τὰς κρίσεις, ἀποκέκριται δὲ πᾶς ὁ λεὼς φωνῇ μιᾷ καὶ εἶπον· πάντας τοὺς λόγους οὓς διείλεκται ὁ ὀντωτὴς ποιήσομεν. [4] ἔγραψε δὲ μωσεὺς ξύμπαντας τοὺς λόγους τοῦ ὀντωτοῦ· καὶ ὤρϑρισεν ἐν ἕῳ καὶ ἐδείματο ϑυτήριον ὑπὸ τῷ ὄρει, δυοκαίδεκά τε ἱδρύματα τοῖς δυοκαίδεκα σκήπτροις τοῦ ἰσραέλου. [5] καί ἔπεμψε τοὺς νέους τῶν υἱέων τοῦ ἰσραέλου, καὶ ἀνήνεγκαν ἀναφορὰς ἔϑυσάν τε ϑυσίας εἰρηναίας τῷ ὀντωτῇ, ταύρους. [6] ἔλαβε δὲ μωσεὺς τὸ ἥμισυ τοῦ αἵματος ἔϑηκέ τε ἐν ταῖς λεκάναις, τὸ ἥμισυ τοῦ αἵματος ἔρρανεν ἐπὶ τοῦ ϑυτηρίου. [7] καὶ ἔλαβε τὸ βιβλίον τῆς ξυνϑήκης ἀνέγνω τε ἐν ὠσὶ τοῦ λεὼ, καὶ εἶπον· πάνϑ' ὅσαπερ διείλεκται ὁ ὀντωτὴς ποιήσομεν καὶ ἀκούσομεν. [8] ἔλαβε δὲ μωσεὺς τὸ αἷμα καὶ ἔρρανεν ἐπὶ τοῦ λεὼ καὶ εἶπε· ϑεῶ τὸ αἷμα τοῦ στοιχήματος ὅπερ ἔτεμεν ὁ ὀντωτὴς ξὺν ὑμῖν ἐπὶ πᾶσι τοῖς λόγοις τούτοις. [9] ἀνέβη δὲ μωσεὺς καὶ ἀαρὼν, ναδάβης καὶ ἀβιοῦς καὶ ἑβδομήκοντα πρὸς τῶν πρεσβυτέρων τοῦ ἰσραέλου, [10] καὶ ἑωράκασι τὸν ϑεὸν τοῦ

---

29. τελέσει corr. τελέση cod. 30. ἀπὸ προσώπου μου cod. et ed. 31. ὅρον c. cd. ed. παλαιστίνων] cf. Gen. X, 14 (πελιστῖνοι). ἐξελάσω σφᾶς] וְגֵרַשְׁתִּים pro וְגֵרַשְׁתָּמוֹ. Item Sam. LXX. Hier.

XXIV. 2. ἂν ἔλϑοιεν cod. et ed. Cf. XIX, 24. 5. ἀνήνεγκαν cod., non ἀνήνεγκεν ut ed. 6. τοῖς corr. ταῖς cod.

ἰσραέλου· ὑπὸ μέντοι τοῖς ποσὶν αὐτοῦ καθάπερ ἔργον πλίνθου τοῦ σαπφείρου, καὶ ὥσπερ χρὼς τῶν οὐρανῶν τὴν καθαρότητα. [11] πρὸς μέντοι τοὺς ἐξαιρέτους τῶν υἱῶν ἰσραέλου οὐκ ἔπεμψε τὴν χεῖρά οἱ· τεθέανται δὲ τὸν θεόν, ἔφαγόν τε καὶ ἔπιον.

[12] Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἀνάβα πρός με ἐς τὸ ὄρος· τελέσει τε ἐκεῖ, καὶ δώσω σοι τὰς πλάκας τοῦ λίθου, τόν τε νόμον καὶ τὸ κέλευσμα ἅπερ ἔγραψα διδάξαι σφᾶς. [13] ἐγήγερται τοίνυν μωσεὺς καὶ ἰωσούας ὁ ὑπηρέτης αὐτοῦ, ἀνῆλθέ τε μωσεὺς πρὸς τὸ ὄρος τοῦ θεοῦ. [14] πρὸς δὲ τοὺς γέροντας ἔφη· καθέζεσθε ἡμῖν ἐνταυθοῖ μέχρις ἂν ὑποστρέψωμεν πρὸς ὑμᾶς· αὐτίκα τε ἀαρὼν καὶ οὔρης ξὺν ὑμῖν· τίς κύριος λόγων, ἐγγισάτω πρὸς αὐτούς. [15] ἀνέβη δὲ μωσεὺς πρὸς τὸ ὄρος, ἐκάλυψέ θ' ἡ νεφέλη τὸ ὄρος. [16] ᾤκησέ τε ἡ δόξα τοῦ ὀντωτοῦ ἐπὶ τοῦ ὄρους ξινάϊδος, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέραις. ἐβόησέ τε πρὸς μωσέα ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ μέσοθεν τῆς νεφέλης. [17] ἡ δὲ θέα τῆς δόξης τοῦ ὀντωτοῦ καθάπερ πῦρ ἐσθίον ἐν τῇ ἀκρωρείᾳ ἐπ' ὄμμασι τῶν υἱῶν τοῦ ἰσραέλου. [18] παρεγένετο δὲ μωσεὺς μέσον τῆς νεφέλης, ἀνέβη τε πρὸς τὸ ὄρος· ἐτέλεσέ τε μωσεὺς ἐν τῷ ὄρει τετταράκοντα ἡμέραις καὶ τετταράκοντα νυξί.

ριη' οξιαλ

XXV. (μερίς)

[1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάσκειν· [2] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου, καὶ λαβέτωσάν μοι ἔπαρμα· πρὸς παντὸς ἀνδρὸς ὃν ἂν προθυμοποιοίη ἡ καρδία οἱ λήψεσθε τὸ ἔπαρμά μου. [3] τοδὶ τὸ ἔπαρμα ὅπερ λήψεσθε παρ' αὐτῶν· χρυσός, ἄργυρός τε καὶ χαλκός, [4] ὑάκινθός τε καὶ πορφύρα καὶ σκώληξ ἐρυθρός, λῖνόν τε καὶ αἶγας, [5] δέρματά τε κριῶν ἠρυθρωμένα καὶ δέρματα παρδάλεως καὶ ξύλα κυπαρίττων· [6] ἔλαιόν τε τῷ λαμπτῆρι, ἀρώματα τῷ ἐλαίῳ τῆς ἀλοιφῆς καὶ τῷ θυμιάματι τῶν ἀρωμάτων· [7] λίθους κρυστάλλου καὶ λίθους πληρωμάτων τῇ ἐπωμίδι καὶ τῷ ἐπιστηθίῳ. [8] καὶ ποιήσετέ μοι ἱερόν, καὶ κατοικήσω μέσον ὑμῶν· [9] κατὰ πᾶν ὅπερ ἐγὼ δείκνυμί σοι, τὸ σχῆμα τοῦ κατοικήματος καὶ τὸ σχῆμα πάντων τῶν σκευῶν αὐτοῦ, καὶ τῇδε ποιήσετε.

---

11. τεθέαται cod. et ed. 12. τελέσει τε] וְהָיָה pro וֶהְיֵה. An legendum τελέσῃ τε? 14. ὑποστρέψημεν cod. 15. ἔκαμψε corr. ἐκάλυψε cod.

XXV. 3. πρὸς αὐτῶν c. cd. ed. 4. λῖνον, non λίνον, cod. Cf. Prol. I, 4, c. αἶγες? 8. ποιήσετε] וַעֲשׂוּ pro וְעָשׂוּ. Item v. 10.

°[10] Καὶ ποιήσετε χηλὸν ξύλων κυπαρίττων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος αὐτῆς, πήχεως δὲ καὶ ἡμίσεως τὸ εὖρος αὐτῆς, πήχεώς τε καὶ ἡμίσους τὸ ὕψος αὐτῆς· [11] ἐμπλάσεις δὲ ταύτην χρυσῷ καθαρῷ, οἴκοθεν καὶ θύραθεν ἐμπλάσεις αὐτήν· ποιήσεις τε ἐπ' αὐτῆς στεφάνην χρυσοῦ κύκλῳ· [12] χεεῖς τέ οἱ τέτταρας κρίκους χρυσοῦ καὶ δώσεις ἐπὶ τῶν τεττάρων γωνιῶν αὐτῆς· δύο δὲ κρίκω ἐπὶ τῆς πλευρᾶς αὐτῆς τῆς μιᾶς, καὶ δύο κρίκω ἐπὶ τῆς πλευρᾶς αὐτῆς τῆς δευτέρας. [13] ποιήσεις τε μοχλοὺς ξύλων κυπαρίττων, καὶ ἐμπλάσεις αὐτοὺς χρυσῷ· [14] οἴσεις τε τοὺς μοχλοὺς εἰς τοὺς κρίκους ἐπὶ τῆς πλευρᾶς τῆς χηλοῦ, ὥστε αἴρειν τὴν χηλὸν ἐν αὐτοῖς. [15] ἐν τοῖς κρίκοις τῆς χηλοῦ τελέσουσιν οἱ μοχλοί, οὐκ ἀφαιρεθήσονται ἀπ' αὐτῆς. [16] δώσεις τε πρὸς τὴν χηλὸν τὴν μαρτυρίαν ἣν δώσω πρὸς σέ. [17] καὶ ποιήσεις σκέπην χρυσοῦ καθαροῦ, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος αὐτῆς, πήχεως δὲ καὶ ἡμίσους τὸ εὖρος αὐτῆς. [18] ποιήσεις τε δύο κερούβω χρυσοῦ· συνεχῆ ποιήσεις αὐτὼ πρὸς τοῖν δυοῖν ἄκροιν τῆς σκέπης· [19] ποίησον δὲ κεροῦβον ἕνα πρὸς τοῦ ἄκρου ἐντεῦθεν, κεροῦβόν θ' ἕνα πρὸς τοῦ ἄκρου ἐκεῖθεν· ἀπὸ τῆς σκέπης ποιήσεις τοὺς κερούβους ἐπὶ τοῖν δυοῖν ἄκροιν αὐτῆς· [20] τελέσουσι δὲ οἱ κεροῦβοι τείνοντες τὰς πτέρυγας ἄνω, κυκλοῦντες ἐν ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τῆς σκέπης, τὰ δὲ πρόσωπα σφῶν ἑκατέρου πρὸς τὸν ἀδελφὸν αὐτοῦ· πρὸς τὴν σκέπην τελέσουσι τὰ πρόσωπα τῶν κερούβων. [21] δώσεις δὲ τὴν σκέπην ἐπὶ τῆς χηλοῦ ἄνωθεν, καὶ πρὸς τὴν χηλὸν δώσεις τὴν μαρτυρίαν ἣν δώσω πρὸς σέ. [22] ὁριοῦμαι δέ σοι ἐκεῖ, καὶ διαλέξομαι ξὺν σοὶ ἄνωθεν τῆς σκέπης, μεταξύθεν τοῖν δυοῖν κερούβοιν τοῖν ἐπὶ τῆς χηλοῦ τῆς μαρτυρίας, ξύμπαντα ἅπερ κελεύσω σοι πρὸς τοὺς υἱέας τοῦ Ἰσραέλου.

[23] Ποιήσεις τε τράπεζαν ξύλων κυπαρίττων, δίπηχυ τὸ μῆκος αὐτῆς καὶ πῆχυς τὸ εὖρος αὐτῆς, πῆχυς δὲ καὶ ἥμισυς τὸ ὕψος

12. τέτταρας] τέτταρες c. cd. ed. 14. τῆς πλευρᾶς] l. τῶν πλευρῶν (צַלְעֹת) ut XXXVII, 5. ἐν αὐτοῖς] αὐτῆς cod. et ed. Sed inter χηλὸν et αὐτῆς spatium trium fere literarum vacuum (בַּדִּים). Cf. v. 28. 18. αὐτῷ c. cd. ed. 19. ποιήσεις] legit תַּעֲשֶׂה (ita codd. nonn. Kenn. et Ross., Sam.) pro תֵּעָשֶׂה t. rec. Consentiunt LXX. Syr. Hier. Arabs. 20. κυκλοῦντες] סֹבְבִים pro סֹכְכִים τῆς σκέπης cod., non ταῖς σκέπαις ut ed. σκέπην cod., non σκέπιν 21. δώσεις τε c. cd. ed.

αὐτῆς· [24] ἐμπλάσεις δὲ ταύτην χρυσῷ καθαρῷ, καὶ ποιήσεις ταύτῃ ἐπίπηχυ χρυσοῦ κύκλῳ· [25] ποιήσεις τε ταύτῃ περίκλεισμα παλαιστῆς κύκλῳ, ποιήσεις τ' ἐπίπηχυ χρυσοῦ τῷ περικλείσματι ταύτης κύκλῳ· [26] ποιήσεις τέ οἱ τέτταρας κρίκους χρυσοῦ, καὶ δώσεις τοὺς κρίκους ἐπὶ τὰ τέτταρα μέρη τὰ τῶν τεττάρων ποδῶν αὐτῆς. [27] ἀντικρὺ τοῦ περικλείσματος τελέσουσιν οἱ κρίκοι εἰς οἰκίας τοῖς μοχλοῖς, ὡς αἴροιεν τὴν τράπεζαν. [28] ποιήσεις τε τοὺς μοχλοὺς ξύλων κυπαρίττων, περιπλάσεις τε σφᾶς χρυσῷ· ἀρθήσεται γοῦν ἐν αὐτοῖς ἡ τράπεζα. [29] ποιήσεις τε τὰ τρυβλία ταύτης τούς τ' αὐτῆς δοίδυκας καὶ τοὺς αὐτῆς καλάμους τούς τε παττάλους αὐτῆς, οἷς καλυφθήσεται ἐν αὐτοῖς, χρυσοῦ καθαροῦ ποιήσεις αὐτούς. [30] δώσεις δ' ἐπὶ τῆς τραπέζης ἄρτον προσώπου ἐνώπιόν μου διηνεκῶς.

[31] Ποιήσεις δὲ λαμπτῆρα χρυσοῦ καθαροῦ, συνεχῆ ποιήσεις τὸν λαμπτῆρα· τὸν μηρὸν αὐτοῦ καὶ τὸν κάλαμον αὐτοῦ, τὰς φιάλας αὐτοῦ, τὰ μῆλα αὐτοῦ καὶ τὰ ἄνθη αὐτοῦ, ἐξ αὐτοῦ τελέσουσιν. [32] ἓξ τε κάλαμοι ἐξιόντες πρὸς τῶν πλαγίων οἱ· τρεῖς κάλαμοι τοῦ λαμπτῆρος πρὸς τοῦ πλαγίου αὐτοῦ τοῦ ἑνὸς, τρεῖς τε κάλαμοι τοῦ λαμπτῆρος πρὸς τοῦ πλαγίου αὐτοῦ τοῦ δευτέρου. [33] τρεῖς φιάλαι ἀμυγδαλωταὶ ἐν τῷ καλάμῳ τῷ ἑνὶ, μῆλον καὶ ἄνθος, τρεῖς τε φιάλαι ἀμυγδαλωταὶ ἐν τῷ καλάμῳ τῷ ἑνὶ, μῆλον καὶ ἄνθος· οὕτω τοῖς ἓξ καλάμοις τοῖς ἐξιοῦσιν ἀπὸ τοῦ λαμπτῆρος. [34] κἀν τῷ λαμπτῆρι τέτταρες φιάλαι ἀμυγδαλωταὶ, τὰ μῆλα αὐτοῦ καὶ τὰ ἄνθη αὐτοῦ· [35] καὶ μῆλον ὑπὸ τοῖν δυοῖν καλάμοιν ἀπ' αὐτοῦ, μῆλόν τε ὑπὸ τοῖν δυοῖν καλάμοιν ἀπ' αὐτοῦ, καὶ μῆλον ὑπὸ τοῖν δυοῖν καλάμοιν ἀπ' αὐτοῦ· τοῖς ἓξ καλάμοις τοῖς προϊοῦσιν ἀπὸ τοῦ λαμπτῆρος. [36] τὰ μῆλα σφῶν καὶ οἱ κάλαμοι σφῶν ἀπ' αὐτοῦ τελέσουσιν, ὅλου συνεχοῦς ἑνὸς χρυσοῦ καθα-

---

24. ταύτῃ] ταύτην cod. et ed. Item v. sq. ἐπίπηχυ] ἐπὶ πῆχυ cod. et ed. Cf. v. sq. 29. τρυβλία] hoc accentu utitur. πατάλους cod. et ed. Cf. XXXVII, 16. Num. IV, 7. 31. ποιήσεις (2)] legit תֵּעָשֶׂה (ita multi codd., Sam.) pro תֵּיעָשֶׂה. Item LXX. Syr. Ar. 32. τῶν πλαγίων] τοῦ πλαγίου cod. et ed. Cf. XXXVII, 18. τοῦ πλαγίου (1) cod. Ed. τοῦ om. 33. ἓξ ipsi addidimus (לְשֵׁשֶׁת). In codice inter τοῖς et καλάμοις spatium trium fere literarum vacuum. 35. ἓξ] δὲ cod. et ed. Unde intelligitur qui factum sit ut Amm. opinaretur, ultimum hujus versus membrum (לְשֵׁשֶׁת — מִן־הַמְּנֹרָה) in versione Veneta non legi (cf. Comment. p. 17).

ροῦ. [37]ποιήσεις δὲ τοὺς λύχνους αὐτοῦ ἑπτά· καὶ ἀνοίσεις τοὺς λύχνους αὐτοῦ, καὶ φωτιεῖ ἐπὶ τὸ πέραν τοῦ προσώπου αὐτοῦ. [38]αἱ δὲ λαβίδες αὐτοῦ καὶ τὰ ϑυμιατήρια αὐτοῦ χρυσοῦ καϑαροῦ. [39]ταλάντου χρυσοῦ καϑαροῦ ποιήσει αὐτὸν ξὺν πᾶσι τοῖς σκεύεσι τούτοις. [40]ϑεῶ δὲ καὶ ποίησον κατὰ τὸ σχῆμα σφῶν ὅπερ σὺ δεικνὺς ἐν τῷ ὄρει.

XXVI. [1]Τὸ δ' οἴκημα ποιήσεις· δέκα αὐλαίας λίνου νενησμένου καὶ ὑακίνϑου καὶ πορφύρας καὶ σκώληκος ἐρυϑροῦ· κερούβους, ἔργον λελογισμένου ποιήσεις αὐτούς. [2]μῆκος τῆς αὐλαίας τῆς μιᾶς ὀκτὼ καὶ εἴκοσι πήχεων, πλάτος δὲ τεττάρων πήχεων ἡ αὐλαία ἡ μία· μέτρον ἓν πάσαις ταῖς αὐλαίαις. [3]αἱ πέντε αὐλαῖαι τελέσουσι συναπτόμεναι ἑκάστη πρὸς τὴν ἀδελφὴν ἑαυτῆς, καὶ αἱ πέντε αὐλαῖαι συναπτόμεναι ἑκάστη πρὸς τὴν ἀδελφὴν ἑαυτῆς. [4]ποιήσεις δὲ ἀγκύλας ὑακίνϑου ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς ἀπ' ἄκρου ταύτης ἐς τὴν συναπτομένην· τῇδέ τε ποιήσεις ἐν τῷ χείλει τῆς αὐλαίας τῆς ἐσχάτης πρὸς τὴν συναπτομένην τὴν δευτέραν. [5]πεντήκοντα ἀγκύλας ποιήσεις ἐν τῇ αὐλαίᾳ τῇ μιᾷ, πεντήκοντά τε ἀγκύλας ποιήσεις ἐν τῷ ἄκρῳ τῆς αὐλαίας τῷ ἐς τὴν συναπτομένην τὴν δευτέραν, συναγουσῶν τῶν ἀγκυλῶν ἑκάστην πρὸς τὴν ἀδελφὴν αὐτῆς. [6]ποιήσεις τε πεντήκοντα ἀγκυρίδας χρυσοῦ, καὶ συνάψεις τὰς αὐλαίας ἑκάστην πρὸς τῇ ἀδελφῇ ταύτης ἐν ταῖς ἀγκυρίσι· καὶ τελέσει τὸ οἴκημα ἕν.

[7]Ποιήσεις δὲ αὐλαίας αἰγῶν τῇ σκηνῇ ἐπὶ τοῦ οἰκήματος· δυοκαίδεκα αὐλαίας ποιήσεις αὐτάς. [8]μῆκος τῆς αὐλαίας τῆς μιᾶς τριάκοντα ἐν πήχει, καὶ εὖρος τέτταρες ἐν πήχει τῆς αὐλαίας τῆς μιᾶς· μέτρον ἓν ταῖς δυοκαίδεκα αὐλαίαις. [9]συνάψεις δὲ τὰς πέντε αὐλαίας χωρὶς καὶ τὰς ἓξ αὐλαίας χωρίς, διπλώσεις μέντοι τὴν αὐλαίαν τὴν ἕκτην προσαντικρὺ τοῦ προσώπου τῆς σκηνῆς. [10]ποιήσεις δὲ πεντήκοντα ἀγκύλας ἐπὶ τοῦ χείλους τῆς

---

37. ἀνοίσεις] הֶעֱלִית (ita Sam.) pro הֶעֱלָה. Item LXX. Hier. 40. κατὰ τὸ σχῆμα] כְּתַבְנִיתָם (ita codd. nonn.) pro בְּתַ. Item LXX. Hier.

XXVI. 1. Τό τ' οἴκημα c. cd. ed. νενημένου cod. et ed. Cf. v. 31. 36 cet. σκώλυκος cod. 3. αὐτῆς (ut ed.) corr. ἑαυτῆς (bis) cod. 7. Invito textu Masoretico sectio hoc loco (non etiam v. 6 ut in ed.) facta est. Cf. Prol. II, 1, a. δυοκαίδεκα (עַשְׁתֵּי־עֶשְׂרֵה)] cf. Deut. I, 3. Item v. sq. 9. πρὸς ταντικρὺ cod., πρός τ' ἀντικρὺ ed. Cf. XXXIX, 18. Num. VIII, 2. 3. XIX, 4.

αὐλαίας τῆς μιᾶς, τῆς ἐσχάτης πρὸς τὴν συναπτομένην, πεντήκοντά τε ἀγκύλας ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς συναπτομένης τῆς δευτέρας. [11] καὶ ποιήσεις ἀγκυρίδας χαλκοῦ πεντήκοντα, καὶ οἴσεις τὰς ἀγκυρίδας ἐς τὰς ἀγκύλας, συνάψεις τε τὴν σκηνήν, καὶ τελέσει μία. [12] τὸ δ' ὑπερέχον τὸ περιττεῦσαν ἐν ταῖς αὐλαίαις τῆς σκηνῆς, τὸ ἥμισυ τῆς αὐλαίας τὸ περιττεῦσαν περιττεύσεις ἐπὶ τοῦ κατόπιν τοῦ οἰκήματος· [13] ὁ πῆχυς δὲ ἐντεῦθεν καὶ ὁ πῆχυς ἐντεῦθεν ἐν τῷ περιττεύοντι, ἐν τῷ μήκει τῶν αὐλαιῶν τῆς σκηνῆς, τελέσει περιττεῦον ἐπὶ τοῖς πλαγίοις τοῦ οἰκήματος ἐντεῦθεν κἀκεῖθεν ὡς σκέποιτον αὐτό. [14] ποιήσεις δὲ σκέπασμα τῇ σκηνῇ δερμάτων κριῶν ἐρυθρῶν, καὶ σκέπασμα δερμάτων παρδάλεων ἄνωθεν.

[15] Ποιήσεις μέντοι τὰς σανίδας τοῦ οἰκήματος ξύλων κυπαρίττων ἑστηκότων· [16] δέκα πήχεων τὸ μῆκος τῆς σανίδος, πῆχυς δὲ καὶ ἥμισυς τοῦ πήχεος τὸ εὖρος τῆς σανίδος τῆς μιᾶς· [17] δύο θαιρὼ τῇ σανίδι τῇ μιᾷ ἡρμοσμέναις ἑκάστης πρὸς τὴν ἀδελφὴν αὐτῆς· τῇδε ποιήσεις πάσαις ταῖς σανίσι τοῦ οἰκήματος. [18] ποιήσεις δὲ τὰς σανίδας τοῦ οἰκήματος· εἴκοσι σανίδας τῷ μέρει πρὸς νότον ἐς δεξιότητα. [19] καὶ τετταράκοντα θυΐσκας ἀργύρου ποιήσεις ὑπὸ ταῖς εἴκοσι σανίσι· δύο θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ τοῖν δυοῖν θαιροῖν αὐτῆς, δύο τε θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ τοῖν δυοῖν θαιροῖν αὐτῆς. [20] καὶ τῇ πλευρᾷ τοῦ οἰκήματος τοῦ δευτέρου πρὸς τὸ κλίμα τῶν ἄρκτων εἴκοσι σανίδας· [21] τετταράκοντά τε θυΐσκας αὐτῶν ἀργύρου· δύο θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ, καὶ δύο θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ. [22] τοῖς δὲ μέρεσι τοῦ οἰκήματος πρὸς θάλατταν ποιήσεις ἓξ σανίδας· [23] δύο τε σανίδε ποιήσεις ταῖς γωνίαις τοῦ οἰκήματος ἐν τοῖς μέρεσι, [24] τελέσετόν τε διδύμω

---

12. τῆς σκηνῆς] τῶν σκηνῶν cod. et ed. περιττεύσεις] sic cod., non περιττεύσειεν ut ed. 13. ἐντεῦθεν (2)] l. ἐκεῖθεν. Cf. not. ad XXXVII, 8. τῆς σκηνῆς cod., non τῶν σκηνῶν ut ed. τοῖς πλαγίοις cod., non τῆς πλαγίας σκέποιτον] sic. Cf. Gen. II, 25. XIII, 6 cet. 17. ἑκάστης] l. ἑκάστη. An voluit ἡρμοσμένης (ἡρμωσμ. cod. et ed.) ἑκάστης? 19. θυΐσκας cod., non θυΐσκους ut ed. θυΐσκα (1)] θυΐσκας cod. Ed. rursus θυΐσκους θαιροῖν (1)] θεροῖν cod. et ed. θυΐσκα (2)] θαιρῶ cod. et ed. τῇ σανίδι (2) addidimus invito codice. 20. κλῆμα (ut ed.) minio corr. κλίμα cod. Cf. Prol. I, 3, c. 21. θύϊσκα (bis) c. cd. ed. Item v. 25. 23. σανίδε] σανίδα cod. et ed.

κάτωθεν· καὶ ἅμα τελέσουσι τέλειον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ πρὸς τὸν κρίκον τὸν ἕνα· τῇδε τελέσει ἀμφοῖν αὐτοῖν, τοῖν δυοῖν γωνίαιν τελέσουσιν. [25] ὑπάρξουσί τε ὀκτὼ σανίδες, καὶ θυῖσκαι σφῶν ἀργύρου, ἑξκαίδεκα θυῖσκαι· δύο θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ, δύο τε θυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ. [26] ποιήσεις τε μοχλοὺς ξύλων κυπαρίττων πέντε ταῖς σανίσι τῆς πλευρᾶς τοῦ οἰκήματος τοῦ ἑνός, [27] καὶ πέντε μοχλοὺς ταῖς σανίσι τῆς πλευρᾶς τοῦ οἰκήματος τοῦ δευτέρου, καὶ πέντε μοχλοὺς ταῖς σανίσι τῆς πλευρᾶς τοῦ οἰκήματος μέρη τὰ πρὸς θάλατταν. [28] ὁ δὲ μοχλὸς ὁ ἔσω μέσον τῶν σανίδων, μοχλῶν ἀπ' ἄκρου πρὸς ἄκρον. [29] τὰς δὲ σανίδας ἐμπλάσεις χρυσῷ, καὶ τοὺς κρίκους αὐτῶν ποιήσεις χρυσοῦ, οἴκους τοῖς μοχλοῖς· εἰλήσεις τε τοὺς μοχλοὺς χρυσῷ. [30] καὶ ἐγερεῖς τὸ οἴκημα κατὰ τὸ πρέπον αὐτῷ ὅπερ ἔδειξας ἐν τῷ ὄρει. [31] Ποιήσεις τε αὐλαίαν ὑακίνθου πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ, λίνου τε νενησμένου· ἔργον λογιζομένου ποιήσει αὐτήν, κερούβους· [32] δώσεις τε ταύτην ἐπὶ τεττάρων στύλων κυπαρίττων περιπεπλασμένων χρυσῷ· οἱ δὲ πάτταλοι σφῶν χρυσοῦ, ἐπὶ τεττάρων θυϊσκῶν ἀργύρου. [33] δώσεις δὲ τὴν αὐλαίαν ὑπὸ ταῖς ἀγκυρίσι, καὶ οἴσεις ἐκεῖσε ἔσωθεν τῆς αὐλαίας τὴν χηλὸν τῆς μαρτυρίας· διαστελεῖ τε ἡ αὐλαία ὑμῖν ἀνὰ τὸ ἅγιον καὶ ἀνὰ τὸ ἅγιον τῶν ἁγίων. [34] δώσεις τε τὴν αὐλαίαν ἐπὶ τῆς χηλοῦ τῆς μαρτυρίας ἐν τῷ ἁγίῳ τῶν ἁγίων. [35] καὶ θήσεις τὴν τράπεζαν ἔξωθεν τῆς αὐλαίας, καὶ τὸν λαμπτῆρα ἀντικρὺ τῆς τραπέζης ἐπὶ τῆς πλευρᾶς τοῦ οἰκήματος πρὸς μεσημβρίαν· τὴν δὲ τράπεζαν δώσεις ἐπὶ τῆς πλευρᾶς τῶν ἄρκτων. [36] ποιήσεις τε κάλυμμα τῇ πύλῃ τῆς σκηνῆς ὑακίνθου, πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ καὶ λίνου νενησμένου, ἔργον ποικίλλοντος. [37] ποιήσεις δὲ τῷ καλύμματι πέντε στύλους κυπαρίττου, καὶ ἐμπλάσεις σφᾶς χρυσῷ· οἱ πάτταλοι σφῶν χρυσοῦ· χεεῖς τε σφίσι πέντε θυΐσκας χαλκοῦ.

XXVII. [1] Καὶ ποιήσεις τὸ θυτήριον ξύλων κυπαρίττου, πέντε πήχεων μήκους καὶ πέντε πή-

---

24. τέλειον] exspectaveris τέλειοι (תְּמִימִם). 25. ἑξκαίδεκα] sic, non ἑκκ. (nec ἓξ καὶ δ. ut ed.), cod. 29. αὐτῶν] αὐτῆς cod. et ed. 31. κερούβους cod., non κερούβης ut ed. 32. θυΐσκων (ut ed.) corr. θυϊσκῶν cod. 34. τὴν αὐλαίαν] הַכַּפֹּרֶת (ita codd. Kenn. 80. 84) pro הַפָּרֹכֶת. Cf. XXXVI, 35. XL, 21. τοῦ χηλοῦ cod. et ed. 36. σκώλυκος cod. et ed.

χεων εὖρους· τετράγωνον τελέσει τὸ ϑυτήριον, τριῶν τε πήχεων τὸ ὕψος αὐτοῦ. [2]καὶ ποιήσεις τὰ κέρατά οἱ ἐπὶ τῶν τεττάρων γωνιῶν αὐτοῦ· ἀφ' ἑαυτοῦ τελέσουσι τὰ κέρατά οἱ· καὶ εἰλήσεις αὐτὸ χαλκῷ. [3]ποιήσεις τε τοὺς λέβητας αὐτοῦ ὥστε λιπαίνειν αὐτὸ, καὶ τὰ ξύστρα οἱ τά τε ῥάντιστρά οἱ καὶ τὰς κρεάγρας αὐτοῦ καὶ τὰ πυρεῖά οἱ· πάντα τὰ σκεύη αὐτοῦ ποιήσεις χαλκοῦ. [4]ποιήσεις τέ οἱ κοσκίνωμα, ἔργον δικτύου, χαλκοῦ· ποιήσεις τε ἐπὶ τοῦ δικτύου τέτταρας κρίκους χαλκοῦ ἐπὶ τῶν τεττάρων ἄκρων αὐτοῦ. [5]δώσεις τε αὐτοὺς ὑπὸ τῷ κυκλώματι τοῦ ϑυτηρίου κάτωϑεν· τελέσει τε τὸ δίκτυον ἄχρις ἡμίσους τοῦ ϑυτηρίου. [6]ποιήσεις τε μοχλοὺς τῷ ϑυτηρίῳ, μοχλοὺς ξύλων κυπαρίττων, εἰλήσεις τε αὐτοὺς χαλκῷ. [7]καὶ ἐνεχϑήσονται τὼ μοχλώ οἱ ἐν τοῖς κρίκοις, τελέσουσί τε τὼ μοχλὼ ἐπὶ ταῖν δυοῖν πλευραῖν τοῦ ϑυτηρίου ἐν τῷ αἴρεσϑαι αὐτό. [8]κενὸν πλάκας ποιήσεις αὐτό· καϑάπερ ἔδειξε πρὸς σὲ ἐν τῷ ὄρει, τῇδε ποιήσουσι.

[9]Ποιήσεις τε τὴν αὐλὴν τοῦ οἰκήματος· πρὸς κλίμα νότου πρὸς μεσημβρίαν σφενδόνας τῇ αὐλῇ λίνου νενησμένου, ἑκατὸν ἐν πήχει τὸ μῆκος τοῦ μέρους ἑνός· [10]οἱ δὲ στύλοι αὐτοῦ εἴκοσι καὶ ϑυῖσκαι σφῶν εἴκοσι χαλκοῦ, οἱ πάτταλοι τῶν στύλων καὶ τὰ εἰλήματα σφῶν ἀργύρου. [11]τῇδέ τε τῷ κλίματι τῶν ἄρκτων ἐν μήκει σφενδόνας ἑκατὸν μήκους, καὶ στύλων αὐτοῦ εἴκοσι καὶ ϑυϊσκῶν αὐτῶν εἴκοσι χαλκοῦ· πάτταλοι τῶν στύλων καὶ εἰλήματα σφῶν ἀργύρου. [12]πλάτος δὲ τῆς αὐλῆς πρὸς κλίμα ϑαλάττης σφενδόναι πεντήκοντα πήχεων· στύλοι σφῶν δέκα ϑυΐσκαι τε σφῶν δέκα. [13]πλάτος δὲ τῆς αὐλῆς πρὸς κλίμα πρὸς φϑάσιν, πρὸς ἀνατολὰς, πεντήκοντα πήχεων. [14]πεντεκαίδεκά τε πήχεων σφενδόναι τῷ ὤμῳ· στύλοι σφῶν τρεῖς ϑυΐσκαι τ' αὐτῶν τρεῖς. [15]τῷ δ' ὤμῳ τῷ δευτέρῳ πεντεκαίδεκα σφενδόναι· στύλοι σφῶν τρεῖς καὶ ϑυΐσκαι σφῶν τρεῖς. [16]τῇ δὲ πύλῃ τῆς αὐλῆς κάλυμμα εἰκοσάπηχυ ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ

XXVII. 3. τὴν ξύστρα cod. et ed. Cf. XXXVIII, 3. Num. IV, 14. πυρεῖα cod., non πηρεῖα, ut Mor. profert. 5. αὐτοὺς] l. αὐτὸ, sc. τὸ δίκτυον, nisi forte אֹתָהּ cum אֹתָם confudit. 8. κενὸν — αὐτό] haec omissa erant in editione ipsumque Morellium fugerunt. 10. στύλοι] sic cod. Item v. 12 sqq. Cf. Prol. I, 4, c. 11. κλίσματι cod. et ed. ϑυΐσκιῶν (sic) cod. et ed. πάτταλοι] καὶ invito codice add. ed. 13. τῶν αὐλῶν cod. et ed. Cf. Prol. I, 3, a. 16. τῇ δὲ] τῇδε cod. et ed.

καὶ λίνου κεκλωσμένου, ἔργον ποικιλτοῦ· οἱ στύλοι σφῶν τέτταρες, αἱ ϑυΐσκαι σφῶν τέτταρες. [17] πάντες οἱ στύλοι τῆς αὐλῆς κύκλῳ περιειλημένοι ἀργύρῳ· οἱ πάτταλοι σφῶν ἀργύρου καὶ αἱ ϑυΐσκαι σφῶν χαλκοῦ. [18] μῆκος τῆς αὐλῆς ἑκατὸν ἐν πήχει, καὶ εὖρος πεντήκοντα ἐν πεντήκοντα, καὶ ὕψος πέντε πήχεων λίνου κεκλωσμένου, ϑυΐσκαι τε σφῶν χαλκοῦ. [19] ξύμπαντα τὰ σκεύη τοῦ οἰκήματος ἐν πάσῃ τῇ ὑπηρεσίᾳ αὐτοῦ, πάντες ϑ' οἱ πάτταλοι αὐτοῦ καὶ πάντες οἱ πάτταλοι τῆς αὐλῆς χαλκοῦ.

ϛʹ ξλϛ

(*μερίς*) [20] Cὺ δὲ κελεύσεις τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ λήψονται πρὸς σὲ ἔλαιον ἐλαίας καϑαρὸν ϑλάσεως τῷ λαμπτῆρι, ὥστ' ἀναφέρειν λύχνον συνεχῶς. [21] ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, ϑύραϑεν τῆς αὐλαίας τῆς ἐπὶ τῆς μαρτυρίας, τάξει αὐτὸ ὁ ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ ἀφ' ἑσπέρας ἐς ἕω ἐνώπιον τοῦ ὀντωτοῦ· τύπος αἰῶνος ταῖς γενεαῖς σφῶν πρὸς τῶν υἱέων τοῦ ἰσραέλου.

XXVIII. [1] Cὺ δὲ ἔγγισον πρὸς σαυτὸν ἀαρῶνα τὸν ἀδελφόν σου καὶ τοὺς υἱεῖς αὐτοῦ σὺν αὐτῷ μέσοϑεν τῶν υἱέων τοῦ ἰσραέλου, ὥσϑ' ἱερατεύειν αὐτόν μοι· τὸν ἀαρῶνα, τὸν ναδάβην καὶ τὸν ἀβιοῦντα, ἐλαζάρην καὶ ἠϑαμάρην, τοὺς υἱέας τοῦ ἀαρῶνος. [2] ποιήσεις δὲ περιβολὰς ἁγίου ἀαρῶνι τῷ ἀδελφῷ σου, εἰς δόξαν καὶ εἰς καλλονήν. [3] σύ τε διαλέξῃ πρὸς πάντας τοὺς σοφοὺς τὴν καρδίαν, ὧν ἔπλησά ἑ πνεύματος σοφίας, καὶ ποιήσουσι τὰς στολὰς τοῦ ἀαρῶνος, ὥσϑ' ἁγιάσαι οἱ ἱερατεύειν μοι· [4] αὗται δὲ αἱ στολαὶ ἃς ποιήσουσιν· ἐπιστήϑιον, ἐπωμίδα τε καὶ ἄμπυκα καὶ χιτῶνα φολιδωτὸν, καλύπτραν καὶ γλουτοζώνην· ποιήσουσί τε περιβόλαια ἁγίου ἀαρῶνι τῷ ἀδελφῷ σου καὶ τοῖς υἱέσιν αὐτοῦ, ἱερατεύειν αὐτόν μοι. [5] αὐτοὶ δὲ λήψονται τὸν χρυσὸν τόν ϑ' ὑάκινϑον καὶ τὴν πορφύραν καὶ τὸν σκώληκα τὸν ἐρυϑρὸν καὶ τὸν λῖνον.

τέτταρες (2) cod., non τέτταρα ut ed. 17. περιειλημένοι (sic) cod., non περιειλημμένοι 20. ϑλα .... cod., ϑλαστὸν Mor. legi vult. Sed in locis parallelis (XXIX, 40. Lev. XXIV, 2) substantivo (κοπή, κόμμα) utitur. Ed. κοπῆς 21. τάξει] .. ξει cod.

XXVIII. 3. ἱερατεύειν] excidit αὐτὸν (לְכַהֲנוֹ). Cf. v. 1. 4. 4. ἐπωμήδα cod. χιτῶνα] χελῶνα corrupte cod. et ed. Certe in indicem vocabulorum novorum non recipiendum erat istud χελών. Cf. v. 39 sq. XXIX, 8 (כֻּתֳּנֹת) cet. 5. τὸν λῖνον] sic, non τὸ λίνον, cod. Cf. XXXV, 23. 25. Prol. l. c.

[6] Ποιήσουσί τε τὸ ἐπώμιον χρυσοῦ, ὑακίνθου πορφύρας τε, σκώληκος ἐρυθροῦ καὶ λίνου κεκλωσμένου, ἔργον λογιζομένου· [7] δύο ὤμω ἁρμόζοντες τελέσετον αὐτῷ πρὸς τοῖν δυοῖν ἄκροιν αὐτοῦ, καὶ ξυναρμοσθήσεται. [8] τὸ λόγισμα τῆς ἁρμογῆς αὐτοῦ τὸ ἐπ' αὐτοῦ, κατὰ τοὖργον αὐτοῦ ἐξ αὐτοῦ τελέσει, χρυσοῦ καὶ ὑακίνθου, πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ καὶ λίνου κεκλωσμένου. [9] λήψη τε τὼ δύο λίθω τοῦ κρυστάλλου, καὶ ἀνοίξεις ἐπ' αὐτοῖν τὰ ὀνόματα τῶν υἱέων τοῦ ἰσραέλου· [10] ἓξ πρὸς τῶν ὀνομάτων σφῶν ἐπὶ τοῦ λίθου τοῦ ἑνὸς, καὶ τὰ ὀνόματα τὰ ἓξ τὰ περιττεύοντα ἐπὶ τοῦ λίθου τοῦ δευτέρου, κατὰ τὰς γεννήσεις αὐτῶν, [11] ἔργον λιθοτεχνίτου· ἀνεῳγμένους σφραγῖδι ἀνοίξεις τὼ δύο λίθω ἐπὶ τοῖς ὀνόμασι τῶν υἱέων τοῦ ἰσραέλου, κεκυκλωμένω φολιδώμασι χρυσοῦ ποιήσεις αὐτώ· [12] θήσεις τε τὼ δύο λίθω ἐπὶ τοῖν ὤμοιν τῆς ἐπωμίδος, λίθω μνήμης τῶν υἱέων τοῦ ἰσραέλου· αρεῖ τε ἀαρὼν τὰ ὀνόματα σφῶν ἐνώπιον τοῦ ὀντωτοῦ ἐπὶ τοῖν δυοῖν ὤμοιν ἑαυτοῦ εἰς μνήμην. [13] Ποιήσεις τε φολιδώματα χρυσοῦ· [14] δύο τε ἁλύση χρυσοῦ καθαροῦ, ὁριζούσα ποιήσεις αὐτὰ, ἔργον κάλω· καὶ δώσεις τὰ ἁλύση τῶν κάλων ἐπὶ τὰ φολιδώματα. [15] Καὶ ποιήσεις ἐπιστηθίδιον κρίσεως, ἔργον λογιζομένου· κατὰ τὸ ἔργον τῆς ἐπωμίδος ποιήσεις αὐτό· χρυσοῦ, ὑακίνθου, πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ καὶ λίνου κεκλωσμένου ποιήσεις αὐτό. [16] τετράγωνον τελέσει δεδιπλωμένον· σπιθαμῆς τὸ μῆκος αὐτοῦ καὶ σπιθαμῆς τὸ εὖρος αὐτοῦ. [17] πληρώσεις τ' ἐν αὐτῷ πλήρωσιν λίθου, τέτταρας στίχους λίθου· στίχος· ἄνθραξ, σμάραγδος καὶ χρυσόλιθος ὁ στίχος ὁ εἷς· [18] ὁ δὲ στίχος ὁ δεύτερος· ὄνυξ, σάπφειρος καὶ ἀδάμας· [19] στίχος δὲ ὁ τρίτος· λιγύριον, ἀχάτης καὶ ἀμέθυστος· [20] ὁ μέντοι στίχος ὁ τέταρτος· ὑάκινθος, κρύσταλλος καὶ ἴασπις· ἐνηρμοσμένοι χρυσῷ τελέσουσιν ἐν ταῖς πληρώσεσιν αὐτῶν. [21] οἱ δὲ λίθοι τελέσουσιν ἐπὶ τοῖς ὀνόμασι τῶν υἱέων τοῦ ἰσραέλου δυοκαίδεκα ἐπὶ τοῖς ὀνόμασι σφῶν· ἠνεῳγμένοι σφραγὶς ἑκάστου ἐπὶ τῷ ὀνόματι αὐτοῦ τελέσουσι τοῖς δυοκαίδεκα σκήπτροις. [22] ποιή-

---

7. ἁρμόζοντε? τελέσαιτον cod. et ed. At dein αὐτῷ invito codice ed. 12. μνήμης] μνήμην cod. et ed. 14. ὁριζούση cod. et ed. 15. τῆς ἐπωμίδος] τὴν ἐπωμίδα cod. et ed. 17. τέτταρας cod., non τέτταρες ut ed. 18. ἀδάμας cod., non ἀδάμης

σεις τε ἐπὶ τοῦ στηϑίου σειρὰς ὁρισμοῦ, ἔργον κάλω χρυσοῦ καϑαροῦ. [23] καὶ ποιήσεις ἐπὶ τοῦ ἐπιστηϑίου δύο κρίκω χρυσοῦ, δώσεις τε τὼ δύο κρίκω ἐπὶ τοῖν δυοῖν ἄκροιν τοῦ ἐπιστηϑίου· [24] δώσεις τε τὼ δύο κάλω τὼ χρυσὼ ἐπὶ τοῖν δυοῖν κρίκοιν, ἐπὶ τοῖν ἄκροιν τοῦ ἐπιστηϑίου· [25] τὼ δὲ δύο ἄκρω τοῖν δυοῖν κάλων δώσεις ἐπὶ τοῖν δυοῖν φολιδωμάτοιν, δώσεις τε ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος προσεναντίον τοῦ προσώπου οἱ. [26] ποιήσεις τε δύο κρίκω χρυσοῦ καὶ ϑήσεις αὐτὼ ἐπὶ τοῖν δυοῖν ἄκροιν τοῦ ἐπιστηϑίου, ἐπὶ τοῦ χείλους αὐτοῦ τοῦ πρὸς τὰ πέραν τῆς ἐπωμίδος ἔσω. [27] ποιήσεις τε δύο κρίκω χρυσοῦ καὶ δώσεις σφὼ ἐπὶ τοῖν δυοῖν ὤμοιν τῆς ἐπωμίδος κάτωϑεν, ἀπαντικρὺ τοῦ σκοποῦ οἱ, ἔναντι τῆς ξυναρμογῆς αὐτοῦ, ἄνωϑεν τοῦ λογίσματος τῆς ἐπωμίδος. [28] καὶ μετεωρίσουσι τὸ ἐπιστήϑιον ἀπὸ τοῖν κρίκοιν αὐτοῦ ἐπὶ τὼ κρίκω τῆς ἐπωμίδος ἐν μίτρᾳ ὑακίνϑου, ὡς εἴη ἐπὶ τοῦ λογίσματος τοῦ ἐπωμίου· καὶ οὐ μετεωριεῖται τὸ ἐπιστήϑιον ἀπὸ τῆς ἐπωμίδος. [29] οἴσει δ' ἀαρὼν τὰ ὀνόματα τῶν υἱέων τοῦ ἰσραέλου ἐν τῷ ἐπιστηϑίῳ τῆς κρίσεως ἐπὶ τῆς καρδίας ἑαυτοῦ ἐν τῷ ἀφικνεῖσϑαί ἑ πρὸς τὸ ἅγιον, εἰς μνήμην ἐνώπιον τοῦ ὀντωτοῦ ἐς ἀεί. [30] δώσεις δὲ πρὸς τὸ ἐπιστήϑιον τῆς κρίσεως τὴν ἐμφάνειαν καὶ τὴν τελειότητα, καὶ τελέσετον ἐπὶ τῆς καρδίας τοῦ ἀαρῶνος ἐν τῷ παραγίνεσϑαί ἑ ἐνώπιον τοῦ ὀντωτοῦ· ἀρεῖ τε ἀαρὼν τὴν κρίσιν τῶν υἱέων τοῦ ἰσραέλου ἐπὶ τῆς καρδίας ἑαυτοῦ ἐνώπιον τοῦ ὀντωτοῦ ἐς ἀεί.

[31] Ποιήσεις τε τὴν ἄμπυκα τῆς ἐπωμίδος ὅλως ὑακίνϑου. [32] τελέσει τε τὸ στόμα τῆς κεφαλῆς αὐτῆς μέσον αὐτῆς, χεῖλος τελέσει τῷ στόματι αὐτῆς κύκλῳ, ἔργον ὑφάντου· ὡς στόμα ϑώρακος τελέσει οἱ, οὐ σχισϑήσεται. [33] ποιήσεις δ' ἐπὶ τῶν κρασπέδων αὐτῆς ῥόας ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ, ἐπὶ τῶν κρασπέδων αὐτῆς κύκλῳ, καὶ κώδωνας χρυσοῦ μεταξὺ σφῶν κύκλῳ· [34] κώδων χρυσοῦ καὶ ῥόα, κώδων χρυσοῦ καὶ ῥόα ἐπὶ τῶν κρασπέδων τῆς ἄμπυκος κύκλῳ. [35] τελέσει δ' ἐπὶ τοῦ ἀαρῶνος ὥσϑ' ὑπηρετεῖν, καὶ ἀκουσϑήσεται ἡ φωνή οἱ ὅταν ἀφικνῆται

---

22. στηϑίου] l. ἐπιστηϑίου. Cf. vv. sqq. XXXIX, 8 sqq. 27. σκοποῦ] nonne προσώπου (פָּנָיו)? ξυναρμονῆς cod. Cf. v. 8. XXXIX, 20. 30. τελέσετον] τελέσεται cod. et ed. Cf. Prol. II, 2, b. 32. αὐτῆς] αὐτοῦ (ter) cod. et ed. ὑφαντοῦ c. cd. ed. 33. αὐτῆς (2)] αὐτοῦ cod. et ed.

αὐτὸς πρὸς τὸ ἅγιον ἐνώπιον τοῦ ὀντωτοῦ καὶ ὅταν ἐξέρχηται· καὶ οὐ τεθνήξεται. [36]Ποιήσεις τε πέταλον χρυσοῦ καθαροῦ, κολάψεις τ' ἐπ' αὐτοῦ κολάμματα σφραγῖδος· ἅγιον τῷ ὀντωτῇ. [37]θήσεις δ' αὐτὸ ἐπὶ τῆς μίτρας ὑακίνθου, καὶ τελέσει ἐπὶ τῆς καλύπτρας, κατέναντι τοῦ προσώπου τῆς καλύπτρας τελέσει· [38]καὶ ἔσται ἐπὶ τοῦ μετώπου τοῦ ἀαρῶνος, ἀρεῖ τε ἀαρὼν τὸ ἀμπλάκημα τῶν ἁγίων ἅπερ ἁγιάσουσιν οἱ υἱεῖς τοῦ ἰσραέλου εἰς πάντα τὰ δῶρα τὰ ἅγια σφῶν· τελέσει τε ἐπὶ τοῦ μετώπου οἱ διηνεκῶς εἰς βούλημα σφίσιν ἐνώπιον τοῦ ὀντωτοῦ. [39]καὶ φολιδώσεις τὸν χιτῶνα λίνῳ· ποιήσεις τε κρήδεμνον λίνου, ζώνην τε ποιήσεις, ἔργον ποικιλτοῦ. [40]τοῖς δ' υἱέσι τοῦ ἀαρῶνος ποιήσεις χιτῶνας, ποιήσεις τε σφίσι ζώνας, καὶ κράνους ποιήσεις αὐτοῖς εἰς δόξαν καὶ καλλονήν· [41]ἐνδύσεις τε σφᾶς ἀαρῶνα τὸν ἀδελφόν σου καὶ τοὺς υἱέας αὐτοῦ ξὺν αὐτῷ, χρίσεις τε σφᾶς καὶ πλήσεις τὴν χεῖρα σφῶν, ἁγιάσεις τε σφᾶς, καὶ ἱερατεύσουσί μοι. [42]ποίησόν τε σφίσιν ἀναξυρίδας λίνου, ὡς σκέποιεν τὴν σάρκα τῆς ἀσχημοσύνης· ἀπὸ ψοιῶν καὶ μέχρι μηρῶν τελέσουσιν. [43]ὑπάρξουσί τε ἐπὶ τοῦ ἀαρῶνος κἀπὶ τῶν υἱέων αὐτοῦ ἐν τῷ παραγίνεσθαι σφᾶς πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ ἢ ἐν τῷ ἐγγίζειν σφᾶς πρὸς τὸ θυτήριον ὡς λειτουργοῖεν ἐν τῷ ἁγίῳ, καὶ οὐκ ἀροῦσιν ἀμπλάκημα καὶ τεθνήξονται· τύπος αἰῶνος αὐτῷ καὶ τῷ σπέρματί οἱ μετ' αὐτόν. **XXIX.** [1]Τουτὶ δὲ τὸ χρῆμα ὃ ποιήσεις αὐτοῖς ὡς ἁγιάσειας σφᾶς ἱερατεύειν μοι· λάβε ταῦρον ἕνα υἱὸν βουκολίου, κριώ τε δύο τελείω, [2]καὶ ἄρτον ἀζύμων, ψήττας τε ἀζύμους δεδευμένας ἐν ἐλαίῳ, καὶ πλακοῦντας ἀζύμους ἀληλειμμένους ἐν ἐλαίῳ· σεμίδαλιν πυρῶν ποιήσεις αὐτά. [3]δώσεις τε αὐτὰ ἐπὶ ταλάρου ἑνός, προσάξεις τε αὐτὰ ἐν τῷ ταλάρῳ· τὸν δὲ ταῦρον καὶ τὼ δύο κριώ, [4]καὶ τὸν ἀαρῶνα καὶ τοὺς υἱέας αὐτοῦ προσάξεις πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ὅρου, νίψεις τε σφᾶς ἐν ὕδατι. [5]καὶ λήψῃ τὰ περιβόλαια καὶ ἐνδύσεις τὸν ἀαρῶνα τὸν χιτῶνα καὶ τὴν ἄμπυκα τῆς ἐπωμίδος καὶ τὴν ἐπω-

---

40. κράνους] l. κράνη (cf. XXIX, 9. XXXIX, 28). **42.** λίνου cod., non λίνων ut ed. **43.** ἀμπλάκημα cod., non ἀμπλακήματα ut ed.

XXIX. 2. ἀζύμων] cave corrigas ἄζυμον (לֶחֶם מַצּוֹת). ἀληλειμμένα (sic, non ἀληλιμ. Cf. Lev. II, 4. VII, 12) cod., ἀληλειμμένας ed. **5.** τὸν χιτῶνα] καὶ repugnante codice praemittit ed.

μίδα καὶ τὸ ἐπιστηϑίδιον, ἁρμόσεις τέ οἱ κατὰ τὸ λόγισμα τῆς ἐπωμίδος, [6]καὶ ϑήσεις τὴν καλύπτραν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, δώσεις τε τὸ διάδημα τὸ ἅγιον ἐπὶ τῆς καλύπτρας. [7]καὶ λήψῃ τὸ ἔλαιον τῆς χρίσεως, κενώσεις τε ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ χρίσεις αὐτόν. [8]τοὺς δ' υἱεῖς αὐτοῦ προσάξεις καὶ περιβαλεῖς χιτῶνας, [9]περιζώσεις τε σφᾶς ζώνῃ, τὸν ἀαρῶνα καὶ τοὺς υἱεῖς αὐτοῦ, συνάψεις τε σφίσι τὰ κράνη· καὶ τελέσει σφίσιν ἱερωσύνη ἐς τύπωσιν αἰῶνος· πλήσεις τε τὴν χεῖρα τοῦ ἀαρῶνος καὶ τὴν χεῖρα τῶν υἱέων αὐτοῦ. [10]καὶ προσάξεις τὸν ταῦρον ἐνώπιον τῆς σκηνῆς τοῦ ὅρου, ἐρείσει δὲ ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς κεφαλῆς τοῦ ταύρου· [11]ϑύσεις τε τὸν ταῦρον ἐνώπιον τοῦ ὀντωτοῦ, τοῦ πυλεῶνος τῆς σκηνῆς τοῦ ὅρου. [12]λήψῃ δὲ ἀπὸ τοῦ αἵματος τοῦ ταύρου καὶ δώσεις ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου ἐν τῷ δακτύλῳ σου, τὸ δὲ πᾶν αἷμα χεεῖς πρὸς τῷ ϑεμελίῳ τοῦ ϑυτηρίου. [13]λήψῃ τε ξύμπαν τὸ στέαρ τὸ καλύπτον τὸ ἐντὸς καὶ τὸ περιττὸν ἐπὶ τοῦ ἥπατος, τώ τε δύο νεφρὼ καὶ τὸ στέαρ τὸ ἐπ' αὐτοῖν, καὶ ϑυμιάσεις τὸ ϑυτήριον. [14]τὸ μέντοι κρέας τοῦ ταύρου, τὸ δέρμα τέ οἱ καὶ τὴν ὄνϑον αὐτοῦ καύσεις ἐν πυρὶ ϑύραϑεν τοῦ στρατοπέδου· ἁμαρτία ἐστί. [15]τὸν δὲ κριὸν τὸν ἕνα λήψῃ, καὶ ἐρείσουσιν ἀαρὼν καὶ υἱεῖς αὐτοῦ τὰς χεῖρας σφῶν ἐπὶ τῆς κεφαλῆς τοῦ κριοῦ· [16]ϑύσεις τε τὸν κριὸν, καὶ λήψῃ τὸ αἷμα αὐτοῦ καὶ ῥανεῖς ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ. [17]τὸν δὲ κριὸν μελοκοπήσεις ἐς τὰ μέλη αὐτοῦ, πλυνεῖς τε τὸ ἐντὸς αὐτοῦ καὶ τὰ σκέλη αὐτοῦ καὶ δώσεις ἐπὶ τῶν μελῶν αὐτοῦ καὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. [18]καὶ ϑυμιάσεις ξύμπαντα τὸν κριὸν, τὸ ϑυτήριον· ἀναφορά ἐστι τῷ ὀντωτῇ, ὀδμὴ ἀναπαύσεως, πυρίφλεγμα τῷ ὀντωτῇ ἐστι. [19]λήψῃ δὲ τὸν κριὸν τὸν δεύτερον, ἐρείσει τε ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας σφῶν ἐπὶ τῆς κεφαλῆς τοῦ κριοῦ· [20]καὶ ϑύσεις τὸν κριὸν, λήψῃ τ' ἀπὸ τοῦ αἵματος αὐτοῦ καὶ δώσεις ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τοῦ ἀαρῶνος καὶ ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τῶν υἱῶν αὐτοῦ τοῦ δεξιοῦ, καὶ ἐπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτῶν τοῦ δεξιοῦ, ῥανεῖς τε τὸ αἷμα ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ. [21]λήψῃ δ' ἀπὸ τοῦ

κατὰ τὸ λόγισμα] כְּחֵשֶׁב pro בְּחֵ 13. τὸ ϑυτήριον] הַמִּזְבֵּחַ (ita cod. Kenn. 9) pro הַמִּזְבֵּחָה. Item v. 18 (ה locale om. codd. K. 69. 95. 155), v. 25 (codd. K. 170. 686). Cf. Lev. I, 9. 13 cet.

αἵματος τοῦ ἐπὶ τοῦ ϑυτηρίου κἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως καὶ ῥανεῖς ἐπὶ τοῦ ἀαρῶνος κἀπὶ τῶν ἐνδυμάτων αὐτοῦ, κἀπὶ τῶν υἱέων αὐτοῦ κἀπὶ τῶν ἐνδυμάτων αὐτῶν ξὺν αὐτῷ· καὶ ἁγιάσει ἐκεῖνος καὶ τὰ ἐνδύματά οἱ, καὶ οἱ υἱεῖς αὐτοῦ καὶ τὰ ἐνδύματα τῶν υἱέων αὐτοῦ ξὺν αὐτῷ. [22]λήψῃ δ' ἀπὸ τοῦ κριοῦ τὸν δημὸν τήν τε κέρκον καὶ τὸν δημὸν τὸν καλύπτοντα τὰ ἐντὸς, καὶ τὸ περιττὸν τοῦ ἥπατος, τὼ δύο τε νεφρὼ καὶ τὸ στέαρ τὸ ἐπ' αὐτοῖν, καὶ τὸ σκέλος τὸ δεξιόν· κριὸς γὰρ πληρώσεώς ἐστι· [23]τροχόν τε ἄρτου ἕνα καὶ ψῆτταν ἄρτου ἐλαίου μίαν καὶ πλακοῦντα ἕνα ἀπὸ τοῦ ταλάρου τῶν ἀζύμων τοῦ ἔμπροσϑεν τοῦ ὀντωτοῦ· [24]ϑήσεις τε ἅπαντα ἐπὶ τῶν παλαμῶν τοῦ ἀαρῶνος κἀπὶ τῶν παλαμῶν τῶν υἱέων αὐτοῦ, καὶ προσοίσεις αὐτὰ προσφορὰν ἐπίπροσϑεν τοῦ ὀντωτοῦ. [25]λήψῃ τε αὐτὰ πρὸς τῆς χειρὸς αὐτῶν καὶ ϑυμιάσεις τὸ ϑυτήριον ἐπὶ τῆς ἀναφορᾶς εἰς ὀσμὴν ἀναπαύσεως ἐνώπιον τοῦ ὀντωτοῦ· πυρίφλεγμά ἐστι τῷ ὀντωτῇ. [26]λήψῃ δὲ τὸ στῆϑος ἀπὸ τοῦ κριοῦ τῆς πληρώσεως, ὅς ἐστι τῷ ἀαρῶνι, καὶ προσοίσεις αὐτὸ προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ, τελέσει τέ σοι εἰς μερίδα. [27]καὶ ἁγιάσεις τὸ στῆϑος τῆς προσφορᾶς καὶ τὸ σκέλος τῆς προσφορᾶς, ἥτις προσῆκται καὶ ἥτις ἀνενήνεκται πρὸς τοῦ κριοῦ τῆς πληρώσεως ἀπὸ τοῦ τῷ ἀαρῶνι κἀπὸ τοῦ τοῖς υἱέσιν αὐτοῦ· [28]καὶ τελέσει τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ ἐς τύπον αἰῶνος πρὸς τῶν υἱέων τοῦ ἰσραέλου· ἀναφορὰ γάρ ἐστι καὶ ἀναφορὰ τελέσει πρὸς τῶν υἱέων τοῦ ἰσραέλου, πρὸς τῶν ϑυσιῶν τῶν εἰρηνῶν αὐτῶν ἀναφορὰ σφῶν τῷ ὀντωτῇ. [29]τὰ δ' ἐνδύματα τοῦ ἁγίου τὰ τῷ ἀαρῶνι τελέσουσι τοῖς υἱέσιν αὐτοῦ μετ' αὐτὸν, εἰς χρίσιν ἐν αὐτοῖς καὶ εἰς τὸ πληρῶσαι ἐν αὐτοῖς τὴν χεῖρα σφῶν· [30]ἑπτὰ ἡμέραις περιβαλεῖται αὐτὰ ὁ ἱερεὺς μετ' αὐτὸν ἀπὸ τῶν υἱέων αὐτοῦ, ὃς ἐλεύσεται πρὸς τὴν σκηνὴν τοῦ ὅρου ὡς λειτουργοίη ἐν τῷ ἁγίῳ. [31]τὸν μέντοι κριὸν τῆς πληρώ-

---

21. (τῶν ἐνδυμ.) αὐτῶν] exspectaveris τῶν υἱέων αὐτοῦ (בָּנָיו), ut paullo inferius. Ceterum quae ex hoc versu in editione omissa erant, jam Morell. attulit. Sed mirum in modum in nota ad h. l. pro υἱεῖς, υἱέων legitur ἡεῖς, ἡέων (bis). Item in nott. ad Gen. XLII, 37. Num. I, 13. II, 32. IV, 20 (l. 29). VII, 24. 33, nescio an saepius. Quae scriptura monstrosa a codice prorsus aliena est. 25. ὀδμὴν c. cd. ed. 27. ἀνήνεκται cod. et ed. 29. χρίσιν (sic, non χρῖσιν; cf. Prol. I, 4, c)] מִשְׁחָה perperam cum מִשְׁחָה confudit. 30. μετ' αὐτὸν] ὁ invito codice praemittit ed.

σεως λήψῃ καὶ μιστυλεῖς τὸ κρέας αὐτοῦ ἐν τόπῳ ἁγίῳ. [32]καὶ ἔδεται ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὸ κρέας τοῦ κριοῦ καὶ τὸν ἄρτον τὸν ἐν τῷ ταλάρῳ ἐν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ὁρισμοῦ. [33]ἔδονταί τε αὐτὰ, οἷς συγκεχώρηται ἐν αὐτοῖς, ὥστε πληροῦν τὴν χεῖρα σφῶν ὡς ἁγιάζοιεν αὐτά· ἀλλότριος δὲ οὐκ ἔδεται, ὅτι ἅγιόν εἰσιν. [34]εἰ δὲ περιττεύσειεν ἀπὸ τοῦ κρέως τῆς πληρώσεως κἀπὸ τοῦ ἄρτου μέχρι τῆς ἕω, καὶ καύσεις τὸ περιττεῦσαν ἐν πυρί· οὐ βρωθήσεται, ὅτι ἅγιόν εἰσι. [35]ποιήσεις τε τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ τῇδε κατὰ πάντα ἅπερ ἐκέλευσά σοι· ἑπτὰ ἡμέραις πλήσεις τὴν χεῖρα σφῶν. [36]ταῦρόν τε ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ ἐπὶ τῇ συγχωρήσει, καὶ ἁμαρτιώσεις ἐπὶ τοῦ θυτηρίου ἐπὰν συγγινώσκοις ἐπ' αὐτοῦ, χρίσεις τε αὐτὸ ὡς ἁγιάσειας αὐτό. [37]ἑπτὰ ἡμέραις συγγνώσῃ ἐπὶ τοῦ θυτηρίου καὶ ἁγιάσεις αὐτὸ, τελέσει τε τὸ θυτήριον ἅγιον ἁγίων· πᾶν ἁπτόμενον τοῦ θυτηρίου ἁγιάσει. [38]Τόδε μέντοι ὅπερ ποιήσεις ἐπὶ τοῦ θυτηρίου· πρόβατε ἐνιαυσίω δύο τῇ ἡμέρᾳ διηνεκῶς· [39]τὸ πρόβατον τὸ ἓν ποιήσεις ἐν ἕῳ, καὶ τὸ πρόβατον τὸ δεύτερον ποιήσεις μεταξὺ τῆς ἑσπέρας· [40]δέκατόν τε σεμιδάλεως δεδευμένον ἐν ἐλαίῳ κοπῆς τετάρτῳ τοῦ ξέστου, καὶ λοιβαὶ τέταρτον τοῦ ξέστου οἴνου, τῷ προβάτῳ τῷ ἑνί· [41]τὸ πρόβατόν τε τὸ δεύτερον ποιήσεις μεταξὺ τῆς ἑσπέρας· κατὰ τὸ μείλιγμα τῆς ἕω καὶ κατὰ τὴν λοιβὴν αὐτοῦ ποιήσεις αὐτῷ, εἰς ὀδμὴν ἀναπαύσεως, πυρίφλεγμα τῷ ὀντωτῇ· [42]ἀναφορὰ διηνεκὴς ταῖς γενεαῖς ὑμῶν, τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ ἐνώπιον τοῦ ὀντωτοῦ, ᾗπερ συναχθήσομαι ὑμῖν ἐκεῖ ὡς διαλεγοίμην πρὸς σὲ ἐκεῖ. [43]ὁρισθήσομαί τ' ἐκεῖ τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ ἁγιασθήσεται ἐν τῇ δόξῃ μου. [44]ἁγιάσω τε τὴν σκηνὴν τοῦ ὅρου καὶ τὸ θυτήριον, τόν τ' ἀαρῶνα καὶ τοὺς υἱεῖς αὐτοῦ ἁγιάσω ὡς ἱερατεύοιέν μοι. [45]οἰκήσω τε μέσον τῶν υἱέων τοῦ ἰσραέλου καὶ τελέσω σφίσιν εἰς θεόν· [46]εἴσονταί θ' ὅτι ἐγὼ ὁ ὀντωτὴς θεὸς σφῶν, ὃς ἐξήνεγκα

---

33. πληροῦν **cod., non** πληρῶσαι **ut ed. 34.** εἰσι] הֵם **(ita codd. Kenn. 193. 196, 9 a pr.) pro** הִוא **t. rec. Nisi forte librarii mendum est pro** ἐστι **37.** ἁγιάσει (יִקְדָּשׁ)] **cf. v. 21. XXX, 29. 38. Τὸ δὲ cod. et ed. 39.** μεταξὺ τῆς ἑσπέρας] **mireris hunc dualis amatorem (cf. Prol. II, 2, b)** הָעַרְבַּיִם **aut sing. (cf. v. 41. XXX, 8 cet.) aut plur. (cf. XVI, 12. Lev. XXIII, 5 cet.) reddere. 40.** δεδευμένον **cod., non** δεδευμένης **ut ed. At ita fort. emendandum. Cf. Lev. XIV, 10, XXIII, 13.** λοιβαὶ] **l.** λοιβὴν

σφᾶς ἐκ γῆς αἰγύπτου ὡς οἰκοίην ἐγὼ μέσον αὐτῶν· ἐγὼ ὁ ὀντωτὴς Ξεὸς αὐτῶν.

[1] Ποιήσεις τε Ξυτήριον Ξυμιατήριον Ξυμιάματος, ξύλων κυπαρίττων ποιήσεις αὐτό· [2] πῆχυς τὸ μῆκος αὐτοῦ καὶ πῆχυς τὸ εὖρος αὐτοῦ, τετράγωνον ὑπάρξει, δίπηχύ τε τὸ ὕψος αὐτοῦ· ἀφ' ἑαυτοῦ τὰ κέρατά οἱ. [3] ειλήσεις δὲ αὐτὸ χρυσῷ καΞαρῷ, τοὔδαφος αὐτοῦ καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ καὶ τὰ κέρατά οἱ, ποιήσεις τέ οἱ ἐπίπηχυ χρυσοῦ κύκλῳ. [4] δύο τε κρίκω χρυσοῦ ποιήσεις αὐτῷ κάτωΞεν τοῦ ἐπιπήχεος αὐτοῦ, ἐπὶ τοῖν δυοῖν πλευραῖν αὐτοῦ ποιήσεις, ἐπὶ τοῖν δυοῖν πλαγίοιν αὐτοῦ· καὶ τελέσουσιν εἰς οἴκους τοῖς μοχλοῖς ὡς αἴροιεν αὐτὸ ἐν αὐτοῖς. [5] ποιήσεις τε τοὺς μοχλοὺς ξύλων κυπαρίττων, ἐμπλάσεις τε σφᾶς χρυσῷ. [6] καὶ δώσεις αὐτὸ ἐνώπιον τῆς αὐλαίας τῆς ἐπὶ τῆς χηλοῦ τῆς μαρτυρίας, ἀντικρὺ τῆς σκέπης τῆς ἐπὶ τῆς μαρτυρίας, ὅπου ξυναχΞήσομαί σοι ἐκεῖ. [7] Ξυμιάσει τ' ἐπ' αὐτοῦ ἀαρὼν Ξυμίαμα ἀρωμάτων· ἐν ἕῳ ἐν ἕῳ, ἐν τῷ ἀγαΞύνειν αὐτὸν τοὺς λύχνους, Ξυμιάσει αὐτό· [8] ἐπὰν δ' ἀναφέροι ἀαρὼν τοὺς λύχνους, μεταξὺ τῆς ἑσπέρας, Ξυμιάσει αὐτό· Ξυμίαμα διηνεκὲς ἐνώπιον τοῦ ὀντωτοῦ ταῖς γενεαῖς ὑμῶν. [9] οὐκ ἀνοίσετε ἐπ' αὐτοῦ Ξυμίαμα ἀλλόκοτον, ἀναφοράν τε καὶ μεῖλιγμα, καὶ σπονδὴν οὐ σπείσετε ἐπ' αὐτοῦ. [10] καὶ ἱλάσεται ἀαρὼν ἐπὶ τῶν κερῶν αὐτοῦ ἅπαξ ἐν τῷ ἔτει· ἀπὸ τοῦ αἵματος τῆς ἁμαρτίας συγγνώμης ἅπαξ ἐν τῷ ἔτει ἱλασΞήσεται ἐπ' αὐτοῦ ταῖς γενεαῖς ὑμῶν· ἅγιον τῶν ἁγίων ἐστὶ τῷ ὀντωτῇ.

ρια' μικαλ

[11] Διείλεκται τοίνυν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [12] ὅτι ἀρεῖς τὴν κεφαλὴν τῶν υἱέων τοῦ ἰσραέλου εἰς τὰς ἐπισκέψεις αὐτῶν, καὶ δώσουσιν ἕκαστος παραίτησιν τῆς ψυχῆς αὐτοῦ τῷ ὀντωτῇ ἐν τῷ ἐπισκέπτεσΞαι σφᾶς· καὶ οὐκ ἔσται ἐν αὐτοῖς πλῆξις ἐν τῷ ἐπισκέπτεσΞαι σφᾶς. [13] τόδε δώσουσι πᾶς ὁ διϊὼν ἐπὶ τῶν ἐπεσκεμμένων· τὸ ἥμισυ τοῦ στατῆρος ἐν τῷ στατῆρι τῷ ἁγίῳ, εἴκοσιν ὀβολοὶ ὁ στατήρ· τὸ ἥμισυ τοῦ στατῆρος ἀναφορὰ τῷ ὀντωτῇ. [14] πᾶς ὁ διϊὼν ἐπὶ τῶν ἐπεσκεμμένων ἀφ' υἱοῦ εἰκοσαετοῦς καὶ

XXX. 4. ἐπιπήχεος] codicis scripturam servavimus. Ed. ἐπιπήχεως πλευραῖν cod., non πλευροῖν ut Mor. legit. 6. ξυνεχΞήσομαι cod. Cf. XXIX, 42. 7. Ξυμιάσει (2) cod., non Ξυμάσαι ut ed. 10. ἱλασΞήσεται] יְכַפֵּר pro יְכַפֵּר 13. τόδε] τὸ δὲ rursus cod. et ed.

ἄνω δώσει τὴν ἀναφορὰν τοῦ ὀντωτοῦ. [15]ὁ πλούσιος οὐ πλεονάσει καὶ ὁ πτωχὸς οὐκ ἐλαττώσει ἀπὸ τοῦ ἡμίσεος τοῦ στατῆρος, ὡς δοίη τὴν ἀναφορὰν τοῦ ὀντωτοῦ παραιτεῖσϑαι ἐπὶ ταῖς ψυχαῖς ὑμῶν. [16]λήψη δὲ τὸ ἀργύριον τοῦ Ωλασμοῦ πρὸς τῶν υἱέων τοῦ ἰσραέλου καὶ δώσεις αὐτὸ ἐπὶ τῇ ἐργασίᾳ τῆς σκηνῆς τοῦ ὁρισμοῦ, τελέσει τε τοῖς υἱέσι τοῦ ἰσραέλου εἰς μνήμην ἐνώπιον τοῦ ὀντωτοῦ παραιτεῖσϑαι ἐπὶ ταῖς ψυχαῖς αὐτῶν.

[17]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [18]καὶ ποιήσεις λουτῆρα χαλκοῦ, τὴν ἕδραν τε αὐτοῦ χαλκοῦ, εἰς λοῦσιν· καὶ δώσεις αὐτὴν μεταξὺ τῆς σκηνῆς τοῦ ξυναγμοῦ καὶ μεταξὺ τοῦ ϑυτηρίου, δώσεις τ' ἐκεῖ ὕδωρ· [19]καὶ νίψουσιν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας ἑαυτῶν καὶ τοὺς πόδας ἑαυτῶν. [20]ἐπὰν ἀφικνοῖντο πρὸς τὴν σκηνὴν τοῦ ὅρου νίψουσιν ὕδατι, καὶ οὐ τεϑνήξονται· ἢ ἐπὰν ἐγγίζοιεν αὐτοὶ πρὸς τὸ ϑυτήριον ὑπηρετεῖσϑαι εἰς τὸ ϑυμιᾶν πυρίφλεγμα τῷ ὀντωτῇ, [21]νίψουσιν οὖν τὰς χεῖρας ἑαυτῶν καὶ τοὺς πόδας ἑαυτῶν, καὶ οὐ τεϑνήξονται· τελέσει τε σφίσι τύπος αἰῶνος, αὐτῷ τε καὶ τῷ σπέρματί οἱ ἐς τὰς γενεὰς αὐτῶν.

[22]Καὶ διείλεκται ὁ ὀντωτὴς πρὸς τὸν μωσέα τῷ φάναι· [23]καὶ σὺ λάβε σαυτῷ ἀρώματα· κεφαλὴν μόσχου ἐλευϑερώσεως πενταχοσίους, κινάμωμόν τε ἄρωμα, τὸ ἥμισυ αὐτοῦ, πεντήκοντα καὶ διακοσίους, καλάμου τε ἀρωματισμοῦ πεντήκοντα καὶ διακοσίους, [24]καὶ κόστου πενταχοσίους ἐν τῷ στατῆρι τῷ ἁγίῳ, μύρου τε ἐλαιῶν ξέστην. [25]καὶ ποιήσεις αὐτὸ μύρον ἀλοιφῆς ἅγιον, μυρέψημα μυρεψώσεως, ἔργον μυρεψοῦ· μύρον χρίσεως τοῦ ἁγίου τελέσει. [26]χρίσεις τ' ἐν αὐτῷ τὴν σκηνὴν τοῦ ὅρου καὶ τὴν χηλὸν τῆς μαρτυρίας, [27]τήν τε τράπεζαν καὶ ξύμπαντα τὰ σκεύη ταύτης, τὸν λαμπτῆρά τε καὶ τὰ σκεύη αὐτοῦ, τό τε ϑυτήριον τοῦ ϑυμιάματος, [28]καὶ τὸ ϑυτήριον

---

15. ἡμίσεος cod., non ἡμίσεως ut ed. 16. ταῖς ψυχ. αὐτῶν] נַפְשֹׁתֵיהֶם pro נַפְשֹׁתֵיכֶם. Item Hieron. 19. οἱ υἱεῖς αὐτοῦ] מִמֶּנּוּ om. uti cod. Kenn. 84. 20. ἀφικνοῖτο cod. et ed. νίψουσιν] ἅψουσιν cod. et ed. ἢ ἐπὰν cod. Ed. ἢ om. εἰς τὸ ϑυμιᾶν cod. Ed. τὸ om. 21. αὐτῷ τε cod. Ed. τε om. 23. πενταχοσίον (sic) c. cd. ed. ἀρωματισμοῦ cod., non ἀρώματος ut ed. 25. μυρεψώσεως] sic ed. Equidem propter atramentum evanidum discernere nequivi, utrum ita scriptum sit an μυρεψήσεως χρύσεως cod. 27. τά τε ϑυτήρια cod.

τῆς ἀναφορᾶς ξύμπαντά τε τὰ σκεύη αὐτοῦ, καὶ τὸν λουτῆρα καὶ τὴν ἕδραν αὐτοῦ· [29] ἁγιάσεις τε αὐτὰ, καὶ τελέσουσιν ἅγιον ἁγίων· πᾶς ὁ θίγων ἐν αὐτοῖς ἁγιασθήσεται. [30] ἀαρῶνα δὲ καὶ τοὺς υἱεῖς αὐτοῦ χρίσεις, καὶ ἁγιάσεις σφᾶς ὡς ἱερατεύοιέν μοι. [31] πρὸς μέντοι τοὺς υἱεῖς ἰσραέλου διαλέξῃ τῷ φάσκειν· μύρον χρίσεως τοῦ ἁγίου τελέσει τοδί μοι ἐς τὰς γενεὰς ὑμῶν· [32] ἐπὶ σαρκὸς ἄνθρωπος οὐκ ἀλείψει, κἀν τῇ συνθέσει αὐτοῦ οὐ ποιήσετε κατ' αὐτό· ἅγιόν ἐστιν, ἅγιον τελέσει ὑμῖν. [33] ἀνὴρ ὃς ἂν μυρεψήσειε κατ' αὐτὸ καὶ ὃς ἂν δοίη ἀπ' αὐτοῦ ἐπ' ἀλλοτρίου, καὶ ὀλοθρευθήσεται ἀπὸ τοῦ λεώ οἱ. [34] Τοίνυν ἔφη ὁ ὀντωτὴς πρὸς τὸν μωσέα· λάβε σαυτῷ ἀρώματα· βάλσαμον, ὄνυχα καὶ χαλβάνην, ἀρώματα καὶ λίβανον καθαρόν· μόνον ἐν μόνῳ τελέσει· [35] καὶ ποιήσεις αὐτὸ θυμίαμα, μυρέψημα, ἔργον μυρεψοῦ, ἠρτυμένον, καθαρὸν, ἅγιον· [36] λεπτυνεῖς τε ἀπ' αὐτοῦ τῷ λεπτύνειν καὶ δώσεις ἀπ' αὐτοῦ ἐνώπιον τῆς μαρτυρίας ἐν τῇ σκηνῇ τοῦ ὅρου, ᾗ ὁρισθήσομαί σοι ἐκεῖ· ἅγιον ἁγίων ὑπάρξει ὑμῖν. [37] καὶ τὸ θυμίαμα ὅπερ ποιήσεις, ἐν τῇ συνθέσει αὐτοῦ οὐ ποιήσετε ὑμῖν αὐτοῖς· ἅγιον τελέσει σοι τῷ ὀντωτῇ· [38] ἀνὴρ ὃς ποιήσει κατ' αὐτὸ ὡς ὀσμῷτο ἐν αὐτῷ, καὶ ὀλοθρευθήσεται ἀπὸ τοῦ λεώ οἱ.

XXXI. [1] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι. [2] ὅρα, ἐκάλεσα ἐν ὀνόματι βεσελέηλον τὸν υἱὸν οὐρῖνος τοῦ υἱέος οὔρου τοῦ σκήπτρου τοῦ ἰεούδου, [3] καὶ ἔπλησά ἑ πνεύματος θεοῦ ἐν σοφίᾳ, ἐν συνέσει ἔν τε γνώσει κἀν πάσῃ ὑπηρεσίᾳ, [4] ὡς λογίσαιτο λογισμοὺς, ὡς ποιήσειεν ἐν χρυσῷ κἀν ἀργύρῳ κἀν χαλκῷ, [5] ἔν τε τεχνουργίᾳ λίθου πληροῦν κἀν τεχνουργίᾳ ξύλου, ποιεῖν ἐν πάσῃ ὑπηρεσίᾳ. [6] κἀγὼ θεῶ δέδωκα ξὺν αὐτῷ τὸν ἀολιάβην τὸν υἱὸν τοῦ ἀηξαμάχου τοῦ σκήπτρου τοῦ δανὸς, κἀν καρδίᾳ παντὸς σοφοῦ καρδίαν ἔδωκα σοφίαν, καὶ ποιήσουσι ξύμπαν ὅπερ ἐκέλευσά σοι· [7] τὴν σκηνὴν τοῦ ὅρου, τὴν χηλόν τε τῆς μαρτυρίας, τὴν σκέπην τε τὴν ἐπ' αὐτῆς καὶ ξύμ-

---

28. ξύμπαντα] ξύμπαν cod. et ed. 29. ἁγιασθήσεται (יִקְדָּשׁ)] cf. XXIX, 37. 30. ὡς cod., non ὥσθ' ut ed. 31. ἰσραέλου] τοῦ c. ed. add. ed. διαλέξῃ] διαλέξ cod. 32. ἐπὶ σάρκα ἀνθρώπου c. ed. ed. 33. ἀπὸ τοῦ λεώ οἱ (מֵעַמָּיו)] cf. v. 38. XXXI, 14. Gen. XXV, 8 not. 36. αὐτοῦ] αὐτῆς (bis) cod. et ed.

XXXI. 2. οὐρῖνος cod., non οὐρίου ut ed. οὔρου cod. Cf. XVII, 10 (χοῦρος), XXIV, 14 (οὔρης). 3. ἔπλησα] ἐποίησα cod., ἐνεποίησα ed.

παντα τὰ σκεύη τῆς σκηνῆς, [8]τήν τε τράπεζαν καὶ πάντα τὰ σκεύη ταύτης, καὶ τὸν λαμπτῆρα τὸν καϑαρὸν καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, τὸ ϑυτήριόν τε τοῦ ϑυμιάματος, [9]καὶ τὸ ϑυτήριον τῆς ἀναφορᾶς ξύμπαντά τε τὰ σκεύη αὐτοῦ, καὶ τὸν λουτῆρα καὶ τὴν ἕδραν αὐτοῦ, [10]τά τε ἐνδύματα τῆς ἐργασίας καὶ τὰ ἐνδύματα τοῦ ἁγίου τοῦ ἀαρῶνος τοῦ ἱερέως, καὶ τὰ ἐνδύματα τῶν υἱέων αὐτοῦ ὡς ἱερατεύοιεν, [11]τὸ μύρον τε τῆς χρίσεως καὶ τὸ ϑυμίαμα τῶν ἀρωμάτων τοῦ ἁγίου· κατὰ πάνϑ' ἅπερ ἐκέλευσά σοι ποιήσουσιν.

[12]Ἔφη τε ὁ ὀντωτὴς πρὸς τὸν μωσέα τῷ λέγειν· [13]καὶ σὺ διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· μόνον τὰς παύλας μου τηρήσετε· σημεῖον γάρ ἐστι μεταξὺ ἐμοῦ καὶ μεταξὺ ὑμῶν ἐς τὰς γενεὰς ὑμῶν, εἰδέναι ὅτι ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω ὑμᾶς. [14]τηρήσετε τοίνυν τὴν παῦλαν, ἐπεὶ ἅγιόν ἐστιν ὑμῖν· ὁ βεβηλῶν αὐτῷ τῷ ϑνήσκειν ϑανατωϑήτω· πᾶς γὰρ ὁ ποιῶν ἐν αὐτῷ ἐργασίαν, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ ἐκείνη ἀπὸ τῶν λαῶν αὐτῆς. [15]ἓξ ἡμέραις ποιηϑήσεται ἐργασία, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ παῦσις, παυσείδιον ἅγιον τῷ ὀντωτῇ· πᾶς ὁ ποιῶν ἐργασίαν ἐν τῇ ἡμέρᾳ τῆς παύσεως τῷ ϑνήσκειν ϑανατωϑήτω. [16]καὶ τηρήσουσιν οἱ υἱεῖς τοῦ ἰσραέλου τὴν παῦσιν, ποιεῖν τὴν παῦλαν ἐς τὰς γενεὰς αὐτῶν συνϑήκην αἰῶνος· [17]ἀν' ἐμὲ κἀνὰ τοὺς υἱέας τοῦ ἰσραέλου σημεῖόν ἐστιν ἐς αἰῶνα· ὅτιπερ ἓξ ἡμέραις ἐποίησεν ὁ ὀντωτὴς τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ἐν τῇ ἡμέρᾳ δὲ τῇ ἑβδόμῃ πέπαυται καὶ ἀναπέπαυται. [18]Ἔδωκέ τε πρὸς τὸν μωσέα, κατὰ τὸ τελευτῆσαί ἑ διαλεγόμενον σὺν αὐτῷ ἐν τῷ ὄρει τῶν ξινάων, δύο πλάκε τῆς μαρτυρίας, πλάκε λίϑου γεγραμμένα ἐν

XXXII. δακτύλῳ ϑεοῦ. [1]τεϑέαται δ' ὁ λεὼς ὅτι διατρίβει μωσεὺς καταβῆναι ἀπὸ τοῦ ὄρους, καὶ ἐξεκλησιάσϑη ὁ λεὼς ἐπ' ἀαρῶνα καὶ εἶπον πρὸς αὐτόν· ἔγειραι ποίησον ἡμῖν ϑεοὺς οἳ πορεύσονται πρὸ ἡμῶν· οὗτος γὰρ μωσεὺς ὁ ἀνὴρ ὃς ἀνήγαγεν ἡμᾶς ἐκ γῆς αἰγύπτου, οὐκ ἴσμεν τί ὑπῆρξεν αὐτῷ. [2]ἔφη δὲ πρὸς αὐτοὺς ἀαρών· ἀφαρμόσατε τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν,

---

9. αὐτοῦ (2)] αὐτῆς cod. 14. αὐτῷ] nescio an corrigendum αὐτῇ (bis). ἀπὸ τῶν λαῶν αὐτῆς] legit מֵעַמֶּיהָ (ita cod. Kenn. 69, quatuor codd. Ross. a pr.) pro מִקֶּרֶב עַמֶּיהָ t. rec. 18. ἐν τῷ ὄρει cod. Ed. τῷ om.

XXXII. 2. ἀφαρμόσατε] nonne ἀφαιρήσατε? Cf. v. sq. 24. Thr. V, 8.

τῶν υἱέων ὑμῶν καὶ τῶν θυγατέρων ὑμῶν, καὶ ἐνέγκατε πρός με. [3]τοίνυν ἀφεῖλοντο πᾶς ὁ λεὼς τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ σφῶν καὶ ἤνεγκαν πρὸς ἀαρῶνα. [4]ἔλαβε δ' ἀπὸ τῆς χειρὸς αὐτῶν, ἐμόρφωσέ τ' αὐτὸ ἐν τῇ γραφίδι καὶ ἐποίησεν αὐτὸ μόσχον χύσεως. καὶ εἶπον· οὗτοι οἱ θεοί σου, ἰσραέλε, οἵπερ ἀνήγαγόν σε ἐκ γῆς αἰγύπτου. [5]τοίνυν εἶδεν ἀαρὼν, καὶ ἐδείματο θυτήριον ἐνώπιον αὐτοῦ· καὶ ἐβόησεν ἀαρὼν καὶ εἶπεν· ἑορτὴ τῷ ὀντωτῇ αὔριον. [6]ὤρθρισαν οὖν ἀπαύριον καὶ ἀνήνεγκαν ἀναφορὰς, προσήγγισάν τε εἰρηναῖον· ἐκαθέσθη τε ὁ λεὼς φαγεῖν καὶ πιεῖν, ἠγέρθησάν τε παίζειν.

° [7]Διείλεκται τοίνυν ὁ ὀντωτὴς πρὸς μωσέα· ἄπιθι κατάβα, ἐπεὶ ἔφθειρεν ὁ λεώς σου ὃν ἀνήνεγκας ἐκ γῆς αἰγύπτου. [8]ἀπέστησαν ταχέως ἀπὸ τῆς ὁδοῦ ἣν σφίσιν ἐνετειλάμην· ἐποίησαν ἑαυτοῖς μόσχον χύσεως καὶ προσεκύνησαν αὐτὸν, ἔθυσάν τέ οἱ καὶ εἶπον· οὗτοι οἱ θεοί σου, ἰσραέλε, οἵπερ ἀνήγαγόν σε ἐκ γῆς αἰγύπτου. [9]τοιγαροῦν ἔφη ὁ ὀντωτὴς πρὸς μωσέα· ἤθρησα τὸν λεὼν τοῦτον, αὐτίκα τε λεὼς σκληραύχην ἐστί. [10]νῦν οὖν πάρες μοι, καὶ ὀργιεῖται ὁ θυμός μου ἐν αὐτοῖς καὶ φθερῶ σφᾶς, ποιήσω τέ σε εἰς ἔθνος μέγα. [11]ἐδυσώπησεν οὖν μωσεὺς τὸ πρόσωπον τοῦ ὀντωτοῦ τοῦ θεοῦ οἱ καὶ εἶπε· τοῦ χάριν, ὀντωτά, ὀργιεῖται ὁ θυμός σου ἐν τῷ λεῷ σου, ὃν ἐξήνεγκας ἐκ γῆς αἰγύπτου ἐν ἰσχύϊ μεγάλῃ κἂν χειρὶ κραταιᾷ; [12]τοῦ χάριν ἐροῦσιν αἰγύπτιοι τῷ φάσκειν· κακῶς ἐξήνεγκε σφᾶς ὡς ἀποκτείνειε σφᾶς ἐν τοῖς ὄρεσι καὶ ὡς ὀλοθρεύσειε σφᾶς ἄνωθεν τοῦ προσώπου τῆς γῆς; στράφηθι ἀπὸ τῆς ὀργῆς τοῦ θυμοῦ σου καὶ μετάγνωθι ἐπὶ τῷ κακῷ εἰς τὸν λεών σου· [13]μνήσθητι τοῦ ἀβραάμου, τοῦ ἰσάκου καὶ τοῦ ἰσραέλου τῶν δούλων σου, οἷς ὤμοσας σφίσιν ἐν σοὶ διείλεξαί τε πρὸς αὐτούς· πληθυνῶ τὸ σπέρμα ὑμῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, πᾶσάν τε τὴν γῆν ταύτην ἣν ἔφην δώσω τῷ σπέρματι ὑμῶν, καὶ κληρώσονται ἐς αἰῶνα. [14]μετέγνω τοίνυν ὁ ὀντωτὴς ἐπὶ τῇ κακώσει ἣν διείλεκται ποιῆσαι τῷ λεῷ οἱ.

3. ἀφεῖλοντο] ἀφείλονται cod. et ed. 4. ἐποίησεν cod., non ἐποίησαν ut ed. 6. ἀπ' αὔριον cod. Cf. Prol. I, 4, d. εἰρηναῖον] l. εἰρηναῖα (שְׁלָמִים). Cf. Lev. III, 1 sqq. VII, 13 sqq. cet. 10. φθερῶ cod., non φθειρῶ ut ed. 13. ἰσάκου] sic, non ἰσχάκου (cf. Gen. XXI sqq.), cod. ὤμοσαν cod. et ed.

°[15]Τοιγαροῦν ἐξένευσε καὶ κατέβη μωσεὺς ἀπὸ τοῦ ὄρους, τὰ δύο τε πλάκε τῆς μαρτυρίας ἐν τῇ χειρί οἱ, πλάκε γεγραμμένα πρὸς τοῖν δυοῖν μεροῖν αὐταῖν, ἐντεῦθεν κἀκεῖθεν αὐτὰ γεγραμμένα· [16]τά τε πλάκε ἔργον θεοῦ ἤτην, καὶ τὸ γράμμα γράμμα θεοῦ ἦν κεχαραγμένον ἐπὶ τοῖν πλακοῖν. [17]πέπυσται δ' ἰωσούας τὴν φωνὴν τοῦ λεὼ ἐν τῷ θορυβεῖν, καὶ εἶπε πρὸς τὸν μωσέα· φωνὴ πολέμου ἐν τῷ στρατοπέδῳ. [18]καὶ εἶπεν· οὐ φωνὴν τοῦ ἀντᾴδειν ἰσχύος οὔτε φωνὴν τοῦ ἀντᾴδειν ἀσθενείας, φωνὴν τοῦ ἀντᾴδειν ἐγὼ πυνθάνομαι. [19]τοιγαροῦν ὑπῆρξε καθάπερ ἤγγισε πρὸς τὸ στρατόπεδον ἑώρακέ τε τὸν μόσχον καὶ τοὺς θιάσους, ὤργισταί τε ὁ θυμὸς τοῦ μωσέως καὶ ἔρριψεν ἀπὸ τῆς χειρὸς ἑαυτοῦ τὰ πλάκε, ξυνέτριψέ τε ταῦτα ὑπὸ τῷ ὄρει· [20]ἔλαβε δὲ τὸν μόσχον ὅνπερ ἐποίησαν, ἔκαυσέ τ' ἐν πυρί, ἤλεσέ τ' ἄχρι τοῦ λεπτοῦ καὶ ἐσκόρπισεν ἐπὶ τοῦ προσώπου τοῦ ὕδατος, καὶ ἐπότισε τοὺς υἱέας τοῦ ἰσραέλου. [21]ἔφη δὲ μωσεὺς πρὸς τὸν ἀαρῶνα· τί ἐποίησέ σοι ὁ λεὼς οὗτος ὅτι ἤνεγκας ἐπ' αὐτὸν ἁμαρτίαν μεγάλην; [22]ἔφη δ' ἀαρών· μὴ ὀργῷτο ὁ θυμὸς τοῦ δεσπότου μου· σὺ οἶσθα τὸν λεὼν ὅτι ἐν κακῷ ἐστιν. [23]εἶπον οὖν μοι· ποίησον ἡμῖν θεοὺς οἳ πορεύσονται πρὸ ἡμῶν· οὗτος γὰρ μωσεὺς ὁ ἀνὴρ ὃς ἀνήγαγεν ἡμᾶς ἐκ γῆς αἰγύπτου, οὐκ ἔγνωμεν τί ὑπῆρξεν αὐτῷ. [24]εἶπον οὖν αὐτοῖς· τίς ἔχει χρυσόν, ἀφέλεσθε καὶ δότε μοι. ἔρριψά τε αὐτὸν εἰς πῦρ, καὶ ἐξῆλθεν ὁ μόσχος οὗτος. [25]εἶδεν οὖν μωσεὺς τὸν λεὼν ὅτι προφανὴς ἦν, ἐπεὶ προὔφηνεν αὐτὸν ἀαρὼν εἰς δυσφημίαν ἐν τοῖς ἐγειρομένοις αὐτῶν· [26]καὶ ἔστη μωσεὺς ἐν τῇ πύλῃ τοῦ στρατοπέδου καὶ εἶπε· τίς τοῦ ὀντωτοῦ, πρός με. συνηθροίσθησαν οὖν πρὸς αὐτὸν πάντες οἱ υἱεῖς τοῦ λευΐνος. [27]ἔφη τε σφίσι· τῇδε ἔφη ὁ ὀντωτὴς ὁ θεὸς τοῦ ἰσραέλου· θέτε ἕκαστος τὸ ξίφος ἑαυτοῦ ἐπὶ τοῦ μηροῦ οἱ, διέλθετε καὶ ὑποστρέψατε ἀπὸ πύλης ἐς πύλην ἐν τῷ στρατοπέδῳ καὶ διαχρήσασθε ἕκαστος τὸν ἀδελφὸν ἑαυτοῦ καὶ ἕκαστος

---

16. ἤτην in ras. Primo, uti ex vestigiis intelligitur, ἦσαν scriptum erat. 17. ἐν τῷ θορυβεῖν] textus lectionem (ברעה) ante oculos habuisse videtur (Keri בְּרֵעֹו). 20. ἤλεσε] ἤλοισε cod. et ed. Vix ἠλόησε vel ἠλοίησε (וַיִּטְחַן; cf. Num. XI, 8. Deut. IX, 21. Eccl. XII, 4) legendum. 22. ὀργώτω cod. et ed. Mallem ὠργίσθω (cf. Gen. XLIV, 18). 24. καὶ δότε μοι] nescio unde imperativum sumpserit (וַיִּתְּנוּ־לִי).

τὸν ἑταῖρον ἑαυτοῦ καὶ ἕκαστος τὸν συγγενῆ οἱ. [28]τοίνυν ἐποίησαν οἱ υἱεῖς τοῦ λευῖνος κατὰ τὸν λόγον τοῦ μωσέως· ἔπεσόν τ' ἀπὸ τοῦ λεὼ ἐν τῇ ἡμέρᾳ κείνῃ κατά που τρεῖς χιλιάδας ἀνδρῶν. [29]ἔφη τε μωσεύς· πλήσατε τὴν χεῖρα ὑμῶν σήμερον τῷ ὀντωτῇ, ἐπεὶ ἕκαστος ἐν τῷ υἱῷ οἱ κἂν τῷ ἀδελφῷ οἱ, καὶ ὡς δοίη ἐφ' ὑμῶν σήμερον εὐλογίαν. [30]ὑπῆρξε δ' ἀπαύριον, καὶ ἔφη μωσεὺς πρὸς τὸν λεών· ὑμεῖς ἡμάρτετε ἁμαρτίαν μεγάλην· νῦν οὖν ἀναβήσομαι πρὸς τὸν ὀντωτήν, ἴσως ἐκμειλίξομαι χάριν τῆς ἁμαρτίας ὑμῶν. [31]ὑπέστρεψε τοίνυν μωσεὺς πρὸς τὸν ὀντωτὴν ἔφη τε· ὦ ἥμαρτεν ὁ λεὼς ὁδὶ ἁμαρτίαν μεγάλην, καὶ ἐποίησαν ἑαυτοῖς ϑεοὺς χρυσοῦ· [32]νῦν οὖν εἴπερ αἴροις τὴν ἁμαρτίαν σφῶν· εἰ δὲ μή, ἀπάλειψόν με δὴ βίβλου σου ἣν ἔγραψας. [33]ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· τίς ὃς ἥμαρτέ μοι, ἀπαλείψω ἐ τῆς βίβλου μου. [34]ἄρτι δ' ἄπιϑι ὁδήγησον τὸν λεὼν πρὸς ἃ διείλεγμαί σοι, αὐτίκα ὁ ἄγγελός μου πορεύσεται ἐπίπροσϑέν σου· κἂν τῇ ἡμέρᾳ τοῦ ἐπισκέπτεσϑαί με, καὶ ἐπισκέψομαι ἐφ' ὑμῖν τὴν ἁμαρτίαν ὑμῶν. [35]ἔπληξε δ' ὁ ὀντωτὴς τὸν λεὼν ἐφοῖς ἐποίησαν τὸν μόσχον ὃν ἐποίησεν ἀαρών.

XXXIII. [1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἄπιϑι ἀνάβα ἐντεῦϑεν, σὺ καὶ ὁ λεὼς ὃν ἀνήγαγες ἀπὸ γῆς αἰγύπτου, πρὸς τὴν γῆν ἣν ὤμοσα τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ τῷ φάναι· τῷ σπέρματί σου δώσω ταύτην. [2]καὶ πέμψω πρόσω σου ἄγγελον, ἀπελάσω τε τὸν κεναάνιον τόν τ' ἐμόριον καὶ τὸν ἥτιον καὶ τὸν περιζαῖον, τὸν χευαῖον καὶ τὸν ἰεβούξιον· [3]πρὸς γῆν ῥεομένην γάλακτι καὶ μέλιτι· οὐ γὰρ ἀναβήσομαι μέσον σου, ἐπεὶ λεὼς σκληραύχην εἶ, μήπως φϑείρω σε ἐν τῇ ὁδῷ. [4]τοίνυν ἐπύϑετο ὁ λεὼς τὸν λόγον τὸν δεινὸν τουτονί, καὶ ἐπένϑησαν, οὔτε ἔϑετο ἕκαστος τὸ κόσμιον ἑαυτοῦ ἐπ' αὐτοῦ. [5]ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· φάϑι πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου· ὑμεῖς λεὼς σκληραύχην· ἀτόμῳ ἑνὶ ἀναβήσομαι μέσον σου καὶ φϑερῶ σε. νῦν οὖν καταβίβασον τὰ κόσμιά σου ἄνωϑέν σου, καὶ εἴσομαι τί ποιήσω σοι. [6]ἀφῄρηνται τοίνυν οἱ υἱεῖς ἰσραέλου τὰ κόσμια

---

28. χιλιάδες corr. χιλιάδας cod. 30. ἀπαύριον] sic ipse cod. Cf. v. 6. 34. ἐφ' ὑμῖν — ὑμῶν] tertiam personam exspectaveris (עֲלֵיהֶם חַטָּאתָם). 35. ἐφοῖς] sic cod. Cf. Gen. VI, 3.

XXXIII. 1. ἰσάκῃ] cf. XXXII, 13. 2. ἥτιον cod. Cf. Gen. XV, 20 (χηταῖον). Deut. VII, 1 (ἥτιον) cet. 4. ἐπένϑυσαν cod. et ed.

σφῶν ἀπὸ τοῦ ὄρους ὠρέβου. [7]μωσεὺς δὲ λάβοι τὴν σκηνὴν καὶ κλίνοι ἑαυτῷ θύραθεν τοῦ στρατοπέδου, τῷ ἀφίστασθαι ἀπὸ τοῦ στρατοπέδου, κέκληκε δ' αὐτῇ σκηνὴ ὄρου· ἐτέλεσέ τε πᾶς ζητῶν τὸν ὀντωτὴν ἐξέλθοι πρὸς τὴν σκηνὴν τοῦ ὄρου τὴν θύραθεν τοῦ στρατοπέδου. [8]ὑπῆρξέ τ' ἐν τῷ ἐξιέναι μωσέα πρὸς τὴν σκηνὴν, ἐγερθεῖεν πᾶς ὁ λεὼς καὶ σταῖεν ἕκαστος τῷ πυλῶνι τῆς σκηνῆς ἑαυτοῦ, ἀτενίσαιέν τε κατόπιν μωσέως ἄχρι τοῦ ἀφικέσθαι αὐτὸν ἐς τὴν σκηνήν. [9]καὶ τελέσειε κατὰ τὸ ἀφικέσθαι μωσέα ἐς τὴν σκηνὴν, καταβαίη στύλος τῆς νεφέλης καὶ ἵσταιτο τῷ πυλῶνι τῆς σκηνῆς, καὶ διαλέγοιτο ξὺν τῷ μωσεῖ· [10]θεάσαιτό τε πᾶς ὁ λεὼς τὸν στύλον τῆς νεφέλης ἑστῶτα τῷ πυλῶνι τῆς σκηνῆς, ἐγερθείη δὲ πᾶς ὁ λεὼς καὶ προσκυνήσαιεν ἕκαστος ἐν τῇ πύλῃ τῆς σκηνῆς ἑαυτοῦ. [11]διαλέγοιτο δ' ὁ ὀντωτὴς πρὸς μωσέα προσώπῳ πρὸς πρόσωπον, καθάπερ διαλέγοιτο ἀνὴρ πρὸς ἑταῖρον ἑαυτοῦ· ὑποστρέψειε δὲ πρὸς τὸ στρατόπεδον, ὁ δ' ὑπηρέτης αὐτοῦ ἰωσούας υἱὸς νούνου, ὁ νέος, οὐ λείψειε μέσοθεν τῆς σκηνῆς.

[12]Ἔφη δὲ μωσεὺς πρὸς τὸν ὀντωτήν· θεῶ σὺ φῄς πρός με· ἀναβίβασον τὸν λεὼν τουτονί, σὺ δ' οὐκ ἐγνώρισάς μοι ὃν ἀποστελεῖς ξὺν ἐμοί· σὺ μέντοι ἔφης· ἔγνων σε ἐν ὀνόματι, καὶ ἔτι εὗρες χάριν ἐν ὄμμασί μοι. [13]νῦν οὖν εἴπερ δὴ εὑρήκοιμι χάριν ἐν ὄμμασί σοι, γνώρισόν μοι δὴ τὴν ὁδόν σου, καὶ εἴσομαί σε ἵν' εὕρω χάριν ἐν ὄμμασί σοι· θέασαί θ' ὅτι λεώς σου τὸ ἔθνος τοδί. [14]καὶ εἶπε· τὸ πρόσωπόν μου πορεύσεται, καὶ καταπαύσω σοι. [15]καὶ ἔφη πρὸς αὐτόν· εἰ μὴ τὸ πρόσωπόν σου πορεύοιτο, μὴ ἀναγάγῃς ἡμᾶς ἐντεῦθεν. [16]ἐν τίνι δὲ γνωσθήσεται πού ὅτι εὗρον χάριν ἐν ὄμμασί σοι, ἐγὼ καὶ ὁ λεώς σου; ἆρ' οὐκ ἐν τῷ πορεύεσθαί σε ξὺν ἡμῖν; καὶ διοίσομεν ἐγὼ καὶ ὁ λεώς σου ἀπὸ παντὸς τοῦ λεὼ τοῦ ἐπὶ τοῦ προσώπου τῆς γῆς.

[17]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἔτι τὸν λόγον τουτονὶ ὅνπερ διείλεξαι ποιήσω· εὗρες γὰρ χάριν ἐν ὄμμασί μοι, καὶ ἔγνων σε

---

6. ὠρέβου cod. Cf. XVII, 6. 8. ἀφίκεσθαι (ut ed.) corr. ἀφικέσθαι cod. ἐς τὴν σκηνήν] ἐς ipsi addidimus. Cf. v. sq. 9. στύλος] hoc accentu utitur. Cf. v. sq. Prol. I, 4, c. 11. ὑποστρέψει cod. et ed. 12. φῄς] φῆς cod. Cf. II, 14. 16. γνωσθήσεταί που c. cd. ed. Cf. Gen. XXVII, 37. XLIII, 11.

ἐν ὀνόματι. [18]ἔφη τοίνυν· δεῖξόν μοι δὴ τὴν δόξαν σου. [19]καὶ εἶπεν· ἐγὼ διάξω πᾶσαν τὴν χρηστότητά μου ἐπὶ προσώπου σου, καὶ καλέσω ἐν ὀνόματι τοῦ ὀντωτοῦ πρόσω σου· χαριοῦμαί τε ᾧ ἂν χαριοίμην, ἐλεήσω δ' ὃν ἂν οἰκτείροιμι. [20]καὶ εἶπεν· οὐχ ἕξεις θεάσασθαι τὸ πρόσωπόν μου· οὐ γὰρ θεάσεταί με ὁ ἄνθρωπος καὶ ζῶν. [21]ἔφη δ' ὁ ὀντωτής· αὐτίκα τόπος παρ' ἐμοί, στήσῃ δ' ἐπὶ τῆς πέτρας· [22]τελέσει τ' ἐν τῷ διϊέναι τὴν δόξαν μου, καὶ θήσω σε ἐν τῇ διασφάγι τῆς πέτρας, στηριῶ τε τὴν ἐμὴν παλάμην ἐπὶ σοῦ ἄχρι τοῦ διϊέναι με· [23]καὶ ἀφελῶ τὴν παλάμην μου, καὶ ὄψει τὰ κατόπιν μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεται.

XXXIV. [1]Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· λάξευσον σαυτῷ δύο πλάκε λίθου κατὰ τὰ προτέρα, γράψω τε ἐπὶ ταῖν πλακοῖν τοὺς λόγους οἵπερ ὑπῆρξαν ἐπὶ ταῖν πλακοῖν ταῖν προτέραιν ἃ συνέτριψας. [2]ἔσο τε ἕτοιμος τῇ ἕῳ, καὶ ἀναβήσῃ ἐν ἕῳ ἐπὶ τὸ ὄρος τῶν ξινάων, στήσῃ τέ μοι ἐκεῖ ἐπὶ τῆς ἀκρωρείας. [3]ἀνὴρ μέντοι οὐκ ἀναβήσεται ξὺν σοί, ἔτι τ' ἀνὴρ μὴ φανήτω ἐν παντὶ τῷ ὄρει· ἔτι τὸ ποίμνιον καὶ τὸ βουκόλιον μὴ νεμέσθω προσέναντι τοῦ ὄρους ἐκείνου. [4]τοιγαροῦν ἐλάξευσε δύο πλάκε λίθων κατὰ τὰ προτέρα· ὤρθρισε δὲ μωσεὺς ἐν ἕῳ καὶ ἀνέβη πρὸς τὸ ὄρος τῶν ξινάων καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ, καὶ ἔλαβεν ἐν τῇ χειρί οἱ δύο πλάκε λίθων. [5]κατέβη δ' ὁ ὀντωτὴς ἐν νεφέλῃ καὶ ἔστη ξὺν αὐτῷ ἐκεῖ, ἐκάλεσέ τε ἐν ὀνόματι τοῦ ὀντωτοῦ. [6]καὶ ἦλθεν ὁ ὀντωτὴς ἐπὶ τοῦ προσώπου οἱ, καὶ ἀνεβόησεν· ὀντωτὰ ὀντωτά, θεὲ ἐλεῆμον καὶ χαριζόμενε, μακρὲ τοὺς θυμοὺς καὶ πολὺ τὸν ἔλεον καὶ τὴν ἀλήθειαν, [7]τηρῶν ἔλεον ἐς χιλιάδας, αἶρον ἀμπλάκημα, ἔγκλημά τε καὶ ἁμαρτίαν, καὶ ἀθῷος οὐκ ἀθωωθήσεται, ἐπισκεπτόμενε ἀμπλάκημα πατέρων ἐπὶ υἱέων κἀπὶ υἱῶν υἱέων ἐπὶ τριττεύουσι κἀπὶ τεταρτεύουσιν. [8]ἐτάχυνε δὲ μωσεὺς ἔκυψέ τε γῆνδε καὶ προσεκύνησεν, [9]ἔφη τε· εἰ δὴ εὗρον

---

18. ἔφη τοίνυν] ἔφη ipsi addidimus invito codice. 22. διασφάγι] ita scribendum duximus pro διασφάσι quod in codice est. Latet nos unde Morell. sumpserit διαθράσει. Ed. διαστάσει

XXXIV. 1. ἃ συνέτριψας cod., non ἃς ἐπέτρ. ut ed. 2. ἔσο cod., non ἔση 6. ἦλθεν] l. διῆλθεν (וַיַּעֲבֹר). Cf. Gen. XXXII, 32. 7. ἀθωωθήσεται] יְנַקֶּה pro יְנַקֵּה ,ἐπιτριττεύουσι (sic) cod., non ἐπὶ τοῖς τριττεύουσιν ut ed. 8. γῆνδε cod., non γῆν

χάριν ἐν ὄμμασί σοι, δέσποτά μου, πορευέσϑω δὴ ὁ δεσπότης μου μεταξὺ ἡμῶν, λεὼς γὰρ σκληραύχην ἐστί, καὶ ἱλάσῃ τοῖς ἀμπλακήμασιν ἡμῶν καὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ κληρώσεις ἡμᾶς. [10] ἔφη δέ· αὐτίκα ἐγὼ τέμνω σύνϑημα· ἀντικρὺ παντὸς τοῦ λεώ σου ποιήσω ϑαυμάσια ἅπερ οὐκ ἐπλάσϑησαν ἐν πάσῃ τῇ γῇ κἀν οἰστισοῦν τοῖς ἔϑνεσιν, ἀϑρήσει τε πᾶς ὁ λεὼς ᾧ σὺ μέσον αὐτοῦ τὸ ἔργον τοῦ ὀντωτοῦ, ὅτι φοβερόν ἐστιν ὅπερ ἐγὼ ποιῶ ξὺν σοί. [11] φύλαττε σαυτῷ ἅπερ ἐγὼ κελεύω σοι τήμερον· αὐτίκ' ἐγὼ ἐλαύνω ἀπὸ προσώπου σου τὸν ἐμόριον τόν τε κεναάνιον καὶ τὸν ἡταῖον καὶ τὸν περεζαῖον καὶ τὸν χευαῖον καὶ τὸν ἰεβούξιον· [12] πεφύλαξο σαυτῷ μήπως τέμῃς συνϑήκην τῷ καϑέδρῳ τῆς γῆς ἧς σὺ παραγίνῃ ἐπ' αὐτήν, μὴ τελέσει εἰς σκανδάληϑρον ἐν μέσῳ σου. [13] τὰ γὰρ ϑυτήρια σφῶν καϑελεῖτε καὶ τὰ ἀναστήματα σφῶν συντρίψετε, τὰ δ' ἄλση αὐτοῦ ἐκτεμεῖτε. [14] οὐ γὰρ προσκυνήσεις ϑεῷ ἑτέρῳ, ἐπεὶ ὁ ὀντωτής, ζηλότυπος τοὔνομά οἱ, ϑεὸς ζηλότυπός ἐστι. [15] μή πη τέμοις ξυνϑήκην τῷ καϑέδρῳ τῆς γῆς· πορνεύσαιέν τε κατόπιν τῶν ϑεῶν σφῶν καὶ ϑύσαιεν τοῖς ϑεοῖς αὐτῶν, καλέσειέ τέ σε καὶ ἔδῃ τῆς ϑυσίας αὐτοῦ, [16] λάβοις τε πρὸς τῶν ϑυγατέρων αὐτοῦ τοῖς υἱέσι σου, καὶ πορνεύοιεν αἱ ϑυγατέρες αὐτοῦ κατόπιν τῶν ϑεῶν ἑαυτῶν, καὶ πορνῷεν τοὺς υἱέας σου κατόπιν τῶν ϑεῶν αὐτῶν. [17] ϑεοὺς χύσεως οὐ ποιήσεις σαυτῷ. [18] τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξεις· ἑπτὰ ἡμέραις ἔδῃ ἄζυμα ἅπερ ἐκέλευσά σοι, ἐν ὅρῳ τοῦ μηνὸς τῆς φυταλίας· ἐν γὰρ τῷ μηνὶ τῆς φυταλίας ἐξῆλϑες ἀπὸ τῆς αἰγύπτου. [19] πᾶν δίαρμα νηδύος ἐμοί, πᾶν τε τὸ κτῆμά σου ἀρρενολογήσεις, δίαρμα βοὸς καὶ προβάτου· [20] δίαρμα δ' ὄνου λυτρώσῃ ἐν προβάτῳ· κἂν μὴ λυτρώσῃ, καὶ τραχηλιεῖς αὐτό. πάντα πρωτότοκον τῶν υἱέων σου λυτρώσῃ, καὶ οὐκ ὀφϑήσεται τὸ πρόσωπόν μου κενῶς. [21] ἓξ ἡμέραις ἐργάσῃ, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀναπαύσῃ· ἐν ἀροτῷ κἀν ἀμητῷ ἀναπαύσῃ. [22] καὶ ἑορτὴν

---

10. οἰστισοῦν] codicis scripturam servavimus. Cf. Lev. XVIII, 24. 11. ἅπερ cod., non ὅπερ ut ed. ἡταῖον cod. ac dein περεξαῖον (sic, non περιξ. ut ed.). Cf. XXXIII, 2. Gen. XIII, 7 cet. 12. μήπως cod., non μή ποτε ut ed. 15. ϑεῶν] λεῶν cod. et ed. 16. ϑυγατρῶν c. ed. ed. πορνῷεν] sic cod. Cf. Gen. VI, 19 sq. VII, 3 cet. 17. χύσεως] λύσεως cod. 18. φυταλίας, non φυταλιᾶς, cod. 21. ἀροτῷ — ἀμητῷ] sic cod. Cf. Prol. I, 4, c. ἀναπαύσῃ (2)] ἀναπαύσεως cod., ἀναπαύσεις ed.

ἑβδομάδων ποιήσεις σαυτῷ, πρωτογενῆ ἀμητοῦ πυρῶν, ἑορτήν τε συναγωγῆς τῆς τροπῆς τοῦ ἔτους.

[23]Τρὶς ἐν τῷ ἔτει ὀφθήσεται πᾶσα ἡ ἀρρενότης σου τῷ προσώπῳ τοῦ δεσπότου, τοῦ ὀντωτοῦ τοῦ θεοῦ τοῦ ἰσραέλου. [24]ἀποκληρώσω γὰρ ἔθνη ἀπὸ προσώπου σου εὐρυνῶ τε τὸν ὅρον σου, καὶ οὐκ ἐπιθυμήσει ἀνὴρ τῆς γῆς σου ἐν τῷ ἀνιέναι σε ὡς ὀπτάνοιο τῷ προσώπῳ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου τρὶς ἐν τῷ ἔτει. [25]οὐ θύσεις ἐπὶ ζυμωτῷ αἷμα θυσίας μου, οὔτε μενεῖ ἐς ἕω θυσία ἑορτῆς τοῦ ἄλματος. [26]ἀρχὴν τῶν πρωτογενῶν τῆς γῆς σου οἴσεις οἴκαδε τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου. οὐχ ἑψήσεις ἔριφον ἐν γάλακτι τῆς μητρὸς αὐτοῦ.

°[27]Ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα· γράψον σαυτῷ τοὺς λόγους τούτους· ἐπὶ γὰρ στόματι τῶν λόγων τούτων ἔτεμον ξὺν σοὶ συνθήκην καὶ ξὺν τῷ ἰσραέλῳ. [28]ὑπῆρξε δ' ἐκεῖ σὺν τῷ ὀντωτῇ τετταράκοντα ἡμέραις καὶ τετταράκοντα νυξίν, ἄρτον οὐ βέβρωκεν ὕδωρ τ' οὐκ ἔπιεν· ἔγραψε δ' ἐπὶ ταῖν πλακοῖν τοὺς λόγους τοῦ συμφωνήματος, τοὺς δέκα λόγους. [29]ὑπῆρξε δ' ἐν τῷ κατιέναι μωσέα πρὸς τοῦ ὄρους τῶν ξινάων, καὶ τὰ δύο πλάκε τῆς μαρτυρίας ἐν τῇ χειρὶ τοῦ μωσέως· ἐν τῷ κατιέναι ἑ πρὸς τοῦ ὄρους, μωσεὺς μέντοι οὐκ ἔγνω ὅτι ἔλαμψε τὸ δέρμα τοῦ προσώπου οἱ ἐν τῷ διαλέγεσθαί ἑ σὺν αὐτῷ· [30]τοίνυν εἶδεν ἀαρὼν πάντες θ' οἱ υἱεῖς τοῦ ἰσραέλου τὸν μωσέα, καὶ θεῷ ἔλαμψε τὸ δέρμα τοῦ προσώπου οἱ· καὶ πεφόβηνται ἀπὸ τοῦ ἐγγίζειν πρὸς αὐτόν. [31]ἐβόησέ τε πρὸς αὐτοὺς μωσεύς, καὶ ὑπέστρεψαν πρὸς αὐτὸν ἀαρὼν καὶ πάντες οἱ ἄρχοντες ἐν τῷ συναθροίσματι· διείλεκταί τε μωσεὺς πρὸς αὐτούς. [32]καὶ μεταταῦτα ἤγγισαν πάντες οἱ υἱεῖς τοῦ ἰσραέλου, καὶ ἐκέλευσε σφίσι ξύμπανθ' ἅπερ διείλεκται ὁ ὀντωτὴς ξὺν αὐτῷ ἐν τῷ ὄρει τῶν ξινάων. [33]ἐτελεύτησε δὲ μωσεὺς διαλεγόμενος ξὺν αὐτοῖς, ἔδωκέ τ' ἐπὶ τοῦ προσώπου οἱ πτόρθον. [34]ἐν μὲν οὖν τῷ ἀφικνεῖσθαι μωσέα ἐνώπιον τοῦ ὀντωτοῦ ὡς διαλέγοιτο σὺν αὐτῷ, ἀφαιροίη τὸν πτόρθον ἄχρι τοῦ ἐξιέναι ἑ· ἐξῆλθε δὲ καὶ διείλεκται πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου

---

22. τροπῆς] ita, ni fallor, ipse cod., non στροπῆς ut relatum erat Ammonio. 24. ὀπτάνοιο cod., non ὀπτάνοις ut ed. 25. ζυμητῷ (sic) cod., non ζυμωτοῦ ut ed. Cf. XII, 15. XIII, 3. 7 cet. 29. ὑπῆρξε] ὑπῆρξαι cod. 30. εἶδον corr. εἶδεν cod. 32. μεταταῦτα] sic cod. Cf. Gen. VI, 4.

ἅπερ κελεύοιτο. [35]καὶ ἴδοιεν οἱ υἱεῖς ἰσραέλου τὸ πρόσωπον τοῦ μωσέως ὅτι ἔλαμψε τὸ δέρμα τοῦ προσώπου τοῦ μωσέως, καὶ στρέψειε μωσεὺς τὸν πτόρθον ἐπὶ τοῦ προσώπου οἱ μέχρι τοῦ ἀφικέσθαι ἑ ὡς διαλέγοιτο σὺν αὐτῷ.

ρλθʹ γυναλ

XXXV. (μερίς) [1]Τοίνυν ἐξεκλησίασε μωσεὺς πᾶν τὸ συνάθροισμα τῶν υἱέων τοῦ ἰσραέλου καὶ ἔφη πρὸς αὐτούς· οὗτοι οἱ λόγοι οὓς ἐκέλευσεν ὁ ὀντωτὴς ποιεῖν αὐτούς. [2]ἓξ ἡμέραις ποιηθήσεται ἐργασία, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τελέσει ὑμῖν ἁγία παῦλα, ἀνάπαυσις τῷ ὀντωτῇ· πᾶς ὁ ποιῶν ἐν αὐτῇ ἐργασίαν θανατούσθω. [3]οὐχ ἅψετε πῦρ ἐν αἰστιναισοῦν καθέδραις ὑμῶν ἐν τῇ ἡμέρᾳ τῆς παύλας.

°[4]Ἔφη δὲ μωσεὺς πρὸς πᾶσαν τὴν ἄθροισιν τῶν υἱέων τοῦ ἰσραέλου τῷ λέγειν· οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτὴς τῷ φάναι· [5]λάβετε ἀφ' ὑμῶν αὐτῶν ἀναφορὰν τῷ ὀντωτῇ· πᾶς προαιρούμενος τῇ καρδίᾳ οἱ ἐνεγκάτω ταύτην τὴν ἀναφορὰν τοῦ ὀντωτοῦ, χρυσόν, ἄργυρόν τε καὶ χαλκόν, [6]ὑάκινθόν τε καὶ πορφύραν καὶ σκώληκα ἐρυθρόν, λῖνόν τε καὶ αἶγας, [7]δέρματά τε κριῶν ἠρυθρωμένα καὶ δέρματα παρδάλεων, ξύλα τε κυπαρίττων, [8]καὶ ἔλαιον τῷ λαμπτῆρι, καὶ ἀρώματα τῷ μύρῳ τῆς χρίσεως καὶ τῷ θυμιάματι τῶν ἀρωμάτων, [9]λίθους τε κρυστάλλου καὶ λίθους πληρώσεως τῇ ἐπωμίδι καὶ τῷ ἐπιστηθίῳ. [10]πᾶς δὲ σοφὸς τὴν καρδίαν ἐν ὑμῖν, ἀφίχθωσαν καὶ ποιήτωσαν ξύμπανθ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτής· [11]τὸ οἴκημα, τὴν σκηνὴν αὐτοῦ, τὸ σκέπασμά τε αὐτοῦ, τὰς ἀγκυρίδας αὐτοῦ τάς τε σανίδας αὐτοῦ, τοὺς μοχλοὺς αὐτοῦ, τοὺς στύλους αὐτοῦ καὶ τὰς θυίας αὐτοῦ· [12]τὴν χηλὸν καὶ τοὺς μοχλοὺς αὐτῆς, τὸ ἐπίταμα τήν τ' αὐλαίαν τῆς σκέπης, [13]τὴν τράπεζαν τούς τε μοχλοὺς αὐτῆς καὶ ξύμπαντα τὰ σκεύη αὐτῆς, τόν τ' ἄρτον τοῦ προσώπου, [14]τὸν λαμπτῆρά τε τοῦ φωστῆρος καὶ τὰ σκεύη αὐτοῦ τούς τε λύχνους αὐτοῦ καὶ τοὔλαιον τοῦ φωστῆρος, [15]τὸ θυτήριον τοῦ θυμιάματος τούς τε μοχλοὺς αὐτοῦ, καὶ τὸ μύρον τῆς χρίσεως καὶ τὸ θυμίαμα

---

35. διαλέγοιτο] διαλέγετο cod. Emendationem Amm. praeivit.

XXXV. 2. παύλα cod. Cf. XXXI, 14. 16. Gen. VIII, 9. 6. λῖνον] sic cod. Cf. XXV, 4. 10. ποιήτωσαν] l. ποιείτωσαν. At itidem XXXVI, 6 scriptum est. Cf. Gen. XLIX, 6. 12. αὐτοῦ (ut ed.) corr. αὐτῆς cod.

τῶν ἀρωμάτων, τό τε κάλυμμα τοῦ πυλῶνος εἰς πυλῶνα τοῦ οἰκήματος, [16] τὸ θυτήριον τῆς ἀναφορᾶς καὶ δικτύωμα τὸ χαλκοῦν τὸ αὐτοῦ, τοὺς μοχλοὺς αὐτοῦ καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, τὸν λουτῆρα καὶ τὴν ἕδραν αὐτοῦ, [17] τὰς σφενδόνας τῆς αὐλῆς, τοὺς στύλους αὐτῆς, τὰς θυίας αὐτῆς καὶ τὸ κάλυμμα τῆς πύλης τῆς αὐλῆς, [18] τοὺς παττάλους τοῦ οἰκήματος τούς τε παττάλους τῆς αὐλῆς καὶ τὰς νευρὰς αὐτῶν, [19] τὰ ἐνδύματα τῆς ἐργασίας ὥσθ' ὑπηρετεῖν ἐν τῷ ἁγίῳ, τὰ ἐνδύματα τοῦ ἁγίου τοῦ ἀαρῶνος τοῦ ἱερέως καὶ τὰ ἐνδύματα τῶν υἱέων αὐτοῦ ὥσθ' ἱερατεύειν. [20] ἐξῆλθον δὲ πᾶσα ἡ ἄθροισις τῶν υἱέων τοῦ ἰσραέλου ἀπέμπροσθεν μωσέως. [21] καὶ ἀφίκοντο πᾶς ἀνὴρ ᾧ ἦρεν αὐτὸν ἡ καρδία οἱ καὶ πᾶς ᾧ προεῖδε τὸ πνεῦμά οἱ αὐτόν, ἤνεγκαν τὴν ἀναφορὰν τοῦ ὀντωτοῦ πρὸς ἐργασίαν τῆς σκηνῆς τοῦ ὅρου πρός πᾶσάν τε τὴν ὑπηρεσίαν αὐτοῦ καὶ πρὸς τὰ ἐνδύματα ἁγίου. [22] παρεγένοντο δ' οἱ ἄνδρες ἐπὶ τὰς γυναῖκας, πᾶς προῃρημένος τὴν καρδίαν, ἤνεγκαν πόρπην, ἐλλόβιόν τε καὶ δακτύλιον, νυμφόδεσμόν τε καὶ ἁτταοῦν σκεύη χρυσοῦ, πᾶς τε ἀνὴρ ὃς ἦρεν ἄρσιν χρυσοῦ τῷ ὀντωτῇ. [23] πᾶς τε ἀνὴρ ᾧ εὕρηται παρ' αὐτῷ ὑάκινθος πορφύρα τε καὶ σκώληξ ἐρυθρὸς, λῖνός τε καὶ αἶγες, δέρματά τε κριῶν ἠρυθρωμένα καὶ δέρματα παρδάλεων, ἤνεγκαν. [24] πᾶς ἀναφέρων ἀναφορὰν ἀργύρου καὶ χαλκοῦ, ἤνεγκαν τὴν ἀναφορὰν τοῦ ὀντωτοῦ· πᾶς θ' ᾧπερ εὕρηται παρ' αὐτῷ ξύλα κυπαρίττων εἰς ἥντιναοῦν ἐργασίαν τῆς ὑπηρεσίας, ἤνεγκαν. [25] πᾶσά τε γυνὴ σοφὴ τὴν καρδίαν, ἐν ταῖς χερσὶν αὐτῆς ἔνησαν, ἤνεγκάν τε νῆμα τὸν ὑάκινθον τήν τε πορφύραν, τὸν σκώληκα τὸν ἐρυθρὸν καὶ τὸν λῖνον· [26] πᾶσαί τε αἱ γυναῖκες αἷς ἦρε τὴν καρδίαν αὐτῶν αὐτὰς ἐν σοφίᾳ, ἔνησαν τὰς αἶγας. [27] οἱ θ' ὑπερέχοντες ἤνεγκαν τοὺς λίθους τοῦ κρυστάλλου καὶ τοὺς λίθούς τῆς πληρώσεως εἰς τὴν ἐπωμίδα καὶ τὸ ἐπιστηθίδιον, [28] τό τ' ἄρωμα καὶ τὸ ἔλαιον ἐς τὸν φωστῆρα καὶ εἰς τὸ μύρον τῆς χρίσεως καὶ εἰς τὸ θυμίαμα τῶν ἀρωμάτων. [29] πᾶς ἀνὴρ καὶ γυνὴ οἷς προεῖλεν ἡ καρδία σφῶν αὐτοὺς ὡς ἐνέγκαιεν πρὸς πᾶσαν τὴν ἐργασίαν ἣν ἐκέλευσεν

---

15. κάλυμα cod. 17. Nescio quid in hoc versu defuerit (cf. Amm. Comment. p. 17). 21. ἁγίου] articulum vix ipse translator omisit. 23. λῖνος] sic cod. Cf. v. 25. XXVIII, 5. Prol. I, 4, c. 24. παρ' αὐτοῦ cod. et ed. Cf. v. 23.

ὁ ὀντωτὴς ποιῆσαι ἐν χειρὶ τοῦ μωσέως, ἤνεγκαν οἱ υἱεῖς τοῦ ἰσραέλου προαίρεσιν τῷ ὀντωτῇ.

[30] Ἔφη δὲ μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου· θεᾶσθε κέκληκεν ὁ ὀντωτὴς ἐν ὀνόματι βεσελέλον τὸν υἱὸν τοῦ οὐρῖνος τοῦ υἱοῦ οὔρου τοῦ σκήπτρου τοῦ ἰεούδου, [31] καὶ ἔπλησεν αὐτὸν πνεύματος θεοῦ ἐν σοφίᾳ, ἐν συνέσει κἀν γνώσει κἀν πάσῃ ἐργασίᾳ, [32] κἀν τῷ διανοεῖσθαι διανοήματα, ποιεῖν ἐν τῷ χρυσῷ κἀν τῷ ἀργύρῳ κἀν τῷ χαλκῷ, [33] κἀν τῇ τέχνῃ τῶν λίθων πληροῦν, κἀν τῇ τέχνῃ τοῦ ξύλου, ποιεῖν ἐν πάσῃ ἐργασίᾳ διανοήματα· [34] δεικνύναι τε ἔδωκεν ἐν καρδίᾳ οἱ· αὐτὸς ἀωλιάβος τε υἱὸς ἀηξαμάχου τοῦ σκήπτρου τοῦ δανός· [35] ἔπλησε σφᾶς σοφίας καρδίας ὡς ποιοῖεν ἐν πάσῃ ἐργασίᾳ τεχνίτου, διανοητοῦ τε καὶ ποικιλτοῦ, ἐν ὑακίνθῳ καὶ πορφύρᾳ, ἐν σκώληκι ἐρυθρῷ κἀν λίνῳ κἀν ὑφάντῃ· ποιοῦντας πᾶσαν ἐργασίαν καὶ διανοουμένους διανοήματα.

XXXVI. [1] ποιήσει δ' ὁ βεσαλέλης καὶ ἀωλιάβος, πᾶς τ' ἀνὴρ σοφὸς τὴν καρδίαν, οἷς ἔδωκεν ὁ ὀντωτὴς σοφίαν καὶ ξύνεσιν ἐν αὐτοῖς εἰδέναι ποιεῖν ξύμπασαν τὴν ἐργασίαν τῆς ὑπηρεσίας τοῦ ἁγίου, κατὰ πᾶν ὅπερ ἐκέλευσεν ὁ ὀντωτής. [2] ἐβόησε δὲ μωσεὺς πρὸς βεσαλέλην καὶ πρὸς ἀωλιάβον, πρὸς πάντ' ἄνδρα σοφὸν τὴν καρδίαν ᾧ ἔδωκεν ὁ ὀντωτὴς σοφίαν ἐν τῇ καρδίᾳ οἱ, πάνθ' ὥπερ ἦρεν αὐτὸν ἡ καρδία οἱ ὡς ἐγγίζοι πρὸς τὴν ἐργασίαν ποιεῖν αὐτήν· [3] ἔλαβον δ' ἀπέμπροσθεν τοῦ μωσέως ξύμπασαν τὴν ἀναφορὰν ἣν ἤνεγκαν οἱ υἱεῖς τοῦ ἰσραέλου πρὸς ἐργασίαν τῆς ὑπηρεσίας τοῦ ἁγίου ὥστε ποιεῖν αὐτήν· ἐκεῖνοί τ' ἤνεγκαν πρὸς αὐτὸν ἔτι προαίρεσιν ἐν ἕῳ ἐν ἕῳ. [4] καὶ ἀφίκοντο πάντες οἱ σοφοὶ οἱ ποιοῦντες ξύμπασαν τὴν ἐργασίαν τοῦ ἁγίου, ἀνὴρ ἕκαστος ἀπὸ τῆς ἐργασίας αὐτοῦ ἣν αὐτοὶ ἐποίουν, [5] ἔφησάν τε πρὸς μωσέα τῷ λέγειν· πληθύνουσιν ὁ λεὼς τῷ φέρειν ὑπὲρ τὴν ὑπηρεσίαν τῆς ἐργασίας ἥσπερ ἐκέλευσεν ὁ ὀντωτὴς ποιεῖν αὐτήν. [6] ἐκέλευσεν οὖν μωσεύς,

---

30. βεσελέλω cod. et ed. Cf. XXXI, 2 (aliter XXXVI, 1 sq.). οὔρου cod. Cf. XXXI, 2. 35. ἐν πάσῃ] legit בְּכָל־ (ita multi codd.) pro כָּל־ t. rec. Item Sam. διανοητοῦ] διαναιτοῦ cod. et ed. Cf. XXXVIII, 23. ἐν ὑακίνθῳ cod. Ed. ἐν om. κἀν ὑφάντῃ] l. κἀν ὑφαντικῇ vel καὶ ὑφάντου (וְאֹרֵג). ποιοῦντας cod., non ποιοῦντες ut ed. διανοουμένους] διανοουμένη cod. et ed.

XXXVI. 1. τῶν ἁγίου cod. 2. βεσαλέλον c. cd. ed. πάνθ' ὥπερ — καρδία οἱ] omnia haec in editione omissa erant et vel Morellium fugerunt.

καὶ διήνεγκαν φωνὴν ἐν τῷ στρατοπέδῳ τῷ φάσκειν· ἀνὴρ καὶ γυνὴ μηκέτι ποιήτωσαν ἐργασίαν εἰς ἀναφορὰν τοῦ ἁγίου· κεκώλυται γοῦν ὁ λεὼς ἀπὸ τοῦ φέρειν. [7] ἡ τ' ἐργασία ὑπῆρξε ἱκανὸν σφίσιν εἰς πᾶσαν τὴν ἐργασίαν, ποιεῖν αὐτὴν καὶ περιττεύειν.

[8] Ἐποίησαν οὖν πᾶς σοφὸς τὴν καρδίαν ἐν τοῖς ποιοῦσι τὴν ἐργασίαν τὸ οἴκημα δέκα αὐλαιῶν λίνου κεκλωσμένου καὶ ὑακίνθου, πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ, κερούβων, ἔργον λογιζομένου ἐποίησεν αὐτά. [9] μῆκος τῆς αὐλαίας τῆς μιᾶς ὀκτὼ καὶ εἴκοσιν ἐν πήχει, εὖρος δὲ τεττάρων ἐν πήχει τῆς αὐλαίας τῆς μιᾶς· μέτρον ἓν ἁπάσαις ταῖς αὐλαίαις. [10] ἥνωσε δὲ τὰς πέντε αὐλαίας μίαν πρὸς μίαν, καὶ τὰς πέντε αὐλαίας ἥρμοσε μίαν πρὸς μίαν. [11] ἐποίησέ τε ἀγκύλας ὑακίνθου ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς ἀπ' ἄκρου ἐν τῇ ἁρμογῇ· τῇδε ἐποίησεν ἐν τῷ χείλει τῆς αὐλαίας τῆς ἄκρας ἐν ἁρμογῇ τῇ δευτέρᾳ. [12] πεντήκοντα ἀγκύλας ἐποίησεν ἐν τῇ αὐλαίᾳ τῇ μιᾷ, καὶ πεντήκοντα ἀγκύλας ἐποίησεν ἐν τῷ ἄκρῳ τῆς αὐλαίας τῷ ἐν τῇ ἁρμογῇ τῇ δευτέρᾳ, συναγούσας τὰς ἀγκύλας μίαν πρὸς μίαν. [13] ἐποίησέ τε πεντήκοντα ἀγκυρίδας χρυσοῦ, καὶ ἥνωσε τὰς αὐλαίας μίαν πρὸς μίαν ἐν ταῖς ἀγκυρίσιν· ὑπῆρξέ τε τὸ οἴκημα ἕν.

[14] Ἐποίησέ τε αὐλαίας αἰγῶν τῇ σκηνῇ ἐπὶ τοῦ οἰκήματος, δυοκαίδεκα αὐλαίας ἐποίησεν αὐτάς· [15] μῆκος τῆς αὐλαίας τῆς μιᾶς τριάκοντα ἐν πήχει, τεττάρων τε πήχεων πλάτος τῆς αὐλαίας τῆς μιᾶς· μέτρον ἓν ταῖς δυοκαίδεκα αὐλαίαις· [16] ἥρμοσε δὲ τὰς πέντε αὐλαίας χωρὶς καὶ τὰς ἓξ αὐλαίας χωρίς· [17] ἐποίησέ τε ἀγκύλας πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς ἄκρας ἐν τῇ ἁρμογῇ, πεντήκοντά τ' ἀγκύλας ἐποίησεν ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς ξυζευγνυμένης τῆς δευτέρας. [18] ἐποίησέ τ' ἀγκυρίδας χαλκοῦ πεντήκοντα συζευγνύναι τὴν σκηνὴν ὡς εἴη μία. [19] καὶ ἐποίησε κάλυμμα τῇ σκηνῇ δερμάτων κριῶν ἠρυθρωμένων, καὶ κάλυμμα δορῶν παρδάλεων ἄνωθεν.

---

6. διήνεγκαν cod., non ἐξήνεγκε ut ed. 8. αὐλαιῶν cod., non αὐλαίας ut ed. 9. καὶ εὖρος corr. εὖρος δὲ cod. (cf. Prol. I, 3, c). Perperam ed. καὶ εὖρος δὲ 11. ἐποίησεν cod., non ἐποίησαν ut ed. 12. τῆς ἐν τῇ ἁρμ. c. cd. ed. 14. ἐποιήσε corr. ἐποίησε cod. Cf. Prol. l. c. δυοκαίδεκα (עַשְׁתֵּי־עֶשְׂרֵה)] cf. XXVI, 7 sq. 17. ξυνζευγμένης c. cd. ed. itemque v. 18 συνζευγνύναι 19. δορῶν] δερῶν nescio quapropter Amm. maluerit.

°[20] Ἐποίησέ τε τὰς σανίδας τοῦ οἰκήματος ξύλων κυπαρίττων ἑστώτων· [21] δέκα πήχεων τὸ μῆκος τῆς σανίδος, πῆχυς δὲ καὶ ἥμισυ τοῦ πήχεος τὸ πλάτος τῆς σανίδος τῆς μιᾶς. [22] δύο ϑαιρὼ τῇ σανίδι τῇ μιᾷ, ἡρμοσμέναις μία πρὸς μίαν· οὕτως ἐποίησε πάσαις ταῖς σανίσι τοῦ οἰκήματος· [23] ἐποίησέ τε τὰς σανίδας τοῦ οἰκήματος· εἴκοσι σανίδας τῷ κλίματι τοῦ νότου πρὸς μεσημβρίαν, [24] τετταράκοντά τε ϑυΐσκας ἀργύρου πεποίηκεν ὑπὸ ταῖς εἴκοσι σανίσι· δύο ϑυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ ταῖν δυοῖν ϑαιροῖν αὐτῆς, δύο τε ϑυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ τοῖν δυοῖν ϑαιροῖν αὐτῆς. [25] τῇ τε πλευρᾷ τοῦ οἰκήματος τῇ δευτέρᾳ πρὸς τὸ κλίμα τῶν ἄρκτων ἐποίησεν εἴκοσι σανίδας, [26] τετταράκοντά τε ϑυΐσκας αὐτῶν ἀργύρου· δύο ϑυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ, δύο τε ϑυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ. [27] τοῖς δὲ μέρεσι τοῦ οἰκήματος πρὸς ϑάλατταν ἐποίησεν ἓξ σανίδας· [28] δύο τε σανίδε ἐποίησε ταῖς γωνίαις τοῦ οἰκήματος ἐς τὰ κλίματα. [29] ὑπηρξάτην τε διδύμω κάτωϑεν· ἅμα ϑ' ὑπάρξουσι τελείω πρὸς τῇ κεφαλῇ οἱ πρὸς τῷ κρίκῳ τῷ ἑνί· οὕτως ἐποίησεν ἀμφοῖν αὐτοῖν ταῖν δυοῖν γωνίαιν. [30] ὑπῆρξαν οὖν ὀκτὼ σανίδες, ϑυΐσκαί τ' αὐτῶν ἀργύρου, ἑξκαίδεκα ϑυΐσκαι· δύο ϑυΐσκα δύο ϑυΐσκα ὑπὸ τῇ σανίδι τῇ μιᾷ. [31] ἐποίησέ τε τοὺς μοχλοὺς ξύλου κυπαρίττων, πέντε ταῖς σανίσι τῆς πλευρᾶς τοῦ οἰκήματος τῆς μιᾶς, [32] πέντε τε μοχλοὺς ταῖς σανίσι τῆς πλευρᾶς τοῦ οἰκήματος τῆς δευτέρας, πέντε τε μοχλοὺς ταῖς σανίσι τοῦ οἰκήματος ἐν τοῖς μέρεσι πρὸς ϑάλατταν. [33] ἐποίησέ τε τὸν μοχλὸν τὸν ἔσω ὡς μοχλοίη μέσον τῶν σανίδων ἀπὸ τοῦ ἄκρου πρὸς τὸ ἄκρον. [34] τὰς μέντοι σανίδας ἐνέπλασε χρυσῷ, τοὺς δὲ κρίκους αὐτῶν ἐποίησε χρυσοῦ, οἴκους τοῖς μοχλοῖς, εἴλησέ τε τοὺς μοχλοὺς χρυσῷ. [35] ἐποίησέ τε τὸ ἐπίταμα ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ, λίνου τε κεκλωσμένου· ἔργον λογιζομένου ἐποίησεν αὐτὸ, κερούβους. [36] ἐποίησε δ' αὐτῷ τέτταρας στύλους κυπαρίττων, εἴλησέ τε σφᾶς χρυσῷ· οἱ πάτταλοι σφῶν χρυσοῦ· ἔχεε δ' αὐτοῖς τέτταρας ϑυΐσκας ἀργύρου. [37] ἐποίησέ τε κάλυμμα τῷ πυλῶνι τῆς σκηνῆς ὑακίνϑου,

---

21. πήχεως **invito codice ed. At ita XXXVII, 6. 10 scriptum est.** τὸ πλάτος] **cod.** τὸ **om. 22.** ϑερὼ **(ut ed.) corr.** ϑαιρὼ **cod.** οὕτως **cod., non** οὗτος **(sic) ut ed. 28.** σανίδα **cod. et ed. 30.** τῇ μιᾷ **cod.; Mor.** τῇ **om. 35.** ἐπίταμα] **vocabulorum** פָּרֹכֶת **(**αὐλαία**) et** כַּפֹּרֶת **similitudine deceptus est.**

πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ, λίνου τε κεκλωσμένου, ἔργον ποικιλτοῦ· [38] τούς τε στύλους αὐτοῦ πέντε, καὶ τοὺς πασσάλους σφῶν· ἐνέπλασε δὲ τὰς κεφαλὰς σφῶν καὶ τοὺς ξυνδέσμους σφῶν χρυσῷ· ϑυΐσκαι δ' αὐτῶν πέντε χαλκοῦ.

XXXVII.

[1] Ἐποίησέ ϑ' ὁ βεσαλέλης τὴν χηλὸν ξύλων κυπαρίττων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος αὐτῆς, πῆχυς δὲ καὶ ἥμισυς τὸ πλάτος αὐτῆς, πῆχύς τε καὶ ἥμισυς τὸ ὕψος αὐτῆς. [2] ἐνέπλασε δ' αὐτὴν χρυσῷ καϑαρῷ ἔσωϑέν τε καὶ ἔξωϑεν, ἐποίησέ τ' αὐτῇ ἐπίπηχυ χρυσοῦ κύκλῳ· [3] ἔχεέ τ' αὐτῇ τέτταρας κρίκους χρυσοῦ ἐπὶ ταῖς τέτταρσι γωνίαις αὐτῆς· δύο τε κρίκω ἐπὶ τῆς πλευρᾶς αὐτῆς τῆς μιᾶς, καὶ δύο κρίκω ἐπὶ τῆς πλευρᾶς αὐτῆς τῆς δευτέρας. [4] ἐποίησέ τε μοχλοὺς ξύλων κυπαρίττων, εἴλησέ τε σφᾶς χρυσῷ· [5] ἤνεγκέ τε τοὺς μοχλοὺς ἐν τοῖς κρίκοις ἐπὶ τῶν πλευρῶν τῆς χηλοῦ, πρὸς τὸ αἴρειν τὴν χηλόν. [6] ἐποίησέ τε ἐπικάλυμμα χρυσοῦ καϑαροῦ, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος αὐτοῦ, πήχεώς τε καὶ ἡμίσους τὸ εὖρος αὐτοῦ. [7] καὶ ἐποίησε δύο κερούβω χρυσοῦ· συνεχῆ ἐποίησεν αὐτὼ ἀπὸ τοῖν δυοῖν ἄκροιν τοῦ ἐπικαλύμματος· [8] κεροῦβος εἷς συνεχὴς ἐντεῦϑεν, κεροῦβός ϑ' εἷς συνεχὴς ἐκεῖϑεν, ἀπὸ τοῦ ἐπιτάματος ἐποίησε τὼ κερούβω, πρὸς τοῖν δυοῖν ἄρκοιν αὐτοῦ. [9] ὑπηρξάτην τε τὼ κερούβω τείνοντε τὰς πτέρυγας αὐτοῖν ἄνωϑεν, καλύπτοντες ἐν ταῖς πτέρυξιν αὐτοῖν ἐπὶ τοῦ ἐπικαλύμματος, τὼ δὲ προσώπω αὐτοῖν ἑκατέρου πρὸς τὸν ἀδελφὸν αὐτοῦ· πρὸς τὸ κάλυμμα ὑπηρξάτην τὼ προσώπω τοῖν κερούβοιν.

[10] Ἐποίησέ τε τὴν τράπεζαν ξύλων κυπαρίττων, δύο πήχεων τὸ μῆκος αὐτῆς, πήχεώς τε τὸ πλάτος αὐτῆς, πήχεως δὲ καὶ ἡμίσους τὸ ὕψος αὐτῆς· [11] ἐνέπλασέ τε αὐτὴν χρυσῷ καϑαρῷ καὶ ἐποίησεν αὐτῇ ἐπίπηχυ χρυσοῦ κύκλῳ· [12] καὶ ἐποίησεν αὐτῇ κλεῖσμα παλαιστῆς κύκλῳ, καὶ ἐποίησεν αὐτῇ ἐπίπηχυ χρυσοῦ τῷ

---

37. σκώλυκος cod. et ed. 38. σφῶν (3)] τῶν cod. et ed. αὐτῶν] αὐτῆς cod. et ed.

XXXVII. 1. (πῆχυς) δὲ] ἒξ cod. et ed. ἡμισὺς (bis) cod. et ed. 8. συνεχὴς] מִקְשָׁה pro מִקָּצָה (bis)? Cf. v. 7. XXV, 19. ἐκεῖϑεν ex corr. (pro ἐντεῦϑεν) cod. ἐπιτάγματος cod. et ed. Cf. XXXV, 12. XL, 20 cet. 9. τὰ κερούβω c. ed. ed. 12. καὶ ἐπ. αὐτῇ (2)] לוֹ abest a textu Hebr. Cf. Prol. II, 2, i.

κλείσματι κύκλῳ· [13] καὶ ἔχεεν αὐτῇ τέτταρας κρίκους χρυσοῦ, ἔδωκέ τε τοὺς κρίκους ἐπὶ τὰ τέτταρα μέρη τὰ τῶν τεττάρων ποδῶν αὐτῆς· [14] ἀντικρὺ τοῦ κλείσματος ὑπῆρξαν οἱ κρίκοι, οἶκοι τοῖς μοχλοῖς εἰς τὸ αἴρειν τὴν τράπεζαν· [15] ἐποίησέ τε τοὺς μοχλοὺς ξύλων κυπαρίττων, εἴλησέ τε σφᾶς χρυσῷ, εἰς τὸ αἴρειν τὴν τράπεζαν. [16] ἐποίησέ τε τὰ σκεύη τὰ ἐπὶ τῆς τραπέζης, τὰς τρύβλας αὐτῆς τούς τε δοίδυκας αὐτῆς καὶ τοὺς παττάλους αὐτῆς καὶ τοὺς καλάμους, οἷς σπεισθήσεται ἐν αὐτοῖς, χρυσοῦ καθαροῦ.

[17] Καὶ ἐποίησε τὸν λαμπτῆρα χρυσοῦ καθαροῦ, συνεχῆ ἐποίησε τὸν λαμπτῆρα· τὸν μηρὸν αὐτοῦ τόν τε κάλαμον αὐτοῦ, τὰς φιάλας αὐτοῦ, τὰ μῆλα αὐτοῦ, τὰ ἄνθη τ' αὐτοῦ ἐξ αὐτοῦ ὑπῆρξαν. [18] ἓξ τε κάλαμοι ἐξήεσαν ἀπὸ τῶν πλαγίων αὐτοῦ· τρεῖς κάλαμοι τοῦ λαμπτῆρος ἀπὸ τοῦ πλαγίου αὐτοῦ τοῦ ἑνός, τρεῖς τε κάλαμοι τοῦ λαμπτῆρος πρὸς τοῦ πλαγίου οἱ τοῦ δευτέρου· [19] τρεῖς φιάλας ἀμυγδαλωτὰς ἐν τῷ καλάμῳ τῷ ἑνί, μῆλον καὶ ἄνθος, τρεῖς τε φιάλας ἀμυγδαλωτὰς ἐν τῷ καλάμῳ τῷ ἑνί, μῆλον καὶ ἄνθος· τῇδε τοῖς ἓξ καλάμοις τοῖς ἐξιοῦσιν ἀπὸ τοῦ λαμπτῆρος· [20] ἐν μέντοι τῷ λαμπτῆρι τέτταρας φιάλας ἀμυγδαλωτάς, τὰ μῆλα ταύτης καὶ τὰ ἄνθη ταύτης· [21] μῆλόν θ' ὑπὸ τοῖν δυοῖν καλάμοιν ἐξ αὐτῆς, καὶ μῆλον ὑπὸ τοῖν δυοῖν καλάμοιν ἐξ αὐτῆς, μῆλόν θ' ὑπὸ τοῖν δυοῖν καλάμοιν ἐξ αὐτῆς· τοῖς ἓξ καλάμοις τοῖς ἐξιοῦσιν ἐξ αὐτῆς· [22] τὰ μῆλα σφῶν καὶ οἱ κάλαμοι σφῶν ἐξ αὐτῆς ὑπῆρξαν· ὅλος αὐτὸς συνεχής, ἓν χρυσοῦ καθαροῦ. [23] καὶ ἐποίησε τοὺς λύχνους αὐτῆς ἑπτά, τάς τε λαβίδας αὐτῆς καὶ τὰ θυμιατήρια ταύτης χρυσοῦ καθαροῦ. [24] τάλαντον χρυσοῦ καθαροῦ ἐποίησεν αὐτὸν καὶ πάντα τὰ σκεύη αὐτοῦ.

[25] Ἐποίησέ τε τὸ θυτήριον τοῦ θυμιάματος ξύλων κυπαρίττων, πῆχυς τὸ μῆκος αὐτοῦ καὶ πῆχυς τὸ εὖρος αὐτοῦ, τετράγωνον, διπήχους δὲ τὸ ὕψος αὐτοῦ· ἀπ' αὐτοῦ ὑπῆρξαν τὰ κέρα οἱ· [26] ἐνέπλασε δ' αὐτὸ χρυσῷ καθαρῷ, τοὔδαφος αὐτοῦ τούς τε τοί-

---

κλείματι cod. et ed. 17. αὐτοῦ (2. 3. 4)] αὐτῆς (ter) cod. Emendationem Amm. praeivit. 20. τέτταρες c. ed. ed. 21. αὐτῆς] per incuriam et hic et in vv. sqq. pron. fem. videtur pro masc. (αὐτοῦ, sc. τοῦ λαμπτῆρος) positum. Cf. XXV, 34 sqq. τοῖς ἓξ] τοῖς δὲ cod. et ed. 22. ἓν] nonne εἷς? 25. διπήχους cod., non δίπηχυ ut ed.

χους αὐτοῦ κύκλῳ καὶ τὰ κέρα οἱ· καὶ ἐποίησεν αὐτῷ ἐπίπηχυ χρυσοῦ κύκλῳ· [27] δύο τε κρίκω χρυσοῦ ἐποίησεν αὐτῷ κάτωθεν τοῦ ἐπιπήχεος αὐτοῦ, ἐπὶ ταῖν δυοῖν πλευραῖν αὐτοῦ, ἐπὶ ταῖν δυοῖν πλαγίοιν αὐτοῦ· εἰς οἴκους τοῖς μοχλοῖς, ἐπὶ τῷ αἴρειν αὐτὸ ἐν αὐτοῖς. [28] ἐποίησέ τε τοὺς μοχλοὺς ξύλων κυπαρίττων, εἴλησέ τε σφᾶς χρυσῷ. [29] καὶ ἐποίησε τὸ μύρον τῆς χρίσεως τοῦ ἁγίου καὶ τὸ θυμίαμα τῶν ἀρωμάτων καθαρὸν, ἔργον ἀρωματιστοῦ.

XXXVIII. [1] Καὶ ἐποίησε τὸ θυτήριον τῆς ἀναφορᾶς ξύλων κυπαρίττων· πέντε πήχεων τὸ μῆκος αὐτοῦ, καὶ πέντε πήχεων τὸ εὖρος αὐτοῦ, τετράγωνον, τριῶν τε πήχεων τὸ ὕψος αὐτοῦ. [2] καὶ ἐποίησε τὰ κέρα οἱ ἐπὶ τῶν τεττάρων γωνιῶν αὐτοῦ, ἐξ αὐτοῦ ὑπῆρξαν τὰ κέρα οἱ, καὶ ἐνέπλασεν αὐτὸ χαλκῷ. [3] ἐποίησέ τε πάντα τὰ σκεύη τοῦ θυτηρίου, τοὺς λέβητας καὶ τὰ ξύστρα τά τε ῥάντιστρα καὶ τὰ ἀγκύρια καὶ τὰ θυμιατήρια· πάντα τὰ σκεύη αὐτοῦ ἐποίησε χαλκοῦ. [4] καὶ ἐποίησε τῷ θυτηρίῳ κόσκινα, ἔργον ἀμφιβλήστρου χαλκοῦν, ὑπὸ τῇ περιοχῇ αὐτοῦ, κάτωθεν ἄχρις ἡμίσεως αὐτοῦ. [5] ἔχεέ τε τέτταρας κρίκους ἐν τοῖς τέτταρσιν ἄκροις τοῦ κοσκίνου τοῦ χαλκοῦ, οἴκους τοῖς μοχλοῖς. [6] ἐποίησέ τε τοὺς μοχλοὺς ξύλων κυπαρίττων, εἴλησέ τε σφᾶς χαλκῷ. [7] καὶ ἤνεγκε τοὺς μοχλοὺς διὰ τῶν κρίκων ἐπὶ τῶν πλευρῶν τοῦ θυτηρίου, ὥστε αἴρειν ἐν αὐτοῖς· κενὸν σανίδας ἐποίησεν αὐτό. [8] Καὶ ἐποίησε τὴν δεξαμενὴν χαλκοῦ καὶ τὴν ἕδραν αὐτῆς χαλκοῦ, ἐν τοῖς ἐσόπτροις τῶν στρατευουσῶν αἵπερ ἐστράτευσαν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ὅρου.

[9] Καὶ ἐποίησε τὴν αὐλὴν πρὸς τὸ κλίμα τοῦ νότου, πρὸς μεσημβρίαν· αἱ σφενδόναι τῆς αὐλῆς λίνου νενησμένου ἑκατὸν ἐν πήχει· [10] οἱ στύλοι αὐτῶν εἴκοσι αἵ τε θυΐσκαι αὐτῶν εἴκοσι χαλκοῦ, οἱ πάτταλοι τῶν στύλων καὶ οἱ σύνδεσμοι σφῶν ἀργύρου· [11] τῷ τε κλίματι τῶν ἄρκτων ἑκατὸν ἐν πήχει, οἱ στύλοι αὐτῶν εἴκοσι καὶ αἱ θυΐσκαι αὐτῶν εἴκοσι χαλκοῦ, οἱ πάτταλοι τῶν στύλων καὶ οἱ σύνδεσμοι σφῶν ἀργύρου· [12] τῷ κλίματι δὲ τῆς θαλάττης σφενδόνας πεντήκοντα

---

26. αὐτῷ] αὐτοὺς cod. et ed.

XXXVIII. 4. κόσκινα] l. κόσκινον (cf. v. sq. et v. 30). 5. τέτταρες rursus c. cd. ed. 7. Inter αὐτοῖς et σανίδας spatium antehac vacuum relictum, postmodo voce κενὸν expletum est. 9. αὐλὴν] αὐτὴν cod. et ed. σφονδόναι cod.

ἐν πήχει, οἱ στύλοι αὐτῶν δέκα καὶ ϑυΐσκαι αὐτῶν δέκα, πάτταλοι τῶν στύλων καὶ οἱ σύνδεσμοι σφῶν ἀργύρου· [13] τῷ μέντοι κλίματι πρὸς ἀνάσχεσιν, πρὸς ἀνατολάς, πεντήκοντα πήχεις· [14] σφενδόνας πεντεκαίδεκα πήχεων πρὸς τὸν ὦμον, οἱ στύλοι αὐτῶν τρεῖς καὶ αἱ ϑυΐσκαι σφῶν τρεῖς· [15] τῷ δ' ὤμῳ τῷ δευτέρῳ ἔνϑεν κἀκεῖϑεν τῆς πύλης τῆς αὐλῆς σφενδόνας πεντεκαίδεκα πήχεων, οἱ στύλοι αὐτῶν τρεῖς, αἱ ϑυΐσκαι τε σφῶν τρεῖς. [16] πᾶσαι αἱ σφενδόναι τῆς αὐλῆς λίνου νενησμένου· [17] καὶ αἱ ϑυΐσκαι τῶν στύλων χαλκοῦ, οἱ πάτταλοι τῶν στύλων καὶ οἱ σύνδεσμοι σφῶν ἀργύρου, τὸ δ' εἴλημα τῶν κεφαλῶν αὐτῶν ἀργύρου· κἀκεῖνοι συνδεδεμένοι ἀργύρῳ, πάντες οἱ στύλοι τῆς αὐλῆς. [18] τό τε σκέπασμα τῆς πύλης τῆς αὐλῆς ἔργον ποικιλτοῦ, ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ καὶ λίνου νενησμένου· εἴκοσι δὲ πήχεων τὸ μῆκος, ὕψος δὲ ἐν πλάτει πέντε πήχεων, ἀντικρὺ τῶν σφενδονῶν τῆς αὐλῆς· [19] οἱ μέντοι στύλοι αὐτῶν τέτταρες, αἱ ϑυΐσκαι τε σφῶν τέτταρες χαλκοῦ, οἱ πάτταλοι σφῶν ἀργύρου, καὶ ἔμπλασμα τῶν κεφαλῶν σφῶν καὶ σύνδεσμα σφῶν ἀργύρου. [20] πάντες δὲ οἱ πάτταλοι τοῦ οἰκήματος καὶ τῆς αὐλῆς κύκλῳ χαλκοῦ.

ρκβ'

(μερίς) [21] Οὗτοι οἱ ἐπεσκεμμένοι τοῦ οἰκήματος, τοῦ οἰκήματος τῆς μαρτυρίας, οἵπερ ἐπεσκέφϑησαν ἐπὶ τοῦ στόματος τοῦ μωσέως· ὑπηρεσία τῶν λευινίων ἐν τῇ χειρὶ τοῦ ἠϑαμάρου τοῦ υἱοῦ ἀαρῶνος τοῦ ἱερέως. [22] βεσελέλης δὲ ὁ υἱὸς τοῦ οὐρῖνος τοῦ υἱοῦ τοῦ οὔρου τοῦ σκήπτρου τοῦ ἰεούδου ἐποίησε ξύμπανϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· [23] καὶ ξὺν αὐτῷ ἀολιάβος ὁ υἱὸς τοῦ ἀηξαμάχου τοῦ σκήπτρου τοῦ δανὸς, τεχνίτης διανοητής τε καὶ ποικιλτὴς ἐν ὑακίνϑῳ πορφύρᾳ τε κἀν σκώληκι ἐρυϑρῷ κἀν λίνῳ·

[24] Ὅλος ὁ χρυσὸς ὁ πεποιημένος εἰς ἐργασίαν ἐν πάσῃ τῇ ἐργασίᾳ τοῦ ἁγίου, καὶ ὑπῆρξεν ὁ χρυσὸς τῆς ἄρσεως ἐννέα καὶ εἴκοσι ταλάντων ἑπτακοσίων τε καὶ τριάκοντα στατήρων

---

12. αὐτῶν] αὐτῆς (bis) cod. et ed. itemque v. 14 sq. 16. τῆς αὐλῆς] excidit κύκλῳ (סָבִיב). Cf. XXVII, 17. 17. εἴλημα] codicis scripturam retinuimus. Cf. Num. XVII, 3 sq. τῆς κεφαλῆς αὐτῆς (sic) cod., non τῆς κεφαλῆς αὐτῶν ut ed. Cf. v. 19. 19. τῶν κεφαλῶν cod., non τῆς κεφαλῆς ut ed. 21. ἐπεσκέϑησαν cod. et ed. 22. οὔρου] οὖρου cod. Cf. XXXI, 2.

κατὰ τὸν στατῆρα τὸν ἅγιον· [25] ἄργυρος δὲ τῶν ἐπεσκεμμένων τοῦ ἀϑροίσματος ἑκατὸν ταλάντων χιλίων τε καὶ ἑπτακοσίων καὶ πέντε καὶ ἑβδομήκοντα στατήρων κατὰ τὸν στατῆρα τὸν ἅγιον. [26] ῥῆγμα τῷ κρανίῳ, ἥμισυ τοῦ στατῆρος ἐν τῷ στατῆρι τῷ ἁγίῳ παντὶ τῷ διϊόντι ἐπὶ τῆς ἐπισκέψεως, ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω τῶν ἑξακοσιῶν χιλιάδων καὶ τρισχιλίων πεντακοσίων τε καὶ πεντήκοντα. [27] ὑπῆρξε δ' ἑκατὸν ταλάντων ὁ ἄργυρος ἐς χύσιν ξὺν ταῖς ϑυΐσκαις τοῦ ἁγίου καὶ σὺν ταῖς ϑυΐσκαις τοῦ ἐπικαλύμματος, ἑκατὸν ϑυΐσκῶν τοῖς ἑκατὸν ταλάντοις, τάλαντον τῇ ϑυΐσκῃ. [28] τὰ χίλια δὲ καὶ ἑπτακόσια καὶ πέντε καὶ ἑβδομήκοντα ἐποίησε παττάλους τοῖς στύλοις, ἐνέπλασέ τε τὰς κεφαλὰς αὐτῶν καὶ συνέδησεν αὐτούς. [29] χαλκὸς δὲ τῆς ἄρσεως ἑβδομήκοντα ταλάντων δισχιλίων τε καὶ τετρακοσίων στατήρων· [30] ἐποίησε δ' ἐν αὐτῷ τὰς ϑυΐσκας τοῦ πυλῶνος τῆς σκηνῆς τοῦ ὅρου, τό τε ϑυτήριον τὸ χαλκοῦν καὶ τὸ κόσκινον τὸ χαλκοῦν τὸ αὐτοῦ, πάντα τε τὰ σκεύη τοῦ ϑυτηρίου, [31] καὶ τὰς ϑυΐσκας τῆς αὐλῆς κύκλῳ καὶ τὰς ϑυΐσκας τῆς πύλης τῆς αὐλῆς, πάντας τε τοὺς παττάλους τοῦ οἰκήματος καὶ πάντας τοὺς παττάλους τῆς αὐλῆς κύκλῳ. [1] πρὸς μέντοι τοῦ ὑακίνϑου, τῆς πορφύρας τε καὶ σκώληκος **XXXIX.** τοῦ ἐρυϑροῦ ἐποίησαν τὰ περιβόλαια τῆς ὑπηρεσίας ὥσϑ' ὑπουργεῖν ἐν τῷ ἁγίῳ· καὶ ἐποίησαν τὰ περιβόλαια τοῦ ἁγίου τὰ τοῦ ἀαρῶνος καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[2] Καὶ ἐποίησε τὴν ἐπωμίδα χρυσοῦ, ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ καὶ λίνου νενησμένου· [3] ἔτειναν δὲ τὰς παγίδας τοῦ χρυσοῦ, καὶ ἔτεμε μίτους ὥστε ποιεῖν μέσον τοῦ ὑακίνϑου μέσον τε τῆς πορφύρας καὶ μέσον τοῦ σκώληκος τοῦ ἐρυϑροῦ καὶ μέσον τοῦ λίνου, ἔργον λελογισμένου· [4] ὤμους ἐποίησαν αὐτῷ συζευγνυμένους, ἐπὶ τοῖν ἄκροιν αὐτοῦ συνέζευκται· [5] τὸ λόγισμά τε τῆς καταστάσεως αὐτοῦ τῆς ἐπ' αὐτοῦ, ἀπ' αὐτοῦ ἐστι κατὰ τοὔργον αὐτοῦ

---

24. κατὰ τὸν στατῆρα] כַּשֶּׁקֶל pro בְּשֶׁ. Itidem v. sq., non item v. 26. 25. τὸν ἅγιον cod.; Mor. τὸν om. 26. παντὶ] πωρτὶ mirum quam corrupte cod. 27. ἐπικαλύμματος] rursus פָּרֹכֶת cum כַּפֹּרֶת confudit. Cf. XXXVI, 35. τῷ ϑυΐσκῃ cod., τῷ ϑυΐσκῳ ed. 31. παττ. τοῦ αὐλῆς cod. et ed.

XXXIX. 4. αὐτῷ] exspectaveris αὐτῇ (sc. τῇ ἐπωμίδι), itemque αὐτῆς et hic et v. sq. (quater) pro αὐτοῦ

χρυσοῦ, ὑακίνϑου, πορφύρας τε καὶ σκώληκος ἐρυϑροῦ καὶ λίνου νενησμένου, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[6] Κἀποίησαν τοὺς λίϑους τοῦ κρυστάλλου περικεκυκλωμένους φολιδώμασι χρυσοῦ, κεκολαμμένους κολαφαῖς σφραγῖδος ἐπὶ τοῖς ὀνόμασι τῶν υἱέων τοῦ ἰσραέλου· [7] καὶ ἔϑηκε σφᾶς ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος, λίϑους μνήμης τοῖς υἱέσι τοῦ ἰσραέλου, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[8] Καὶ ἐποίησε τὸ ἐπιστήϑιον, ἔργον λογιζομένου κατὰ τοὔργον τῆς ἐπωμίδος χρυσοῦ, ὑακίνϑου, πορφύρας, σκώληκός τ' ἐρυϑροῦ καὶ λίνου νενησμένου· [9] τετράγωνον ὑπῆρξε· διπλοῦν ἐποίησαν τὸ ἐπιστήϑιον, σπιϑαμὴ τὸ μῆκος αὐτοῦ καὶ σπιϑαμὴ τὸ εὖρος αὐτοῦ, διπλοῦν. [10] ἔπλησάν τ' ἐν αὐτῷ τέτταρας τάξεις λίϑων· στίχος ἄνϑρακος, σμαράγδου καὶ χρυσολίϑου ὁ στίχος ὁ εἷς· [11] στίχος δὲ ὁ δεύτερος ὄνυχος, σαπφείρου καὶ ἀδάμαντος· [12] στίχος δὲ ὁ τρίτος λιγυρίου, ἀχάτου καὶ ἀμεϑύστου· [13] στίχος δ' ὁ τέταρτος ὑάκινϑος, κρύσταλλος καὶ ἴασπις, κεκυκλωμένοι ὀμματώμασι χρυσοῦ ἐν τοῖς πληρώμασιν αὐτῶν. [14] οἱ δὲ λίϑοι ἐπὶ τοῖς ὀνόμασι τῶν υἱέων τοῦ ἰσραέλου, οὗτοι δυοκαίδεκα ἐπὶ τοῖς ὀνόμασιν αὐτῶν, κεκολαμμένοι σφραγῖδος ἕκαστος ἐπὶ τῷ ὀνόματι αὐτοῦ, τῶν δυοκαίδεκα σκήπτρων. [15] ἐποίησαν δ' ἐπὶ τοῦ ἐπιστηϑίου σειρὰς ὁρίσματος, ἔργον καλωδίων χρυσοῦ καϑαροῦ. [16] καὶ ἐποίησαν δύο ὀμματώματε χρυσοῦ δύο τε κρίκω χρυσοῦ, καὶ ἔδοσαν τὼ δύο κρίκω ἐπὶ τοῖν δυοῖν ἄκροιν τοῦ ἐπιστηϑίου· [17] καὶ ἔδοσαν τὼ δύο καλωδίω τὼ χρυσὼ ἐπὶ τοῖν δυοῖν κρίκοιν ἐπὶ τῶν ἄκρων τοῦ ἐπιστηϑίου· [18] τὼ δὲ δύο ἄκρω τοῖν δυοῖν καλωδίοιν ἔδοσαν ἐπὶ τοῖν δυοῖν ὀμματωμάτοιν, ἔδοσάν τ' αὐτὼ ἐπὶ τοῖν ὤμοιν τῆς ἐπωμίδος προσαντικρὺ τοῦ προσώπου οἱ. [19] καὶ ἐποίησε δύο κρίκω χρυσοῦ, καὶ ἔϑεσαν ἐπὶ τοῖν δυοῖν ἄκροιν τοῦ ἐπιστηϑίου ἐπὶ τοῦ χείλους αὐτοῦ τοῦ πρὸς τὸ πέραν τῆς ἐπωμίδος ἔσω. [20] καὶ ἐποίησαν δύο κρίκω χρυσοῦ καὶ ἔδοσαν ἐπὶ τοῖν δυοῖν ὤμοιν τῆς ἐπωμίδος κάτωϑεν ἀπαντικρὺ τοῦ προσώπου οἱ, ἐνώπιον τῆς ἁρμογῆς αὐτοῦ ἄνωϑεν, εἰς λογισμὸν τῆς ἐπωμίδος. [21] ὕψωσάν τε τὸ ἐπι-

19. ἐποίησε] וַיַּעַשׂ pro וַיַּעֲשׂוּ. Nisi vero lapsus calami est legendumque ἐποίησαν πρὸς τὰ πέραν? Cf. XXVIII, 26. Deut. XXX, 13. 20. ἔδοσαν] excidit αὐτὼ (וַיִּתְּנֻם). Cf. v. 18. αὐτοῦ] legendum αὐτῆς itemque v. 23.

στήθιον ἀπὸ τοῖν κρίκοιν αὐτοῦ πρὸς τὼ κρίκω τῆς ἐπωμίδος ἐν μίτρᾳ ὑακίνθου, ὡς εἴη ἐπὶ λογισμοῦ τῆς ἐπωμίδος καὶ μὴ μετεωρίζοιτο τὸ ἐπιστήθιον ἄνωθεν τῆς ἐπωμίδος, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[22] Καὶ ἐποίησε τὴν ἄμπυκα τῆς ἐπωμίδος, ἔργον ὑφάντου, ὁλόκληρον ὑακίνθου· [23] τό τε στόμα τῆς ἄμπυκος μέσον αὐτοῦ κατὰ στόμα θώρακος, χεῖλος τῷ στόματί οἱ κύκλῳ, οὐ σχισθήσεται. [24] καὶ ἐποίησαν ἐπὶ τῶν κρασπέδων τῆς ἄμπυκος ῥόας ὑακίνθου πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ νενησμένου. [25] καὶ ἐποίησαν κώδωνας χρυσοῦ καθαροῦ, καὶ ἔδοσαν τοὺς κώδωνας μεταξὺ τῶν ῥοῶν ἐπὶ τῶν κρασπέδων τῆς ἄμπυκος κύκλῳ, μεταξὺ τῶν ῥοῶν. [26] κώδων καὶ ῥόα, κώδων καὶ ῥόα ἐπὶ τῶν κρασπέδων τῆς ἐπωμίδος κύκλῳ, ὥσθ' ὑπηρετεῖσθαι, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [27] Καὶ ἐποίησαν τοὺς χιτῶνας λίνου, ἔργον ὑφάντου, τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ· [28] καὶ τὸ κρήδεμνον λίνου, τάς τε καλλονὰς τῶν κρανῶν λίνου, τάς τ' ἀναξυρίδας τοῦ λίνου, λίνου νενησμένου· [29] καὶ τὴν ζώνην λίνου νενησμένου καὶ ὑακίνθου, πορφύρας τε καὶ σκώληκος ἐρυθροῦ, ἔργον ποικιλτοῦ, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[30] Καὶ ἐποίησαν τὸ πέταλον τοῦ στέφους τὸ ἅγιον χρυσοῦ καθαροῦ, καὶ ἔγραψαν ἐπ' αὐτοῦ γράμμα κολαφῇ σφραγῖδος· ἅγιον τῷ ὀντωτῇ· [31] καὶ ἔδοσαν ἐπ' αὐτοῦ μίτραν ὑακίνθου, ὥστε διδόναι ἐπὶ τῆς καλύπτρας ἄνωθεν, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [32] Τοιγαροῦν ἐτελεύτησε πᾶσαν τὴν ἐργασίαν τοῦ οἰκητηρίου τῆς σκηνῆς τοῦ ὅρου· καὶ ἐποίησαν οἱ υἱεῖς τοῦ ἰσραέλου κατὰ πάνθ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ, τῇδε ἐποίησαν.

[33] Ἤνεγκάν τε τὸ οἴκημα πρὸς τὸν μωσέα, τὴν σκηνὴν καὶ ξύμπαντα τὰ σκεύη ταύτης, τὰ ἀγκύρια ταύτης, τὰς σανίδας αὐτῆς, τοὺς μοχλοὺς αὐτῆς καὶ τοὺς κίονας αὐτῆς καὶ τὰς θυΐσκας αὐτῆς, [34] τήν τε σκέπην δερμάτων κριῶν ἠρυθρωμένων τήν τε

---

21. μετεωρίζοι τὸ ἐπιστ. cod. 29. καὶ τὴν ζώνην λίνου νενησμένου] haec ipsi addidimus invito codice, qui lacunam hoc loco habet. 30. πέτταλον cod. et ed. 32. τοίνυν corr. τοιγαροῦν prima manus. Cf. Prol. I, 3, c. ἐτελεύτησε] וַיְכַל pro וַתֵּכֶל 33. τοὺς (κίονας) cod., non τὰς ut Mor. ait.

σκέπην δερμάτων παρδάλεων καὶ τὴν αὐλαίαν τῆς σκέπης, [35] τὴν χηλὸν τῆς μαρτυρίας τούς τε μοχλοὺς αὐτῆς καὶ τὸ κάλυμμα, [36] τὴν τράπεζαν καὶ ξύμπαντα τὰ σκεύη ταύτης, τὸν ἄρτον τε τοῦ προσώπου, [37] τὸν λαμπτῆρα τὸν καθαρὸν, τοὺς λύχνους αὐτοῦ, τοὺς λύχνους τῆς τάξεως, καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, καὶ τὸ ἔλαιον τοῦ φωστῆρος, [38] τό τε θυτήριον τὸ χρυσοῦν καὶ τοὔλαιον τῆς χρίσεως, τό τε θυμίαμα τῶν ἀρωμάτων καὶ τὴν σκέπην τοῦ πυλῶνος τῆς σκηνῆς, [39] τὸ θυτήριον τὸ χαλκοῦν τό τε κόσκινον τὸ χαλκοῦν τὸ αὐτοῦ, τοὺς μοχλοὺς αὐτοῦ καὶ πάντα τὰ σκεύη αὐτοῦ, τὸν νιπτῆρα καὶ τὴν ἕδραν αὐτοῦ, [40] τὰς σφενδόνας τῆς αὐλῆς καὶ τοὺς στύλους αὐτῆς τάς τε θυΐσκας αὐτῆς, καὶ τὴν σκέπην τῆς πύλης τῆς αὐλῆς, τοὺς σχοίνους αὐτῆς τούς τε πατταλους αὐτῆς καὶ ξύμπαντα τὰ σκεύη τῆς ὑπηρεσίας τοῦ οἰκητηρίου τῆς σκηνῆς τοῦ ὅρου, [41] τὰ περιβόλαια τῆς ἐργασίας λατρεύειν ἐν τῷ ἁγίῳ, τὰ περιβόλαια τοῦ ἁγίου τοῦ ἀαρῶνος τοῦ ἱερέως καὶ τὰ περιβόλαια τῶν υἱέων αὐτοῦ ὡς ἱερατεύοιεν· [42] κατὰ πάντα ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ, τῇδε ἐποίησαν οἱ υἱεῖς τοῦ ἰσραέλου ξύμπασαν τὴν ἐργασίαν. [43] ἑώρακε δὲ μωσεὺς ξύμπασαν τὴν ἐργασίαν, καὶ ἰδοὺ ἐποίησαν αὐτὴν καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς, οὕτως ἐποίησαν· εὐλόγησέ τε σφᾶς ὁ μωσεύς.

XL. [1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς τὸν μωσέα τῷ φάναι· [2] ἐν ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἐν μιᾷ τοῦ μηνὸς ἐγερεῖς τὸ οἴκημα τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [3] θήσεις τε ἐκεῖ τὴν χηλὸν τῆς μαρτυρίας καὶ καλύψεις ἐπὶ τῆς χηλοῦ τὴν αὐλαίαν· [4] οἴσεις τε τὴν τράπεζαν καὶ τάξεις τὴν τάξιν αὐτῆς, οἴσεις τε τὸν λαμπτῆρα καὶ ἀνοίσεις τοὺς λύχνους αὐτοῦ· [5] δώσεις τε τὸ θυτήριον τὸ χρυσοῦν εἰς θυμίαμα ἐνώπιον τῆς χηλοῦ τῆς μαρτυρίας, καὶ θήσεις τὴν σκέπην τοῦ πυλῶνος τοῦ οἰκητηρίου· [6] δώσεις τε τὸ θυτήριον τῆς ἀναφορᾶς ἐνώπιον τοῦ πυλῶνος τοῦ οἰκήματος τῆς σκηνῆς τοῦ ὅρου· [7] δώσεις τε τὸν λουτῆρα μεταξὺ τῆς σκηνῆς τοῦ ὅρου καὶ μεταξὺ τοῦ θυτηρίου, καὶ δώσεις ἐκεῖ ὕδωρ. [8] θήσεις τε τὴν αὐλὴν κύκλῳ καὶ δώσεις τὴν σκέπην τῆς πύλης τῆς αὐλῆς.

---

37. αὐτοῦ (2)] αὐτῆς cod. et ed. 40. αὐλῆς (2)] αὐτῆς cod. et ed. παττάλους] πεττάλους cod. Emendationem Amm. praeivit.

XL. 8. αὐλῆς] αὐτῆς rursus cod.

[9]λήψῃ τε τὸ ἔλαιον τῆς χρίσεως καὶ χρίσεις τὸ οἰκητήριον καὶ πάντα τὰ ἐν αὐτῷ, ἁγιάσεις τε αὐτὸ καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, καὶ χρηματιεῖ ἅγιον. [10]χρίσεις τε τὸ ϑυτήριον τῆς ἀναφορᾶς καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, καὶ ἁγιάσεις τὸ ϑυτήριον, τελέσει τε τὸ ϑυτήριον ἅγιον ἁγίων· [11]χρίσεις τε τὸν λουτῆρα καὶ τὴν ἕδραν αὐτοῦ καὶ ἁγιάσεις αὐτόν· [12]προσοίσεις τε τὸν ἀαρῶνα καὶ τοὺς υἱέας αὐτοῦ πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ὅρου, νίψεις τε σφᾶς ἐν ὕδατι, [13]καὶ περιβαλεῖς τὸν ἀαρῶνα τὰς περιβολὰς τοῦ ἁγίου, χρίσεις τε αὐτὸν καὶ ἁγιάσεις αὐτὸν, καὶ ἱερατεύσει μοι· [14]τούς ϑ' υἱεῖς αὐτοῦ προσοίσεις, περιβαλεῖς τε σφᾶς χιτῶνας, [15]καὶ χρίσεις αὐτοὺς καϑάπερ ἔχρισας τὸν πατέρα σφῶν, καὶ ἱερατεύσουσί μοι· τελέσει τε ὡς εἴη σφίσιν ἡ χρίσις αὐτῶν εἰς ἱερατείαν αἰῶνος ἐς τὰς γενεὰς αὐτῶν. [16]ἐποίησεν οὖν μωσεὺς κατὰ πάνϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ, τῇδε ἐποίησεν. [17]Ὑπῆρξε δ' ἐν τῷ μηνὶ τῷ πρώτῳ ἐν ἔτει τῷ δευτέρῳ, ἐν μιᾷ τοῦ μηνὸς, ἐγήγερται τὸ οἰκητήριον· [18]ἤγειρέ τε μωσεὺς τὸ οἰκητήριον, καὶ ἔδωκε τὰς ϑυΐσκας αὐτοῦ καὶ ἔϑηκε τὰς σανίδας αὐτοῦ, ἔδωκε τοὺς μοχλοὺς αὐτοῦ καὶ ἤγειρε τοὺς στύλους αὐτοῦ· [19]καὶ ἔτεινε τὴν σκηνὴν ἐπὶ τοῦ οἰκητηρίου καὶ ἔϑηκε τὴν σκέπην τῆς σκηνῆς ἐπ' αὐτῆς ἄνωϑεν, ἧπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[20]Καὶ ἔλαβε καὶ ἔδωκε τὴν μαρτυρίαν πρὸς τὴν χηλὸν, ἔϑηκέ τε τοὺς μοχλοὺς ἐπὶ τῆς χηλοῦ καὶ ἔδωκε τὸ ἐπίταμα ἐπὶ τῆς χηλοῦ ἄνωϑεν· [21]ἤνεγκέ τε τὴν χηλὸν πρὸς τὸ οἴκημα, καὶ ἔϑηκε τὸ ἐπίταμα τῆς σκέπης καὶ ἐσκέπασεν ἐπὶ τῆς χηλοῦ τῆς μαρτυρίας, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[22]Καὶ ἔδωκε τὴν τράπεζαν ἐν τῇ σκηνῇ τοῦ ὅρου ἐπὶ κλίματος τοῦ οἰκήματος πρὸς ἄρκτους ἔξωϑεν τῆς αὐλαίας, [23]ἔταξέ τ' ἐπ' αὐτῆς τάξιν ἄρτου ἐνώπιον τοῦ ὀντωτοῦ, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[24]Ἔϑηκέ τε τὸν λαμπτῆρα ἐν τῇ σκηνῇ τοῦ ὅρου

---

15. χρίσις, non χρῖσις, cod. Cf. XXIX, 29. 19. ἄνωϑεν, ἧπερ ἐκέλευσεν] haec in eadem linea primo scripta erant, qua nunc verba σκέπην — αὐτῆς continentur, sed postea erasa et margini subjecta sunt, idque, ni fallor, a prima manu. Cf. Prol. l. c. 21. ἐπίταμα (פָּרֹכֶת)] cf. XXXVI, 35. XXXVIII, 27. 22. καὶ ἔδωκέ τε cod. et ed. Cf. not. ad Gen. XX, 15. ἄρκτους] ἄρκτου c. ed. ed.

ἀντικρὺ τῆς τραπέζης, ἐπὶ τοῦ κλίματος τοῦ οἰκήματος πρὸς νότον, [25] ἀνήνεγκέ τε τοὺς λύχνους ἐνώπιον τοῦ ὀντωτοῦ, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[26] Καὶ ἔθηκε τὸ θυτήριον τὸ χρυσοῦν ἐν τῇ σκηνῇ τοῦ συναγμοῦ ἔμπροσθεν τῆς αὐλαίας, [27] ἐθυμίασέ τ' ἐπ' αὐτοῦ θυμίαμα ἀρωμάτων, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[28] Καὶ ἔθηκε τὴν σκέπην τοῦ πυλῶνος τοῦ οἰκήματος. [29] καὶ τὸ θυτήριον τῆς ἀναφορᾶς ἔθηκε τῷ πυλῶνι τοῦ οἰκήματος τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ἀνήνεγκεν ἐπ' αὐτοῦ τὴν ἀναφορὰν καὶ τὸ μείλιγμα, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς πρὸς μωσέα. [30] Καὶ ἔθηκε τὸν λουτῆρα ἀνὰ τὴν σκηνὴν τοῦ ξυναγμοῦ καὶ ἀνὰ τὸ θυτήριον, ἔδωκέ τ' ἐκεῖ ὕδωρ εἰς νίψιν· [31] καὶ νίψονται ἀπ' αὐτοῦ μωσεὺς ἀαρών τε καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας αὐτῶν, [32] ἐπὰν ἀφικνοῖντο αὐτοὶ πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ καὶ ἐπὰν ἐγγίζοιεν πρὸς τὸ θυτήριον νίψονται, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [33] Καὶ ἤγειρε τὴν αὐλὴν κύκλῳ τοῦ οἰκητηρίου καὶ τοῦ θυτηρίου, καὶ ἔδωκε τὴν σκέπην τῆς πύλης τῆς αὐλῆς· ἐτελεύτησέ τε μωσεὺς τὴν ἐργασίαν.

[34] Ἐκάλυψε δ' ἡ νεφέλη τὴν σκηνὴν τοῦ ξυναγμοῦ, δόξα τε τοῦ ὀντωτοῦ πεπλήρωκε τὸ οἰκητήριον· [35] οὔκουν ἔσχε μωσεὺς ἀφικέσθαι πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, ἐπεὶ κατῴκησεν ἐπ' αὐτῆς ἡ νεφέλη, δόξα τε τοῦ ὀντωτοῦ πεπλήρωκε τὸ οἰκητήριον. [36] ἐπὰν μέντοι ἀναβαίνοι ἡ νεφέλη ἄνωθεν τοῦ οἰκήματος, μεταβαίνοιεν οἱ υἱεῖς τοῦ ἰσραέλου πρὸς ἁστινασοῦν μεταβάσεις αὐτῶν· [37] εἰ δὲ μὴ ἀναβαίνοι ἡ νεφέλη, οὔτε μεταβαίνοιεν ἄχρις ἡμέρας τοῦ ἀναβαίνειν αὐτήν. [38] ὅτι νεφέλη τοῦ ὀντωτοῦ ἐπὶ τοῦ οἰκήματος ἡμέρας, πῦρ τε χρηματίσεις νύκτωρ ἐν αὐτῷ ἐν ὄμμασι παντὸς οἴκου τοῦ ἰσραέλου ἐν ἁπάσαις ταῖς μεταβάσεσιν αὐτῶν.

---

27. καὶ θυμίασέ τ' cod. et ed. Cf. Prol. I, 2, g. 29. πρὸς μωσέα] quasi אֶל־מֹשֶׁה scriptum esset, non אֶת־מֹשֶׁה 38. χρηματίσεις] sic cod., non χρηματίσει ut ed.

Ἐβόησε δὲ πρὸς τὸν μωσέα καὶ διείλεκται ὁ ὀντωτὴς πρὸς I.
αὐτὸν ἀπὸ τῆς σκηνῆς τοῦ ξυναγμοῦ τῷ φάναι· [2]διείλεξο πρὸς
τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἄνθρωπος ἐπὰν
προσφέροι ἀφ' ὑμῶν προσφορὰν τῷ ὀντωτῇ, πρὸς τοῦ κτήνους,
πρὸς τοῦ βουκολίου καὶ πρὸς τοῦ ποιμνίου προσοίσετε τὰς προσ-
φορὰς ὑμῶν. [3]ἥνπερ ἡ ἀναφορὰ τῆς προσενέξεως αὐτοῦ πρὸς τοῦ
βουκολίου, ἄρρεν τέλειον προσοίσει αὐτό· πρὸς τὸν πυλῶνα τῆς
σκηνῆς τοῦ ξυναγμοῦ προσοίσει αὐτὸ εἰς θέλημα αὐτοῦ ἐνώπιον
τοῦ ὀντωτοῦ, [4]στηριεῖ τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τῆς ἀνα-
φορᾶς, καὶ θεληθήσεταί οἱ ἱλεοῦσθαι ἐπ' αὐτοῦ· [5]σφάξει τε τὸν
υἱὸν τοῦ βουκολίου ἐπίπροσθεν τοῦ ὀντωτοῦ· προσοίσουσί τε οἱ
υἱεῖς ἀαρῶνος οἱ ἱερεῖς τὸ αἷμα, ῥανοῦσί τε τὸ αἷμα ἐπὶ τοῦ
θυτηρίου κύκλῳ, τοῦ ἐν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ·
[6]περιδύσει τε τὴν ἀναφορὰν καὶ μελιεῖ ταύτην ἐς τὰ μέλη ταύ-
της· [7]δώσουσί τε οἱ υἱεῖς ἀαρῶνος τοῦ ἱερέως πῦρ ἐπὶ τοῦ θυτη-
ρίου καὶ τάξουσι ξύλα ἐπὶ τοῦ πυρός· [8]τάξουσί τε οἱ υἱεῖς ἀαρῶνος
οἱ ἱερεῖς τὰ μέλη, τὴν κεφαλὴν καὶ τὸ στέαρ, ἐπὶ τῶν ξύλων τῶν
ἐπὶ τοῦ πυρὸς τοῦ ἐπὶ τοῦ θυτηρίου, [9]τά τ' ἐνδόσθιά οἱ καὶ τὰ
σκέλη οἱ πλυνεῖ ἐν ὕδατι, καὶ θυμιάσει ὁ ἱερεὺς τὰ ξύμπαντα
τὸ θυτήριον· ἀναφορὰ πυρίκαυστος, ὀσμὴ ἀναπαύματος τῷ ὀν-
τωτῇ. [10]Εἰ δ' ἀπὸ τοῦ ποιμνίου ἡ προσ-
φορά οἱ, πρὸς τῶν προβάτων ἢ πρὸς τῶν αἰγῶν εἰς ἀναφορὰν,
ἄρρεν τέλειον προσοίσει αὐτό· [11]ἱερεύσει τε αὐτὸ ἐπὶ κλίματος
τοῦ θυτηρίου πρὸς ἄρκτους ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ ῥανοῦσιν οἱ

I. 3. προσοίσει (1) ipse cod. (cf. Amm. ad h. l.), at v. 14 προσοίχει scriptum est pro προσοίσει **9.** τὸ θυτήριον] conjeceris eum הַמִּזְבֵּחַ legisse, non הַמִּזְבֵּחָה, itemque v. 13 sqq. II, 9 cet. Certe quidem illud ה locale in codd. mss. saepius omittitur. Cf. XIV, 20, ubi הַמִּזְבֵּחָה reddit εἰς τὸ θυτήριον

υἱεῖς τοῦ ἀαρῶνος οἱ ἱερεῖς τὸ αἷμά οἱ ἐπὶ τοῦ Θυτηρίου κύκλῳ· [12]μελιεῖ τε αὐτὸ εἰς τὰ μέλη αὐτοῦ, τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν δημὸν αὐτοῦ, κατατάξει τε ὁ ἱερεὺς αὐτὰ ἐπὶ τῶν ξύλων τῶν ἐπὶ τοῦ πυρὸς τοῦ ἐπὶ τοῦ Θυτηρίου· [13]τὰ δ' ἐνδόσϑια καὶ τὰ σκέλη πλυνεῖ ἐν ὕδατι, καὶ προσοίσει ὁ ἱερεὺς ξύμπαντα καὶ Θυμιάσει τὸ Θυτήριον· ἀναφορά ἐστι πυρίκαυστος, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ.

[14]Κἂν ἀπὸ πτηνοῦ ἡ ἀναφορὰ τῆς προσφορᾶς αὐτοῦ τῷ ὀντωτῇ, καὶ δὴ προσοίσει πρὸς τῶν τρυγόνων ἢ πρὸς τῶν υἱέων τῆς περιστερᾶς τὴν προσφορὰν αὐτοῦ· [15]προσοίσει τε αὐτὸ ὁ ἱερεὺς πρὸς τὸ Θυτήριον, ἀπαυχενιεῖ τε τὴν κεφαλὴν αὐτοῦ καὶ Θυμιάσει τὸ Θυτήριον· καὶ ἀποπιεσϑήσεται τὸ αἷμα αὐτοῦ ἐπὶ τοῦ τοίχου τοῦ Θυτηρίου· [16]καὶ ἀφελεῖται τὸν ἐχῖνον αὐτοῦ ἐν τῷ πτερῷ αὐτοῦ ῥίψει τε αὐτὸν παρὰ τῷ Θυτηρίῳ πρὸς ἀνατολάς, πρὸς τὸν τόπον τῆς σποδοῦ· [17]διατεμεῖ τε αὐτὸ ἐν ταῖς πτέρυξιν αὐτοῦ, οὐ διαστήσει, καὶ Θυμιάσει αὐτὸ ὁ ἱερεὺς τὸ Θυτήριον ἐπὶ τῶν ξύλων τῶν ἐπὶ τοῦ πυρός· ἀναφορά ἐστι, πυρίκαυμα, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ.

II. °[1]Ψυχή τ' ἐπὰν προσενέγκῃ προσφορὰν μειλίγματος τῷ ὀντωτῇ, σεμίδαλις τελέσει προσφορά οἱ· χεεῖ τ' ἐπ' αὐτῆς ἔλαιον καὶ δώσει ἐπ' αὐτῆς λίβανον, [2]οἴσει τε ταύτην πρὸς τοὺς υἱεῖς τοῦ ἀαρῶνος τοὺς ἱερεῖς· δράξεταί τ' ἐκεῖϑεν τῷ πληροῦν τὴν πυγμὴν αὐτοῦ ἀπὸ τῆς σεμιδάλεως αὐτῆς καὶ ἀπὸ τοῦ ἐλαίου ταύτης ἐπὶ τῷ λιβάνῳ ταύτης, Θυμιάσει Θ' ὁ ἱερεὺς τὴν ἀνάμνησιν αὐτῆς τὸ Θυτήριον· πυρίκαυστον, ὀσμὴ ἀναπαύματος τῷ ὀντωτῇ. [3]τὸ δὲ περιττεῦσαν ἀπὸ τοῦ μειλίγματος τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ· ἅγιον ἁγίων ἀπὸ τῶν πυρικαύστων τοῦ ὀντωτοῦ. [4]Ἐπὰν δὲ προσενέγκῃ προσφορὰν μειλίγματος, κλιβάνωμα ἰπνοῦ σεμιδαλῶν, ψήττας ἀζύμων ἐν ἐλαίῳ καὶ πλακοῦντας ἀζύμων ἀληλειμμένων ἐν ἐλαίῳ. °[5]Εἰ δὲ μείλιγμα ἐπὶ τοῦ τηγάνου ἡ προσφορά σου, σεμίδαλις ἀναδεδευμένη ἐν ἐλαίῳ ἄζυμος

14. αὐτοῦ (2)] αὐτοῦ invito codice ed. Cf. not. ad Gen. XXXIV, 5. 16. αὐτὸν] αὐτὴν cod. et ed.

II. 2. ἐπὶ τῷ λιβάνῳ] ־כָּל om. 4. ὑπν. corr. ἰπνοῦ cod. σεμιδαλῶν] l. σεμιδάλεων, vel potius σεμιδάλεως ψήττας] ψῆτται cod. et ed. ἀληλειμμένων] codicis scripturam servavimus. Cf. VII, 12. Exod. XXIX, 2.

τελέσει· [6]τεμεῖς ταύτην τεμμάχια, χεεῖς τ' ἐπ' αὐτῆς ἔλαιον· μεῖλιγμά ἐστι. [7]Καὶ εἰ μεῖλιγμα λοπάδος ἡ προσφορά σου, σεμίδαλιν ἐν ἐλαίῳ ποιήσεις· [8]οἴσεις τε τὸ μείλιγμα ὃ ποιηθήσεται ἀπ' αὐτῆς τῷ ὀντωτῇ· προσοίσει τε αὐτὴν πρὸς τὸν ἱερέα, καὶ ἐγγιεῖ ταύτην πρὸς τὸ θυτήριον· [9]ὑψώσει τε ὁ ἱερεὺς ἀπὸ τοῦ μειλίγματος τὴν ἀνάμνησιν θυμιάσει τε τὸ θυτήριον· ἔμπυρον, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ. [10]τὸ δὲ περιλειφθὲν ἀπὸ τοῦ μειλίγματος τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ· ἅγιον ἁγίων ἀπὸ τῶν ἐμπύρων τοῦ ὀντωτοῦ. [11]ὁτιοῦν μεῖλιγμα ὃ προσοίσετε τῷ ὀντωτῇ οὐ ποιηθήσεται ζυμωτόν· ἡστινοσοῦν γὰρ ζύμης καὶ οὑτινοσοῦν μέλιτος, οὐ θυμιάσετε ἀπ' αὐτοῦ ἔμπυρον τῷ ὀντωτῇ. [12]προσφορὰν ἀρχῆς προσοίσετε αὐτὰ τῷ ὀντωτῇ· πρὸς μέντοι τὸ θυτήριον οὐκ ἀναβήσονται εἰς ὀδμὴν ἀναπαύματος· [13]πᾶσάν τε προσφορὰν μειλίγματός σου ἐν ἁλὶ ἁλιεῖς, καὶ οὐ παύσεις τὸν ἅλα τῆς ξυνθήκης τοῦ θεοῦ σου πρὸς τοῦ μειλίγματός σου· ἐπὶ πάσης προσφορᾶς σου προσοίσεις ἅλα.

[14]Εἰ μέντοι προσενέγκαις μεῖλιγμα πρωτογόνων τῷ ὀντωτῇ, ἄσταχυν πεφρυγμένον ἐν πυρί, σῖτον ἀστάχυος προσοίσεις τὸ μεῖλιγμα τῶν πρωτογόνων σου· [15]δώσεις τ' ἐπ' αὐτοῦ ἔλαιον, θήσεις τ' ἐπ' αὐτοῦ λίβανον· μεῖλιγμά ἐστι. [16]καὶ θυμιάσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τοῦ σίτου αὐτοῦ καὶ ἀπὸ τοῦ ἐλαίου αὐτοῦ ἐπὶ παντὶ τῷ λιβάνῳ αὐτοῦ· πυρπόλημα τῷ ὀντωτῇ.

III.

[1]Καὶ εἴπερ θυσία εἰρηναίων ἡ προσφορά οἱ, εἰ μὲν ἀπὸ τοῦ βουκολίου εἴη προσφέρων, εἴτ' ἄρρεν εἴτε θῆλυ, τέλειον προσοίσει αὐτὸ ἐνώπιον τοῦ ὀντωτοῦ· [2]στηριεῖ τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τῆς προσφορᾶς αὐτοῦ, σφάξει τε αὐτὴν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ῥανοῦσιν οἱ υἱεῖς τοῦ ἀαρῶνος οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τοῦ θυτηρίου κύκλῳ· [3]προσοίσει τε τὸ θύμα τῶν εἰρηναίων πυρπόλημα τῷ ὀντωτῇ, τὸν δημὸν τὸν καλύπτοντα τὰ

---

6. τεμμάχια] sic, non τεμάχια, cod. Cf. VI, 14. 7. μίλιγμα cod. ποιήσεις] תַּעֲשֶׂה pro תֵּעָשֶׂה 8. ἀπ' αὐτῆς] ἀπ' αὐλῆς cod. et ed. Exspectaveris ἀπ' αὐτῶν (מֵאֵלֶּה). 9. τὴν ἀνάμνησιν] excidit αὐτοῦ (אֶת־אַזְכָּרָתָהּ). Cf. v. 16.

III. 2. τῆς προσφορᾶς cod., non τὴν προσφορὰν ut ed. αὐτοῦ] τοῦ αὐτοῦ cod. et ed. 3. τὸ θύμα (hoc accentu)] הַזֶּבַח pro מִזֶּבַח

σπλάγχνα καὶ πᾶν τὸ λῖπος τὸ ἐπὶ τῶν σπλάγχνων, [4]τὼ δύο τε νεφρὼ καὶ τὸ στέαρ τὸ ἐπ' αὐτοῖν, τὸ ἐπὶ τῶν ὑποψοιῶν, καὶ τὸ περιττεῦον ἐπὶ τοῦ ἥπατος, ἐπὶ τοῖν νεφροῖν περιελεῖ αὐτό· [5]θυμιάσουσί τε αὐτὸ οἱ υἱεῖς τοῦ ἀαρῶνος τὸ θυτήριον, ἐπὶ τῆς ἀναφορᾶς τῆς ἐπὶ τῶν ξύλων τῶν ἐπὶ τοῦ πυρός· πυρπόλημα, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ.

°[6]Εἰ δ' ἀπὸ τοῦ ποιμνίου ἡ προσφορά οἱ εἰς θυσίαν εἰρηναίων τῷ ὀντωτῇ, ἄρρεν ἢ θῆλυ, τέλειον προσοίσει αὐτό. [7]εἴπερ πρόβατον ἐκεῖνος προσφέροι τὴν προσφορὰν ἑαυτοῦ, καὶ προσοίσει αὐτὸ ἐνώπιον τοῦ ὀντωτοῦ, [8]στηριεῖ τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τῆς προσφορᾶς αὐτοῦ, ἱερατεύσει τε αὐτὸ ἐνώπιον τῆς σκηνῆς τοῦ ξυναγμοῦ, ῥανοῦσι δὲ οἱ υἱεῖς τοῦ ἀαρῶνος τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ θυτήριον κύκλῳ. [9]καὶ προσοίσει ἀπὸ τῆς θυσίας τῶν εἰρηναίων ἔμπυρον τῷ ὀντωτῇ τὸ στέαρ αὐτοῦ, τὴν κέρκον τελείαν, ἀντικρὺ τῶν λαγόνων περιελεῖ ταύτην, καὶ τὸ στέαρ τὸ καλύπτον τὰ σπλάγχνα καὶ ξύμπαντα τὸν δημὸν τὸν ἐπὶ τῶν σπλάγχνων, [10]τώ τε δύο νεφρὼ καὶ τὸν δημὸν τὸν ἐπ' αὐτοῖν, τὸν ἐπὶ τῶν ὑποψοιῶν, καὶ τὸν περιττεύοντα ἐπὶ τοῦ ἥπατος, ἐπὶ τοῖν νεφροῖν περιελεῖ αὐτόν· [11]θυμιάσει τε αὐτὸν ὁ ἱερεὺς τὸ θυτήριον· ἄρτος, ἔμπυρον τῷ ὀντωτῇ.

[12]Καὶ εἴπερ αἴξ ἡ προσφορά οἱ, προσοίσει τε αὐτὴν ἐνώπιον τοῦ ὀντωτοῦ, [13]καὶ στηριεῖ τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς αὐτῆς, θύσει τε αὐτὴν ἐνώπιον τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ῥανοῦσιν οἱ υἱεῖς ἀαρῶνος τὸ αἷμα ταύτης ἐπὶ τοῦ θυτηρίου κύκλῳ· [14]προσοίσει τ' ἀπ' αὐτῆς τὴν προσφορὰν ἑαυτοῦ ἔμπυρον τῷ ὀντωτῇ, τὸ στέαρ τὸ καλύπτον τὰ ἐντός, πάντα τε τὸν δημὸν τὸν ἐπὶ τῶν ἐντός, [15]καὶ τὼ δύο νεφρώ, τό τε στέαρ τὸ ἐπ' αὐτοῖν ὅπερ ἐστὶν ἐπὶ τῶν ψοιῶν, καὶ τὸ περιττεῦον ἐπὶ τοῦ ἥπατος, ἐπὶ τοῖν νεφροῖν ἀφελεῖ αὐτό· [16]καὶ θυμιάσει ταῦτα ὁ ἱερεὺς τὸ θυτήριον· ἄρτος, ἔμπυρον εἰς ὀδμὴν ἀναπαύματος πᾶν στέαρ τῷ

[illegible]ος, non λίπος, cod. Cf. Prol. I, 4, c. 5. τῆς ἐπὶ τοῦ πυρός c. cd. ed. 9. τὰ κέρκα τέλεια cod. et ed. Cf. VII, 3. VIII, 25 cet. λαγόνων] glossa in margine: τόπος τῶν νεφρῶν. Cf. Prol. I, 2, d. ξύμπαντα] ξύμπαν cod., „forsan ex ipso errore auctoris, qui cum στέαρ esset scripturus, orationis variandae causa aliud vocabulum (δημὸς) adhibuit“ (Amm.). 10. τῶν ὑποψοιῶν] in margine: τῶν ὀστέων τῶν ψοιῶν 14. πάντα] πᾶν cod.

ὀντωτῇ· [17]τύπος αἰῶνος ἐς τὰς γενεὰς ὑμῶν ἐν πάσαις ταῖς καθέδραις ὑμῶν· ὁτιοῦν στέαρ καὶ ὁτιοῦν αἷμα οὐκ ἔδεσθε.

IV. [1]Διελεκται δ' ὁ ὀντωτὴς πρὸς τὸν μωσέα τῷ φάναι· [2]διελεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ψυχὴ ἐπὰν ἁμάρτοι ἐν λήθῃ ἀπὸ πάντων τῶν κελευσμάτων τοῦ ὀντωτοῦ ἅπερ οὐ ποιηθήσονται, ποιήσεις δ' ἀφ' ἑνὸς ἀπ' αὐτῶν· [3]εἴπερ ὁ ἱερεὺς ὁ χριστὸς ἁμάρτοι εἰς ἀμπλάκημα τοῦ λεὼ, τοίνυν προσοίσει ἐπὶ τῇ ἁμαρτίᾳ οἱ ᾗπερ ἥμαρτε ταῦρον υἱὸν βουκολίου τέλειον τῷ ὀντωτῇ εἰς ἁμαρτίαν, [4]καὶ οἴσει τὸν ταῦρον πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ ἐνώπιον τοῦ ὀντωτοῦ, στηριεῖ τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τοῦ ταύρου, καὶ ἱερεύσει τὸν ταῦρον ἐνώπιον τοῦ ὀντωτοῦ· [5]καὶ λήψεται ὁ ἱερεὺς ὁ χριστὸς πρὸς τοῦ αἵματος τοῦ ταύρου καὶ οἴσει αὐτὸ πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ· [6]βαπτιεῖ θ' ὁ ἱερεὺς τὸν δάκτυλον αὐτοῦ ἐν τῷ αἵματι, στάξει τ' ἀπὸ τοῦ αἵματος ἑπτάκις ἐνώπιον τοῦ ὀντωτοῦ τὸ πρόσωπον τῆς αὐλαίας τοῦ ἁγίου· [7]δώσει θ' ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος ἐπὶ τῶν κερῶν τοῦ θυτηρίου θυμίαμα τῶν ἀρωμάτων ἐνώπιον τοῦ ὀντωτοῦ, ὅπερ ἐστὶν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· ξύμπαν δὲ τὸ αἷμα τοῦ ταύρου χεεῖ πρὸς τῷ θεμέθλῳ τοῦ θυτηρίου τῆς ἀναφορᾶς τοῦ ἐν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [8]ξύμπαν τε τὸ στέαρ τοῦ ταύρου τῆς ἁμαρτίας ὑψώσει ἀπ' αὐτοῦ, τὸν δημὸν τὸν καλύπτοντα ἐπὶ τῶν ἐντὸς καὶ ξύμπαν τὸ στέαρ τὸ ἐπὶ τῶν σπλάγχνων, [9]τὼ δύο τε νεφρὼ καὶ τὸ στέαρ τὸ ἐπ' αὐτοῖν, τὸ ἐπὶ ταῖν ψοιαῖν, καὶ τὸ περιττεῦον ἐπὶ τοῦ ἥπατος, ἐπὶ τοῖν νεφροῖν ἀφελεῖ αὐτὸ, [10]καθάπερ ὑψωθήσεται ἀπὸ τοῦ βοὸς τῆς θυσίας τῶν εἰρηναίων, θυμιάσει τε αὐτὰ ὁ ἱερεὺς ἐπὶ τοῦ θυτηρίου τῆς ἀναφορᾶς. [11]τὸ μέντοι δέρμα τοῦ ταύρου καὶ ξύμπαν τὸ κρέας αὐτοῦ ἐπὶ τῇ κεφαλῇ αὐτοῦ κἀπὶ τοῖς σκέλεσιν αὐτοῦ, τό τε σπλάγχνον αὐτοῦ καὶ τὴν ὄνθον αὐτοῦ, [12]ἐξάξει τε ξύμπαντα τὸν ταῦρον πρὸς τὰ ἔξωθεν τοῦ στρατοπέδου πρὸς τόπον καθαρὸν, πρὸς χύσιν τοῦ λίπους, πρήσει τε αὐτὸν ἐπὶ ξύλων ἐν πυρί· ἐπὶ τῆς χύσεως τοῦ λίπους πρησθήσεται.

IV. 9. τοῖν corr. ταῖν cod., ac dein ψοιαῖν scriptum est, non ψοαῖν ut ed. 12. πρησθήσεται cod., non προσθήσ. ut ed. Neque aliter scripturam codicis intellexisse videtur Morell. (v. Addenda et emendanda apud Amm., ubi πρησθήσεται pro altero προσθήσεται legendum).

°[13]Ἢν μέντοι πᾶν τὸ ἄϑροισμα τοῦ Ἰσραέλου ἐπιλάϑωνται, καὶ καλυφϑῇ χρῆμα ἀπὸ τῶν ὀφϑαλμῶν τῆς ἐκκλησίας, ποιήσωσί τε ἓν ἀπὸ πάντων τῶν κελευσμάτων τοῦ ὀντωτοῦ ἅπερ οὐ ποιηϑεῖεν, καὶ ἀμπλάκωσι, [14]γνωσϑῇ δὲ ἡ ἁμαρτία ἥπερ ἥμαρτον ἐπ' αὐτῆς, τοίνυν προσοίσουσιν ἡ ἐκκλησία ταῦρον υἱὸν βουκολίου εἰς ἁμαρτίαν, οἴσουσί τε αὐτὸν ἐνώπιον τῆς σκηνῆς τοῦ ξυναγμοῦ, [15]καὶ ἐρείσουσιν οἱ γέροντες τοῦ ἀϑροίσματος τὰς χεῖρας σφῶν ἐπὶ τῆς κεφαλῆς τοῦ ταύρου ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ ϑύσει τὸν ταῦρον ἐνώπιον τοῦ ὀντωτοῦ· [16]οἴσει ὁ ἱερεὺς ὁ χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ ταύρου πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, [17]καὶ βαπτίσει ὁ ἱερεὺς τὸν δάκτυλον ἑαυτοῦ ἀπὸ τοῦ αἵματος, στάξει τε ἑπτάκις ἐνώπιον τοῦ ὀντωτοῦ τὸ πρόσωπον τῆς αὐλαίας· [18]κἀπὸ τοῦ αἵματος δώσει ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου τοῦ ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· ξύμπαν δὲ τὸ αἷμα χεεῖ πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου τῆς ἀναφορᾶς τοῦ τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [19]ξύμπαν μέντοι τὸ στέαρ αὐτοῦ ὑψώσει ἀπ' αὐτοῦ καὶ ϑυμιάσει τὸ ϑυτήριον· [20]ποιήσει τε τῷ ταύρῳ καϑάπερ ἐποίησε τῷ ταύρῳ τῆς ἁμαρτίας, τῇδε ποιήσει αὐτῷ· παραιτήσεται δ' ἐπ' αὐτοῖς ὁ ἱερεύς, καὶ συγγνωσϑήσεται σφίσιν. [21]ἐξοίσει τε τὸν ταῦρον πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου, πρήσει τ' αὐτὸν καϑάπερ ἔπρησε τὸν ταῦρον τὸν πρῶτον· ἁμαρτία τῆς ἐκκλησίας ἐστίν.

°[22]Ἐπὰν ὁ ἄρχων ἁμάρτοι ποιήσειέ τε μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ οἱ, αἳ οὐ ποιηϑεῖεν, ἐν λήϑῃ, καὶ πλημμελήσειεν· [23]ἢ γνωσϑήσεται πρὸς αὐτὸν ἡ ἁμαρτία αὐτοῦ ἥνπερ ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει τὴν προσφορὰν ἑαυτοῦ χίμαρον αἰγῶν ἄρρενα τέλειον, [24]ἐρείσει τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τοῦ χιμάρου, καὶ ϑύσει αὐτὸν ἐν τῷ τόπῳ ᾧ ϑύσει τὴν ἀναφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ· ἁμαρτία ἐστί· [25]λήψεται δ' ὁ ἱερεὺς πρὸς τοῦ αἵματος τῆς ἁμαρτίας ἐν τῷ δακτύλῳ οἱ καὶ δώσει ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου τῆς ἀναφορᾶς· τὸ δ' αἷμά οἱ χεεῖ πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου τῆς ἀναφορᾶς· [26]ξύμπαν μέντοι τὸ στέαρ αὐτοῦ ϑυμιάσει τὸ ϑυτήριον ὡς τὸ στέαρ τῆς ϑυσίας τῶν εἰρηναίων· παραιτήσεται δ' ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ συγγνωσϑήσεταί οἱ.

---

26. τὸ ϑυτήριον] הַמִּזְבֵּחַ (pro הַמִּזְבֵּחָה) hoc loco exhibent codd. Kenn. 9 et 136.

[27] Εἰ μέντοι ψυχὴ μία ἁμάρτοι ἐν λήϑῃ πρὸς τοῦ λεὼ τῆς γῆς ἐν τῷ ποιῆσαι ταύτην μίαν ἀπὸ τῶν ἐντολῶν τοῦ ὀντωτοῦ αἵπερ οὐ ποιηϑεῖεν, καὶ πλημμελήσειεν· [28] ἢ ἔγνωσται πρὸς αὐτὸν ἡ ἁμαρτία οἱ ᾗπερ ἥμαρτε, καὶ προσενέγκαι τὴν προσφορὰν ἑαυτοῦ χίμαιραν αἰγῶν τελείαν ϑήλειαν ἐπὶ τῇ ἁμαρτίᾳ οἱ ᾗπερ ἥμαρτεν, [29] ἐρείσει τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τῆς ἁμαρτίας, καὶ ἱερεύσει τὴν ἁμαρτίαν ἐν τῷ τόπῳ τῆς ἀναφορᾶς· [30] καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς ἐν τῷ δακτύλῳ οἱ καὶ δώσει ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου τῆς ἀναφορᾶς· ξύμπαν μέντοι τὸ αἷμα ταύτης χεεῖ πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου. [31] ξύμπαντά τε τὸν δημὸν αὐτῆς ἀφελεῖ καϑάπερ ἀφῃρέϑη τὸ στέαρ ἄνωϑεν τοῦ ϑύματος τῶν εἰρηναίων, καὶ ϑυμιάσει ὁ ἱερεὺς τὸ ϑυτήριον εἰς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ· παραιτήσεται δὲ ἐπ' αὐτοῦ ὁ ἱερεὺς, καὶ συγγνωσϑήσεταί οἱ.

[32] Ἐὰν δὲ πρόβατον φέρῃ τὴν προσφορὰν ἑαυτοῦ εἰς ἁμαρτίαν, ϑήλειαν τελείαν οἴσει αὐτήν, [33] ἐρείσει τε τὴν χεῖρά οἱ ἐπὶ τῆς κεφαλῆς τῆς ἁμαρτίας, καὶ ϑύσει ταύτην εἰς ἁμαρτίαν ἐν τόπῳ ᾧ ἱερεύοι τὴν ἀναφοράν. [34] λήψεται δ' ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τῆς ἁμαρτίας ἐν τῷ δακτύλῳ οἱ καὶ δώσει ἐπὶ τῶν κεράτων τοῦ ϑυτηρίου τῆς ἀναφορᾶς, πᾶν τε τὸ αἷμα ταύτης χεεῖ πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου· [35] ξύμπαν μέντοι τὸ στέαρ αὐτῆς ἀφελεῖται καϑάπερ ἀφαιρεϑείη ὁ δημὸς τοῦ προβάτου ἀπὸ τοῦ ϑύματος τῶν εἰρηναίων, ϑυμιάσει ϑ' ὁ ἱερεὺς αὐτὰ τὸ ϑυτήριον ἐπὶ τῶν ἐμπύρων τοῦ ὀντωτοῦ· καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἐπὶ τῆς ἁμαρτίας αὐτοῦ ᾗπερ ἥμαρτε, καὶ συγγνωσϑήσεταί οἱ.

V. [1] Ψυχὴ δ' ἐπὰν ἁμάρτοι καὶ ἀκούσῃ φωνῆς ἀρᾶς, ἐκεῖνος δὲ μάρτυς ἢ τεϑέαται ἢ ἔγνω, ἢν μὴ ἀγγείλῃ, καὶ ἀρεῖ τοὔγκλημά οἱ. [2] ἢ ψυχὴ ἥπερ ἅψαιτο οὑτινοσοῦν πράγματος μεμιασμένου, ἢ ἕλωρος ζώου μεμιασμένου ἢ ἕλωρος κτήνους μεμιασμένου ἢ ἕλωρος ἑρπετοῦ μεμιασμένου, καλύπτοιτο μέντοι ἀπ' αὐτοῦ, κἀκεῖνος μεμιασμένος καὶ πταίων· [3] ἢ ὅτι ψαύσειε μεμιασμένου ἀνϑρώπου καϑ' ὁντιναοῦν μιασμὸν αὐτοῦ ᾧ μιανϑείη ἐν αὐτῷ, κρύπτοιτο

28. προσενέγκαι cod., non προσενέγκῃ ut ed. 31. ξύμπαντα] rursus ξύμπαν cod. Cf. not. ad III, 9.

V. 1. ἀρεῖ] ἀρῇ cod. et ed. Cf. XXIV, 15. 3. ψαύσειε] παύσειε cod. et ed.

μέντοι ἀπ' αὐτοῦ, κεῖνος δ' ἔγνω, καὶ ἤμπλακε· [4] ἢ ψυχὴ ἐπὰν ὀμόσειε τῷ φθέγξασθαι ἐν χείλεσι κακοῦν ἢ ἀγαθύνειν εἰς ὁτιοῦν ο φθέγξαιτο ὁ ἄνθρωπος ἐν ὅρκῳ, καὶ καλυφθείη ἀπ' αὐτοῦ, ἐκεῖνος μέντοι ἔγνω, πλημμελήσειέ τε εἰς ἓν ἀπὸ τούτων· [5] τελέσει τοίνυν ὅτι πλημμελήσει εἰς ἓν ἀπὸ τούτων, καὶ ὁμολογήσεται ὃς ἥμαρτεν ἐπὶ τῷδε· [6] καὶ οἴσει τὴν πλημμέλειαν ἑαυτοῦ τῷ ὀντωτῇ ἐπὶ τῇ ἁμαρτίᾳ οἷ ἣν ἥμαρτε, θήλειαν ἀπὸ τῶν προβάτων ἀμνάδα ἢ χίμαιραν αἰγῶν εἰς ἁμαρτίαν· καὶ παραιτήσεται ἐπ' αὐτῷ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ. [7] εἰ μέντοι μὴ φθάνοι ἡ χεὶρ αὐτοῦ ἀρκέσει προβάτου, ἀλλ' οἴσει τὴν πλημμέλειαν ἑαυτοῦ ἧπερ ἥμαρτε δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς τῷ ὀντωτῇ, ἕνα εἰς ἁμαρτίαν καὶ θάτερον εἰς ἀναφοράν· [8] οἴσει τε αὐτὼ πρὸς τὸν ἱερέα, καὶ προσοίσει τὸν μὲν τῆς ἁμαρτίας πρῶτον, καὶ αὐχενοτομήσει τὴν κεφαλὴν αὐτοῦ ἀπέναντι τοῦ αὐχένος αὐτοῦ, καὶ οὐ διαστήσει· [9] ῥανεῖ δ' ἀπὸ τοῦ αἵματος τῆς ἁμαρτίας ἐπὶ τοῦ τοίχου τοῦ θυτηρίου, τὸ δὲ περιλειφθὲν ἐν τῷ αἵματι στραγγιεῖ πρὸς τῷ θεμέθλῳ τοῦ θυτηρίου· ἁμαρτία ἐστί. [10] θάτερον δὲ ποιήσει ἀναφορὰν κατὰ κρίσιν· καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ ἣν ἥμαρτε, καὶ συγγνωσθήσεταί οἱ. [11] Ἐὰν δὲ μὴ φθάνῃ ἡ χεὶρ αὐτοῦ ἐς δύο τρυγόνε ἢ εἰς δύο υἱὼ περιστερᾶς, οἴσει τε τὴν προσφορὰν ἑαυτοῦ ἧπερ ἥμαρτε δέκατον μεδίμνου σεμιδάλεως εἰς ἁμαρτίαν· οὐ θήσει ἐπ' αὐτῆς ἔλαιον οὔτε δώσει ἐπ' αὐτῆς λίβανον· ἁμαρτία γάρ ἐστιν· [12] οἴσει τε αὐτὴν πρὸς τὸν ἱερέα, δράξεταί θ' ὁ ἱερεὺς ἀπ' αὐτῆς τῷ πληρῶσαι τὴν δράκα ἑαυτοῦ τοῦ μνημοσύνου αὐτῆς, καὶ θυμιάσει τὸ θυτήριον ἐπὶ τῶν πυριφλέκτων τοῦ ὀντωτοῦ· ἁμαρτία ἐστί. [13] καὶ παραιτήσεται ἐπ' αὐτῆς ὁ ἱερεὺς ἐπὶ τῇ ἁμαρτίᾳ αὐτοῦ ἧπερ ἥμαρτεν ἀφ' ἑνὸς πρὸς τούτων, καὶ συγγνωσθήσεταί οἱ· τελέσει τε τῷ ἱερεῖ καθὼς μείλιγμα. [14] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [15] ψυχὴ ἐπὰν ὑπερβαίνοι ὑπερβασίᾳ καὶ ἁμάρτοι ἐν λήθῃ ἀπὸ τῶν ἁγίων τοῦ ὀντωτοῦ, καὶ οἴσει τὴν πλημ-

---

4. ὀμόσειε cod., non ὀμόσει ut ed. 8. προσοίσει] προοίσει cod. 11. αὐτῆς (2)] αὐτῶν cod. et ed. 12. ἀπ' αὐτῆς cod., non ἀπ' αὐτοῦ ut ed. 15. ὑπερβαίοι (sic) cod., non ὑπερβαι οἱ ut relatum erat Ammonio, neque ὑπερβαίη ut Mor. affert. At ita fort. corrigendum. Cf. v. 20.

μέλειαν ἑαυτοῦ τῷ ὀντωτῇ κριὸν τέλειον ἀπὸ προβάτων ἐν τῇ τάξει σου, ἀργύριον στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, εἰς πλημμέλειαν· [16] ὅ τε ἥμαρτεν ἀπὸ τοῦ ἁγίου ἀποτίσει καὶ τὸ πέμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτῷ, δώσει τε αὐτὸ τῷ ἱερεῖ, καὶ ὁ ἱερεὺς παραιτήσεται ἐπ' αὐτοῦ ἐν τῷ κριῷ τῆς πλημμελείας, καὶ συγγνωσθήσεταί οἱ.

° [17] Κἂν ψυχὴ ἐπὰν ἁμάρτοι ποιῆσαι τε ἓν ἀπὸ πάντων τῶν κελευσμάτων τοῦ ὀντωτοῦ ἅπερ οὐ ποιηθεῖεν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσειε καὶ ἀροῖ τοὔγλημα ἑαυτοῦ, [18] καὶ οἴσει κριὸν τέλειον ἀπὸ τοῦ ποιμνίου κατὰ τὴν τάξιν σου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα, καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἐπὶ τῇ λήθῃ οἱ ᾗ ἐπιλέλησται, κἀκεῖνος οὐκ ἔγνω, καὶ συγγνωσθήσεταί οἱ. [19] πλημμέλειά ἐστι, τῷ πλημμελῆσαι πλημμέλημα τῷ ὀντωτῇ.

[20] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [21] ψυχὴ ἐπὰν ἁμάρτοι ὑπερβαίη τε ὑπερβασίαν ἐν τῷ ὀντωτῇ, καὶ ἀρνήσηται ἐν τῷ ὁμοέθνεῖ οἱ ἐν παρακαταθήκῃ ἢ ἐν βολῇ χειρὸς ἢ ἐν ἁρπαγῇ, ἢ ἀπεστέρησε τὸν ὁμόφυλον ἑαυτοῦ, [22] ἢ εὗρεν ἀπώλειαν καὶ ἤρνηται ἐν αὐτῇ καὶ ὀμώμοκεν ἐπὶ ψεύδει· ἐφ' ἑνὶ πρὸς πάντων ἃ ποιήσειεν ὁ ἄνθρωπος ὥστε ἁμαρτεῖν ἐν αὐτοῖς· [23] τελέσει γοῦν ὅτι ἁμαρτήσει καὶ πλημμελήσει, τοιγαροῦν ἀποστρέψει τὴν ἁρπαγὴν ἥνπερ ἥρπασεν, ἢ τὴν ἀποστέρησιν ἣν ἀπεστέρησεν, ἢ τὴν παρακαταθήκην ἣ κατατέθειται παρ' αὐτῷ, ἢ τὴν ἀπώλειαν ἥνπερ εὗρεν, [24] ἢ ἀφ' οὐτινοσοῦν ᾧπερ ὀμόσειεν ἐπ' αὐτῷ ἐς ψεῦδος· ἀποδώσει τοίνυν αὐτὸ ἐν τῷ κεφαλαίῳ αὐτοῦ καὶ τὸ πέμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτοῦ· ᾧπέρ ἐστιν αὐτοῦ δώσει αὐτὸ ἐν τῇ ἡμέρᾳ τῆς πλημμελείας ἑαυτοῦ. [25] καὶ τὴν πλημμέλειαν ἑαυτοῦ οἴσει τῷ ὀντωτῇ, κριὸν τέλειον ἀπὸ τοῦ ποιμνίου ἐν τῇ τάξει σου ἐς πλημμέλειαν πρὸς τὸν ἱερέα· [26] καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ συγγνωσθήσεταί οἱ ἐφ' ἑνὶ πρὸς πάντων ὃ ποιήσειεν ὡς πλημμελήσειεν ἐν αὐτῷ.

ρια'

17. ἀροῖ] l. ἀρεῖ (cf. v. 1). 18. κατὰ τὴν τάξιν] כְּעֶרְכְּךָ (ita cod. Kenn. 109) pro בְּעֶ. Cf. v. 25. συγγνωσθήσεται] ἐγγνωσθ. cod. et ed. 19. πλημμέλημα] אָשָׁם pro אָשֹׁם. Cf. Num. V, 7. 22. ὠμώμοκεν invito codice ed. 24. ἐπ' αὐτῷ] ἐπ' αὐτοῦ cod. et ed. Cf. v. 22.

VI. *μερίς* [1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]κέλευσον τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ τῷ φάναι· οὗτος ὁ νόμος τῆς ἀναφορᾶς· αὕτη ἡ ἀναφορὰ ἐπὶ τῆς καύσεως ἐπὶ τοῦ θυτηρίου πάσῃ τῇ νυκτὶ μέχρις ἕω, πῦρ τε τοῦ θυτηρίου καυθήσεται ἐν αὐτῷ. [3]περιβαλεῖται δ' ὁ ἱερεὺς ἄμπυκα λίνου, καὶ ἀναξυρίδας λίνου περιβαλεῖται ἐπὶ τῆς σαρκὸς ἑαυτοῦ, καὶ ὑψώσει τὸ λῖπος ὅπερ ἔδεται τὸ πῦρ, τὴν ἀναφορὰν ἐπὶ τοῦ θυτηρίου, θήσει τε αὐτὸ παρὰ τῷ θυτηρίῳ· [4]καὶ περιδύσεται τὰ ἐνδύματά οἱ καὶ περιβαλεῖται ἐνδύματα ἕτερα, ἐξοίσει τε τὸ λῖπος πρὸς τὰ ἔξω τοῦ στρατοπέδου πρὸς τόπον καθαρόν. [5]τὸ δὲ πῦρ ἐπὶ τοῦ θυτηρίου καυθήσεται ἐν αὐτῷ, οὐ σβεσθήσεται· ἅψει δ' ἐπ' αὐτοῦ ὁ ἱερεὺς ξύλα ἐν ἕῳ ἐν ἕῳ, καὶ εὐθετήσει ἐπ' αὐτοῦ τὴν ἀναφορὰν, θυμιάσει τε ἐπ' αὐτοῦ τὰ στέατα τῶν εἰρηναίων· [6]πῦρ διηνεκῶς καυθήσεται ἐπὶ τοῦ θυτηρίου, ἥκιστα σβεσθήσεται.

[7]Οὗτός θ' ὁ νόμος τοῦ μειλίγματος, προσφέρειν αὐτὸ τοὺς υἱεῖς ἀαρῶνος ἐνώπιον τοῦ ὀντωτοῦ πρὸς τὸ πρόσωπον τοῦ θυτηρίου· [8]καὶ ὑψώσει ἀπ' αὐτοῦ ἐν τῷ δράξασθαι αὐτὸν ἀπὸ τῆς σεμιδάλεως τοῦ μειλίγματος καὶ ἀπὸ τοῦ ἐλαίου αὐτοῦ, ξύμπαν τε τὸ λίβανον τὸ ἐπὶ τοῦ μειλίγματος, θυμιάσει τε τὸ θυτήριον· ὀδμὴ ἀναπαύματος τὸ μνημόσυνον αὐτοῦ τῷ ὀντωτῇ. [9]τὸ δὲ περιττεῦον ἀπ' αὐτοῦ ἔδονται ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ· ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ, ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ ξυναγμοῦ ἔδονται αὐτό. [10]οὐ κλιβανωθήσεται ζυμωτόν· μέρος αὐτῶν ἔδωκα αὐτὸ ἀπὸ τῶν ἐμπύρων μου· ἅγιον ἁγίων τελεῖ κατὰ τὴν ἁμαρτίαν καὶ κατὰ τὴν πλημμέλειαν. [11]πᾶν ἄρρεν ἐν τοῖς υἱέσι τοῦ ἀαρῶνος ἔδεται αὐτό· τύπος αἰῶνος ταῖς γενεαῖς ὑμῶν ἀπὸ τῶν ἐμπύρων τοῦ ὀντωτοῦ· πᾶν ὅπερ ἐγγιεῖ σφίσιν ἁγιασθήσεται.

[12]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [13]ἥδε ἡ προσφορὰ τοῦ ἀαρῶνος καὶ τῶν υἱέων αὐτοῦ ἣν προσοίσουσι τῷ ὀντωτῇ ἐν τῇ ἡμέρᾳ τοῦ χρίεσθαί ε· δέκατον μεδίμνου σεμιδάλεως μείλιγμα διηνεκῶς, τὸ ἥμισυ αὐτοῦ ἐν ἕῳ τό θ' ἥμισυ αὐτοῦ ἐν

VI. 2. αὕτη cod., non αὐτὴ ut ed. 3 sq. λῖπος] hoc accentu utitur. Cf. Prol. I, 4, c. 5. στέατα cod., non στέμματα ut ed. 11. ἁγιασθήσεται (יִקְדָּשׁ)] cf. v. 20. Exod. XXIX, 37. XXX, 29. 13. ἥδε] ἢ δὲ c. ed. ed. μεδίμνου cod., non μεδίμνον ut ed.

ἑσπέρᾳ. [14] ἐπὶ τηγάνου ἐν ἐλαίῳ ποιηϑήσεται· ἐζεσμένον οἴσεις αὐτὸ, κλιβανώματα μειλίγματος τεμμάχια προσοίσεις, ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ. [15] ὃ ϑ' ἱερεὺς ὁ χριστὸς μετ' αὐτὸν ἀπὸ τῶν υἱέων αὐτοῦ ποιήσει αὐτό· τύπος αἰῶνος τῷ ὀντωτῇ, ὁλόκληρον ϑυμίαμα· [16] πᾶν τε μείλιγμα ἱερέως ὁλόκληρον τελέσει, οὐ βρωϑήσεται.

[17] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [18] διείλεξο πρὸς ἀαρῶνα καὶ πρὸς τοὺς υἱέας αὐτοῦ τῷ φάσκειν· οὗτος ὁ νόμος τῆς ἁμαρτίας· ἐν χώρῳ ᾧ τυϑήσεται ἡ ἀναφορὰ τυϑήσεται ἡ ἁμαρτία ἐνώπιον τοῦ ὀντωτοῦ· ἅγιον ἁγίων ἐστίν. [19] ὁ ἱερεὺς ὁ ἁμαρτιῶν αὐτὴν ἔδεται ταύτην· ἐν χώρῳ ἁγίῳ βρωϑήσεται, ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [20] πᾶς ὅσπερ ψαύσειεν τοῦ κρέως ταύτης ἁγιασϑήσεται· καὶ ὃς ῥανεῖται πρὸς τοῦ αἵματος ταύτης ἐπὶ τοῦ ἐνδύματος, ὅπερ ῥανεῖται ἐπ' αὐτοῦ, πλυϑήσεται ἐν τόπῳ ἁγίῳ. [21] σκεῦός τε ὀστράκου ᾧπερ ἑψηϑήσεται ἐν αὐτῷ συντριβήσεται· εἰ δ' ἐν σκεύει χαλκοῦ ἥψηται, καὶ καϑαρϑήσεται καὶ κλυσϑήσεται ἐν ὕδατι. [22] πᾶν ἄρρεν ἐν τοῖς ἱερεῦσιν ἔδεται ταύτην· ἅγιον ἁγίων ἐστί. [23] πᾶσα μέντοι ἁμαρτία ἧς ἐνεχϑήσεται ἀπὸ τοῦ αἵματος ταύτης πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ ὥστε παραιτεῖσϑαι ἐν τῷ ἁγίῳ οὐ βρωϑήσεται, ἐν πυρὶ καυϑήσεται.

VII. [1] Οὗτος δ' ὁ νόμος τῆς πλημμελείας· ἅγιον ἁγίων ἐστίν. [2] ἐν χώρῳ ᾧπερ ϑύσουσι τὴν ἀναφορὰν ϑύσουσι τὴν πλημμέλειαν, τὸ δ' αἷμα ταύτης ῥανεῖ ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ· [3] ξύμπαν τε τὸ στέαρ αὐτῆς προσοίσει ἀπ' αὐτῆς, τὴν κέρκον καὶ τὸν δημὸν τὸν καλύπτοντα τὰ ἐντὸς, [4] τώ τε δύο νεφρὼ καὶ τὸ στέαρ τὸ ἐπ' αὐτοῖν, τὸ ἐπὶ ταῖν ψοιαῖν, τό τε περιττεῦον ἐπὶ τοῦ ἥπατος, ἐπὶ τοῖν νεφροῖν ἀφελεῖ αὐτό· [5] ϑυμιάσει τε αὐτὰ ὁ ἱερεὺς τὸ ϑυτήριον πυρίφλεκτον τῷ ὀντωτῇ· πλημμέλειά ἐστι. [6] πᾶν ἄρρεν

---

14. τεμμάχια] sic cod. Cf. II, 6. 15. ϑυμίαμα] קְטֹרֶת pro תַּקְטַר
18. τυϑήσεται (1)] τιϑ. cod., non τεϑ. ut relatum erat Ammonio. τυϑήσεται (2)] τυϑ. corr. τιϑ. (non versa vice) cod. Ed. (bis) τεϑύσεται 20. πλυϑήσεται] תִּכָּבֵס aut תְּכַבֵּס (cf. XIII, 55 sq.) pro תְּכֻבַּס 23. τὴν σκηνὴν cod., non τῆς σκηνῆς ut ed.

VII. 4. ψοιαῖν] ψοαῖν rursus repugnante codice ed. 5. ϑυμιεύσει cod. τὸ ϑυτήριον] cf. not. ad I, 9.

ἐν τοῖς ἱερεῦσιν ἔδεται ταύτην, ἐν τόπῳ ἁγίῳ βρωθήσεται· ἅγιον ἁγίων ἐστίν. [7] ὥσπερ ἡ ἁμαρτία οὕτως ἡ πλημμέλεια, νόμος εἷς αὐταῖν· ὁ ἱερεὺς ὃς παραιτήσεται ἐν αὐτῇ, αὐτῷ τελέσει. [8] ὁ μέντοι ἱερεὺς ὁ προσφέρων τὴν ἀναφορὰν τοῦ ἀνδρὸς, τὸ δέρμα τῆς ἀναφορᾶς ἣν προσήνεγκε, τῷ ἱερεῖ, ἐκείνῳ τελέσει. [9] πᾶν τε μείλιγμα ὃ κλιβανωθήσεται ἐν τῷ ἰπνῷ καὶ πᾶν πεποιημένον ἐν λοπάδι καὶ ἐπὶ τηγάνου, τῷ ἱερεῖ τῷ προσφέροντι αὐτὸ, ἐκείνῳ τελέσει. [10] πᾶν τε μείλιγμα δεδευμένον ἐν ἐλαίῳ καὶ πεφρυγμένον πᾶσι τοῖς υἱέσι τοῦ ἀαρῶνος τελέσει, ἑκάστῳ καθάπερ τῷ ἀδελφῷ οἱ.

[11] Οὗτός δ' ὁ νόμος τῆς θυσίας τῶν εἰρηναίων ἣν προσοίσει τῷ ὀντωτῇ. [12] εἴπερ ἐφ' ὁμολογίᾳ προσφέροι αὐτὴν, καὶ προσοίσει ἐπὶ τοῦ θύματος τῆς ὁμολογίας ψήττας ἀζύμους δεδευμένας ἐν ἐλαίῳ, πλακοῦντάς τε ἀζύμων ἀληλειμμένων ἐν ἐλαίῳ, σεμιδάλεώς τε ἐξεζεσμένης, ψήττας δεδευμένας ἐν ἐλαίῳ. [13] ἐπὶ ψήτταις ἄρτον ὀξὺν προσοίσει τὴν προσφορὰν ἑαυτοῦ ἐπὶ τῇ θυσίᾳ τῆς ὁμολογίας τῶν εἰρηναίων αὐτοῦ. [14] προσοίσει τε ἀπ' αὐτοῦ ἓν ἀπὸ πάσης προσφορᾶς ὕψωμα τῷ ὀντωτῇ· τῷ ἱερεῖ τῷ ῥαίνοντι τὸ αἷμα τῶν εἰρηναίων, ἐκείνῳ τελέσει· [15] τό τε κρέας τῆς θυσίας τῆς ὁμολογίας τῶν εἰρηναίων αὐτοῦ, ἐν τῇ ἡμέρᾳ τῆς προσφορᾶς αὐτοῦ βρωθήσεται, οὐ παρήσει ἀπ' αὐτοῦ μέχρις ἕω. [16] κἂν ὑποσχέσεως ἢ ἐλευθεριότητος θυσία ἡ προσφορά οἱ, ἐν τῇ ἡμέρᾳ τοῦ προσενεγκεῖν αὐτὸν τὴν θυσίαν ἑαυτοῦ βρωθήσεται, καὶ ἀπὸ τῆς αὔριον καὶ τὸ περιλειφθὲν ἀπ' αὐτῆς βρωθήσεται· [17] τὸ μέντοι περιλειφθὲν ἀπὸ τοῦ κρέως τῆς θυσίας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἐν πυρὶ καυθήσεται. [18] ἢν δὲ τῷ βιβρώσκεσθαι βρωθῇ ἀπὸ τοῦ κρέως τῆς θυσίας τῶν εἰρηναίων αὐτοῦ, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ οὐ θεληθήσεται· τῷ προσφέροντι αὐτὸ, οὐ λογισθήσεταί οἱ· ἠλλοιωμένον τελέσει, καὶ ἡ ψυχὴ ἡ ἐσθίουσα ἀπ' αὐτοῦ, τὸ ἔγκλημα ἑαυτῆς ἀρεῖ. [19] τό τε κρέας ὅπερ ψαύσειεν ἐν ὁτῳοῦν μεμιασμένῳ οὐ βρωθήσεται, ἐν πυρὶ καυθήσεται· καὶ τὸ κρέας, πᾶς καθαρὸς ἔδεται κρέας. [20] ἡ μέντοι ψυχὴ ἣ φάγεται κρέας ἀπὸ θύματος

---

12. ἀληλειμμένων] sic cod. Cf. II, 4. Exod. XXIX, 2. σεμιδάλεώς τε ἐξεζεσμένην (non ἐξεσμένης ut ed.) cod. Nescio an praestiterit σεμίδαλίν τε ἐξεζεσμένην 16. αὐτὸν] αὐτὴν cod. ἀποτησαύριον cod. Cf. XIX, 6. XXIII, 11. 15. Prol. I, 4, d.

τῶν εἰρηναίων τῶν τοῦ ὀντωτοῦ, καὶ ὁ μιασμὸς αὐτοῦ ἐπ' αὐτοῦ, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ ταύτης λεώ. [21]ψυχή τε ἐπὰν ἅψηται οὑτινοσοῦν μεμιασμένου, ἐν μιασμῷ ἀνϑρώπου ἢ κτήνους μεμιασμένου ἢ οὑτινοσοῦν μύσους μεμιασμένου, καὶ φάγῃ ἀπὸ τοῦ κρέως τοῦ ϑύματος τῶν εἰρηναίων τῶν τῷ ὀντωτῇ, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ λεὼ ταύτης.

[22]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [23]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ὁτιοῦν στέαρ βοὸς, προβάτου τε καὶ αἰγὸς οὐκ ἔδεσϑε· [24]δημὸν δὲ νεκροῦ καὶ στέαρ ἡρπασμένου ποιηϑήσεται πάσῃ ἐργασίᾳ, τῷ μέντοι ἐσϑίειν οὐκ ἔδεσϑε αὐτό· [25]πᾶς γὰρ ἐσϑίων δημὸν ἀπὸ τοῦ κτήνους οὗ προσοίσει ἀπ' αὐτοῦ πυρίφλεκτον τῷ ὀντωτῇ, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ ἡ ἐσϑίουσα ἀπὸ τοῦ ταύτης λεώ. [26]καὶ ὁτιοῦν αἷμα οὐκ ἔδεσϑε ἐν πάσαις ταῖς καϑέδραις ὑμῶν, τοῦ πτηνοῦ καὶ τοῦ κτήνους· [27]πᾶσα ψυχὴ ἣ ἂν ἔδοιτο ὁτιοῦν αἷμα, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ ταύτης λεώ.
[28]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [29]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ὁ προσφέρων τὴν ϑυσίαν τῶν εἰρηναίων ἑαυτοῦ τῷ ὀντωτῇ, οἴσει τὴν προσφορὰν ἑαυτοῦ τῷ ὀντωτῇ ἀπὸ τῆς ϑυσίας τῶν εἰρηναίων ἑαυτοῦ· [30]αἱ χεῖρες αὐτοῦ οἴσουσι τὰ ἔμπυρα τοῦ ὀντωτοῦ· τὸ στέαρ ἐπὶ τοῦ στήϑους οἴσει αὐτό· τὸ στῆϑος, ὡς προσφέροι αὐτὸ προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ. [31]καὶ ϑυμιάσει ὁ ἱερεὺς τὸν δημὸν τὸ ϑυτήριον· τελέσει τε τὸ στῆϑος τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ, [32]τὴν δὲ κνήμην τὴν δεξιὰν δώσετε ὕψωμα τῷ ἱερεῖ ἀπὸ τῶν ϑυμάτων τῶν εἰρηναίων ὑμῶν· [33]ὁ προσφέρων τὸ αἷμα τῶν εἰρηναίων καὶ τὸ στέαρ πρὸς τῶν υἱῶν τοῦ ἀαρῶνος, ἐκείνῳ τελέσει ἡ κνήμη ἡ δεξιὰ εἰς μερίδα. [34]τὸ γὰρ στῆϑος τῆς προσφορᾶς καὶ τὴν κνήμην τῆς ἐπάρσεως ἔλαβον ἀπὸ τῶν υἱέων τοῦ ἰσραέλου πρὸς τῶν ἱερείων τῶν εἰρηναίων αὐτῶν, ἔδωκά τε ταῦτα τῷ ἀαρῶνι τῷ ἱερεῖ καὶ

---

20. ἀπὸ τοῦ ταύτης λεώ (מֵעַמֶּיהָ)] cf. Gen. XVII, 14. XXV, 8. Item v. 21. 25. 27. 25. προσοίκει rursus (cf. not. ad I, 3) vitiose cod. Recte jam ed. 31. τελέσει τε] τε ipsi addidimus invito codice. 32. ἡμῶν corr. ὑμῶν cod. 33. ἐκείνῳ] ἐκείνη cod. ἡ δεξιὰ cod. Ed. ἡ om. 34. αὐτῶν] αὐτῆς cod.

τοῖς υἱέσιν αὐτοῦ εἰς τύπον αἰῶνος πρὸς τῶν υἱέων τοῦ ἰσραέλου· [35]αὕτη ἡ χρίσις τοῦ ἀαρῶνος καὶ ἡ χρίσις τῶν υἱέων αὐτοῦ πρὸς τῶν πυριφλέκτων τοῦ ὀντωτοῦ, ἐν τῇ ἡμέρᾳ τοῦ προσφέρειν αὐτοὺς ὡς ἱερατεύοιεν τῷ ὀντωτῇ, [36]ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς διδόναι σφίσιν ἐν τῇ ἡμέρᾳ τοῦ χρίσαι ἑ σφᾶς πρὸς τῶν υἱέων τοῦ ἰσραέλου· τύπωσις αἰῶνος ταῖς γενεαῖς αὐτῶν. [37]οὗτος ὁ νόμος τῆς ἀναφορᾶς τοῦ μειλίγματος τῆς ϑ' ἁμαρτίας καὶ τῆς πλημμελείας τῶν τε πεπληρωμένων καὶ τῆς ϑυσίας τῶν εἰρηναίων, [38]ὃν ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ ἐν τῷ ὄρει τῶν ξινάων, ἐν τῇ ἡμέρᾳ τοῦ κελεύειν αὐτὸν τοὺς υἱεῖς ἰσραέλου προσφέρειν τὰς προσφορὰς ἑαυτῶν τῷ ὀντωτῇ ἐν τῇ ἐρήμῳ τῶν ξινάων.

VIII. [1]Διείλεκται γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]λάβε τὸν ἀαρῶνα τούς ϑ' υἱέας αὐτοῦ ξὺν αὐτῷ καὶ τὰ ἐνδύματα, τό τε μύρον τῆς χρίσεως καὶ τὸν ταῦρον τῆς ἁμαρτίας τώ τε δύο κριὼ καὶ τὸν κόφινον τῶν ἀζύμων· [3]ξύμπασάν τε τὴν συνάϑροισιν ἐκκλησίασον πρὸς τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [4]καὶ ἐποίησε μωσεὺς καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ· τοιγαροῦν ἐξεκλησιάσϑη τὸ ἄϑροισμα πρὸς τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ὅρου. [5]καὶ εἶπε μωσεὺς πρὸς τὸ ἄϑροισμα· οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτὴς ποιῆσαι. [6]προσήνεγκεν οὖν μωσεὺς τὸν ἀαρῶνα καὶ τοὺς υἱεῖς αὐτοῦ καὶ ἔλουσε σφᾶς ἐν ὕδατι, [7]καὶ ἔδωκεν ἐπ' αὐτοῦ τὸν χιτῶνα καὶ ἔζωσεν αὐτὸν ἐν ζώνῃ, περιέβαλέ τέ ἑ τὴν ἄμπυκα καὶ ἔδωκεν ἐπ' αὐτοῦ τὴν ἐπωμίδα, ἔζωσέ τέ ἑ κατὰ τὸν λογισμὸν τῆς ἐπωμίδος, ἐπωμίδωσέ τ' εἰς αὐτὸν ἐν αὐτῷ· [8]καὶ ἔϑηκεν ἐπ' αὐτοῦ τὸ ἐπιστηϑίδιον, ἔδωκέ τε πρὸς τὸ ἐπιστηϑίδιον τὴν φανέρωσιν καὶ τὴν τελειότητα· [9]καὶ ἔϑηκε τὸ κρήδεμνον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἔϑηκέ τ' ἐπὶ τοῦ κρηδέμνου πρὸς τὰ ἀντικρὺ τοῦ προσώπου οἱ τὸ πέταλον τὸ χρυσοῦν, στέφος τὸ ἅγιον, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [10]ἔλαβε δὲ

---

35. χρίσις] hoc accentu utitur. Cf. Exod. XXIX, 29. τοῦ προσφέρειν] הַקְרִיב pro הִקְרִיב (cf. v. 16). 36. χρίσαι, non χρῖσαι, cod. Cf. Prol. I, 4, c. 37. τὰς ϑυσίας cod. et ed.

VIII. 1. Διείλεκτο c. cd. ed. 4. ἐξεκκλησιάσϑη cod. Sed cf. Num. XVI, 3 etc. 7. κατὰ τὸν λογισμὸν (בְּחֵשֶׁב)] cf. Exod. XXIX, 5. 9. πρὸς τὸ ἀντ. c. cd. ed. πέτταλον cod.

μωσεὺς τὸ μύρον τῆς χρίσεως, ἔχρισέ τε τὸ οἰκητήριον καὶ ξύμπαντα τὰ ἐν αὐτῷ, καὶ ἡγίασεν αὐτά, [11]καὶ ἔρρανεν ἀπ' αὐτοῦ ἐπὶ τοῦ ϑυτηρίου ἑπτάκις, καὶ ἔχρισε τὸ ϑυτήριον καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ, τόν τε νιπτῆρα καὶ τὴν ἕδραν αὐτοῦ, ὡς ἁγιάσειεν αὐτά. [12]ἐκένωσε δ' ἀπὸ τοῦ μύρου τῆς χρίσεως ἐπὶ τῆς κεφαλῆς τοῦ ἀαρῶνος, καὶ ἔχρισεν αὐτὸν ὡς ἁγιάσειεν αὐτόν. [13]προσήγαγέ τε μωσεὺς τοὺς υἱεῖς τοῦ ἀαρῶνος καὶ περιέβαλε σφᾶς χιτῶνας, ἔζωσέ τε σφᾶς γλουτόζωσμα καὶ περιέδησε σφίσι κράνη, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [14]προσήνεγκεν οὖν τὸν ταῦρον τῆς ἁμαρτίας, καὶ ἤρεισεν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς κεφαλῆς τοῦ ταύρου τῆς ἁμαρτίας· [15]ἔϑυσέ τε, καὶ ἔλαβε μωσεὺς τὸ αἷμα καὶ ἔδωκεν ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου κύκλῳ ἐν τῷ δακτύλῳ αὐτοῦ, καὶ ἡμαρτίωσε τὸ ϑυτήριον· τὸ δ' αἷμα ἐκένωσε πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου, ἡγίασέ τε αὐτὸ ὡς παραιτήσαιτο ἐπ' αὐτοῦ. [16]καὶ ἔλαβε ξύμπαν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντὸς καὶ τὸ περιττεῦον τοῦ ἥπατος, τώ τε δύο νεφρὼ καὶ τὸν δημὸν αὐτοῖν, καὶ ἐϑυμίασε μωσεὺς τὸ ϑυτήριον· [17]τὸν μέντοι ταῦρον τό τε δέρμα οἱ τό τε κρέας αὐτοῦ καὶ τὴν ὄνϑον αὐτοῦ ἔκαυσεν ἐν πυρὶ ἔξωϑεν τοῦ στρατοπέδου, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· [18]προσήνεγκέ τε τὸν κριὸν τῆς ἀναφορᾶς, καὶ ἤρεισαν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας ἑαυτῶν ἐπὶ τῆς κεφαλῆς τοῦ κριοῦ. [19]καὶ ἱέρευσεν, ἔρρανέ τε μωσεὺς τὸ αἷμα ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ· [20]τὸν δὲ κριὸν ἐμελούργησεν ἐς τὰ μέλη αὐτοῦ, καὶ ἐϑυμίασε μωσεὺς τὴν κεφαλὴν τά τε μέλη καὶ τὸ λῖπος, [21]τὰ δὲ ἐντὸς καὶ τὰ σκέλη ἔπλυνεν ἐν ὕδατι· καὶ ἐϑυμίασε μωσεὺς ὅλον τὸν κριὸν τὸ ϑυτήριον· ἀναφορά ἐστιν ἐς ὀδμὴν ἀναπαύματος, πυρίφλεκτόν ἐστι τῷ ὀντωτῇ, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [22]προσήνεγκέ τε τὸν κριὸν τὸν δεύτερον, τὸν κριὸν τῆς πληρώσεως· καὶ ἤρεισαν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ τὰς χεῖρας ἑαυτῶν

---

11. ἀπ' αὐτοῦ (מִמֶּנּוּ)] ἐπ' αὐτοῦ cod. et ed. 14. αὐτῶν] αὐτῆς cod. et ed. 15. αὐτοῦ (1)] αὐτοῦ invito codice ed. Cf. not. ad Gen. XXXIV, 5. παραιτήσετο cod. et ed. Cf. Num. VIII, 12. XV, 28 cet. 16. τὸ ϑυτήριον] הַמִּזְבֵּחַ pro הַמִּזְבֵּחָה codd. Kenn. 9 et 152. Cf. not. ad I, 9. 20. λῖπος] sic cod. Cf. III, 3. 21. τὸ ϑυτήριον] הַמִּזְבֵּחַ cod. Kenn. 152. 22. αὐτῶν corr. ἑαυτῶν (non αὐτῶν ut ed.) cod.

ἐπὶ τῆς κεφαλῆς τοῦ κριοῦ. [23]καὶ ἱέρευσεν, ἔλαβέ τε μωσεὺς ἀπὸ τοῦ αἵματος αὐτοῦ καὶ ἔδωκεν ἐπὶ τοῦ λοβου τοῦ ὠτὸς ἀαρῶνος τοῦ δεξιοῦ καὶ ἐπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς καὶ ἐπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ. [24]προσήγγισέ τε τοὺς υἱεῖς ἀαρῶνος καὶ ἔδωκε μωσεὺς πρὸς τοῦ αἵματος ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς σφῶν τοῦ δεξιοῦ κἀπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς σφῶν τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς σφῶν τοῦ δεξιοῦ; ἔρρανέ τε μωσεὺς τὸ αἷμα ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ, [25]καὶ ἔλαβε τὸν δημὸν καὶ τὴν κέρκον, ξύμπαν τε τὸ στέαρ τὸ ἐπὶ τοῦ ἐντὸς καὶ τὸ περιττεῦον τοῦ ἥπατος, τώ τε δύο νεφρὼ καὶ τὰ στέατα σφῶν καὶ τὴν κνήμην τὴν δεξιάν· [26]ἀπό τε τοῦ κοφίνου τῶν ἀζύμων τῶν ἐνώπιον τοῦ ὀντωτοῦ ἔλαβε ψῆτταν ἄζυμον μίαν ψῆττάν τε ἄρτου ἐλαίου μίαν καὶ πλακοῦντα ἕνα· ἔϑηκεν οὖν ἐπὶ τῶν στεάτων κἀπὶ τῆς κνήμης τῆς δεξιᾶς, [27]ἔδωκέ τε ξύμπαντα ἐπὶ ταῖν παλάμαιν τοῦ ἀαρῶνος κἀπὶ ταῖς παλάμαις τῶν υἱέων αὐτοῦ, προσήνεγκέ τ' αὐτὰ προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ. [28]καὶ ἔλαβε μωσεὺς ταῦτα ἄνωϑεν τῶν παλαμῶν αὐτῶν καὶ ἐϑυμίασε τὸ ϑυτήριον ἐπὶ τῆς ἀναφορᾶς· πλήρωσίς εἰσιν ἐς ὀδμὴν ἀναπαύσεως, πυρίφλεκτόν ἐστι τῷ ὀντωτῇ. [29]καὶ ἔλαβε μωσεὺς τὸ στῆϑος καὶ προσήνεγκε προσφορὰν αὐτὸ ἐνώπιον τοῦ ὀντωτοῦ· πρὸς τοῦ κριοῦ τῆς πληρώσεως τῷ μωσεῖ ἐτέλεσεν εἰς μερίδα, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [30]καὶ ἔλαβε μωσεὺς ἀπὸ τοῦ μύρου τῆς χρίσεως κἀπὸ τοῦ αἵματος τοῦ ἐπὶ τοῦ ϑυτηρίου, ἔρρανέ τ' ἐπ' ἀαρῶνος κἀπὶ τῶν ἐνδυμάτων αὐτοῦ, ἐπί τε τῶν υἱέων αὐτοῦ κἀπὶ τῶν ἱματίων τῶν υἱέων αὐτοῦ ξὺν αὐτῷ· καὶ ἡγίασε τὸν ἀαρῶνα, τὰ ἐνδύματά οἱ, τούς ϑ' υἱέας αὐτοῦ καὶ τὰ ἐνδύματα τῶν υἱέων αὐτοῦ ξὺν αὐτῷ. [31]καὶ εἶπε μωσεὺς πρὸς ἀαρῶνα καὶ πρὸς τοὺς υἱέας αὐτοῦ· μιστύλλατε τὸ κρέας ἐν τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ, κἀκεῖ ἔδεσϑε αὐτὸ καὶ τὸν ἄρτον τὸν ἐν τῷ ταλάρῳ τῆς πληρώσεως, καϑάπερ ἐκέλευσα τῷ φάναι· ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ ἔδονται αὐτό·

---

24. τοῦ ὠτὸς σφῶν] σφῶν ipsi addidimus (אָזְנָם). 28. πλήρωσίς εἰσιν] conjecerit quispiam πληρώσεις εἰσὶν legendum esse. Sed obstat quod et alibi מִלֻּאִים singulariter reddit. Cf. v. 31. 33. Exod. XXIX, 22. 26 sqq. 30. κἀπὶ (2)] τε invito codice add. ed. 31. ταλάρῳ] πελάρῳ cod. (cf. Exod. XXIX, 3. 32). Emendationem Amm. praeivit.

[32]τὸ δὲ περιλειφθὲν ἐν τῷ κρέατι κἀν τῷ ἄρτῳ ἐν πυρὶ πρήσετε. [33]κἀπὸ τοῦ πυλῶνος τῆς σκηνῆς τοῦ ξυναγμοῦ οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέραις, ἄχρι τῆς ἡμέρας τοῦ πληρωθῆναι τὰς ἡμέρας τῆς πληρώσεως ὑμῶν· ἑπτὰ γὰρ ἡμέραις πληρώσει τὴν χεῖρα ὑμῶν· [34]καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ τῇδί, προσέταξεν ὁ ὀντωτὴς ποιῆσαι ὥστε παραιτήσασθαι ἐφ' ὑμῖν. [35]τῷ πυλῶνί τε τῆς σκηνῆς τοῦ ξυναγμοῦ καθεδεῖσθε ἡμέρας καὶ νυκτὸς ἑπτὰ ἡμέραις· τοίνυν φυλάξετε τὸ φύλαγμα τοῦ ὀντωτοῦ, καὶ οὐ τεθνήξεσθε· τῇδε γὰρ κεκέλευσμαι. [36]τοιγαροῦν ἐποίησεν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ ξύμπαντας τοὺς λόγους οὓς ἐκέλευσεν ὁ ὀντωτὴς διὰ μωσέως.

[1]Ὑπῆρξε δ' ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐβόησε μωσεὺς τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ, τοῖς γέρουσί τε τοῦ ἰσραέλου, [2]καὶ ἔφη πρὸς ἀαρῶνα· λάβε σαυτῷ μόσχον υἱὸν βουκολίου εἰς ἁμαρτίαν καὶ κριὸν εἰς ἀναφορὰν, προσάγαγέ τε ἐνώπιον τοῦ ὀντωτοῦ· [3]πρὸς μέντοι τοὺς υἱέας τοῦ ἰσραέλου διαλέξῃ τῷ φάσκειν· λάβετε χίμαρον αἰγῶν εἰς ἁμαρτίαν, μόσχον τε καὶ πρόβατον, υἱῷ ἐνιαυτῷ τελείῳ, εἰς ἀναφορὰν, [4]βοῦν τε καὶ κριὸν εἰς εἰρηναῖα ὥσθ' ἱερεῦσαι ἐπίπροσθεν τοῦ ὀντωτοῦ, καὶ μεῖλιγμα τεταραγμένον ἐν ἐλαίῳ· σήμερον γὰρ ὁ ὀντωτὴς φαίνεται πρὸς ὑμᾶς. [5]ἔλαβον οὖν ἅτταπερ ἐκέλευσεν ὁ μωσεὺς πρὸς πρόσωπον τῆς σκηνῆς τοῦ ξυναγμοῦ, προσήνεγκάν τε πᾶσα ἡ ἄθροισις, ἔστησάν τε πρὸ προσώπου τοῦ ὀντωτοῦ. [6]καὶ ἔφη μωσεύς· τοῦτον τὸν λόγον ὃν ἐκέλευσεν ὁ ὀντωτὴς ποιήσετε, καὶ ὀφθήσεται πρὸς ὑμᾶς ἡ δόξα τοῦ ὀντωτοῦ. [7]τοίνυν ἔφη μωσεὺς πρὸς ἀαρῶνα· ἔγγισον πρὸς τὸ θυτήριον καὶ ποίησον τὴν ἁμαρτίαν σου καὶ τὴν ἀναφοράν σου, παραίτησαί τε χάριν σαυτοῦ καὶ χάριν τοῦ λεώ· ποίησόν τε τὴν προσφορὰν τοῦ λεὼ, παραίτησαί τε ὑπὲρ αὐτῶν, καθάπερ ἐκέλευσεν ὁ ὀντωτής. [8]ἤγγισεν οὖν ἀαρὼν πρὸς τὸ θυτήριον, ἔθυσέ τε τὸν μόσχον τῆς ἁμαρτίας τὸν αὐτῷ· [9]καὶ προσήνεγκαν οἱ υἱεῖς ἀαρῶνος τὸ

IX. (μερίς)

IX. 3. υἱῷ ἐνι. τελείῳ perperam cod. 4. τεταραγμένον cod., non τετραγμένον ut ed. 5. ἀττάπερ (fort. ἅττά περ; cf. Prol. I, 4, b) hic et saepius librarius. προσήνεγκαν] וַיַּקְרִבוּ (cf. v. 9) pro וַיִּקְרְבוּ. Nisi forte προσήνεγκαν corruptum ex προσήγγισαν (cf. VIII, 24). 7. αὐτῶν] αὐτῆς cod. et ed. 8. αὐτῷ c. cd. ed. itemque v. 24 αὐτῶν (pro αὐτῶν).

αἷμα πρὸς αὐτὸν, ἐβάπτισέ τε τὸν δάκτυλον ἑαυτοῦ ἐν τῷ αἵματι καὶ ἔδωκεν ἐπὶ τῶν κερῶν τοῦ ϑυτηρίου, τὸ δ' αἷμα ἐκένωσε πρὸς τῷ ϑεμέϑλῳ τοῦ ϑυτηρίου· [10]τὸ μέντοι στέαρ καὶ τοὺς νεφροὺς καὶ τὸ περιττεῦον ἀπὸ τοῦ ἥπατος ἀπὸ τῆς ἁμαρτίας ἐϑυμίασε τὸ ϑυτήριον, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· [11]τὸ κρέας δὲ καὶ τὸ δέρμα κατέπρησεν ἐν πυρὶ ϑύραϑεν τοῦ στρατοπέδου. [12]ἱέρευσέ τε τὴν ἀναφοράν· ἡτοίμασάν ϑ' οἱ υἱεῖς τοῦ ἀαρῶνος πρὸς αὐτὸν τὸ αἷμα, καὶ ἔρρανεν αὐτὸ ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ· [13]τὴν δ' ἀναφορὰν ἡτοίμασαν πρὸς αὐτὸν εἰς τὰ μέλη αὐτῆς καὶ τὴν κεφαλὴν, ἐϑυμίασέ τ' ἐπὶ τοῦ ϑυτηρίου· [14]καὶ ἔπλυνε τὰ ἐντὸς καὶ τὰ σκέλη, καὶ ἐϑυμίασεν ἐπὶ τῆς ἀναφορᾶς τὸ ϑυτήριον· [15]προσήνεγκέ τε τὴν προσφορὰν τοῦ λεώ· καὶ ἔλαβε τὸν χίμαρον τῆς ἁμαρτίας τὸν τοῦ λεὼ, καὶ ἔϑυσεν αὐτὸν, ἡμαρτίωσέ τε κατὰ τὸν πρῶτον. [16]καὶ προσήνεγκε τὴν ἀναφορὰν, ἐποίησέ τε κατὰ κρίσιν· [17]προσήνεγκέ τε τὸ μείλιγμα, καὶ ἔπλησε τὴν παλάμην ἑαυτοῦ ἀπ' αὐτοῦ, ἐϑυμίασέ τ' ἐπὶ τοῦ ϑυτηρίου, χωρὶς τῆς ἀναφορᾶς τῆς ἕω. [18]καὶ ἔϑυσε τὸν βοῦν καὶ τὸν κριὸν, τὴν ϑυσίαν τῶν εἰρηναίων τὴν τοῦ λεώ· ἡτοίμασάν τε οἱ υἱεῖς ἀαρῶνος τὸ αἷμα πρὸς αὐτὸν, ἔρρανέ τε αὐτὸ ἐπὶ τοῦ ϑυτηρίου κύκλῳ· [19]καὶ τὰ στέατα πρὸς τοῦ βοὸς καὶ πρὸς τοῦ κριοῦ, τὴν κέρκον τό τε καλύπτον καὶ τοὺς νεφροὺς καὶ τὸ περιττεῦον τοῦ ἥπατος· [20]ἔϑηκαν δὲ τὰ στέατα ἐπὶ τῶν στηϑῶν, καὶ ἐϑυμίασε τὰ στέατα τὸ ϑυτήριον· [21]τὰ μέντοι στέρνα καὶ τὴν κνήμην τὴν δεξιὰν ἤνεγκεν ἀαρὼν προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ, καϑάπερ ἐκέλευσε μωσεύς. [22]ἐπῆρε δ' ἀαρὼν τὼ χεῖρέ οἱ πρὸς τὸν λεὼν εὐλόγησέ τε σφᾶς, καὶ κατέβη πρὸς τοῦ ποιεῖν τὴν ἁμαρτίαν τήν τ' ἀναφορὰν καὶ τὰ εἰρηναῖα. [23]παρεγένετο δὲ μωσεὺς καὶ ἀαρὼν πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, ἐξηλϑέτην τε καὶ εὐλογησάτην τὸν λεών· ὤφϑη δὲ δόξα τοῦ ὀντωτοῦ πρὸς ἅπαντα τὸν λεών· [24]ἐξῆλϑέ τε πῦρ ἀπέμπροσϑεν τοῦ ὀντωτοῦ καὶ βέβρωκεν ἐπὶ τοῦ ϑυτηρίου τὴν ἀναφορὰν καὶ τὰ στέατα· ἤϑρησέ τε πᾶς ὁ λεὼς, ἠλάλαξάν τε καὶ ἔπεσον ἐπὶ τῶν προσώ-

---

15. ἡμαρτίωσέ τε] excidit ἕ vel αὐτὸν (וַיְחַטְּאֵהוּ). **16.** ἐποίησέ τε] rursus pronomen deest (וַיַּעֲשֶׂהָ). Cf. Prol. II, 2, f. **17.** ἀπ' αὐτοῦ] ἀπ' αὐτῆς cod. τοῦ ἕω c. cd. ed. **24.** ἀπ' ἔμπροσϑεν cod. et ed. Cf. X, 2. XXII, 3. Exod. XXXV, 20 cet.

πων αὐτῶν. [1]ἐλαβέτην δὲ τὼ υἱὼ τοῦ ἀαρῶνος ναδάβης καὶ X. ἀβιοῦς ἑκάτερος τὸ θυμιατήριον ἑαυτοῦ καὶ ἔδοσαν ἐν αὐτοῖν πῦρ, ἔθεσάν τ' ἐπ' αὐτοῦ θυμίαμα, καὶ προσήνεγκαν ἐνώπιον τοῦ ὀντωτοῦ πῦρ ἀλλότριον ὅπερ οὐ προσέταξε σφίσιν. [2]ἐξῆλθεν οὖν πῦρ ἀπέμπροσθεν τοῦ ὀντωτοῦ καὶ ἔφαγε σφωέ, καὶ ἀπεθανέτην ἐπίπροσθεν τοῦ ὀντωτοῦ. [3]τοίνυν ἔφη μωσεὺς πρὸς ἀαρῶνα· ἐκεῖνο ὅπερ διείλεκται ὁ ὀντωτὴς τῷ φάναι· ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι καὶ ἐπὶ προσώπου παντὸς τοῦ λεὼ δοξασθήσομαι· τοιγαροῦν ἐσίγησεν ἀαρών. [4]ἐβόησε δὲ μωσεὺς πρὸς μισαέλον καὶ πρὸς ἐλσαφᾶνα τὼ υἱὼ τοῦ οὐζιέλου τοῦ πάτρωος ἀαρῶνος, ἔφη τε πρὸς αὐτούς· ἐγγίσατε ἄρατε τὼ ἀδελφὼ σφῷν ἀπὸ τοῦ προσώπου τοῦ ἁγίου πρὸς τὰ θύραθεν τοῦ στρατοπέδου. [5]τοίνυν ἠγγισάτην ἠράτην τε σφωὲ ἐν τοῖς χιτῶσιν ἑαυτοῖν πρὸς τὰ θύραθεν τοῦ στρατοπέδου, καθάπερ διείλεκται μωσεύς. [6]ἔφη τε μωσεὺς πρὸς ἀαρῶνα, πρὸς ἐλαζάρην τε καὶ πρὸς ἠθαμάρην τὼ υἱώ οἱ· τὰς κεφαλὰς ὑμῶν μὴ ἀποσκεπάσητε τά τ' ἐνδύμαθ' ὑμῶν οὐ ῥήξετε, καὶ οὐ τεθνήξεσθε, ἐπὶ πᾶσάν τε τὴν συνάθροισιν ὀργιεῖται· τὼ μέντοι ἀδελφὼ ὑμῶν, πᾶς ὁ οἶκος τοῦ ἰσραέλου κλαύσονται τὴν καῦσιν ἣν ἔκαυσεν ὁ ὀντωτής. [7]κἀπὸ τοῦ πυλῶνος τῆς σκηνῆς τοῦ ξυναγμοῦ οὐκ ἐξελεύσεσθε, μήπως ἀποθάνητε· μύρον γὰρ χρίσεως τοῦ ὀντωτοῦ ἐφ' ὑμῶν. ἐποίησαν οὖν κατὰ τὸν λόγον τοῦ μωσέως.

°[8]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς τὸν ἀαρῶνα τῷ φάναι· [9]οἶνον καὶ συρμαίαν μὴ πίῃς σὺ καὶ οἱ υἱεῖς σου ξὺν σοὶ ἐπὰν ἀφικνοῖσθε πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, καὶ οὐ τεθνήξεσθε· τύπος αἰῶνος ταῖς γενεαῖς ὑμῶν· [10]καὶ ὥστε διαστέλλειν ἀνὰ τὸ ἅγιον κἀνὰ τὸ βέβηλον, ἀνά τε τὸ μεμιασμένον κἀνὰ τὸ καθαρόν, [11]διδάσκειν τε τοὺς υἱεῖς τοῦ ἰσραέλου ξύμπαντας τοὺς τύπους οὓς διείλεκται ὁ ὀντωτὴς πρὸς αὐτοὺς διὰ τοῦ μωσέως.

[12]Διείλεκται δὲ μωσεὺς πρὸς ἀαρῶνα, πρός θ' ἐλαζάρην καὶ πρὸς ἠθαμάρην τὼ υἱὼ αὐτοῦ τὼ περιλειφθέντε· λάβετε τὸ μείλιγμα

X. 2. σφῶε cod. et ed. itemque v. 5. Cf. XV, 14 sq. 3. δοξασθήσομαι aperte cod., non δραξασθήσομαι ut ed. Quod vocabuli monstrum mireris etiam in indicem vocab. poet. etc. ab Ammonio esse receptum. 4. πατρῶος cod. et ed. 6. ἠθαμάρον (hoc accentu) cod. et ed. Cf. v. 12. 16 cet. ῥήξετε] nescio qua ratione ῥήξητε ed. 7. ἐποίησεν cod. et ed.

τὸ περιλειφθὲν ἀπὸ τῶν ἐμπύρων τοῦ ὀντωτοῦ, καὶ φάγετε αὐτὸ ἄζυμα παρὰ τῷ θυτηρίῳ· ἅγιον γὰρ ἁγίων ἐστίν. [13] ἔδεσθέ τ' αὐτὸ ἐν χώρῳ ἁγίῳ· τύπος γάρ σοι καὶ τύπος τοῖς υἱέσι σού ἐστιν ἀπὸ τῶν πυριφλέκτων τοῦ ὀντωτοῦ· τῇδε γὰρ κεκέλευσμαι. [14] τὸ μέντοι στῆθος τῆς ὑψώσεως καὶ τὴν κνήμην τῆς ἄρσεως ἔδεσθε ἐν χώρῳ καθαρῷ, σὺ καὶ οἱ υἱεῖς σου καὶ αἱ θυγατέρες σου ξὺν σοί· τύπος γάρ σοι καὶ τύπος τοῖς υἱέσι σου δέδονται ἀπὸ τῶν θυμάτων τῶν εἰρηναίων τῶν υἱέων τοῦ ἰσραέλου. [15] ἡ κνήμη τῆς ἄρσεως καὶ τὸ στῆθος τῆς ὑψώσεως, ἐπὶ τῶν ἐμπύρων τῶν στεάτων οἴσουσιν ὡς προσενεγκεῖν προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ· τελέσει μέντοι σοὶ τοῖς θ' υἱέσι σου ξὺν σοὶ εἰς τύπον αἰῶνος, καθὰ προσέταξεν ὁ ὀντωτής. [16] τὸν δὲ χίμαρον τῆς ἁμαρτίας τῷ ζητεῖν ἐζήτησε μωσεύς, καὶ ἰδοὺ κέκαυται. τοιγαροῦν ὤργισται πρὸς ἐλαζάρην καὶ ἐπὶ ἠθαμάρῃ τοῖν υἱέοιν τοῦ ἀαρῶνος τοῖν περιλειφθέντοιν τῷ φάναι· [17] τοῦ χάριν οὐ βεβρώκατε τὴν ἁμαρτίαν ἐν χώρῳ τοῦ ἁγίου; ἐπεὶ ἅγιον ἁγίων ἐστί, καὶ ταύτην ἔδωκεν ὑμῖν ὥστ' αἴρειν τὸ ἔγκλημα τοῦ ἀθροίσματος, ὥστε παραιτεῖσθαι ἐπ' αὐτοῖς ἐπίπροσθεν τοῦ ὀντωτοῦ. [18] θεῶ οὐκ ἐνήνεκται τὸ αἷμα ταύτης πρὸς τὸ ἅγιον ἔσω· τῷ ἐσθίειν ἔδεσθε ταύτην ἐν τῷ ἁγίῳ καθάπερ ἐκέλευσα. [19] διείλεκται δ' ἀαρὼν πρὸς μωσέα· αὐτίκα τήμερον προσήνεγκαν τὴν ἁμαρτίαν σφῶν καὶ τὴν ἀναφορὰν σφῶν ἐπίπροσθεν τοῦ ὀντωτοῦ, καὶ συνέβησάν μοι κατατάδε· βέβρωκά τε τὴν ἁμαρτίαν τήμερον, ἆρ' ἀγαθύνοι ἐν ὄμμασι τοῦ ὀντωτοῦ; [20] τοίνυν ἤκουσε μωσεύς, ἠγάθυνέ τε ἐν ὄμμασίν οἱ.

XI. [1] Καὶ διείλεκται ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι πρὸς αὐτώ· [2] διείλεχθε πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· τουτὶ τὸ ζῶον ὅπερ ἔδεσθε πρὸς παντὸς κτήνους τοῦ ἐπὶ τῆς γῆς· [3] πᾶν ὀπλοῦν ὀπλὴν διχάζον τε δίχασμα ὀπλῶν, ἀνάγον μηρυκημὸν ἐν κτήνει, ἐκεῖνο φάγεσθε. [4] μόνον τοδὶ οὐ φάγεσθε πρὸς τῶν ἀναγόντων τὸν μηρυκημὸν καὶ πρὸς τῶν ὀπλούντων τὴν ὀπλήν· τὴν κάμηλον, ὅτι ἀνάγει μηρυκημὸν ἐκείνη, ὀπλὴν δὲ

---

16. πρὸς ἐλαζάρην (ἐλ. cod.)] quasi אֶל־אֶלְעָזָר (cf. Jos. XXII, 18) scriptum esset, non עַל־אֶל 19. κατατάδε] codicis scripturam servavimus. Cf. Num. XXVIII, 24. Prol. I, 4, d.

XI. 3 sqq. ὀπλοῦν ὀπλὴν κτλ.] sic, spiritu leni, cod. Cf. Prol. I, 4, c. διχάζων cod. et ed. 4. τὸν μηρυκημὸν] τοῦ μηρυκημὸν cod. et ed.

ἥκιστα τυγχάνει ὁπλοῦσα· μιαρά ἐστιν ὑμῖν· [5]τόν τ' ἐχῖνον, ἀνάγει γὰρ μηρυκημὸν ἐκεῖνος, ὁπλὴν μέντοι οὐκ ὁπλοῖ· μιαρός ἐστιν ὑμῖν· [6]καὶ τὸν λαγωὸν, ὅτι ἀνάγων μηρυκημὸν τυγχάνει καὶ ὁπλὴν οὐκ ὁπλοῖ· μιαρός ἐστιν ὑμῖν· [7]τόν τε χοῖρον, ὅτι ὁπλῶν ὁπλὴν τυγχάνει, διχάζων τε διχασμὸν ὁπλῆς, ἀλλ' ἐκεῖνος μηρυκημὸν οὐ μηρυκᾶται, μιαρός ἐστιν ὑμῖν. [8]ἀπὸ τοῦ κρέως σφῶν οὐκ ἔδεσθε, νεκροῦ σφῶν οὐχ ἅψεσθε· μιαρά εἰσιν ὑμῖν. [9]τοῦτο ἔδεσθε πρὸς πάντων τῶν ἐν ὕδασι· πάνθ' ἅπερ ἔχει πτερύγιον καὶ λεπίδα ἐν τοῖς ὕδασιν, ἐν ταῖς θαλάτταις κἀν τοῖς χειμάρροις, ταῦτα ἔδεσθε. [10]πᾶν δ' ὅπερ οὐκ ἔχει πτερύγιον καὶ λεπίδα ἐν ταῖς θαλάτταις κἀν τοῖς χειμάρροις, ἀπὸ παντὸς βρύματος τῶν ὑδάτων καὶ ἀπὸ πάσης ψυχῆς τοῦ ζώου τοῦ ἐν τοῖς ὕδασι, μύσαγμά εἰσιν ὑμῖν, [11]μύσαγμά τε τελέσουσιν ὑμῖν· πρὸς τοῦ κρέως σφῶν οὐκ ἔδεσθε καὶ τὸν νεκρὸν αὐτῶν μυσάξεσθε. [12]πᾶν ὅπερ οὐκ ἔχει πτερύγιον καὶ λεπίδα ἐν τοῖς ὕδασι, μύσος ἐστὶν ὑμῖν. [13]ταυτὶ δὲ μυσάξεσθε πρὸς τοῦ πτηνοῦ, οὐ βρωθήσονται, μύσος εἰσί· τὸν ἀετὸν τόν θ' ἁλιαίετον καὶ τὸν γύπα, [14]τήν τε ἴβιν καὶ τὸν κολοιὸν πρὸς εἶδος αὐτοῦ, [15]ξύμπαντα κόρακα πρὸς εἶδος ἑαυτοῦ, [16]καὶ τὴν θυγατέρα τῆς σειρῆνος τόν τε νυκτικόρακα τόν τε κέπφον καὶ τὸν ἱέρακα ἐς εἶδος ἑαυτοῦ, [17]τόν τε πορφυρίωνα καὶ τὸν καταρράκτην καὶ τὸν ἐφιάλτην, [18]τήν τε γλαῦκα καὶ τὸν πελεκᾶνα, τὴν κορώνην, [19]τόν τ' ἐρωδιὸν καὶ τὴν θυμοτρίδα πρὸς εἶδος αὐτῆς, τήν τ' ἀγριαλεκτορίδα καὶ τὴν νυκτερίδα. [20]πᾶν βρύμα τοῦ πτηνοῦ τὸ βαδίζον ἐπὶ τεττάρων, μύσος ἐστὶν ὑμῖν. [21]μόνον τόδε ἔδεσθε πρὸς παντὸς βρύματος τοῦ πτηνοῦ τοῦ βαδίζοντος ἐπὶ τεττάρων, ὅπερ ἔχει σκέλη ἄνωθεν τῶν ποδῶν αὐτοῦ ὡς ἅλλοιτο ἐν αὐτοῖς ἐπὶ τῆς

---

7. ὁπλῶν] ὁπληῶν satis corrupte cod. Emendationem Amm. praeivit. μηρυκεῖται (μυριχ. corrupte ed.) cod. Saepius α et ει a librario confunduntur (Prol. I, 3, a). Cf. Deut. XIV, 8. 8. οὐκ ἔδεσθε] μιαρ add. cod. Recte Amm. (in nota ad v. 7): „Delapsus erat librarius post ἔδεσθε statim ad μιαρά εἰσιν ὑμῖν: repente autem intellecto errore repressit calamum, ita, ut verba praetermissa quidem interponeret, neque tamen propterea errorem tolleret". 14. ἴβιν, non ἶβιν, cod. 18. τόν τε γλαῦκα c. cd. ed. πελέκανον corr. πελεκάνα (sic) cod. 19. αὐτῆς cod., non αὐτοῦ ut ed. ἀγριαλεκτορίδα] ἀγρίαν λεκτορίδα cod. et ed. Cf. Deut. XIV, 18. 20. τοῦ βαδίζοντα cod.

γῆς. [22]ταῦτα πρὸς αὐτῶν ἔδεσϑε· τὴν ἀκρίδα πρὸς εἶδος αὐτῆς καὶ τὸν πάρνοπα πρὸς εἶδος αὐτοῦ, τόν τ' ἀττέλαβον πρὸς εἶδος αὐτοῦ καὶ τὸν ὀφιομάχην πρὸς εἶδος αὐτοῦ. [23]ξύμπαν τε βρύμα τοῦ πτηνοῦ ὅπερ ἔχει τέτταρας πόδας, μύσαγμά ἐστιν ὑμῖν.

[24]Καὶ τούτοις μιανεῖσϑε· πᾶς ὁ ἀπτόμενος τοῦ νεκροῦ σφῶν μιανεῖται μέχρι τῆς ἑσπέρας, [25]πᾶς ϑ' ὁ αἴρων πρὸς νεκροῦ σφῶν πλυνεῖ τὰ ἐνδύματά οἱ καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας. [26]παντὶ τῷ κτήνει ὅπερ τυγχάνει ὁπλοῦν ὁπλὴν καὶ δίχασμα οὐκ ἔστι διχάζον, μηρυκημόν τε οὐκ ἔστιν ἀνάγον, μιαρά εἰσιν ὑμῖν· πᾶς ὁ ϑίγων αὐτῶν μιανεῖται· [27]πᾶν τε βαδίζον ἐπὶ ταῖν παλάμαιν ἑαυτοῦ ἐν παντὶ τῷ ζώῳ τῷ βαδίζοντι ἐπὶ τεττάρων, μιάσματά εἰσιν ὑμῖν· πᾶς ὁ ἀπτόμενος τοῦ νεκροῦ σφῶν μιανεῖται μέχρι τῆς ἑσπέρας, [28]ὅ τ' αἴρων τὸν νεκρὸν σφῶν πλυνεῖ τὰ ἐνδύματά οἱ καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· μιάσματά εἰσιν ὑμῖν.

[29]Τουτί ϑ' ὑμῖν τὸ μεμιασμένον ἐν τῷ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς γῆς· ἡ μυγάλη ὅ τε μῦς καὶ ὁ αἴλουρος ἐς εἶδος αὐτοῦ, [30]ὁ χαμαιλέων τε καὶ ἡ σαῦρα ἥ τε σκολόπενδρα καὶ ὁ φερέοικος καὶ ὁ ἀσπάλαγξ. [31]ταῦτα τὰ μεμιασμένα ὑμῖν ἐν παντὶ τῷ ἑρπετῷ· πᾶς ὁ ψαύων αὐτῶν ἐν τῷ ϑνήσκειν αὐτὰ μιανεῖται μέχρις ἑσπέρας, [32]πᾶς ϑ' ᾧ πέσοι ἐπ' αὐτοῦ πρὸς αὐτῶν ἐν τῷ τεϑνάναι ταῦτα μιανεῖται, ἐν παντὶ σκεύει ξύλου ἢ ἱματίῳ ἢ δέρματι ἢ σάκκῳ· πᾶν σκεῦος οἷς ποιηϑήσεται ἐργασία ἐν αὐτοῖς, εἰς ὕδωρ ἐλεύσεται καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας, καὶ καϑαρϑήσεται· [33]πᾶν τε σκεῦος ὀστράκου ᾧ πεσεῖται πρὸς αὐτῶν πρὸς τὸ μέσον αὐτοῦ, πᾶν τὸ μέσον αὐτοῦ μιανεῖται, κἀκεῖνο ϑραύσετε. [34]ἀπὸ παντὸς βρώματος ὃ βρωϑείη, ᾧ ἐλεύσεται ἐπ' αὐτοῦ ὕδωρ, μιανεῖται· πᾶν τε ποτὸν ὃ ποϑείη ἐν ὁτῳοῦν σκεύει μιανεῖται· [35]καὶ πᾶν ᾧπερ πεσεῖται πρὸς τοῦ νεκροῦ σφῶν ἐπ' αὐτοῦ μιανεῖται· κλίβανος καὶ ἐσχαρώματα καϑαιρεϑήσονται· τελοῦσι μιαρά, μιαρὰ τελέσουσιν ὑμῖν· [36]πλὴν πηγὴ καὶ λάκκος,

---

22. αὐτῆς] αὐτῶν cod. et ed. **30.** ἀσπάλαγξ] codicis scripturam servavimus. **32.** ἐν παντὶ] בְּכָל־ (ita cod. Kenn. 132) pro מִכָּל־ t. rec. ἐλεύσεται] יָבוֹא (ut Sam.) pro יוּבָא **33.** πρὸς τὸ μέσον] alibi (Deut. XXI, 12. XXIII, 11 sq.) πρὸς τὰ μέσον (προσταμέσον Num. XVII, 12. XIX, 6, πρὸς ταμέσον Deut. XXII, 2; cf. Prol. I, 4, d) reddit אֶל־תּוֹךְ, itaque fort. et hic restituendum. Sed cf. Exod. XIV, 23. Deut. XIII, 17.

ἄϑροισμα ὑδάτων, τελέσει καϑαρόν· καὶ ψαύων νεκροῦ σφῶν μιανεῖται. [37]ἐπάν τε πέσοι πρὸς τοῦ νεκροῦ σφῶν ἐφ' ὁτουοῦν σπέρματος ἐσπαρμένου ὃ σπείροιτο, καϑαρόν ἐστιν· [38]ἐπὰν μέντοι δοϑείη ὕδωρ ἐπὶ τοῦ σπέρματος καὶ πέσοι πρὸς τοῦ νεκροῦ σφῶν ἐπ' αὐτοῦ, μιαρόν ἐστιν ὑμῖν. °[39]Ἐπάν τε τεϑναίη πρὸς τοῦ κτήνους ὅπερ ἐστὶν ὑμῖν εἰς ἐδωδήν, ὁ ϑίγων τοῦ νεκροῦ οἱ μιάνεῖται μέχρι τῆς ἑσπέρας· [40]ὅ τ' ἐδηδοκὼς πρὸς τοῦ νεκροῦ οἱ πλυνεῖ τὰ ἱμάτιά οἱ καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας, ὅ τ' ἄρας τὸν νεκρὸν αὐτοῦ πλυνεῖ τὰ ἱμάτιά οἱ καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας. [41]πᾶν τε τὸ βρύμα τὸ βρύον ἐπὶ τῆς γῆς, βδέλυγμά ἐστιν, οὐ βρωϑήσεται. °[42]πᾶν βαδίζον ἐπὶ κοιλίας καὶ πᾶν βαδίζον ἐπὶ τεττάρων ἄχρι παντὸς πληϑύνοντος πόδας ἐς πᾶν τὸ βρύμα τὸ βρύον ἐπὶ τῆς γῆς, οὐκ ἔδεσϑε ταῦτα· μύσος γάρ εἰσι. [43]μὴ μυσαχϑῆτε τὰς ψυχὰς ὑμῶν ἐν ὁτῳοῦν βρύματι τῷ βρύοντι, καὶ οὐ μιανεῖσϑε ἐν αὐτοῖς καὶ μιανϑήσεσϑε ἐν αὐτοῖς· [44]ἐγὼ γὰρ ὁ ὀντωτὴς ὁ ϑεὸς ὑμῶν· ἁγιασϑήσεσϑε γοῦν καὶ τελέσετε ἅγιοι, καὶ γὰρ ἅγιος ἐγώ, καὶ οὐ μιανεῖτε τὰς ψυχὰς ὑμῶν ἐν ὁτῳοῦν βρύματι τῷ ἕρποντι ἐπὶ τῆς γῆς· [45]ἐγὼ γὰρ ὁ ὀντωτὴς ὁ ἀνάγων ὑμᾶς ἀπὸ γῆς τῆς αἰγύπτου τελεῖν ὑμῖν εἰς ϑεόν· καὶ τελέσετε ἅγιοι, καὶ γὰρ ἅγιος ἐγώ. [46]οὗτος ὁ νόμος τοῦ κτήνους καὶ τοῦ πτηνοῦ καὶ πάσης τῆς ψυχῆς τοῦ ζώου τῆς ἑρπούσης ἐν ὕδασι, πάσης τε ψυχῆς τῆς βρυούσης ἐπὶ τῆς γῆς, [47]ὥστε διαστέλλειν ἀνὰ τὸ μεμιασμένον καὶ ἀνὰ τὸ καϑαρὸν, ἀνά τε τὸ ζῶον τὸ ἐδώδιμον κἀνὰ τὸ ζῶον ὅπερ οὐ βιβρώσκοιτο.

XII. (μερίς)

[1]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς τὸν μωσέα τῷ φάναι· [2]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· γυνὴ ἐπὰν σπερματίσῃ καὶ τέκῃ ἄρρεν, καὶ μιανεῖται ἑπτὰ ἡμέραις, κατὰ τὰς ἡμέρας τοῦ ἀφορισμοῦ τοῦ νοσεῖν αὐτὴν μιανεῖται· [3]ἐν δὲ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροποσϑίας αὐτοῦ· [4]καὶ τριάκοντα ἡμέραις τρισί τε ἡμέραις καϑεδεῖται ἐν τοῖς

---

46. τῆς ἑρπούσης] ita procul dubio emendanda erat codicis scriptura τοῖς ἕρπουσιν, quam miror Ammonium retinuisse.

XII. 3. περιτεμεῖ] l. περιτεμεῖται (יִמּוֹל). Vix credideris interpretem formam Hebraicam non recte intellexisse.

αἵμασι τῆς καθαρότητος αὐτῆς· οὑτινοσοῦν ἁγίου οὐχ ἅψεται πρός τε τὸ ἁγίασμα οὐκ ἐλεύσεται μέχρι τοῦ πληρωθῆναι τὰς ἡμέρας τοῦ καθαρισμοῦ ταύτης. [5]ἢν μέντοι θήλειαν τέκῃ καὶ μιανθῇ δὶς ἑβδόμῳ κατὰ τὴν ἀφόρισιν αὐτῆς, ἑξήκονθημέρῳ τε καὶ ἓξ ἡμέραις καθεδεῖται ἐπὶ τῶν αἱμάτων τοῦ καθαρμοῦ αὐτῆς. [6]ἐπὰν δὲ πλησθεῖεν αἱ ἡμέραι τῆς καθάρσεως αὐτῆς τῷ υἱῷ ἢ τῇ θυγατρὶ, οἴσει πρόβατον υἱὸν τοῦ ἔτους αὐτοῦ εἰς ἀναφορὰν, υἱόν τε περιστερᾶς ἢ τρυγόνα εἰς ἁμαρτίαν πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ πρὸς τὸν ἱερέα· [7]προσοίσει τε αὐτὸ ἐνώπιον τοῦ ὀντωτοῦ καὶ παραιτήσεται ἐπ' αὐτῇ, καὶ καθαρθήσεται πρὸς τῆς φλεβὸς τῶν αἱμάτων αὐτῆς. οὗτος ὁ νόμος τῆς τικτούσης ἐς ἄρρεν ἢ ἐς θήλειαν. [8]εἰ μέντοι μὴ εὑρίσκοι ἡ χεὶρ αὐτῆς ἀποχρῶν προβάτῳ, λήψεται γοῦν δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς, ἕνα εἰς ἀναφορὰν ἕνα τε εἰς ἁμαρτίαν· καὶ παραιτήσεται ὑπὲρ αὐτῆς ὁ ἱερεὺς, καὶ καθαρθήσεται.

XIII. [1]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [2]ἄνθρωπος ἐπὰν τελέσῃ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ ἆρμα ἢ ψαχνὶς ἢ λεύκωμα, καὶ τελέσει ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ εἰς πληγὴν λέπρας, ἐνεχθήσεται γοῦν πρὸς ἀαρῶνα τὸν ἱερέα ἢ ἕνα πρὸς τῶν υἱέων αὐτοῦ τῶν ἱερέων. [3]ὄψεται ὁ ἱερεὺς τὴν πληγὴν ἐν τῷ δέρματι τῆς σαρκὸς, καὶ ἡ θρὶξ ἐν τῇ πληγῇ ἔστραπται λευκὴ καὶ ἡ ὄψις τῆς πληγῆς βαθυτέρα τοῦ δέρματος τῆς σαρκὸς αὐτοῦ, πληγὴ λέπρας ἐστίν· ὄψεται τοίνυν αὐτὴν ὁ ἱερεὺς, καὶ μιανεῖ αὐτόν. [4]ἐὰν δὲ λεύκωμα λευκὸν ᾖ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καὶ βαθεῖα μὴ ᾖ ἡ ὄψις αὐτοῦ ἀπὸ τοῦ δέρματος ἥ τε θρὶξ αὐτοῦ μὴ στραφῇ λευκὴ, κλείσει

---

4. αὐτῆς] αὐτῆς rursus c. cd. ed. Cf. not. ad Gen. XXXIV, 5. 5. δὶς ἑβδόμῳ] voluitne δισεβδόμῳ (שְׁבֻעַיִם)? καθαρμοῦ] ita reponendum duximus pro καθαρτοῦ quod in codice est. An mavis καθαρισμοῦ (cf. v. 4)? 6. αὐτῆς] αὐτῶν cod. et ed. 7. ἄρρεν cod., non ἄρρενα ut ed. 8. αὐτῆς (1)] αὐτοῦ cod. et ed. αὐτῆς (2)] αὐτῶν cod. et ed.

XIII. 2. ἆρμα] sic cod. Cf. Prol. I, 4, c. [ψαχν]ὶς ex corr. cod. ἐναχθήσεται cod. et ed. Cf. v. 9. XIV, 2 cet. ἕνα (אֶל־אַחַד)] cf. Prol. II, 2, f. 4. ἀπὸ τοῦ δέρματος] ἀπὸ ipsi addidimus (מִן־הָעוֹר; cf. LXX). Vix credendum est βαθεῖα ex βαθυτέρα (cf. v. 3) vel ex βαθίων (cf. v. 31 sqq.) corruptum esse. κλείσει γοῦν ταύτην] וְהִסְגִּירוֹ pro וְהִסְגִּיר

γοῦν ταύτην ὁ ἱερεὺς τὴν πληγὴν ἑπτὰ ἡμέραις· [5]καὶ ὄψεται αὐτὴν ὁ ἱερεὺς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ϑεῶ γοῦν η πληγὴ ἔστη ἐν ὄμμασιν αὐτοῦ, οὐκ ἔτεινεν ἡ πληγὴ ἐν τῷ δέρματι, καὶ κλείσει ὁ ἱερεὺς ἑπτὰ ἡμέραις τὸ δεύτερον· [6]ὄψεται δ' ὁ ἱερεὺς αὐτὴν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον, ϑεῶ τοίνυν ἔσβεσται ἡ πληγὴ καὶ οὐκ ἔτεινεν ἡ πληγὴ ἐν τῷ δέρματι, καϑαρεῖ τέ ἑ ὁ ἱερεὺς ἀπὸ τῆς ψαχνίδος αὐτοῦ, πλυνεῖ τε τὰ ἱμάτιά οἱ, καὶ καϑαρεῖται. [7]εἰ μέντοι τῷ τείνειν τείνοι τὸ ψάχνιμα ἐν τῷ δέρματι μετὰ τὸ δειχϑῆναι αὐτὸ πρὸς τὸν ἱερέα εἰς κάϑαρσιν αὐτοῦ, δειχϑείη πάλιν πρὸς τὸν ἱερέα· [8]ϑεάσαιτό ϑ' ὁ ἱερεὺς, καὶ ἰδοὺ τέτακε τὸ ψάχνιμα ἐν τῷ δέρματι· μιανεῖ τε αὐτὴν ὁ ἱερεὺς, λέπρα ἐστί.

[9]Πληγὴ λέπρας ἐπὰν τελέσῃ ἐν τῷ ἀνϑρώπῳ καὶ ἐνεχϑῇ πρὸς τὸν ἱερέα, [10]ϑεάσηταί ϑ' ὁ ἱερεὺς, καὶ αὐτίκα ἄρμα λευκὸν ἐν τῷ δέρματι, κἀκείνη ἔστρεψε τρίχα λευκὴν καὶ ζώωσιν σαρκὸς ζώσης ἐν τῷ ἄρματι· [11]λέπρα παλαιουμένη ἐστὶν ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καὶ μιανεῖ αὐτὴν ὁ ἱερεὺς, οὐ κλείσει αὐτὴν, μιαρὰ γάρ ἐστιν. [12]ἢν δὲ τῷ ἀνϑεῖν ἀνϑήσῃ ἡ λέπρα ἐν τῷ δέρματι καὶ καλύψῃ ἡ λέπρα ξύμπαν τὸ δέρμα, ἡ πληγὴ πρὸς τῆς κεφαλῆς αὐτοῦ καὶ μέχρι τῶν ποδῶν αὐτοῦ εἰς πᾶσαν ὄψιν τῶν ὀμμάτων τοῦ ἱερέως, [13]ἴδῃ ϑ' ὁ ἱερεὺς, καὶ ϑεῶ ἐκάλυψεν ἡ λέπρα ξύμπασαν τὴν σάρκα αὐτοῦ, καϑαρεῖ τοίνυν ὁ ἱερεὺς τὴν πληγὴν πᾶσαν· ἔστρεψε λευκὴ, καϑαρά ἐστιν. [14]ἐν δὲ τῇ ἡμέρᾳ τοῦ φανῆναι ἐν αὐτῷ σάρκα ζῶσαν, μιανεῖ· [15]καὶ ὄψεται ὁ ἱερεὺς τὴν σάρκα τὴν ζῶσαν, καὶ μιανεῖ αὐτήν· ἡ σὰρξ ἡ ζῶσα μιαρά ἐστι, λέπρα ἐστίν. [16]ἢ ὅτι μεταβαλεῖ ἡ σὰρξ ἡ ζῶσα καὶ στραφήσεται εἰς λευκὴν, ἐλεύσεται τοίνυν πρὸς τὸν

---

5. καὶ κλείσει] hic versa vice וְהִסְגִּיר (sic etiam cod. Kenn. 186) pro וְהִסְגִּירוֹ. An excidit ἑ (cf. v. sq.)? 6. ἀπὸ τῆς ψαχνίδος αὐτοῦ] non mediocriter falsus est (מִסְפַּחַת הִוא). 7. πάλιν] πᾶσιν (non πᾶσι ut ed.) cod. Ita emendandum esse jam Amm. in margine indicavit. Cf. v. 54. 8. ἰδοῦ c. cd. ed. 10. λευκὴν cod., non λευκὸν ut ed. 11. αὐτὴν (1)] αὐτὸν (ut ed.) corr. αὐτὴν cod. 13. καϑαρεῖ τοίνυν ὁ ἱερεὺς] וְטִהַר (absque הַכֹּהֵן) t. rec. Consentiunt LXX, nisi quod וטהרו (ita solus cod. Kenn. 84) pro וטהר videntur legisse (καὶ καϑαριεῖ αὐτὸν ὁ ἱερεύς). τὴν πληγὴν πᾶσαν· ἔστρεψε] potius ita scribendum erat: τὴν πληγήν· πᾶσα ἔστρεψε (אֶת־הַנֶּגַע כֻּלּוֹ הָפַךְ).

ἱερέα, [17]καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ϑεῶ μετέστραπται ἡ πληγὴ εἰς λευκὴν, καὶ καϑαρεῖ ὁ ἱερεὺς τὴν πληγὴν, καϑαρά ἐστι.

[18]Σὰρξ μέντοι ἐπὰν τελέσῃ ἐν αὐτῇ ἐν τῷ δέρματι ταύτης ἕλκος καὶ ϑεραπευϑῇ, [19]τελέσῃ τ' ἐν τῷ τόπῳ τοῦ ἕλκους ἄρμα λευκὸν ἢ λεύκωμα λευκὸν κατάπυρρον, δειχϑῇ τε πρὸς τὸν ἱερέα. [20]τοιγαροῦν ὄψεται ὁ ἱερεὺς, καὶ ϑεῶ ἡ ὄψις αὐτοῦ ταπεινοτέρα τοῦ δέρματος ᾗ τε ϑρὶξ αὐτοῦ ἔστραπται λευκὴ, καὶ μιανεῖ αὐτὸ ὁ ἱερεύς· πληγὴ λέπρας ἐστὶν, ἐν τῷ ἕλκει ἤνϑησεν. [21]ἣν δὲ ἴδῃ αὐτὸ ὁ ἱερεὺς, αὐτίκα τ' οὐκ ἔστιν ἐν αὐτῷ ϑρὶξ λευκὴ, ταπεινοτέρα τ' οὐκ ἔστι τοῦ δέρματος, αὕτη τε συστέλλεται, περικλείσει τοίνυν αὐτὸ ὁ ἱερεὺς ἑπτὰ ἡμέραις· [22]κἂν μὲν τῷ τείνειν τείνῃ ἐν τῷ δέρματι, μιανεῖ τε ὁ ἱερεὺς αὐτὸ, πληγή ἐστιν. [23]ἢν δ' ὑφ' ἑαυτῷ στῇ τὸ λεύκωμα ἐκεῖνο, οὐκ ἔτεινε, καῦσις τοῦ ἕλκους ἐστί· καϑαρεῖ τοίνυν αὐτὸ ὁ ἱερεύς.

[24]Ἦ σὰρξ ἐπὰν τελέσῃ ἐν τῷ δέρματί οἱ καῦσις πυρὸς, ὑπάρξῃ τε ζώωσις τῆς καύσεως λεύκωμα λευκὸν, κατάπυρρος ἢ λευκή· [25]τοίνυν ὄψεται αὐτὸ ὁ ἱερεὺς, αὐτίκα τε ἔστραπται ϑρὶξ λευκὴ ἐν τῷ λευκώματι, ἡ δ' ὄψις αὐτῆς βαϑυτέρα τοῦ δέρματος, λέπρα ἐστὶν, ἐν τῇ καύσει ἤνϑησε· μιανεῖ τοίνυν αὐτὸ ὁ ἱερεὺς, πληγὴ λέπρας ἐστίν. [26]ἢν δὲ ἴδῃ αὐτὸ ὁ ἱερεὺς, αὐτίκα τ' οὐκ ἔστιν ἐν τῷ λευκώματι ϑρὶξ λευκὴ, ταπεινοτέρα τ' οὐκ ἔστιν αὐτὸ τοῦ δέρματος, αὐτό τε συστέλλεται, τοίνυν κλείσει αὐτὸ ὁ ἱερεὺς ἑπτὰ ἡμέραις· [27]ὄψεται μέντοι αὐτὸ ὁ ἱερεὺς ἐν ἡμέρᾳ τῇ ἑβδόμῃ· ἢν μὲν τῷ τείνειν τείνῃ ἐν τῷ δέρματι, μιανεῖ ϑ' ὁ ἱερεὺς αὐτὸ, πληγὴ λέπρας ἐστίν· [28]ἢν δ' ὑφ' ἑαυτῷ στῇ τὸ λεύκωμα, οὐκ ἔτεινεν ἐν τῷ δέρματι, κἀκεῖνο συστέλλεται, ἄρμα τῆς καύσεως ἐστί· καϑαρεῖ τοίνυν αὐτὸ ὁ ἱερεὺς, ἅπτουσα γὰρ καῦσίς ἐστιν.

[29]Ἀνὴρ δὲ ἢ γυνὴ ἐπὰν τελέσῃ ἐν αὐτῷ πληγὴ ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ πώγώνι, [30]καὶ ἴδῃ ὁ ἱερεὺς τὴν πληγὴν, αὐτίκα τε ἡ ὄψις αὐτῆς βαϑίων τοῦ δέρματος κἂν αὐτῷ ϑρὶξ ξανϑὴ λεπτὴ, τοίνυν

---

23. δ' ὑφ' ἑαυτῷ cod., non δὲ ἐφ' ἑαυ. ut ed. τὸ λεύκωμα ἐκεῖνο] ἐκεῖνο de suo addidit (הַבַּהֶרֶת). 24. Ἦ σὰρξ cod., non Ἡ σὰρξ ut ed. κατάπυρος cod. et ed. Cf. v. 19. 42. 49. 29. ἐν τῷ πώγωνι] ἐν, quod codici deest, recte, ut videtur, ed. supplevit. 30. κἂν (ut ed.) corr. κάν cod.

μιανεῖ αὐτὸν ὁ ἱερεύς· σπάσμα ἐστὶ, λέπρα τῆς κεφαλῆς ἢ τοῦ πώγωνός ἐστιν. [31]ὅταν δὲ θεάσηται ὁ ἱερεὺς τὴν πληγὴν τοῦ σπάσματος, αὐτίκα τ' οὐκ ἔστιν ἡ ὄψις αὐτοῦ βαθίων τοῦ δέρματος, θρίξ τε μέλαινα οὐκ ἔστιν ἐν αὐτῷ, τοίνυν περικλείσει ὁ ἱερεὺς τὴν πληγὴν τοῦ σπάσματος ἑπτὰ ἡμέραις· [32]ὄψεταί θ' ὁ ἱερεὺς τὴν πληγὴν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, αὐτίκα τ' οὐκ ἔτεινε τὸ σπάσμα οὔθ' ὑπῆρξεν ἐν αὐτῷ θρὶξ ξανθὴ καὶ ἡ ὄψις τοῦ σπάσματος οὐκ ἔστι βαθίων τοῦ δέρματος, [33]ξυρηθήσεται τοίνυν, τὸ δὲ σπάσμα οὐ ξυρήσει, καὶ περικλείσει ὁ ἱερεὺς τὸ σπάσμα ἑπτὰ ἡμέραις αὖθις· [34]ὄψεταί θ' ὁ ἱερεὺς τὸ σπάσμα ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, θεῶ τοίνυν οὐκ ἔτεινε τὸ σπάσμα ἐν τῷ δέρματι καὶ ἡ ὄψις αὐτοῦ οὐκ ἔστι βαθίων τοῦ δέρματος· καθαρεῖ τοίνυν αὐτὸν ὁ ἱερεὺς, πλυνεῖ δὲ τὰ ἱμάτιά οἱ, καὶ καθαρθήσεται. [35]ἢν μέντοι τῷ τείνειν τείνῃ τὸ σπάσμα ἐν τῷ δέρματι μετὰ τὴν κάθαρσιν αὐτοῦ, [36]τοιγαροῦν ὄψεται αὐτὸ ὁ ἱερεύς, ἰδού τε ἔτεινε τὸ σπάσμα ἐν τῷ δέρματι, οὐκ ἐτάσει ὁ ἱερεὺς ἐς τὴν τρίχα τὴν ξανθήν, μιαρός ἐστιν· [37]εἰ δ' ἐν ὄμμασίν οἱ σταίῃ τὸ σπάσμα, θρίξ τε μέλαινα ἔφυσεν ἐν αὐτῷ, θεραπεύεται τὸ σπάσμα, καθαρόν ἐστι, καθαρεῖ τε αὐτὸ ὁ ἱερεύς.

[38]Ἀνὴρ μέντοι ἢ γυνὴ ἐπὰν τελέσῃ ἐν τῷ δέρματι τῆς σαρκὸς σφῶν λευκώματα, λευκώματα λευκὰ, [39]θεάσηταί θ' ὁ ἱερεύς, αὐτίκα τ' ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτῶν λευκώματα συστελλόμενα λευκά· ἀλφός ἐστιν, ἔφυσεν ἐν τῷ δέρματι, καθαρόν ἐστιν.

[40]Ἀνὴρ δ' ἐπὰν ψιλωθῇ ἡ κεφαλή οἱ, φαλακρός ἐστι, καθαρός ἐστιν· [41]ἢν δ' ἀπὸ τοῦ μέρους τοῦ προσώπου οἱ ψιλωθῇ ἡ κεφαλή οἱ, ἀναφαλαντίας ἐστὶ, καθαρός ἐστιν. [42]ἐπὰν δὲ τελέσῃ ἐν τῇ φαλάκρᾳ ἢ ἐν τῇ ἀναφαλαντίᾳ πληγὴ λευκὴ κατάπυρρος, λέπρα ἀνθοῦσά ἐστιν ἐν τῇ φαλάκρᾳ οἱ ἢ ἐν τῇ ἀναφαλαντίᾳ οἱ. [43]τοιγαροῦν ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ θεῶ τὸ οἴδημα τῆς πληγῆς λευκὸν κατάπυρρον ἐν τῇ φαλάκρᾳ οἱ ἢ ἐν τῇ ἀνα-

αὐτὸν] correxerim αὐτὸ (ita ed.) ut v. 20 sqq. in codice legitur. Sed cf. v. 34. 32. ξανθὴ] ξανθὴν cod. 33. ξυριθήσεται cod. et ed. 34. αὐτὸν] sic cod. Cf. v. 20 sqq. 30. 37. καθαρόν cod., non καθαρός ut ed. 39. ἀλφός ἐστιν] ἄλφος ἐστὶν invito codice ed. 42. ἀναφαλαντίᾳ (2)] ἀναφαντίᾳ cod. et ed.

φαλαντίᾳ οἱ, ὡς ὄψις λέπρας δέρματος σαρκός· [44]ἀνὴρ λεπρός ἐστι, μιαρός ἐστι, τῷ μιαίνειν μιανεῖ αὐτὸν ὁ ἱερεύς· ἐν τῇ κεφαλῇ οἱ ἡ πληγή οἱ. [45]λεπρὸς μέντοι ᾧπερ ἐν αὐτῷ ἡ πληγή, τὰ ἐνδύματά οἱ τελέσουσιν ἐρρωγότα καὶ ἡ κεφαλή οἱ τελέσει ἀσκεπὴς κἀπὶ τοῦ μύστακος εἰλήσει, καὶ μιαρὸς μιαρὸς βοήσει· [46]πάσαις ταῖς ἡμέραις αἷς ἡ πληγὴ ἐν αὐτῷ μιανεῖται, μιαρός ἐστι· μόνος καθεδεῖται, θύραθεν τοῦ στρατοπέδου ἡ καθέδρα οἱ.

[47]Τὸ μέντοι ἱμάτιον ἐπὰν τελέσῃ ἐν αὐτῷ πληγὴ λέπρας, ἐν ἱματίῳ ἐρίου ἢ ἐν ἱματίῳ λίνων, [48]ἢ ἐν στήμονι ἢ ἐν κρόκῃ τῶν λίνων καὶ τοῦ ἐρίου, ἢ ἐν δέρματι ἢ ἐν ἡτινιοῦν ὑπηρεσίᾳ δέρματος, [49]ὑπάρξῃ δ' ἡ πληγὴ κάτωχρος ἢ κατάπυρρος ἐν τῷ ἱματίῳ ἢ ἐν τῷ δέρματι ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν ὁτῳοῦν σκεύει δέρματος, πληγὴ λέπρας ἐστί· δείξει τοίνυν αὐτὴν πρὸς τὸν ἱερέα· [50]καὶ θεάσεται ὁ ἱερεὺς τὴν πληγήν, περικλείσει τε τὴν πληγὴν ἑπτὰ ἡμέραις. [51]καὶ ὄψεται τὴν πληγὴν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· ἐπεὶ ἔτεινεν ἡ πληγὴ ἐν τῷ ἱματίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν τῷ δέρματι, εἰς ὁτιοῦν ὃ ποιηθήσεται τὸ δέρμα εἰς ἐργασίαν· λέπρα ἀλγεινὴ ἡ πληγή, μιαρά ἐστι. [52]καύσει τοιγαροῦν τὸ ἱμάτιον ἢ τὸν στήμονα ἢ τὴν κρόκην, ἐν τῷ ἐρίῳ ἢ ἐν τοῖς λίνοις, ἢ ὁτιοῦν σκεῦος τοῦ δέρματος ᾧπερ ὑπάρξει ἐν αὐτῷ ἡ πληγή· λέπρα γὰρ ἀλγεινή ἐστιν, ἐν πυρὶ καυθήσεται. [53]κἂν ἀθρήσῃ ὁ ἱερεύς, αὐτίκα τ' οὐκ ἔτεινεν ἡ πληγὴ ἐν τῷ πηνίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν ὁτῳοῦν σκεύει δέρματος, [54]τοίνυν κελεύσει ὁ ἱερεύς, καὶ πλυνοῦσιν ὅπερ ἐν αὐτῷ ἡ πληγή, περικλείσει τε αὐτὴν ἑπτὰ ἡμέραις πάλιν. [55]ὄψεταί δ' ὁ ἱερεὺς μετὰ τὸ πλυθῆναι τὴν πληγήν, αὐτίκα τ' οὐκ ἔστρεψεν ἡ πληγὴ τὸ ὄμμα ταύτης καὶ ἡ πληγὴ οὐκ ἔτεινε, μιαρά ἐστιν, ἐν πυρὶ πρήσεις αὐτήν· λεῖψίς ἐστιν ἐν τῇ φαλάκρᾳ οἱ ἢ ἐν τῇ ἀναφαλαντίᾳ οἱ. [56]κἂν ἀθρήσῃ ὁ ἱερεύς, αὐτίκα τε συνέσταλται ἡ πληγὴ μετὰ τὸ πεπλύσθαι αὐτήν, ἀπορρήξει τε ταύτην τοῦ πηνίου ἢ ἀπὸ τοῦ δέρματος ἢ ἀπὸ τοῦ στήμονος ἢ

46. κάθεδρά οἱ c. cd. ed. 48. ἡτιοῦν cod. et ed. Cf. Deut. XXIX, 22. 49. κάτωχρος] κάτωχος cod. et ed. Cf. XIV, 37. ἢ κατάπυρρος cod. Ed. ἢ om. 50. ἐν ἑπτὰ ἡμέραις cod. et ed. Cf. v. 4. 21 cet. 51. ἐν τῇ ἡμέρᾳ ἐν τῇ ἑβδόμῃ cod. et ed. 56. ἢ ἀπὸ (2) cod., non κἀπὸ ut ed.

ἀπὸ τῆς κρόκης. [57]κἂν ὀφθῇ ἔτι ἐν τῷ πηνίῳ ἢ ἐν τῷ στήμονι ἢ ἐν τῇ κρόκῃ ἢ ἐν ὁτῳοῦν σκεύει δέρματος, ἀνθοῦσα κείνη· ἐν πυρὶ πρήσεται αὐτὸ ὅπερ ἐστὶν ἐν αὐτῷ ἡ πληγή. [58]τὸ μέντοι πηνίον ἢ τὸν στήμονα ἢ τὴν κρόκην ἢ ὁτιοῦν σκεῦος τοῦ δέρματος ὃ πλυνεῖς καὶ ἀποστήσεται ἀπὸ σφῶν ἡ πληγὴ, πλυθήσεταί τε δίς, καὶ καθαρθήσεται. [59]οὗτος ὁ νόμος τῆς πληγῆς τῆς λέπρας τοῦ πηνίου τοῦ ἐρίου ἢ τῶν λίνων, ἢ τοῦ στήμονος ἢ τῆς κρόκης ἢ οὑτινοσοῦν σκεύους δέρματος, καθαίρειν αὐτὸ ἢ μιαίνειν αὐτό.

XIV. (μερίς)

[1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]οὗτος τελέσει νόμος τοῦ λεπροῦ· ἐν τῇ ἡμέρᾳ τῆς καθάρσεως αὐτοῦ, τοίνυν ἐνεχθήσεται πρὸς τὸν ἱερέα· [3]καὶ ἐξελεύσεται ὁ ἱερεὺς πρὸς τὰ θύραθεν τοῦ στρατοπέδου, θεάσεταί θ' ὁ ἱερεύς, καὶ θεῶ θεραπεύεται ἡ πληγὴ τῆς λέπρας ἀπὸ τοῦ λελεπρωμένου· [4]κελεύσει τοιγαροῦν ὁ ἱερεύς, καὶ λήψεται τῷ καθαιρομένῳ δύο ὀρνέω ζῶντε καθαρὼ, ξύλον τε κέδρου καὶ ἐρυθρὸν σκώληκα καὶ ὕσσωπον· [5]προστάξει τοίνυν ὁ ἱερεύς, καὶ θύσει τὸ ὄρνεον τὸ ἓν πρὸς ἀγγεῖον ὀστράκου ἐφ' ὕδατος ζῶντος· [6]τὸ ὄρνεον τὸ ζῶν λήψεται, αὐτὸ τό τε ξύλον τῆς κέδρου καὶ τὸν ἐρυθρὸν σκώληκα καὶ τὸ ὕσσωπον, βαπτιεῖ τε αὐτὰ καὶ τοὔρνεον τὸ ζῶν ἐν τῷ αἵματι τοῦ ὀρνέου τοῦ τεθυμένου ἐπὶ τοῦ ὕδατος τοῦ ζῶντος, [7]καὶ ῥανεῖ ἐπὶ τοῦ καθαιρομένου ἀπὸ τῆς λέπρας ἑπτάκις· καθαρεῖ τέ ἑ, καὶ πέμψει τοὔρνεον τὸ ζῶν ἐπὶ τὸ πρόσωπον τοῦ ἀγροῦ. [8]πλυνεῖ δ' ὁ καθαιρόμενος τὰ ἱμάτιά οἱ καὶ ξυρήσει ξύμπασαν τὴν τρίχα ἑαυτοῦ, λούσει τ' ἐν ὕδασι, καὶ καθαρεῖ· καὶ μεταταῦτα ἐλεύσεται πρὸς τὸ στρατόπεδον, καὶ καθεδεῖται ἔξω τῆς σκηνῆς ἑαυτοῦ ἑπτὰ ἡμέραις· [9]τελέσει τ' ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρήσει ξύμπασαν τὴν τρίχα ἑαυτοῦ, τὴν κεφαλὴν ἑαυτοῦ τόν τε πώγωνα ἑαυτοῦ καὶ τὰς ὀφρῦς τῶν ὀφθαλμῶν ἑαυτοῦ, ξύμπασάν τε τὴν τρίχα ἑαυτοῦ ξυρήσει, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσει τὴν σάρκα οἱ ἐν ὕδατι, καὶ καθαρθήσεται. [10]ἐν δὲ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται δύο προβάτω τελείω καὶ ἀμνάδα μίαν θυγατέρα

---

57. πρήσεται] πρήσετε? vel potius πρήσεις (תִּשְׂרְפֶנּוּ)? Cf. v. 55. 58. ἀποστήσεται] ἀποστήμοται (sic) cod., non ἀποστημτ ut relatum erat Ammonio·
XIV. 6. τοῦ κέδρου c. ed. ed. 8. μετὰ ταῦτα cod. Cf. Gen. VI, 14.

ἔτους ἑαυτῆς τελείαν, τρία τε δέκατα σεμιδάλεως, μειλίγματος δεδευμένης ἐν ἐλαίῳ, καὶ λήκυϑον μίαν ἐλαίου· [11] στήσει δ' ὁ ἱερεὺς ὁ καϑαίρων τὸν ἄνδρα τὸν καϑαιρόμενον καὶ αὐτὰ ἐνώπιον τοῦ ὀντωτοῦ, τῇ πύλῃ τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [12] λήψεταί ϑ' ὁ ἱερεὺς τὸ πρόβατον τὸ ἕν, προσοίσει τε αὐτὸ εἰς πλημμέλειαν, καὶ τὴν λήκυϑον τοῦ ἐλαίου, προσοίσει τε αὐτὰ προσένεξιν ἐνώπιον τοῦ ὀντωτοῦ· [13] καὶ ἱερεύσει τὸ πρόβατον ἐν τόπῳ ᾧ ἂν ἱερεύσει τὴν ἁμαρτίαν καὶ τὴν ἀναφορὰν, ἐν τόπῳ τοῦ ἁγίου· κατὰ γὰρ τὴν ἁμαρτίαν ἡ πλημμέλειά ἐστι τῷ ἱερεῖ, ἅγιον ἁγίων τελεῖ. [14] λήψεται δ' ὁ ἱερεὺς πρὸς τοῦ αἵματος τῆς πλημμελείας, δώσει ϑ' ὁ ἱερεὺς ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τοῦ καϑαιρομένου τοῦ δεξιοῦ κἀπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ· [15] λήψεταί ϑ' ὁ ἱερεὺς ἀπὸ τῆς ληκύϑου τοῦ ἐλαίου καὶ κενώσει ἐπὶ τῆς παλάμης τοῦ ἱερέως τῆς ἀριστερᾶς, [16] βάψει ϑ' ὁ ἱερεὺς τὸν δάκτυλον ἑαυτοῦ τὸν δεξιὸν ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς παλάμης ἑαυτοῦ τῆς ἀριστερᾶς, καὶ ῥανεῖ πρὸς τοῦ ἐλαίου ἐν τῷ δακτύλῳ ἑαυτοῦ ἑπτάκις ἐνώπιον τοῦ ὀντωτοῦ· [17] πρὸς δὲ τοῦ περιττοῦ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς παλάμης ἑαυτοῦ δώσει ὁ ἱερεὺς ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τοῦ καϑαιρομένου τοῦ δεξιοῦ κἀπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ, ἐπὶ τοῦ αἵματος τῆς πλημμελείας· [18] τὸ δὲ περιλειφϑὲν ἐν τῷ ἐλαίῳ τῷ ἐπὶ τῆς παλάμης τοῦ ἱερέως δώσει ἐπὶ τῆς κεφαλῆς τοῦ καϑαιρομένου, καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἐπίπροσϑεν τοῦ ὀντωτοῦ. [19] ποιήσει ϑ' ὁ ἱερεὺς τὴν ἁμαρτίαν, καὶ παραιτήσεται ὑπὲρ τοῦ καϑαιρομένου ἀπὸ τοῦ μιασμοῦ οἱ· μετὰ δὲ ταῦτα ϑύσει τὴν ἀναφορὰν, [20] ἀνοίσει ϑ' ὁ ἱερεὺς τὴν ἀναφορὰν τό τε μείλιγμα εἰς τὸ ϑυτήριον· καὶ παραιτήσεται ἐπ' αὐτοῦ ὁ ἱερεὺς, καὶ καϑαρϑήσεται. [21] Ἐὰν πτωχὸς ᾖ, ἥκιστά τέ οἱ ἡ χεὶρ φϑάνῃ, τοίνυν λήψεται πρόβατον ἓν πλημμελείας εἰς προσένεξιν εἰς τὸ παραιτήσασϑαι ἐπ' αὐτοῦ, καὶ δέκατον σεμιδάλεως ἓν δεδευμένον ἐν ἐλαίῳ ἐς μείλιγμα, λήκυϑόν τ' ἐλαίου, [22] καὶ δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς ᾗ φϑάνει ἡ χεὶρ

13. ἱερεύσει (2)] ἱερεύοι? Cf. v. 30. IV, 33. 14. αὐτοῦ (1)] αὐτῆς cod. 20. εἰς τὸ ϑυτήριον (הַמִּזְבֵּחָה)] cf. not. ad I, 9. 22. φϑάνει] ex usu translatoris praeferendum φϑάνοι (תַּשִּׂיג; cf. Prol. II, 2, c). Cf. v. 30 sqq.

αὐτοῦ, τελέσει τε τὸ ἓν ἁμαρτία καὶ θάτερον ἀναφορά· [23]καὶ οἴσει αὐτὰ ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ εἰς κάθαρσιν ἑαυτοῦ πρὸς τὸν ἱερέα πρὸς τῇ πύλῃ τῆς σκηνῆς τοῦ ξυναγμοῦ ἐνώπιον τοῦ ὀντωτοῦ· [24]λήψεταί θ' ὁ ἱερεὺς τὸ πρόβατον τῆς πλημμελείας καὶ τὴν λήκυθον ἐλαίου, καὶ προσοίσει ταῦθ' ὁ ἱερεὺς προσένεξιν ἐπίπροσθεν τοῦ ὀντωτοῦ· [25]θύσει τε τὸ πρόβατον τῆς πλημμελείας, καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τῆς πλημμελείας καὶ δώσει ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τοῦ καθαιρομένου τοῦ δεξιοῦ κἀπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ· [26]πρὸς δὲ τοῦ ἐλαίου κενώσει ὁ ἱερεὺς ἐπὶ τῆς παλάμης τοῦ ἱερέως τῆς εὐωνύμου, [27]ῥανεῖ θ' ὁ ἱερεὺς ἐν τῷ δακτύλῳ ἑαυτοῦ τῷ δεξιῷ πρὸς τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς παλάμης ἑαυτοῦ τῆς εὐωνύμου ἑπτάκις ἐνώπιον τοῦ ὀντωτοῦ· [28]δώσει θ' ὁ ἱερεὺς πρὸς τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς παλάμης ἑαυτοῦ ἐπὶ τοῦ λοβοῦ τοῦ ὠτὸς τοῦ καθαιρομένου τοῦ δεξιοῦ κἀπὶ τοῦ ἀντίχειρος τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς κἀπὶ τοῦ ἀντίποδος τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ ἐπὶ τοῦ τόπου τοῦ αἵματος τῆς πλημμελείας· [29]τὸ δὲ περιλειφθὲν ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς παλάμης τοῦ ἱερέως δώσει ἐπὶ τῆς κεφαλῆς τοῦ καθαιρομένου, ὡς παραιτοῖτο ἐπ' αὐτοῦ πρὸ προσώπου τοῦ ὀντωτοῦ. [30]ποιήσει τε τὴν μίαν ἀπὸ τῶν τρυγόνων ἢ τῶν υἱῶν τῆς περιστερᾶς, καθάπερ ἂν φθάνοι ἡ χεὶρ αὐτοῦ· [31]ὅπερ ἂν φθάσειεν ἡ χεὶρ αὐτοῦ, τὴν μίαν ἁμαρτίαν, θατέραν δὲ ἀναφορὰν ἐπὶ τοῦ μειλίγματος, παραιτήσεταί θ' ὁ ἱερεὺς ὑπὲρ τοῦ καθαιρομένου πρὸ προσώπου τοῦ ὀντωτοῦ. [32]οὗτος ὁ νόμος ᾧπερ ἐν αὐτῷ πληγὴ λέπρας, ᾧπερ οὐ φθάσειεν ἡ χεὶρ αὐτοῦ εἰς τὴν κάθαρσιν ἑαυτοῦ.

[33]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [34]ἐπὰν ἀφίκοιο πρὸς τὴν γῆν τοῦ κεναᾶνος ἣν ἐγὼ δίδωμι ὑμῖν εἰς κατάσχεσιν, δώσω γοῦν πληγὴν λέπρας ἐν τῷ οἴκῳ τῆς γῆς τῆς κατασχέσεως ὑμῶν· [35]ἀφίξεται τοίνυν ὁ ἔχων τὸν οἶκον καὶ ἀγγελεῖ τῷ ἱερεῖ τῷ φάσκειν· ὡς πληγὴ φαίνεταί ἐμοὶ ἐν τῷ οἴκῳ. [36]κελεύσει τοίνυν ὁ ἱερεύς, κενώσουσί τε τὸν οἶκον πρὶν

---

20. τῶν σκηνῶν cod. et ed. **25.** τοῦ ποδὸς ipsi addidimus. Cf. v. 14. 17. 28. **27.** δακτυλίῳ c. cd. ed. **30.** καθάπερ] כַּאֲשֶׁר (ita cod. Kenn. 69) pro מֵאֲשֶׁר (cf. Gen. VIII, 21 etc.). Item LXX (καθότι). **34.** ἀφίκοιο] תָבוֹא pro תָבֹאוּ

ἂν ἀφίκοιτο ὁ ἱερεὺς ἰδεῖν τὴν πληγήν, καὶ οὐ μιανεῖται πᾶν τὸ ἐν τῷ οἴκῳ· μετὰ δὲ ταῦτα ἐλεύσεται ὁ ἱερεὺς ϑεάσασϑαι τὸν οἶκον. [37]ὄψεται γοῦν τὴν πληγήν, αὐτίκα ϑ' ἡ πληγὴ ἐν τοῖς τοίχοις τοῦ οἴκου, μελανότητες κάτωχροι ἢ κατέρυϑροι, ἥ τ' ὄψις αὐτῶν ταπεινοτέρα τοῦ τοίχου· [38]καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἀπὸ τοῦ οἴκου πρὸς τὸν πυλῶνα τοῦ οἴκου, κλείσει τε τὸν οἶκον ἑπτὰ ἡμέραις. [39]ὑποστρέψει ϑ' ὁ ἱερεὺς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ ὄψεται, ϑεῷ τοίνυν ἔτεινεν ἡ πληγὴ ἐν τοῖς τοίχοις τοῦ οἴκου· [40]κελεύσει γοῦν ὁ ἱερεύς, καὶ ἀφελοῦνται τοὺς λίϑους οἷς ἐν αὐτοῖς ἡ πληγή, ῥίψουσί τε σφᾶς πρὸς τὰ ϑύραϑεν τῆς πόλεως πρὸς τόπον μιαρόν· [41]τὸν δ' οἶκον ξέσουσι ἔσωϑεν κύκλῳ, χεοῦσί τε τὸν χοῦν ὃν μετήνεγκαν πρὸς τὰ ϑύραϑεν τῆς πόλεως πρὸς τόπον μιαρόν· [42]καὶ λήψονται λίϑους ἑτέρους οἴσουσί τε πρὸς τὰ ὑπὸ τοῖς λίϑοις, καὶ χοῦν ἕτερον λήψεται καὶ χρίσει τὸν οἶκον. [43]ἢν δ' ὑποστρέψῃ ἡ πληγὴ καὶ ἀνϑήσῃ ἐν τῷ οἴκῳ μεϑάπερ ἀφείλετο τοὺς λίϑους καὶ μετὰ τὸ μετενεχϑῆναι τὸν οἶκον καὶ μετὰ τὸ χρίσαι, [44]τοίνυν ἐλεύσεται ὁ ἱερεὺς καὶ ὄψεται, αὐτίκα τε ἔτεινεν ἡ πληγὴ ἐν τῷ οἴκῳ· λέπρα ἀλγεινή ἐστιν ἐν τῷ οἴκῳ, μιαρός ἐστι· [45]καϑελεῖ τε τὸν οἶκον, τοὺς λίϑους αὐτοῦ τά τε ξύλα αὐτοῦ καὶ ξύμπαντα τὸν χοῦν τοῦ οἴκου, καὶ ἐξοίσει πρὸς τὰ ϑύραϑεν τῆς πόλεως πρὸς τόπον μιαρόν· [46]ὁ δ' ἀφικνούμενος πρὸς τὸν οἶκον πάσαις ταῖς ἡμέραις τοῦ κεκλεῖσϑαί ἑ μιανεῖται μέχρι τῆς ἑσπέρας, [47]ὅ τ' ἀνακλινόμενος ἐν τῷ οἴκῳ πλυνεῖ τὰ ἱμάτιά οἱ, καὶ ὁ ἐσϑίων ἐν τῷ οἴκῳ πλυνεῖ τὰ ἱμάτιά οἱ. [48]ἢν δὲ τῷ ἀφικνεῖσϑαι ἀφίκηται ὁ ἱερεὺς καὶ ἴδῃ, ϑεῷ τε οὐκ ἔτεινεν ἡ πληγὴ ἐν τῷ οἴκῳ μετὰ τὸ χρισϑῆναι τὸν οἶκον, καϑαρεῖ ϑ' ὁ ἱερεὺς τὸν οἶκον· ϑεραπεύεται γὰρ ἡ πληγή. [49]λήψεται δ' εἰς τὸ ἁμαρτιοῦν τὸν οἶκον δύο ὄρνιϑε, ξύλον τε κέδρου, ἐρυϑρόν τε σκώληκα καὶ ὕσσωπον· [50]σφάξει δὲ τὸν ὄρνιν τὸν ἕνα πρὸς ἀγγεῖον ὀστράκου ἐφ' ὕδατος ζῶντος, [51]καὶ λήψεται τὸ ξύλον τῆς κέδρου καὶ τὸ ὕσσωπον τόν τ' ἐρυϑρὸν σκώληκα

---

37. κατώχροι cod. et ed. Cf. XIII, 49. 40. λίϑους] λίνους cod. et ed. 41. ξέσουσι] יַקְצִירוּ (ita cod. Kenn. 153, Sam. יקצירו) pro יַקְצִעַ. Item LXX. 43. μεϑάπερ] μεϑ' ἅπερ cod. Cf. XXV, 48. Deut. XXIV, 4. Prol. I, 4, d. χρίσαι] sic cod. Cf. VII, 36. 45. τά τε ξύλα cod. Ed. τε om. 51. τοῦ (κέδρου) cod. et ed. At v. sq. ipse cod. τῆς, ubi ed. nihilominus τοῦ

καὶ τὸν ὄρνιν τὸν ζῶντα, βάψει τε σφᾶς ἐν τῷ αἵματι τοῦ ὄρνιϑος τοῦ τεϑυμένου κἀν τῷ ὕδατι τῷ ζῶντι, ῥανεῖ τε πρὸς τὸν οἶκον ἑπτάκις· [52]καὶ ἁμαρτίσει τὸν οἶκον ἐν τῷ αἵματι τοῦ ὄρνιϑος κἀν τῷ ὕδατι τῷ ζῶντι κἀν τῷ ὄρνιϑι τῷ ζῶντι κἀν τῷ ξύλῳ τῆς κέδρου κἀν τῷ ὑσσώπῳ κἀν τῷ ἐρυϑρῷ σκώληκι· [53]πέμψει δὲ τὸν ὄρνιν τὸν ζῶντα πρὸς τὰ ϑύραϑεν τῆς πόλεως πρὸς τὸ πρόσωπον τοῦ ἀγροῦ, καὶ παραιτήσεται ἐπὶ τοῦ οἴκου, καὶ καϑαρεῖται. [54]οὗτος ὁ νόμος ἡστινοσοῦν πληγῆς λέπρας καὶ σπάσματος, [55]λέπρας τε ἱματίου καὶ οἴκου, [56]τοῦ τ' ἅρματος τοῦ τε λεπρώματος καὶ τοῦ λευκώματος, [57]ὥστε δεικνύναι ἐν ἡμέρᾳ τοῦ μιαροῦ κἀν ἡμέρᾳ τοῦ καϑαροῦ· οὗτος ὁ νόμος τῆς λέπρας.

ιε

[1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· **XV.** [2]διείλεχϑε πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου καὶ φήσετε πρὸς αὐτούς· ἀνὴρ ἀνὴρ ἐπὰν τελέσειε ῥεύσασα ἀπὸ τῆς σαρκὸς αὐτοῦ ῥοὴ αὐτοῦ, μιαρός ἐστιν· [3]οὗτος δὲ τελέσει ὁ μιασμὸς αὐτοῦ ἐν τῇ ῥοῇ αὐτοῦ· ἐσιέλισεν ἡ σὰρξ αὐτοῦ τὴν ῥοὴν αὐτοῦ ἢ ἐσφράγισεν ἡ σὰρξ αὐτοῦ ἀπὸ τῆς ῥοῆς αὐτοῦ, μιασμὸς αὐτοῦ ἐστι. [4]πᾶσα ἀνάκλισις ᾗ ἀνακλιϑείη ἐπ' αὐτῆς ὁ ῥέων μιανεῖται, πᾶν τε σκεῦος ᾧ καϑεδεῖται ἐπ' αὐτοῦ μιανεῖται. [5]καὶ ἀνὴρ ὃς ἅψεται τῆς ἀνακλίσεως αὐτοῦ πλυνεῖ τὰ ἱμάτιά οἱ λούσει τ' ἐν ὕδασι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [6]ὅ τε καϑεζόμενος ἐπὶ τοῦ σκεύους ᾧ καϑέζοιτο ἐπ' αὐτοῦ ὁ ῥέων, πλυνεῖ τὰ ἱμάτιά οἱ λούσει τ' ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [7]ὅ ϑ' ἁπτόμενος τῆς σαρκὸς τοῦ ῥέοντος πλυνεῖ τὰ ἱμάτιά οἱ λούσει τ' ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [8]κἂν πτύσῃ ὁ ῥέων εἰς καϑαρὸν, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσει ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας. [9]πᾶν τε τὸ ὄχημα ᾧ ὀχήσεται ἐπ' αὐτοῦ ὁ ῥέων μιανεῖται· [10]πᾶς ϑ' ὁ ἁπτόμενος ὁτουοῦν ὃ τελοίη ὑπ' αὐτῷ μιανεῖται μέχρι τῆς ἑσπέρας, ὅ τ' αἴρων αὐτὰ πλυνεῖ τὰ ἱμάτιά οἱ καὶ λούσει ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [11]πᾶς ϑ'

---

52. ἁμαρτίσει] legendum fort. ἁμαρτιώσει. Cf. VI, 19. VIII, 15. IX, 15. XIV, 49 cet. 54. ἡστινοσοῦν] ἡστινασοῦν cod. et ed.

XV. 3. ἐσιέλισεν cod., non ἐγιέλ. ut ed. Quod typorum existimares vitium, nisi etiam in indice vocabulorum novorum etc. reperires verbum γιελίζω 6. καϑέζοιτο] καϑέξοιτο cod. et ed.

οὗπερ ἥψατο αὐτοῦ ὁ ῥέων, τὰς δὲ χεῖρας αὐτοῦ οὐκ ἔκλυσεν ἐν ὕδατι, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσει ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [12]σκεῦός τ' ὀστράκου οὗ ἅψεται αὐτοῦ ὁ ῥέων ξυντριβήσεται, πᾶν τε σκεῦος ξύλου κλυσϑήσεται ἐν ὕδατι. [13]ἐπὰν δὲ καϑαρϑῇ ὁ ῥέων ἀπὸ τοῦ ῥεῖν αὐτὸν, λογιεῖται γοῦν ἑαυτῷ ἑπτὰ ἡμέρας ἐς καϑαρότητά οἱ, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσει τὴν σάρκα οἱ ἐν ὕδασι ζῶσι, καὶ καϑαρεῖται· [14]ἐν δὲ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται ἑαυτῷ δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς καὶ ἀφίξεται πρόσϑεν τοῦ ὀντωτοῦ πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ, δώσει τε σφωὲ πρὸς τὸν ἱερέα· [15]ποιήσει τε σφωὲ ὁ ἱερεὺς ἕνα ἁμαρτίαν καὶ ϑάτερον ἀναφοράν· παραιτήσεται γοῦν ἐπ' αὐτοῦ ὁ ἱερεὺς ἐνώπιον τοῦ ὀντωτοῦ ἀπὸ τῆς ῥεύσεως αὐτοῦ. [16]Καὶ ἀνὴρ ἐπὰν ἐξέλϑοι ἀπ' αὐτοῦ κοίτη σπέρματος, λούσει τ' ἐν ὕδατι ξύμπασαν τὴν σάρκα ἑαυτοῦ καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [17]ἅπαν τε πηνίον καὶ ἅπαν δέρμα ᾧπερ τελέσει ἐπ' αὐτοῦ κοίτη σπέρματος, καὶ πλυνεῖται ἐν ὕδασι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [18]γυνή τε ἥπερ ἀνακλινεῖται ἀνὴρ ξὺν αὐτῇ κοίτῃ σπέρματος, λούσεσϑόν τ' ἐν ὕδασι, καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας.

[19]Γυνὴ δὲ ἐπὰν τελέσῃ ῥέουσα, αἷμα τελέσει τὸ ῥεῦμα ταύτης ἐν τῇ σαρκὶ ταύτης, ἑπτὰ ἡμέραις ὑπάρξει ἐν τῇ ἀποχῇ ταύτης· πᾶς ϑ' ὁ ϑίγων αὐτῆς μιανεῖται μέχρι τῆς ἑσπέρας, [20]πᾶς ϑ' ὃς ἀνακλίνοιτο ἐπ' αὐτῆς ἐν τῇ ἀποχῇ ταύτης μιανεῖται, πᾶν ϑ' ᾧπερ καϑεδεῖται ἐπ' αὐτοῦ μιανεῖται, [21]πᾶς ϑ' ὁ ψαύων τῆς κοίτης αὐτῆς πλυνεῖ τὰ ἱμάτιά οἱ καὶ λούσει ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [22]πᾶς ϑ' ὁ ἁπτόμενος ὁτουοῦν σκεύους ᾧ καϑεδεῖται ἐπ' αὐτοῦ πλυνεῖ τὰ ἱμάτια ἑαυτοῦ καὶ λούσεται ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· [23]κἂν ἐπὶ τῆς κοίτης ἐκεῖνος ἢ ἐπὶ τοῦ σκεύους ᾧπερ τυγχάνει καϑεζομένη ἐπ'

---

13. ἡμέρας] ἡμέραις cod. et ed. Cf. v. 28. 14. σφωὲ] σφῶε (ut ed.) corr. σφώε (sic) cod. Item v. sq. Cf. X, 2. 5. 18. μιανεῖται] וְטָמֵֽא (ita codd. Kenn. 152. 223. 252) pro וְטָמְאוּ t. rec. 20. πᾶς ϑ' ὃς κτλ.] יִשְׁכַּב עָלֶיהָ pro תִּשְׁכַּב עָלָיו 21. λούσει] λούσῃ cod. et ed. Cf. v. 5 sqq. 23. καϑεζομένη] ita duce textu Hebr. (יֹשֶׁבֶת) reposuimus pro καϑέζεται δὴ, quod cod. exhibet et ed. retinuit. Ibidem ἑαυτοῦ vitiose, ut videtur, scriptum est pro αὐτοῦ

αὐτοῦ ἐν τῷ ἅπτεσθαι ἑαυτοῦ, μιανεῖται μέχρι τῆς ἑσπέρας. [24]ἢν δὲ τῷ ἀνακλίνεσθαι ἀνακλιθείη ἀνὴρ σὺν αὐτῇ, τελέσει θ' ἡ ἀποχὴ ταύτης ἐπ' αὐτοῦ, καὶ μιανεῖται ἑπτὰ ἡμέραις· πᾶσά τε ἡ ἀνάκλισις ᾗπερ ἀνακλιθείη ἐπ' αὐτῆς μιανεῖται.

[25]Καὶ γυνὴ ἐπὰν ῥεύσῃ ῥεῦμα αἵματος αὐτῆς ἡμέραις πολλαῖς ἐν οὐ καιρῷ τῆς ἀποχῆς αὐτῆς, ἢ ἐπὰν ῥεύσῃ ἐπὶ τῆς ἀποχῆς αὐτῆς· πάσαις ταῖς ἡμέραις τοῦ ῥεῖν τὸν μιασμὸν αὐτῆς, κατὰ τὰς ἡμέρας τῆς ἀποχῆς ἑαυτῆς τελέσει μιαρὰ ἐκείνη· [26]πᾶσα κοίτη ᾗ ἀνακλίνηται ἐπ' αὐτῆς πάσαις ταῖς ἡμέραις τοῦ ῥεύματος αὐτῆς, ὡς κοίτη ἀποχῆς αὐτῆς τελέσει ταύτῃ, πᾶν τε τὸ σκεῦος ᾧ καθεδεῖται ἐπ' αὐτοῦ μιαρὸν τελέσει κατὰ τὸν μιασμὸν τῆς ἀποχῆς αὐτῆς· [27]πᾶς θ' ὁ ψαύων αὐτῆς μιανεῖται, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσεται ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας. [28]εἰ μέντοι ἐκαθάρθη ἀπὸ τῆς ῥεύσεως αὐτῆς, λογιεῖται ἑαυτῇ ἑπτὰ ἡμέρας, καὶ μεταταῦτα καθαρθήσεται. [29]ἐν τῇ ἡμέρᾳ δὲ τῇ ὀγδόῃ λήψεται ἑαυτῇ δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς, οἴσει τε αὐτὼ πρὸς τὸν ἱερέα πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [30]ποιήσει θ' ὁ ἱερεὺς τὸ ἓν ἁμαρτίαν καὶ θάτερον ἀναφοράν· καὶ παραιτήσεται ἐπ' αὐτῆς ὁ ἱερεὺς ἐπίπροσθεν τοῦ ὀντωτοῦ ἀπὸ τῆς ῥεύσεως τοῦ μιασμοῦ ταύτης. [31]καὶ ἀφοριεῖτε τοὺς υἱέας τοῦ ἰσραέλου πρὸς τοῦ μιασμοῦ σφῶν, καὶ οὐ τεθνήξονται ἐν τῷ μιασμῷ σφῶν, ἐν τῷ μιαίνειν σφᾶς τὸ οἴκημά μου τὸ μέσον ὑμῶν. [32]οὗτος ὁ νόμος τοῦ ῥέοντος καὶ ᾧπερ ἐξέλθοι ἂν ἀπ' αὐτοῦ κοίτη σπέρματος ὡς μιανθείη ἐν αὐτῷ, [33]τῆς τε ῥεούσης ἐν τῇ ἀποχῇ ταύτης καὶ τοῦ ῥέοντος τὴν ῥεῦσιν αὐτοῦ, τοῦ ἄρρενος καὶ τῆς θηλείας, τοῦ τ' ἀνδρὸς ὃς ἀνακλιθείη σὺν μιαρᾷ.

XVI. (μερίς)

[1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα μετὰ τὸ τεθνάναι τὼ δύο υἱὼ τοῦ ἀαρῶνος, ἐπεὶ προσφέροιεν αὐτοὶ ἐνώπιον τοῦ ὀντωτοῦ καὶ τεθνάσιν· [2]ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα· διείλεξο πρὸς

---

25. αὐτῆς (ter) invito codice ed., itemque v. 28. Cf. not. ad Gen. XXXIV, 5. **27.** πλυνεῖ τε] πλυνεῖται cod. et ed. Cf. v. 8. 11. 13. **28.** ἑαυτῇ] ἑαυτοῦ cod. et ed. Cf. v. 13. μετὰ ταῦτα cod. itemque XVI, 26. Cf. Prol. I, 4, d. **31.** μέσον ὑμῶν] בְּתוֹכְכֶם pro בְּתוֹכָם **33.** αὐτοῦ c. cd. ed.

XVI. 1. τεθνάσιν] codicis scripturam servavimus. Cf. Gen. VII, 22. Exod. IV, 19. Prol. I, 4, c. ἐπεὶ προσφέροιεν] quasi בְּהַקְרִיבָם (cf. Num. III, 4)

ἀαρῶνα τὸν ἀδελφόν σου, καὶ μὴ ἀφικνείσϑω ἐν παντὶ καιρῷ πρὸς τὸ ἅγιον ἔσωϑεν τῆς αὐλαίας πρὸς πρόσωπον τοῦ ἐπικαλύμματος τοῦ ἐπὶ τῆς χηλοῦ, καὶ οὐ τεϑνήξεται· ἐπεὶ ἐν νεφέλῃ φανήσομαι ἐπὶ τοῦ ἐπικαλύμματος. [3] ἐν τῷδε ἐλεύσεται ἀαρὼν πρὸς τὸ ἅγιον· ἐν ταύρῳ υἱῷ βουκολίου εἰς ἁμαρτίαν καὶ κριῷ εἰς ἀναροράν. [4] χιτῶνα λίνου ἅγιον περιβαλεῖται, καὶ ἀναξυρίδες λιναῖ τελέσουσιν ἐπὶ τῆς σαρκὸς αὐτοῦ, κἀν ζώνῃ λινῇ περιζώσεται κἀν κρηδέμνῳ λίνου κρηδεμνώσεται· περιβολαὶ ἅγιαί εἰσι, καὶ λούσεται ἐν ὕδατι τὴν σάρκα οἱ καὶ περιβαλεῖται ταύτας. [5] πρός τε τοῦ ἀϑροίσματος τῶν υἱέων τοῦ ἰσραέλου λήψεται δύο χιμάρω αἰγῶν εἰς ἁμαρτίαν, κριόν ϑ' ἕνα εἰς ἀναφοράν· [6] καὶ προσοίσει ἀαρὼν τὸν ταῦρον τῆς ἁμαρτίας τὸν ἑαυτοῦ, καὶ παραιτήσεται ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τοῦ οἴκου οἱ. [7] λήψεται δὲ τὼ δύο χιμάρω, στήσει τ' αὐτὼ πρὸ προσώπου τοῦ ὀντωτοῦ τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [8] δώσει τ' ἀαρὼν ἐπὶ τοῖν δυοῖν χιμάροιν κλήρω, κλῆρον ἕνα τῷ ὀντωτῇ καὶ κλῆρον ἕτερον τῷ σκληροβάτῃ. [9] προσοίσει τ' ἀαρὼν τὸν χίμαρον ᾧ ἀνῆλϑεν ἐπ' αὐτοῦ ὁ κλῆρος τοῦ ὀντωτοῦ, καὶ ποιήσει ἑ ἁμαρτίαν· [10] τὸν δὲ χίμαρον ᾧ ἀνῆλϑεν ἐπ' αὐτοῦ ὁ κλῆρος τοῦ σκληροβάτου στήσει ζῶντα ἐνώπιον τοῦ ὀντωτοῦ παραιτήσασϑαι ἐπ' αὐτοῦ, ὡς πέμψειεν αὐτὸν τῷ σκληροβάτῃ εἰς ἔρημον· [11] προσοίσει τ' ἀαρὼν τὸν ταῦρον τῆς ἁμαρτίας τὸν ἑαυτοῦ, καὶ παραιτήσεται ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τοῦ δόμου οἱ, ϑύσει τε τὸν ταῦρον τῆς ἁμαρτίας τὸν ἑαυτοῦ· [12] καὶ λήψεται πλήρωμα τὸ ϑυμιατήριον ἄνϑρακας πυρὸς ἄνωϑεν τοῦ ϑυτηρίου ἀπέμπροσϑεν τοῦ ὀντωτοῦ, καὶ πλήρωμα τῆς κοτύλης ἑαυτοῦ ϑυμιάματος ἀρωμάτων λεπτοῦ, καὶ οἴσει πρὸς τὰ ἔσω τῆς αὐλαίας, [13] δώσει τε τὸ ϑυμίαμα ἐπὶ τοῦ πυρὸς ἐπίπροσϑεν τοῦ ὀντωτοῦ, καὶ καλύψει ἡ νεφέλη τοῦ ϑυμιάματος τὸ ἐπίταμα τὸ ἐπὶ τῆς μαρτυρίας, καὶ οὐ τεϑνήξεται. [14] λήψεται δ' ἀπὸ τοῦ

---

scriptum esset, non בְּקָרְבָתָם. Cf. LXX (ἐν τῷ προσάγειν αὐτοὺς πῦρ ἀλλότριον). 3. ἐν τῷδε ἐλεύσεται] ita emendavimus: ἐν τῷ ἐξελεύσεται cod. et ed. Cf. Gen. XXXIV, 15. 22. XLII, 15 cet. καὶ κριῷ] cave corrigas κἀν κριῷ (וְאַיִל). 8. κλήρῳ cod. et ed. Quasi dat. sing. esset, non acc. dual. 10. τὸν δὲ cod., non τόν τε ut ed. στήσει] יַעֲמִיד (ut Sam.) pro יָעֳמַד. Item LXX. Hier. 12. πλήρωμα τοῦ ϑυμιατηρίου (מְלֹא־הַמַּחְתָּה)? Paullo inferius pro τῆς κοτύλης legendum puto τῶν κοτυλῶν (חָפְנָיו). Cf. Exod. IX, 8.

αἵματος τοῦ ταύρου καὶ ῥανεῖ ἐν τῷ δακτύλῳ οἱ ἐπὶ τοῦ προσώπου τοῦ ἐπιτάματος πρὸς ἀνατολάς, ἐπίπροσθέν τε τοῦ ἐπιτάματος ῥανεῖ ἑπτάκις ἀπὸ τοῦ αἵματος ἐν τῷ δακτύλῳ οἱ. [15] καὶ θύσει τὸν χίμαρον τῆς ἁμαρτίας τὸν τοῦ λεώ, καὶ οἴσει τὸ αἷμα αὐτοῦ πρὸς τὰ ἔσω τῆς αὐλαίας, ποιήσει τε τὸ αἷμα αὐτοῦ καθάπερ ἐποίησε τῷ αἵματι τοῦ ταύρου, καὶ ῥανεῖ αὐτὸ ἐπὶ τοῦ ἐπιτάματος ἐπίπροσθέν τε τοῦ ἐπιτάματος· [16] καὶ παραιτήσεται ἐπὶ τοῦ ἁγίου πρὸς τοῦ μιασμοῦ τῶν υἱέων τοῦ ἰσραέλου καὶ πρὸς τῶν ἐγκλημάτων αὐτῶν ἁπάντων, τῶν ἁμαρτιῶν αὐτῶν· τῇδέ τε ποιήσει τῇ σκηνῇ τοῦ ξυναγμοῦ τοῦ σκηνοῦντος ξὺν αὐτοῖς μέσον τοῦ μιασμοῦ σφῶν. [17] ὁστισοῦν τε ἀνὴρ οὐχ ὑπάρξει ἐν τῇ σκηνῇ τοῦ συναγμοῦ ἐπὰν ἀφικνοῖτο αὐτὸς παραιτεῖσθαι ἐν τῷ ἁγίῳ, μέχρι τοῦ ἐξελθεῖν αὐτόν· καὶ παραιτήσεται ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τοῦ οἴκου οἱ καὶ ὑπὲρ πάσης τῆς ἐκκλησίας τοῦ ἰσραέλου. [18] τοίνυν ἐξελεύσεται πρὸς τὸ θυτήριον τὸ ἐπίπροσθεν τοῦ ὀντωτοῦ καὶ παραιτήσεται ἐπ' αὐτοῦ· λήψεται δ' ἀπὸ τοῦ αἵματος τοῦ ταύρου κἀπὸ τοῦ αἵματος τοῦ χιμάρου καὶ δώσει ἐπὶ τῶν κερῶν τοῦ θυτηρίου κύκλῳ, [19] ῥανεῖ τ' ἐπ' αὐτοῦ πρὸς τοῦ αἵματος ἐν τῷ δακτύλῳ οἱ ἑπτάκις, καθαρεῖ τε αὐτὸ καὶ ἁγιάσει αὐτὸ πρὸς τῶν μολυσμῶν τῶν υἱέων τοῦ ἰσραέλου. [20] τελευτήσει τ' ἀπὸ τοῦ παραιτεῖσθαι τὸ ἅγιον τήν τε σκηνὴν τοῦ ξυναγμοῦ καὶ τὸ θυτήριον, προσάξει δὲ τὸν χίμαρον τὸν ζῶντα, [21] καὶ ἐρείσει ἀαρὼν τὼ δύο χεῖρέ οἱ ἐπὶ τῆς κεφαλῆς τοῦ χιμάρου τοῦ ζῶντος, καὶ ἐξομολογήσεται ἐπ' αὐτοῦ ξυμπάσας τὰς ἀμπλακίας τῶν υἱέων τοῦ ἰσραέλου καὶ ξύμπαντα τὰ πταίσματα σφῶν ἐς πάσας τὰς ἁμαρτίας αὐτῶν, δώσει τ' αὐτὰς ἐπὶ τῆς κεφαλῆς τοῦ χιμάρου, καὶ πέμψει ἐν χειρὶ ἀνδρὸς ὁριστοῦ πρὸς ἔρημον· [22] ἀρεῖ θ' ὁ χίμαρος ἐπ' αὐτοῦ ξυμπάσας τὰς ἀμπλακίας αὐτῶν πρὸς γῆν τόμιον, πέμψει τε τὸν χίμαρον εἰς τὴν ἔρημον. [23] ἐλεύ-

15. προσταέσω cod. At v. 12 ipse habet πρὸς τὰ ἔσω. Cf. Prol. I, 4, d. ἐπίπροσθέν τε τοῦ ἐπιτάματος] haec Morellium, nescio an etiam Villoisonium (ed. om.) fugerunt. 16. πρὸς τοῦ μιασμοῦ] מִטֻּמְאַת pro מִטֻּמְאֹת. Cf. v. 19. ἁπάντων, τῶν ἁμαρτιῶν] potius ἁπασῶν τῶν ἁμ. (לְכָל־חַטֹּאתָם). 18. ἐξελεύσεται cod., non δ' ἐλεύσεται ut ed. κερῶν] κρεῶν c. cd. ed. 22. χίμαρος] χίμαιρος cod. et ed. τόμιον] rectene ita emendavimus scripturam codicis plane corruptam τοίνυν (quae quidem Ammonio in suspicionem non venit), an voluit τομῆς (גְּזֵרָה)? Cf. Gen. XV, 17. Thren. III, 54.

σεται δ' ἀαρὼν πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ καὶ περιδύσεται τὰ ἱμάτια τοῦ λίνου ἃ περιβέβληται ἐν τῷ ἀφικνεῖσϑαί ἑ πρὸς τὸ ἅγιον, παρήσει τε αὐτὰ ἐκεῖ· [24]καὶ λούσει τὴν σάρκα οἱ ἐν ὕδατι ἐν τόπῳ ἁγίῳ καὶ περιβαλεῖται τὰ ἱμάτιά οἱ, καὶ ἐξελεύσεται καὶ ποιήσει τὴν ἀναφορὰν ἑαυτοῦ καὶ τὴν ἀναφορὰν τοῦ λεὼ, καὶ παραιτήσεται ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τοῦ λεώ· [25]τὸ μέντοι στέαρ τῆς ἁμαρτίας ϑυμιάσει τὸ ϑυτήριον. [26]ὁ δ' ἀποπέμπων τὸν χίμαρον τῷ σκληροβάτῳ πλυνεῖ τὰ ἱμάτιά οἱ λούσει τε τὴν σάρκα οἱ ἐν ὕδατι, καὶ μεταταῦτα ἐλεύσεται πρὸς τὸ στρατόπεδον. [27]τὸν μέντοι ταῦρον τῆς ἁμαρτίας καὶ τὸν χίμαρον τῆς ἁμαρτίας, οἷν ἐνήνεκται τὸ αἷμα παραιτεῖσϑαι ἐν τῷ ἁγίῳ, ἐξάξει πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου, καὶ πρήσουσιν ἐν πυρὶ τὼ δέρματε σφῷϊν τό τε κρέας σφῷϊν καὶ τὴν ὄνϑον σφῷϊν· [28]ὁ δὲ πρήϑων αὐτὰ πλυνεῖ τὰ ἱμάτιά οἱ καὶ λούσει τὴν σάρκα οἱ ἐν ὕδατι, μετὰ δὲ ταῦτα ἐλεύσεται πρὸς τὸ στρατόπεδον. [29]τελέσει ϑ' ὑμῖν εἰς τύπωσιν αἰῶνος· ἐν μηνὶ τῷ ἑβδόμῳ ἐν τῇ δεκάτῃ τοῦ μηνὸς ταλαιπωρώσετε τὰς ψυχὰς ὑμῶν καὶ ἡντιναοῦν ἐργασίαν οὐ ποιήσετε, ὁ αὐτόχϑων καὶ ὁ πάροικος ὁ παροικῶν μέσον ὑμῶν· [30]ἐν γὰρ τῇ ἡμέρᾳ τηδὶ παραιτηϑήσεται ἐφ' ὑμῖν ὥστε καϑαρϑῆναι ὑμᾶς, ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ἐνώπιον τοῦ ὀντωτοῦ καϑαρεῖσϑε. [31]παῦσις παυσείδιόν ἐστιν ὑμῖν, καὶ ταλαιπωρώσετε τὰς ψυχὰς ὑμῶν· τύπωσις αἰῶνος. [32]παραιτήσεται δ' ὁ ἱερεὺς, ὃν χρίσει αὐτὸν καὶ ὃν ἐμπλήσει τὴν χεῖρά οἱ ἱερατεύειν ἀντὶ πατρὸς αὐτοῦ, καὶ περιβαλεῖται τὰ ἐνδύματα τοῦ λίνου, τὰ ἐνδύματα τοῦ ἁγίου, [33]καὶ παραιτήσεται τὸ ἁγίασμα τοῦ ἁγίου καὶ τὴν σκηνὴν τοῦ ξυναγμοῦ, καὶ τὸ ϑυτήριον παραιτήσεται, κἀπὶ τῶν ἱερέων κἀπὶ παντὸς τοῦ λεὼ τῆς ἐκκλησίας παραιτήσεται. [34]τελέσει τε τόδε ὑμῖν εἰς τύπωσιν αἰῶνος, παραιτεῖσϑαι ἐπὶ τοῖς υἱέσι τοῦ ἰσραέλου πρὸς πασῶν τῶν ἁμαρτιῶν αὐτῶν ἅπαξ ἐν ἔτει. τοίνυν ἐποίησε καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

---

25. τὸ ϑυτήριον] הַמִּזְבֵּחַ (ita codd. Kenn. 9 et 155) pro הַמִּזְבְּחָה. Cf. not. ad I, 9. 26. σκληροβάτῳ] l. σκληροβάτῃ ut v. 8. 10. 27. τό τε κρέας] ὅ τε κρέω cod. Vix recte Villoisonio duce Amm. τώ τε κρέω edidit. 28. πρήϑων] πλήϑων cod. et ed. Cf. Prov. XVI, 27. 29. ταλαιπωρήσετε (ut ed.) corr. ταλαιπωρώσετε, ni fallor, cod. Sic plane v. 31 scriptum est. 30. παραιτηϑήσεται] יְכֻפַּר pro יְכַפֵּר

XVII. [1]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]διείλεξο πρὸς ἀαρῶνα πρός τε τοὺς υἱέας αὐτοῦ καὶ πρὸς πάντας τοὺς υἱέας τοῦ ἰσραέλου, φήσεις τε πρὸς αὐτούς· τόδε τὸ χρῆμα ὅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ φάναι· [3]ἀνὴρ ἀνὴρ πρὸς τοῦ δόμου τοῦ ἰσραέλου ὃς ἱερεύσει βοῦν ἢ πρόβατον ἢ αἶγα ἐν τῷ στρατοπέδῳ, ἢ ὃς ἱερεύσει ἔξωθεν τοῦ στρατοπέδου, [4]καὶ πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ οὐκ ἤνεγκαν αὐτὸν προσενεγκεῖν προσφορὰν τῷ ὀντωτῇ ἐνώπιον τοῦ οἰκήματος τοῦ ὀντωτοῦ, αἷμα λογισθήσεται τῷ ἀνδρὶ κείνῳ· αἷμα ἔχεεν, ὁλοθρευθήσεταί θ' ὁ ἀνὴρ ἐκεῖνος μεταξύθεν τοῦ λεώ οἱ. [5]χάριν οὗπερ φερόντων οἱ υἱεῖς ἰσραέλου τὰ θύματα σφῶν ἅπερ αὐτοὶ θύουσιν ἐπὶ τοῦ προσώπου τοῦ ἀγροῦ, φερόντων αὐτὰ τῷ ὀντωτῇ πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ πρὸς τὸν ἱερέα, καὶ θύσωσι θυσίας εἰρηναίας τῷ ὀντωτῇ ταῦτα· [6]χεεῖ δ' ὁ ἱερεὺς τὸ αἷμα ἐπὶ τοῦ θυτηρίου τοῦ ὀντωτοῦ τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ θυμιάσει τὸ στέαρ ἐς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ. [7]καὶ μηκέτι θυόντων τὰ θύματα σφῶν τοῖς δαίμοσιν οἷς αὐτοὶ πορνεύουσι κατόπιν αὐτῶν· τύπωσις αἰῶνος τελέσει ἠδὶ σφίσιν ἐς τὰς γενεὰς αὐτῶν. [8]πρός τ' αὐτοὺς ἐρεῖς· ἀνὴρ ἀνὴρ πρὸς τοῦ δόμου τοῦ ἰσραέλου πρός τε τοῦ παροίκου ὃς ἂν παροικοίη μέσον αὐτῶν, ὃς ἀνενέγκαι ἀναφορὰν ἢ θῦμα [9]καὶ πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ μὴ ἐνέγκῃ ταύτην ὡς ποιήσειεν αὐτὴν τῷ ὀντουργῷ, τοίνυν ὁλοθρευθήσεται ὁ ἀνὴρ ἐκεῖνος ἀπὸ τοῦ λεώ οἱ. [10]ἀνήρ τ' ἀνὴρ πρὸς τοῦ δόμου τοῦ ἰσραέλου καὶ πρὸς τοῦ παροίκου τοῦ παροικοῦντος μέσον αὐτῶν ὃς ἔδοιτο ὁτιοῦν αἷμα, δώσω τε τὸ πρόσωπόν μου εἰς τὴν ψυχὴν τὴν ἐσθίουσαν τὸ αἷμα καὶ ὁλοθρεύσω ταύτην μεταξύθεν τοῦ λεὼ ταύτης. [11]ψυχὴ γὰρ τῆς σαρκὸς ἐν τῷ αἵματι τελεῖ, κἀγὼ ἔδωκα αὐτὸ ὑμῖν ἐπὶ τοῦ θυτηρίου παραιτεῖσθαι ἐπὶ ταῖς ψυχαῖς ὑμῶν· ὅτι τὸ αἷμά ἐστιν, ὑπὲρ ψυχῆς παραιτήσεται. [12]διόπερ ἔφην τοῖς υἱέσι τοῦ ἰσραέλου· ἡτισοῦν ψυχὴ ἀφ' ὑμῶν οὐκ ἔδεται αἷμα, καὶ ὁ πάροικος ὁ παροικῶν μέσον ὑμῶν οὐκ ἔδεται αἷμα. [13]ἀνήρ τ' ἀνὴρ πρὸς τῶν

XVII. 4. ἤνεγκαν αὐτὸν] **legendum** ἤνεγκεν αὐτὸν (הֱבִיאוֹ). **Nisi forte adeo falsus est, ut vocem Hebraicam simul et pluralem (הֱבִיאוּ) esse crederet, et suffixo auctam. 9.** ἀπὸ τοῦ λεώ οἱ] מֵעַמּוֹ **(ut cod. Kenn. 9) pro** מֵעַמָּיו **(cf. XXI, 1. 4 et not. ad Gen. XXV, 8). Item LXX. Hieron.**

υἱέων τοῦ ἰσραέλου καὶ πρὸς τοῦ παροίκου τοῦ παροικοῦντος μέσον ὑμῶν ὃς ϑηράσεται ϑήραμα ζώου ἢ ὄρνιϑος ὃ βρωϑείη, χεεῖ τε τὸ αἷμα αὐτοῦ καὶ καλύψει αὐτὸ ἐν χοΐ· [14]ψυχὴ γὰρ πάσης σαρκὸς τὸ αἷμα ταύτης ἐν ψυχῇ ταύτης ἐστίν. ἔφην οὖν τοῖς υἱέσι τοῦ ἰσραέλου· αἷμα ἡστινοσοῦν σαρκὸς οὐκ ἔδεσϑε, ψυχὴ γὰρ πάσης σαρκὸς τὸ αἷμα ταύτης ἐστίν· ἅπαντες ἐσϑίοντες αὐτὸ, ὀλοϑρευϑήσεται. [15]καὶ πᾶσα ψυχὴ ἣ ἔδεται νεκρὸν καὶ ἅρπαγμα, ἐν τῷ αὐτόχϑονι κἀν τῷ παροίκῳ, πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσεται ἐν ὕδατι καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας, καὶ καϑαρεῖται· [16]κἂν μὴ πλυϑῇ καὶ τὴν σάρκα οἱ μὴ λούσῃ, καὶ ἀρεῖ τὴν ἀμπλακίαν ἑαυτοῦ.

XVIII. [1]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν. [3]κατὰ τοὖργον τῆς γῆς αἰγύπτου, ἧπερ ἐκαϑέσϑητε ἐν αὐτῇ, οὐ ποιήσετε· κατά τε τοὖργον τῆς γῆς τοῦ κεναᾶνος, ἧ ἐγὼ ἄγω ὑμᾶς ἐκεῖσε, οὐ πράξετε, κἀν ταῖς τυπώσεσι σφῶν οὐ πορεύσεσϑε. [4]τὰς κρίσεις μου ποιήσετε καὶ τὰς τυπώσεις μου φυλάξετε ὥστε πορεύεσϑαι ἐν αὐταῖς· ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν. [5]τηρήσετε τοίνυν τὰς τυπώσεις μου καὶ τὰς κρίσεις μου, ἃ ποιοίη αὐτὰ ὁ ἄνϑρωπος καὶ ζῴη ἐν αὐτοῖς· ἐγὼ ὁ ὀντωτής.

[6]Ἀνὴρ ἀνὴρ πρὸς ὁτιοῦν συγγενὲς τῆς σαρκὸς αὐτοῦ οὐκ ἐγγιεῖτε ἀποκαλύπτειν ἀσχημοσύνην· ἐγὼ ὁ ὀντωτής.

[7]Ἀσχημοσύνην πατρός σου καὶ ἀσχημοσύνην μητρός σου οὐκ ἀποκαλύψεις· μητήρ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. [8]Ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις· ἀσχημοσύνη τοῦ πατρός σού ἐστιν. [9]Ἀσχημοσύνην ἀδελφῆς σου, ϑυγατρὸς πατρός σου ἢ ϑυγατρὸς μητρός σου, γεγεννημένης οἴκοι ἢ γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

---

13. μέσον ὑμῶν] בְּתוֹכְכֶם (ut Sam. et cod. Kenn. 17) pro בְּתוֹכָם. Item LXX. Hier. χοΐ cod., non χερί ut ed. 14. ἔφην cod., non ἔφη ἡστινοσοῦν] ἡστιοῦν cod. et ed. Cf. XIV, 54. αὐτὸ cod., non τοῦτο ut ed. ὀλοϑρευϑήσονται invito codice ed. (יִכָּרֵת).

XVIII. 4. καὶ τὰς] καὶ τάς τε cod. et ed. Cf. nott. ad Gen. IX, 26. XX, 15. 6. ἐγγιεῖ τε perperam cod. et ed. (תִקְרְבוּ). 9. τὴν ἀσχημοσύνην αὐτῆς (sic cod., non αὐτοῦ ut ed.)] עֶרְוָתָהּ (ita Sam., codd. nonn Kenn. et Ross.) pro עֶרְוָתָן t. rec.

[10]Ἀσχημοσύνην ϑυγατρὸς υἱοῦ σου ἢ ϑυγατρὸς ϑυγατρός σου, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ἀσχημοσύνη γάρ σοῦ εἰσιν. [11]Ἀσχημοσύνην ϑυγατρὸς γυναικὸς τοῦ πατρός σου γεγεννημένης τῷ πατρί σου, ἀδελφή σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

[12]Ἀσχημοσύνην ἀδελφῆς πατρός σου οὐκ ἀποκαλύψεις· συγγενὴς πατρός σού ἐστιν. [13]Ἀσχημοσύνην ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις· συγγενὴς γὰρ τῆς μητρός σού ἐστιν. [14]Ἀσχημοσύνην ἀδελφοῦ πατρός σου οὐκ ἀποκαλύψεις, πρὸς γυναῖκά οἱ οὐκ ἐγγιεῖς· ϑεία σοί ἐστιν. [15]Ἀσχημοσύνην νύμφης σου οὐκ ἀποκαλύψεις· γυνὴ τοῦ υἱοῦ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς. [16]Ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις· ἀσχημοσύνη ἀδελφοῦ σού ἐστιν. [17]Ἀσχημοσύνην γυναικὸς καὶ ϑυγατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις, τὴν ϑυγατέρα τοῦ υἱοῦ ταύτης καὶ τὴν ϑυγατέρα τῆς ϑυγατρὸς αὐτῆς οὐ λήψῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς· συγγένεια αὗται, βδέλυγμά ἐστι. [18]γυναῖκά τε πρὸς ἀδελφῇ ταύτης οὐ λήψῃ ὥστε ϑλίβειν, ἀποκαλύπτειν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ ἐν τῇ ζωῇ ταύτης. [19]πρός τε γυναῖκα ἐν ἀποχῇ προστροπῆς αὐτῆς οὐκ ἐγγιεῖς ἀποκαλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς. [20]πρός τε γυναῖκα τοῦ ὁμοεϑνοῦς σου οὐ δώσεις τὴν κοίτην σου εἰς σπέρμα ὡς μιαίνοιο ἐν αὐτῇ. [21]πρός τε τοῦ σπέρματός σου οὐ δώσεις διάγειν τῷ βασιλεύοντι, οὔτε βεβηλώσεις τοὔνομα τοῦ ϑεοῦ σου· ἐγὼ ὁ ὀντωτής. [22]καὶ ξὺν ἄρρενι οὐκ ἀνακλιϑήσῃ κοίτῃ γυναικός· μύσος ἐστίν. [23]εἷς ϑ' ὁτιοῦν κτῆνος οὐ δώσεις τὴν κοίτην σου εἰς προστροπὴν ἐν αὐτῷ, γυνή τ' οὐ στήσεται ἐνώπιον κτήνους εἰς σήκωσιν· ὄνειδός ἐστι. [24]μὴ μιαίνεσϑε ἐν οἱστισοῦν αὐτοῖς· ὅτι ἐν πᾶσι τούτοις ἐμιάνϑησαν τὰ ἔϑνη ἅπερ ἐγὼ πέμπω ἀπὸ τοῦ προσώπου

---

17. αὐτῆς (2) cod., non αὐτοῦ ut ed. συγγένεια] cave corrigas συγγενεῖς (שְׁאֵרָה). αὗται] αὕτη (sic) c. cd. ed. 18. ἐπ' αὐτῇ] minime haec codici desunt (cf. Mor. ad h. l.). 20. μιάνοιο c. cd. ed. 22. μῦσός ἐστιν c. cd. ed. 23. εἰς σήκωσιν] quasi לְרִבְעָה scriptum esset (unde de substantivo quodam רִבְעָה cogitari posset), non לְרִבְעָהּ 24. οἱστισοῦν] codicis scripturam servavimus. Cf. Exod. XXXIV, 10. πέμπω ἀπὸ] πέμπω ἀλλ' ἀπὸ cod. Cf. Amm. ad h. l. et not. ad v. sq.

ὑμῶν· [25]ἀλλ' ἐμιάνθη ἡ γῆ, καὶ ἐπέσκεμμαι τὸ ἀμπλάκημα ταύτης ἐπ' αὐτῆς, καὶ ἤμεσεν ἡ γῆ τοὺς καθέδρους αὐτῆς. [26]τηρήσετε τοιγαροῦν ὑμεῖς τὰς τυπώσεις μου καὶ τὰς κρίσεις μου, καὶ οὐ ποιήσετε ἀπὸ πάντων τῶν μυσῶν τουτωνί, ὁ αὐτόχθων καὶ ὁ μέτοικος ὁ μετοικῶν μέσον ὑμῶν· [27]ὅτι ξύμπαντας τοὺς βδελυγμοὺς τούτους ἐποίησαν οἱ ἄνδρες τῆς γῆς οἱ πρὸ ὑμῶν, μεμίανταί θ' ἡ γῆ· [28]καὶ οὐκ ἐμέσει ἡ γῆ ὑμᾶς ἐπὰν μιαίνητε ὑμεῖς ταύτην, καθάπερ ἤμεσε τὸ ἔθνος τὸ πρὸ ὑμῶν· [29]πᾶς γὰρ ὃς ποιήσειεν ἀπὸ πάντων τῶν μυσασμῶν τουτωνί, καὶ ὀλοθρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι μεταξύθεν τοῦ λεὼ σφῶν. [30]τηρήσετε γοῦν τὴν τήρησίν μου, ὡς μὴ ποιοῖτε πρὸς τῶν τυπώσεων τῶν βδελυγμῶν οἵπερ ἐποιήθησαν πρὸ ὑμῶν, οὔτε μιανεῖσθε ἐν αὐτοῖς· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν.

XIX. (μερίς) [1]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]διείλεξο πρὸς τὸ ἄθροισμα τῶν υἱέων τοῦ ἰσραέλου, φήσεις τε πρὸς αὐτούς· ἅγιοι τελέσετε, καὶ γὰρ ἅγιος ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν· [3]ὅτι τε ἕκαστος τὴν μητέρα ἑαυτοῦ καὶ τὸν πατέρα ἑαυτοῦ φοβήσεσθε, καὶ τὰς παύλας μου τηρήσετε· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [4]μὴ ἀπονεύητε πρὸς τοὺς οὐτιδανούς, θεούς τε χύματος οὐ πράξετε ὑμῖν αὐτοῖς· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [5]ἐπάν τε θύσετε θυσίαν εἰρηναίων τῷ ὀντωτῇ, εἰς θέλημα ὑμῶν θύσετε ταύτην. [6]ἐν τῇ ἡμέρᾳ τῆς θυσίας ὑμῶν βρωθήσεται κἀπὸ τῆς αὔριον, τὸ δὲ περιττεῦσαν ἄχρις ἡμέρας τῆς τρίτης ἐν πυρὶ καυθήσεται· [7]ἣν δὲ τῷ βιβρώσκεσθαι βρωθῇ ἐν ἡμέρᾳ τῇ τρίτῃ, μεταβεβλημένον ἐστίν, οὐ θεληθήσεται· [8]καὶ οἱ ἐσθίοντες αὐτήν, τοὔγκλημά οἱ ἀρεῖ, τὸ γὰρ ἅγιον τοῦ ὀντωτοῦ ἐβεβήλωσεν· ὀλοθρευθήσεται

---

25. ἀλλ' **Ammonio duce ex versu superiore huc transposuimus.** καὶ ἐπέσκεμμαι **cod. Ed.** καὶ **om.** **26.** πάντων] πασῶν **cod. et ed.** **28.** μιαίνετε **c. cd. ed.** **29.** μυσασμῶν] **sic cod., non** μυσαγμῶν **ut ed. Sed ita fort. corrigendum (cf. Prov. XIII, 19).**

XIX. 2. πρὸς τὸ ἄθροισμα] כָּל־ **om.** **3.** ὅτι τε] **haec expungas. Facile fieri poterat, ut oculis a versu 2 ad versum 4 aberrantibus, quorum uterque verbis** אֲנִי יְהוָֹה אֱלֹהֵיכֶם **terminatur, post** θεὸς ὑμῶν **(v. 2 fin.) statim** ὅτι τε **(**וְכִי **init. v. 5) scriberet. Quo errore intellecto, ad versum 3 quidem rediit, sed verba illa (**ὅτι τε**) delere neglexit.** **5.** θύσετε **(1)] nonne** θύσητε**? Cf. v. 33. VII, 21 cet.** **6.** κἀπὸ τησαύριον **cod. Cf. not. ad VII, 16. Prol. I, 4, d.**

γοῦν ἡ ψυχὴ κείνη πρὸς τοῦ λεὼ ταύτης. [9] ἐν δὲ τῷ ἀμᾶσθαι ὑμᾶς τὸν ἀμητὸν τῆς γῆς ὑμῶν, οὐ τελευτήσεις τὴν μερίδα τοῦ ἀγροῦ σου ἀμᾶσθαι, συλλογήν τε τοῦ ἀμητοῦ σου οὐ συλλέξῃ· [10] τόν τ' ἀμπελῶνά σου οὐκ ἐπιφυλλιεῖς καὶ τὴν ῥάγα τοῦ ἀμπελῶνός σου οὐ συλλέξῃ· τῷ πτωχῷ καὶ τῷ μετοίκῳ παρήσεις αὐτά· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [11] οὐχ ὑφελεῖσθε, οὔτ' ἀρνήσεσθε οὔτε ψεύσεσθε ἀνὴρ ἐν τῷ ὁμοεθνεῖ οἱ· [12] οὔτ' ὀμόσετε ἐν τῷ ὀνόματί μου εἰς ψεῦδος, καὶ βεβηλώσεις τοὔνομα τοῦ θεοῦ σου· ἐγὼ ὁ ὀντωτής. [13] οὐ βιάσῃ τὸν φίλον σου οὔθ' ἁρπάσεις, οὔτε μενεῖ ἐργασία μισθωτοῦ παρὰ σοὶ μέχρις ἕω. [14] οὐ βλασφημήσεις κωφὸν, ἐπίπροσθέν τε τυφλοῦ οὐ δώσεις πρόσκομμα· δείσεις δ' ἀπὸ τοῦ θεοῦ σου· ἐγὼ ὁ ὀντωτής. [15] οὐ ποιήσετε ὑπερβασίαν ἐν κρίσει· οὐκ ἀρεῖς πρόσωπον πένητος οὔτε τιμήσεις πρόσωπον μεγάλου, ἐν δικαιοσύνῃ κρινεῖς τὸν ὁμοεθνῆ σοι. [16] οὐ πορεύσῃ καταμηνυτὴς ἐν τῷ λεῷ σου, οὐ στήσῃ ἐφ' αἵματι τοῦ φίλου σου· ἐγὼ ὁ ὀντωτής. [17] οὐ μισήσεις τὸν ἀδελφόν σου ἐν τῇ καρδίᾳ σου· ἐλέγχῳ ἐλέγξεις τὸν ὁμοεθνῆ σοι, καὶ οὐκ ἀρεῖς ἀπ' αὐτοῦ ἁμαρτίαν. [18] οὐκ ἐκδικήσεις οὔτε μηνιεῖς τοῖς υἱέσι τοῦ λεώ σου, ἀλλ' ἀγαπήσεις τὸν φίλον σου ὥσπερ σαυτόν· ἐγὼ ὁ ὀντωτής. [19] τὰς τυπώσεις μου τηρήσετε· τὸ κτῆνός σου οὐ σηκώσεις διαφόροις, τὸν ἀγρόν σου οὐ σπερεῖς διαφόροις, πηνίον τε διαφόρων, ἐριόλινον, οὐκ ἀναβήσεται ἐπὶ σοῦ. [20] καὶ ἀνὴρ ἐπὰν ἀνακλιθῇ σὺν γυναικὶ ἀνάκλισιν σπέρματος, ἐκείνη τε θεραπαινὶς ὠνειδισμένη τῷ ἀνδρὶ, καὶ τῷ λύεσθαι οὐ λέλυται ἢ ἐλευθερία οὐ δέδοταί οἱ· ἐτασμὸς τελέσει, οὐ θανατωθήσονται, οὐ γὰρ λέλυται· [21] τοίνυν οἴσει τὴν πλημμέλειαν ἑαυτοῦ τῷ ὀντωτῇ πρὸς τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ κριὸν πλημμελείας, [22] καὶ παραιτήσεται ὑπὲρ αὐτοῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ τῆς πλημμελείας ἐνώπιον τοῦ ὀντωτοῦ ἐπὶ τῇ ἁμαρτίᾳ αὐτοῦ ἣν ἥμαρτε, καὶ συγγνωσθήσεταί οἱ ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ ἣν ἥμαρτεν.

---

8. πρὸς τοῦ λεὼ ταύτης] sing. pro plur. (מֵעַמֶּיהָ). Cf. VII, 20. 9. ἀμᾶσθαι — ἀμητὸν — ἀμητοῦ] cf. Gen. VIII, 22. Prol. I, 4, c. 10. τόν τ' cod., non τήν τ' ut ed. ῥάγα, non ῥᾶγα, cod. Cf. Gen. XL, 10 sq. 11. ψεύσεσθε] ψεύσησθε cod. et ed. 16. ἐν τῷ λεῷ σου] בְּעַמְּךָ (ita Sam., multi codd.) pro בְּעַמֶּיךָ. Item LXX. Hier. 17. ἀπ' αὐτοῦ] exspectaveris ἐπ' αὐτοῦ vel ὑπὲρ αὐτοῦ (עָלָיו). 18. μηνιεῖς] sic ipse cod., non μινιεῖς ut ed. (cf. Amm. ad h. l.).

[23]Ὅταν μέντοι παραγένῃ πρὸς τὴν γῆν, καὶ φυτεύσητε ὁτιοῦν ξύλον ἐδωδῆς, βαρυνεῖτε γοῦν τὸ βάρος αὐτοῦ, τὸν καρπὸν αὐτοῦ· τρισὶν ἔτεσι τελέσει ὑμῖν βαρεῖς, οὐ βρωθήσεται. [24]κἀν τῷ ἔτει τῷ τετάρτῳ τελέσει πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος ἐπαινετὸς τῷ ὀντωτῇ· [25]ἐν μέντοι τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπὸν αὐτοῦ, προσθεῖναι ὑμῖν τὴν εἰσφορὰν ἑαυτοῦ· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [26]οὐκ ἔδεσθε ἐπὶ τῷ αἵματι, οὐκ οἰωνιεῖσθε οὔτε χρηματιεῖσθε. [27]οὐ κυκλώσετε τὸ μέρος τῆς κεφαλῆς ὑμῶν, οὔτε φθερεῖς τὸ μέρος τῆς ὑπήνης σου, [28]χάραγμά τ' εἰς ψυχὴν οὐ δώσετε ἐν τῇ σαρκὶ ὑμῶν, γραφήν τ' ἐναμυχῆς οὐ δώσετε ἐν ὑμῖν αὐτοῖς· ἐγὼ ὁ ὀντωτής. [29]μὴ βεβηλώσῃς τὴν θυγατέρα σου ὥστε πορνοῦν αὐτήν, οὔτε πορνεύσει ἡ γῆ καὶ πλησθήσεται ἡ γῆ βδελυγμοῦ. [30]τὰς παύλας μου φυλάξετε καὶ τὸ ἅγιόν μου δείσετε· ἐγὼ ὁ ὀντωτής. [31]μὴ ἐκνεύσητε πρὸς τοὺς ἐγγαστριμύθους πρός τε τοὺς γνώστας, μὴ ζητήσητε εἰς προστροπὴν ἐν αὐτοῖς· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [32]ἀπὸ προσώπου πολιᾶς ἐγερεῖς, τιμήσεις τε πρόσωπον γέροντος, εὐλαβήσῃ τ' ἀπὸ τοῦ θεοῦ σου· ἐγὼ ὁ ὀντωτής. [33]Ἐπὰν μέντοι παροικήσῃ παρὰ σοὶ πάροικος ἐν τῇ γῇ σου, οὐκ ἀλγυνεῖς αὐτόν· [34]ὡς αὐτόχθων ἀφ' ὑμῶν τελέσει ὑμῖν ὁ πάροικος ὁ παροικῶν παρ' ὑμῖν, ἀγαπήσεις τέ ἑ κατὰ σαυτόν· ἐπεὶ πάροικοι ἐχρηματίσατε ἐν γῇ αἰγύπτου· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [35]οὐ ποιήσετε ὑπερβασίαν ἐν τῇ κρίσει, ἐν τῷ μέτρῳ, ἐν τῷ σταθμῷ κἀν τῷ ἡμιέκτῳ. [36]ζυγὰ δικαιοσύνης, λίθοι δικαιοσύνης, μέδιμνος δικαιοσύνης, ξέστης τε δικαιοσύνης τελέσει ὑμῖν· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν ὃς ἐξήνεγκα ὑμᾶς ἀπὸ γῆς αἰγύπτου. [37]καὶ φυλάξετε πάσας τὰς τυπώσεις μου ξυμπάσας τε τὰς κρίσεις μου, καὶ ποιήσετε ταύτας· ἐγὼ ὁ ὀντωτής.

XX. [1]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]πρὸς τοὺς υἱεῖς τοῦ ἰσραέλου φήσεις· ἀνὴρ ἀνὴρ πρὸς τῶν υἱέων τοῦ ἰσραέλου πρός τε τοῦ παροίκου τοῦ παροικοῦντος ἐν τῷ ἰσραέλῳ, ὅσπερ

23. παραγένῃ (sic, non παραγίνῃ, cod.)] rursus תָבֹאוּ cum תָבוֹא videtur confudisse (cf. XIV, 34), nisi forte παραγένησθε legendum. βαρεῖς] cave suspiceris mendum esse pro βαρὺς (עֲרֵלִים). 28. ἐναμυχῆς] ἐν ἀμυχῆς cod., ἀμυχῆς ed. 32. ἐγερεῖ cod. Emendationem Amm. praeivit. 33. ἐν τῇ γῇ σου] quasi בְּאַרְצְךָ scriptum esset, non בְּאַרְצְכֶם ἀλγυνεῖς] libere pro ἀλγυνεῖτε (תוֹנוּ).

δοίη πρὸς τοῦ σπέρματος ἑαυτοῦ τῷ βασιλεύοντι, τῷ θνήσκειν τεθανατώσθω· ὁ λεὼς τῆς γῆς λευσάντων αὐτὸν ἐν τῷ λίθῳ. [3]κἀγὼ δώσω τὸ πρόσωπόν μου εἰς τὸν ἄνδρα κεῖνον, ὀλοθρεύσω τέ ἑ μεταξύθεν τοῦ λεώ οἱ· ὅτι πρὸς τοῦ σπέρματος ἑαυτοῦ ἔδωκε τῷ βασιλεύοντι ὥστε μιάναι τὸ ἅγιόν μου καὶ βεβηλῶσαι τοὔνομα τὸ ἅγιόν μου. [4]ἢν δὲ τῷ καλύπτειν καλύψωσιν ὁ λεὼς τῆς γῆς τὰ ὄμματα σφῶν ἀπὸ τοῦ ἀνδρὸς ἐκείνου, ἐπὰν διδοίη κεῖνος πρὸς τοῦ σπέρματος ἑαυτοῦ τῷ βασιλεύοντι, ὥστε μηδαμῶς θανατῶσαί ἑ· [5]τοιγαροῦν θήσω ἐγὼ τὸ πρόσωπόν μου εἰς τὸν ἄνδρα κεῖνον καὶ εἰς τὴν φρήτραν αὐτοῦ, καὶ ὀλοθρεύσω ἑ ξύμπαντάς τε τοὺς πορνεύοντας κατόπιν αὐτοῦ, ὡς πορνεύοιεν κατόπιν τοῦ βασιλεύοντος, μεταξύθεν τοῦ λεὼ σφῶν. [6]τήν τε ψυχὴν ἣ ἂν ἐκνεύοι πρὸς τοὺς ἐγγαστριμύθους καὶ πρὸς τοὺς γνώστας ὥστε πορνεύειν κατόπιν αὐτῶν, δώσω τε τὸ πρόσωπόν μου εἰς τὴν ψυχὴν ἐκείνην, ὀλοθρεύσω τε κεῖνον μέσοθεν τοῦ λεώ οἱ. [7]τοίνυν ἁγιασθήσεσθε καὶ χρηματιεῖτε ἅγιοι, καὶ γὰρ ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν· [8]φυλάξετε τοίνυν τοὺς τύπους μου καὶ ποιήσετε αὐτούς· ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω ὑμᾶς· [9]ἐπεὶ ἀνὴρ ἀνὴρ ὃς βλασφημοίη τὸν πατέρα οἱ καὶ τὴν μητέρα οἱ, τῷ θνήσκειν θανατούσθω· τὸν πατέρα οἱ καὶ τὴν μητέρα οἱ ἐβλασφήμησε, τὰ αἵματά οἱ ἐν αὐτῷ· [10]καὶ ἀνὴρ ὃς μοιχεύσειε γυναῖκα ἀνδρός, ὃς μοιχεύσειε τὴν γυναῖκα τοῦ φίλου οἱ, τῷ θνήσκειν θανατούσθω ὁ μοιχεύων καὶ ἡ μοιχευομένη. [11]καὶ ἀνὴρ ὃς συνανακλιθείη γυναικὶ τοῦ πατρὸς ἑαυτοῦ, ἀσχημοσύνην τοῦ πατρὸς ἑαυτοῦ ἀπεκάλυψε· τῷ θνήσκειν θανατούσθων ἄμφω αὐτώ, τὰ αἵματα σφῶϊν ἐν αὐτοῖν. [12]ἀνὴρ θ' ὃς ξυνανακλιθείη νύμφῃ οἱ, τῷ θνήσκειν θανατούσθων ἄμφω αὐτώ· ὄνειδος ἐποίησαν, τὰ αἵματα σφῶϊν ἐν αὐτοῖν. [13]ἀνὴρ θ' ὃς ξυνανακλιθείη ἄρρενι ἀνάκλισιν γυναικός, βδέλυγμα ἐποιησάτην ἄμφω αὐτώ· τῷ θνήσκειν θανατωθήτων, τὰ αἵματα σφῶϊν ἐν αὐτοῖν. [14]ἀνὴρ θ' ὃς λάβοι τὴν γυναῖκα καὶ τὴν μητέρα ταύτης, μύσος ἐστίν· ἐν πυρὶ πρησάτωσαν αὐτόν τε κἀκεῖνα, καὶ οὐ τελέσει μύσος μέσον ὑμῶν. [15]ἀνὴρ

XX. 2. τῷ θνήσκειν τὲ θανατώσθω cod., nec multo rectius ed. τῷ θν. τε θανατ. 3. μιάναι, non μιᾶναι, cod. 6. μέσωθεν cod. et ed. Cf. Prol. I, 4, c. 9. θανατώσθω c. ed. ed. 10. γυναῖκα (1)] γυναικὸς cod. et ed. 12. ξυνανακλιθείη] ξυνακλιθείη cod. et ed.

ϑ' ὃς δοίη ἀνάκλισιν ἑαυτοῦ ἐν κτήνει, τῷ ϑνήσκειν ϑανατωϑήτω, καὶ τὸ κτῆνος ἀποκτενεῖτε. [16]γυνή ϑ' ἥπερ ἐγγίσειε πρὸς ὁτιοῦν κτῆνος ὥστε σηκωϑῆναι αὐτὴν, κτενεῖς οὖν τὴν γυναῖκα καὶ τὸ κτῆνος· τῷ ϑνήσκειν ϑανατούσϑων, τὰ αἷματα σφῷϊν ἐν αὐτοῖν. [17]ἀνήρ ϑ' ὃς λάβοι ἀδελφὴν ἑαυτοῦ, ϑυγατέρα τοῦ πατρὸς ἑαυτοῦ ἢ ϑυγατέρα τῆς μητρὸς ἑαυτοῦ, καὶ ἴδοι τὴν ἀσχημοσύνην αὐτῆς, αὐτή τ' ἴδοι τὴν ἀσχημοσύνην αὐτοῦ· ὄνειδός ἐστι, καὶ ὀλοϑρευϑήσονται ἐν ὄμμασι τῶν υἱῶν τοῦ λεὼ σφῷϊν· τὴν ἀσχημοσύνην τῆς ἀδελφῆς ἑαυτοῦ ἀπεκάλυψε, τοὔγκλημά οἱ ἀρεῖ. [18]καὶ ἀνὴρ ὃς συνανακλιϑείη γυναικὶ νοσούσῃ καὶ ἀποκαλύψῃ τὴν ἀσχημοσύνην αὐτῆς, τὴν φλέβα ταύτης ἀπεκάλυψε, κἀκείνη ἀπεκάλυψε τὴν φλέβα τῶν αἱμάτων αὐτῆς· ὀλοϑρευϑήσονται οὖν ἄμφω αὐτὼ μεταξύϑεν τοῦ λεὼ σφῶν. [19]ἀσχημοσύνην τ' ἀδελφῆς μητρός σου καὶ ἀδελφῆς πατρός σου οὐκ ἀποκαλύψεις· τὴν γὰρ σάρκα οἱ ἀπεκάλυψε, τοὔγκλημα σφῶν ἀροῦσιν. [20]ἀνήρ ϑ' ὃς ἀνακλιϑείη σὺν ϑείᾳ οἱ, ἀσχημοσύνην ϑείου οἱ ἀπεκάλυψε· τὴν ἁμαρτίαν αὐτοῖν ἀρεῖτον, ἀτέκνω τεϑνήξεσϑον. [21]ἀνήρ ϑ' ὃς λάβοι γυναῖκα τοῦ ἀδελφοῦ οἱ ἀπεχούσης τελοῦσαν, ἀσχημοσύνην τοῦ ἀδελφοῦ οἱ ἀπεκάλυψεν· ἀτέκνω τελέσετον. [22]φυλάξετε γοῦν ξυμπάσας τὰς τυπώσεις μου ξυμπάσας τε τὰς κρίσεις μου, καὶ ποιήσετε ταύτας· καὶ οὐκ ἐμέσει ὑμᾶς ἡ γῆ ᾗ ἐγὼ ἄγω ὑμᾶς ἐκεῖσε καϑέζεσϑαι ἐν αὐτῇ. [23]καὶ οὐ βαδιεῖτε ἐν ταῖς τυπώσεσι τοῦ ἔϑνους ὅπερ ἐγὼ πέμπω ἀπὸ προσώπου ὑμῶν, ὅτι ξύμπαντα ταῦτα ἐποίησαν, καὶ τέϑλιμμαι ἐν αὐτοῖς. [24]ἔφην τε ὑμῖν· ὑμεῖς κληρώσεσϑε τὴν γῆν αὐτῶν, κἀγὼ δώσω ταύτην ὑμῖν κληροῦσϑαι ταύτην, γῆν ῥεομένην γάλακτι καὶ μέλιτι· ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν ὃς διέστειλα ὑμᾶς ἀπὸ τῶν λαῶν. [25]διαστελεῖτε τοίνυν ἀνὰ τὸ κτῆνος τὸ καϑαρὸν εἰς τὸ μιαρὸν, κἀνὰ τὸν ὄρνιν τὸν μιαρὸν ἐς τὸν καϑαρὸν, καὶ οὐ σικχανεῖτε τὰς ψυχὰς ὑμῶν ἐν τῷ κτήνει κἀν τῷ ὄρνιϑι κἀν ὁτῳοῦν ὃ ἂν ἕρποι τῇ γῇ, ὅπερ διέστειλα ὑμῖν εἰς μιαρόν. [26]τελέσετε γοῦν μοι ἅγιοι, ὅτι ἅγιός εἰμι ὀντωτὴς, διέστειλά ϑ' ὑμᾶς ἀπὸ τῶν λεῶν εἶναί μοι. [27]καὶ ἀνὴρ ἢ

18. ὀλοϑρευϑήσεται cod. et ed. Si malueris ὀλοϑρευϑήσεσϑον, non moror. 20. ἀρεῖτον — τεϑνήξεσϑον] ἀρεῖται — τεϑνήξεσϑαι cod. et ed. 25. εἰς (non ἐς ut ed.) μιαρόν] לַטְּמֵאָה pro לְטַמֵּא 26. διέστειλά ϑ'] καὶ ἔστειλά ϑ' cod. et ed. Cf. v. 24 sq. cet. Nusquam, quod equidem sciam, forma simplici (στέλλω) hoc sensu utitur.

γυνὴ ἐπὰν τελέσειεν ἐν αὐτοῖς ἐγγαστρίμυϑος ἢ γνωριστής, τῷ ϑνήσκειν τεϑανατώσϑω· ἐν λίϑῳ λεύσουσιν αὐτούς, τὰ αἷματα σφῶν ἐν αὐτοῖς.

XXI. (μερίς)

[1]Ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα· φάϑι πρὸς τοὺς ἱερέας τοὺς υἱέας τοῦ ἀαρῶνος ἐρεῖς τε πρὸς αὐτούς· ἐπὶ ψυχῇ οὐ μιανεῖται ἐν τοῖς λαοῖς αὐτοῦ, [2]εἰ μὴ ἐπὶ τῇ σαρκί οἱ τῇ ἐγγὺς πρὸς αὐτὸν, τῇ μητρί οἱ καὶ τῷ πατρί οἱ καὶ τῷ υἱῷ οἱ τῇ τε ϑυγατρί οἱ καὶ τῷ ἀδελφῷ οἱ, [3]καὶ τῇ ἀδελφῇ οἱ τῇ παρϑένῳ τῇ ἐγγὺς πρὸς αὐτὸν, ἥτις οὐχ ὑπῆρξεν ἀνδρὶ, ἐπὶ ταύτῃ μιανεῖται. [4]οὐ μιανεῖται δεσπότης ἐν τοῖς λαοῖς αὐτοῦ τῷ βεβηλοῦν αὐτόν. [5]οὐ φαλακρώσουσι φαλάκραν ἐν τῇ κεφαλῇ σφῶν καὶ μέρος τοῦ πώγωνος σφῶν οὐ ξυριοῦσιν, ἔν τε τῇ σαρκὶ σφῶν οὐ χαράξουσι χάραγμα. [6]ἅγιοι τελέσουσι τῷ ϑεῷ σφῶν, καὶ οὐ βεβηλώσουσι τοὔνομα τοῦ ϑεοῦ σφῶν· τὰ γὰρ πυρίφλεκτα τοῦ ὀντωτοῦ, τὸν ἄρτον τοῦ ϑεοῦ σφῶν, αὐτὰ προσφέρουσι, τελέσουσί τε ἅγιον. [7]γυναῖκα πόρνην καὶ βέβηλον οὐ λήψονται, γυναῖκά τ' ἐκβεβλημένην πρὸς τοῦ ἀνδρὸς αὐτῆς οὐ λήψονται, ἐπεὶ ἅγιός ἐστι τῷ ϑεῷ οἱ, [8]ἁγιάσει τ' αὐτόν· τὸν γὰρ ἄρτον τοῦ ϑεοῦ σου αὐτὸς προσφέρει· ἅγιος τελέσει σοι, ὅτι ἅγιος ἐγὼ ὁ ὀντωτὴς ὁ ἁγιάζων ὑμᾶς. [9]ϑυγάτηρ τ' ἀνδρὸς ἱερέως ἐπὰν ἄρξηται πορνεύειν, τὸν πατέρα ταύτης ἐκείνη βεβηλοῖ· ἐν πυρὶ καυϑήσεται.

[10]Καὶ ἱερεὺς ὁ μείζων τῶν ἀδελφῶν ἑαυτοῦ, ᾧ κεκένωται ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸ μύρον τῆς χρίσεως ἔπλησέ τε τὴν χεῖρά οἱ ὡς περιβάλλοιτο τὰ ἐνδύματα, τὴν κεφαλὴν ἑαυτοῦ οὐκ ἀποκαλύψει τά ϑ' ἱμάτιά οἱ οὐ ῥήξει [11]κἀφ' ὅντιναοῦν τῶν ψυχῶν τεϑνηκότα οὐκ ἐλεύσεται· τῷ πατρί οἱ καὶ τῇ μητρί οἱ οὐ μιανεῖται· [12]κἀπὸ τοῦ ἱεροῦ οὐκ ἐξελεύσεται οὔτε βεβηλώσει τὸ ἱερὸν τοῦ ϑεοῦ οἱ, στέφανος γὰρ μύρου χρίσεως τοῦ ϑεοῦ οἱ ἐπ' αὐτοῦ· ἐγὼ ὁ ὀντωτής. [13]κἀκεῖνος γυναῖκα ἐν ταῖς παρϑέ-

---

27. τεϑανατώσϑω (τεϑανατωϑώσϑω cod. et ed.)] legisse videtur יוּמָּת (ut cod. Kenn. 244) pro יוּמָתוּ. Nisi forte ν finale librarii negligentiâ excidit legendumque τεϑανατώσϑων. Cf. Deut. XXIV, 16.

XXI. 2. τῷ πατρί] τῷ ipsi addidimus invito codice. 6. τελέσουσί τε ἅγιον] ita, non ἅγιοι, cod. (קֹדֶשׁ). 8. ἁγιάσει] legendum fort. ἁγιάσεις (וְקִדַּשְׁתּוֹ). 10. ἱμάτιά οἱ cod. Ed οἱ om. 13. ἐν τοῖς παρϑενίοις αὐτῆς (בִּבְתוּלֶיהָ)? Cf. Deut. XXII, 14 sqq.

νοις αὐτοῦ λήψεται· [14]χήραν, ἐκβεβλημένην τε καὶ βέβηλον, πόρνην, ταύτας οὐ λήψεται· παρθένον μέντοι πρὸς τῶν λεῶν οἱ λήψεται γυναῖκα, [15]καὶ οὐ βεβηλώσει τὸ σπέρμα οἱ ἐν τοῖς λαοῖς αὐτοῦ· ἐγὼ γὰρ ὁ ὀντωτὴς ἁγιάζω ἕ.

[16]Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [17]διείλεξο πρὸς τὸν ἀαρῶνα τῷ φάσκειν· ἀνὴρ ἀπὸ τοῦ σπέρματός σου ἐς τὰς γενεὰς αὐτῶν ᾧ τελέσει ἐν αὐτῷ μῶμος, οὐκ ἐγγιεῖ προσφέρειν ἄρτον τοῦ θεοῦ οἱ· [18]ὁστισοῦν γὰρ ἀνὴρ ᾧπερ ἐν αὐτῷ μῶμος οὐκ ἐγγιεῖ· ἀνὴρ τυφλὸς ἢ χωλὸς ἢ σιμὸς ἢ πεποδούλκημένος, [19]ἢ ἀνὴρ ᾧ τελέσει ἐν αὐτῷ σύντριμμα ποδὸς ἢ σύντριμμα χειρός, [20]ἢ κυφὸς ἢ στωώδης ἢ λελευκωμένος ἐν ὄμμασιν αὐτοῦ, ἢ ψωριῶν ἢ ἑρπητιῶν ἢ τεθλασμένος τὸν ὄρχιν· [21]ὁστισοῦν ἀνὴρ ᾧπερ ἐν αὐτῷ μῶμος πρὸς τοῦ σπέρματος ἀαρῶνος τοῦ ἱερέως, οὐ πλησιάσει προσφέρειν τὰ πυρίφλεκτα τοῦ ὀντωτοῦ· μῶμος ἐν αὐτῷ, τὸν ἄρτον τοῦ θεοῦ οἱ οὐκ ἐγγιεῖ προσφέρειν. [22]ἄρτον τοῦ θεοῦ οἱ πρὸς τῶν ἁγίων τῶν ἁγίων καὶ πρὸς τῶν ἁγίων ἔδεται· [23]πρὸς μέντοι τὴν αὐλαίαν οὐκ ἀφίξεται πρός τε τὸ θυτήριον οὐκ ἐγγιεῖ· μῶμος γὰρ ἐν αὐτῷ, καὶ οὐ μολυνεῖ τὰ ἱερά μου, καὶ γὰρ ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω αὐτά. [24]διείλεκται γοῦν μωσεὺς πρὸς τὸν ἀαρῶνα πρός τε τοὺς υἱέας αὐτοῦ καὶ πρὸς πάντας τοὺς υἱέας τοῦ ἰσραέλου.

XXII. [1]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2]διείλεξο πρὸς τὸν ἀαρῶνα καὶ πρὸς τοὺς υἱέας αὐτοῦ, καὶ διασταλεῖεν πρὸς τῶν ἁγίων τῶν υἱέων τοῦ ἰσραέλου, καὶ οὐ μὴ βεβηλῷεν τοὔνομα τὸ ἅγιόν μου, ὅπερ αὐτοὶ ἁγιάζουσί μοι· ἐγὼ ὁ ὀντωτής. [3]φάθι πρὸς αὐτούς· ἐς τὰς γενεὰς ὑμῶν πᾶς ἀνὴρ ὃς προσοίσει πρὸς ὁτουοῦν σπέρματος ὑμῶν πρὸς τὰ ἅγιά μου, ἅπερ ἁγιάσουσιν οἱ

---

14. τῶν λεῶν] τῷ λεῷ cod. et ed. (cf. XXIII, 29). An legendum τοῦ λεώ (cf. XVII, 9. Exod. XXX, 33)? 18. πεποδουλκημένος (sic) cod., non πεποδουκλημ. ut ed. 20. στωώδης] codicis scripturam mutare non ausus sum. Legendum suspiceris σκυτώδης, vel potius ναννώδης (דַּק). λελευκώμενος c. cd. ed. ἑρπητιῶν] sic cod., non ἑρπετιῶν ut ed. 24. υἱέας (1) cod., non υἱεῖς

XXII. 2. βεβηλῷεν] sic, non βεβηλοῖεν, cod. Cf. Gen. VI, 19 s. VII, 3. IX, 14 cet. 3. προσοίσει] יַקְרִיב (ita cod. Kenn. 2 a pr.) pro יִקְרַב τὰ ἅγιά μου] הַקֳּדָשַׁי pro הַקֳּדָשִׁים?

υἱεῖς τοῦ ἰσραέλου τῷ ὀντωτῇ, καίτοι ὁ μιασμὸς αὐτοῦ ἐπ' αὐτοῦ, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπέμπροσϑέν μου· ἐγὼ ὁ ὀντωτής. [4]ἀνὴρ ἀνὴρ πρὸς τοῦ σπέρματος τοῦ ἀαρῶνος, κἀκεῖνος λελεπρωμένος ἢ ῥέων, ἐν τοῖς ἁγίοις οὐκ ἔδεται μέχρις ἂν καϑαρϑείη· καὶ ὁ ϑίγων ὁτουοῦν ἐναγοῦς τὴν ψυχήν, ἢ ἀνὴρ ᾧπερ ἐξέρχοιτο ἀπ' αὐτοῦ κοίτη σπέρματος, [5]ἢ ἀνὴρ ὃς ἐγγιεῖ ἐς ὁτιοῦν ἑρπετὸν ᾧ μιανεῖταί οἱ, ἢ εἰς ἄνϑρωπον ᾧ μιανεῖταί οἱ ᾧτινιοῦν μιασμῷ αὐτοῦ· [6]ψυχὴ ἥπερ ἅψαιτο αὐτοῦ, καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας, οὔτε ἔδεται πρὸς τῶν ἁγίων εἰ μὴ λούσειε τὴν σάρκα οἱ ἐν ὕδατι. [7]καὶ δύνοι ὁ ἥλιος καὶ καϑαρϑείη, καὶ μεταταῦτα φάγεται πρὸς τῶν ἁγίων· ἄρτος γὰρ αὐτοῦ ἐστι. [8]τεϑνηκὸς καὶ ἅρπαγμα οὐκ ἔδεται, ὡς μιανϑείη ἐν αὐτῷ· ἐγὼ ὁ ὀντωτής. [9]φυλάξουσί τε τὴν φύλαξίν μου, καὶ οὐκ ἀροῦσιν ἐπ' αὐτῆς ἁμαρτίαν καὶ ϑανοῦνται ἐν αὐτῇ, ὅτι βεβηλώσουσιν αὐτήν· ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω σφᾶς. [10]ὁστισοῦν τε ἀλλότριος οὐκ ἔδεται ἅγιον· καϑέδρα ἱερέως καὶ μίσϑιος οὐκ ἔδεται ἅγιον. [11]ἱερεύς τ' ἐπὰν κτήσηται ψυχὴν κτῆσιν ἀργύρου αὐτοῦ, κεῖνος ἔδεται ἐν αὐτῷ, οἰκογεννής τέ οἱ, αὐτοὶ ἔδονται ἐν τῷ ἄρτῳ οἱ. [12]ϑυγάτηρ ϑ' ἱερέως ἐπὰν τελέσῃ ἀνδρὶ ἀλλοτρίῳ, κείνη ἐν τῷ ἐξάρματι τῶν ἁγίων οὐκ ἔδεται. [13]καὶ ϑυγάτηρ ἱερέως ἐπὰν τελέσῃ χήρα καὶ ἐκβεβλημένη, σπέρμα τ' οὐκ ἔχουσα, καὶ στραφῇ πρὸς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι ταύτης, πρὸς τοῦ ἄρτου τοῦ πατρὸς αὐτῆς ἔδεται· καὶ ὁστισοῦν ὀϑνεῖος οὐκ ἔδεται ἐν αὐτῷ. [14]ἀνὴρ δ' ἐπὰν φάγοι ἅγιον ἐν λήϑῃ, προσϑήσει τε τὸ πέμπτον αὐτοῦ ἐπ' αὐτῷ καὶ δώσει τῷ ἱερεῖ τὸ ἅγιον. [15]καὶ οὐ βεβηλώσουσι τὰ ἅγια τῶν υἱέων τοῦ ἰσραέλου ἅπερ ἐξαροῦσι τῷ ὀντωτῇ, [16]καὶ ἀροῦσιν αὐτὰ ἀμπλάκημα πλημμελείας, ἐπὰν ἐσϑίοιεν αὐτοὶ τὰ ἅγια σφῶν· ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω σφᾶς.

[17]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [18]διείλεξο πρὸς ἀαρῶνα καὶ πρὸς τοὺς υἱέας αὐτοῦ καὶ πρὸς πάντας τοὺς υἱέας

---

5. μιανεῖται (1) cod., non μιαίνεται ut ed. 9. ἐπ' αὐτῆς] ἐπ' αὐτοῦ cod. et ed. 10. καϑέδρα] quasi מוֹשָׁב scriptum esset, non תּוֹשָׁב. An corrigendum κάϑεδρος (cf. Exod. XII, 45. Num. XXXV, 15 cet.)? 13. ἐν τῇ νεότητι] בִּנְעוּרֶיהָ (ita cod. Kenn. 155, nonn. codd. Ross.) pro כִּנְ 16. ἀροῦσιν αὐτὰ] desideraveris praepositionem (ἐπ') ante αὐτά. At nihil excidit (וְהִשִּׂיאוּ אוֹתָם). ἐγὼ κτλ.] כִּי om.

τοῦ ἰσραέλου, φήσεις τε πρὸς αὐτούς· ἀνὴρ ἀνὴρ ἀπὸ τοῦ οἴκου τοῦ ἰσραέλου κἀπὸ τοῦ μετοίκου ἐν τῷ ἰσραέλῳ, ὃς προσοίσει τὴν προσφορὰν ἑαυτοῦ εἰς ὁτιοῦν τῶν εὐχῶν αὐτῶν εἴς ϑ' ὁτιοῦν τῶν ἐλευϑεριοτήτων αὐτῶν, ἣν προσοίσουσι τῷ ὀντωτῇ εἰς ἀναφοράν, [19] εἰς ϑέλημα ὑμῶν, τέλειον, ἄρρεν, ἐν βοΐ, ἐν προβάτοις κἂν αἰξίν· [20] ὁτιοῦν ᾧπερ ἐν αὐτῷ μῶμος οὐ προσοίσετε, ὅτι οὐκ εἰς βούλημα τελέσει ὑμῖν. [21] ἀνήρ τ' ἐπὰν προσενέγκαι ϑύμα εἰρηναίων τῷ ὀντωτῇ τῷ ϑαυμαστῶσαι εὐχὴν, ἢ εἰς ἐλευϑεριότητα, ἐν βουσὶν ἢ ἐν προβάτοις, τέλειον τελέσει, εἰς ϑέλημα, ὁστισοῦν μῶμος οὐ τελέσει ἐν αὐτῷ. [22] τυφλὸν ἢ συντετριμμένον ἢ τετμημένον ἢ φυματιῶν ἢ ψωριῶν ἢ ἑρπητιῶν, οὐ προσοίσετε ταῦτα τῷ ὀντωτῇ, πυρίφλεκτόν τ' οὐ δώσετε πρὸς αὐτῶν ἐπὶ τοῦ ϑυτηρίου τῷ ὀντωτῇ. [23] βοῦν τε καὶ πρόβατον ὑπερτεταμένον ἢ βεβραχυμένον, ἐλευϑεριότητα ποιήσεις αὐτὸ, εἰς μέντοι εὐχὴν οὐ ϑεληϑήσεται. [24] τεϑλιβός τε καὶ τεϑλασμένος, ἀνεσπασμένος τε καὶ τετμημένος, οὐ προσοίσετε τῷ ὀντωτῇ κἂν τῇ γῇ ὑμῶν οὐ ποιήσετε. [25] πρός τε χειρὸς υἱέος ἀλλοτρίου οὐ προσοίσετε τὸν ἄρτον τοῦ ϑεοῦ ὑμῶν πρὸς ἁπάντων τούτων, ἐπεὶ ἡ φϑορὰ σφῶν ἐν αὐτοῖς μῶμος ἐν αὐτοῖς· οὐ ϑεληϑήσονται ὑμῖν. [26] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [27] βοῦς ἢ πρόβατον ἢ αἴξ ἐπὰν γεννηϑῇ, τελέσει τε ἑπτὰ ἡμέραις ὑπὸ τῇ μητρί οἱ, κἂν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα ϑεληϑήσεται εἰς προσφορὰν πυριφλέκτου τῷ ὀντωτῇ. [28] βοῦν τε ἢ πρόβατον, αὐτό τε καὶ υἱὸν αὐτοῦ, οὐ σφάξετε ἐν ἡμέρᾳ μιᾷ. [29] ἐπὰν δὲ ϑύσητε ϑυσίαν ὁμολογίας τῷ ὀντωτῇ, εἰς ϑέλημα ὑμῶν ϑύσετε. [30] ἐν τῇ ἡμέρᾳ κείνῃ βρωϑήσεται, οὐ περιλείψετε ἀπ' ἐκείνου ἄχρις ἕω· ἐγὼ ὁ ὀντωτής. [31] καὶ φυλάξετε τὰς κελεύσεις μου καὶ ποιήσετε αὐτάς· ἐγὼ ὁ ὀντωτής. [32] καὶ οὐ βεβηλώσετε τοὔνομα τὸ ἅγιόν μου, ἁγιασϑήσομαι δ' ἐν μέσῳ τῶν υἱέων τοῦ ἰσραέλου· ἐγὼ ὁ ὀντωτὴς ἁγιάζω ὑμᾶς, [33] ὁ ἐξάγων ὑμᾶς ἀπὸ γῆς αἰγύπτου ὡς εἴην ὑμῖν εἰς ϑεόν· ἐγὼ ὁ ὀντωτής.

---

21. ϑύμα| hoc accentu utitur. Cf. III, 3. Deut. XVIII, 3. Prol. I, 4, c.
22. ἑρπετιῶν rursus c. cd. ed. 23. ϑελεϑήσεται c. cd. ed. itemque v. 27, et v. 25 ϑελεϑήσονται 24. τεϑλιβός (τε. [24] Θλιβός invito codice ed.)] nonne τεϑλιμμένος (מָעוּךְ)? ἀνεσπασμένον — τετμημένον c. cd. ed. οὐ προσοίσετε] οὐ ipsi addidimus.

XXIII.

[1] Διειλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ὅροι τοῦ ὀντωτοῦ οἷς καλέσετε σφᾶς κλήσεις ἁγίου, οὗτοί εἰσιν οἱ ὅροι μου. [3] ἓξ ἡμέραις ποιηϑήσεται ἐργασία, κἂν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ παῦλα, κατάπαυμα, κλῆσις ἁγίου· ἡντιναοῦν ἐργασίαν οὐ ποιήσετε, παῦσίς ἐστι τῷ ὀντωτῇ ἐν πάσαις ταῖς καϑέδραις ὑμῶν.

[4] Οὗτοι γάρ εἰσιν οἱ ὅροι τοῦ ὀντωτοῦ, κλήσεις τοῦ ἁγίου, οἷς καλέσετε αὐτοὺς ἐν τῷ ὅρῳ σφῶν· [5] ἐν τῷ μηνὶ τῷ πρώτῳ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἀνὰ τὰς ἑσπέρας ἅλμα τοῦ ὀντωτοῦ, [6] κἂν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων τοῦ ὀντωτοῦ· ἑπτὰ ἡμέραις ἄζυμα ἔδεσϑε. [7] ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ κλῆσις ἁγίου τελέσει ὑμῖν, ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε· [8] προσοίσετε δ' ἔμπυρον τῷ ὀντωτῇ ἑπτὰ ἡμέραις. ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κλῆσις ἁγία, ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε.

[9] Διειλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [10] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἐπὰν ἀφίκοισϑε πρὸς ~~τὴν γῆν ἣν ἐγὼ~~ δίδωμι ὑμῖν, καὶ ἀμήσετε τὸν ἀμητὸν αὐτῆς· οἴσετε γοῦν τὸ δράγμα τῆς ἀρχῆς τοῦ ϑέρους ὑμῶν πρὸς τὸν ἱερέα· [11] καὶ ὑψώσει τὸ δράγμα ἐνώπιον τοῦ ὀντωτοῦ εἰς ϑέλημα ὑμῶν, ἀπὸ τῆς αὔριον τῆς παύσεως ἐπαρεῖ αὐτὸ ὁ ἱερεύς. [12] καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ τοῦ ἐπαίρειν ὑμᾶς τὸ δράγμα πρόβατον τέλειον υἱὸν ἔτους αὐτοῦ εἰς ἀναφορὰν τῷ ὀντωτῇ· [13] τὸ δὲ μειλιγμά οἱ δύο δεκάτω σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ, πυρίφλεκτον τῷ ὀντωτῇ, ὀδμὴ ἀναπαύματος, σπονδή τέ οἱ οἴνου τέταρτον τοῦ ξέστου· [14] καὶ ἄρτον, δίπυρόν τε καὶ ἄσταχυν οὐκ ἔδεσϑε μέχρι τοῦ χρήματος τῆς ἡμέρας τησδί, μέχρις ἂν φέρητε ὑμεῖς τὴν προσφορὰν τοῦ ϑεοῦ ὑμῶν· τύπωσις αἰῶνος ταῖς γενεαῖς ὑμῶν ἐν πάσαις ταῖς καϑέδραις ὑμῶν.

XXIII. 4. Οὗτοι γάρ εἰσιν] credideris eum כִּי אֵלֶּה legisse pro אֵלֶּה t. rec. Ego vero opinor, inde natum esse illud γάρ, quod, textum Hebr. oculo veloci percurrens, literam פ (i. e. פתוחה), ante אֵלֶּה positam, pro כִּי habuit. Ceterum cf. Prol. II, 2, i. 8. ἁγία] sic cod. Cf. v. 2. 4. 7 (ἁγίου). Item v. 24. 10. ἀμήσετε — ἀμητὸν] item v. 22. Cf. XIX, 9. Prol. I, 4, c.

[15]Καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς αὔριον τῆς παύσεως, ἀπὸ τῆς ἡμέρας τοῦ φέρειν ὑμᾶς τὸ δράγμα τῆς ἐπάρσεως, ἑπτὰ παύσεις τέλειαι ἔσονται· [16]μέχρι τῆς ἀπαύριον τῆς παύσεως τῆς ἑβδόμης ἀριθμήσετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε μείλιγμα καινὸν τῷ ὀντωτῇ. [17]πρὸς τῶν καθεδρῶν ὑμῶν οἴσετε ἄρτον προσφορᾶς, δύο δυοῖν δεκάτοιν σεμιδάλεως ὑπάρξουσι, ζυμωτὸν κλιβανωθήσεται, πρωτόγονα τῷ ὀντωτῇ· [18]προσοίσετε δ' ἐπὶ τῷ ἄρτῳ ἑπτὰ πρόβατα τέλεια ἐνιαύσια, ταῦρόν θ' υἱὸν βουκολίου ἕνα καὶ κριὼ δύο· τελέσουσιν ἀναφορὰ τῷ ὀντωτῇ, καὶ τὸ μείλιγμα σφῶν καὶ αἱ σπονδαὶ σφῶν ἔμπυρον, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ· [19]ποιήσετε χίμαρον αἰγῶν ἕνα εἰς ἁμαρτίαν δύο τε προβάτω ἐνιαυσίω εἰς θυσίαν εἰρηναίων· [20]ὑψώσει θ' ὁ ἱερεὺς αὐτὰ ἐπὶ τῷ ἄρτῳ τῶν πρωτογόνων ὕψωμα ἐνώπιον τοῦ ὀντωτοῦ ἐπὶ τοῖν δυοῖν προβάτοιν· ἅγιον τελέσουσι τῷ ὀντωτῇ, τῷ ἱερεῖ. [21]καὶ βοήσετε ἐν τῷ χρήματι τῆς ἡμέρας ταυτησί· βοὴ ἁγίου τελέσει ὑμῖν, ἥντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε· τύπωσις αἰῶνος ἐν πάσαις ταῖς καθέδραις ὑμῶν ἐς τὰς γενεὰς ὑμῶν. [22]ἐπὰν δ' ἀμήσητε τὸν ἀμητὸν τῆς γῆς ὑμῶν, οὐ τελευτήσεις τὸ μέρος τοῦ ἀγροῦ σου ἐν τῷ ἀμᾶν σε, συλλογήν τε τοῦ ἀμητοῦ σου οὐ συλλέξεις· τῷ πτωχῷ καὶ τῷ μετοίκῳ παρήσεις αὐτά· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν.

[23]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάσκειν· [24]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἐν τῇ πρώτῃ τοῦ μηνὸς τελέσει ὑμῖν κατάπαυσις, μνήμη ἀλαλαγμοῦ, κλῆσις ἁγία. [25]ἥντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε, καὶ προσοίσετε πυρίφλεκτον τῷ ὀντωτῇ.

[26]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [27]ἀλλ' ἐν τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τουτουΐ ἡμέρα παραιτήσεών ἐστι, κλῆσις ἁγία τελέσει ὑμῖν· ταπεινώσετε τοίνυν τὰς ψυχὰς ὑμῶν, καὶ προσοίσετε πυρίφλεγμα τῷ ὀντωτῇ. [28]καὶ ἥντιναοῦν ἐργασίαν οὐ ποιήσετε ἐν τῷ χρήματι τῆς ἡμέρας ταύτης, ἡμέρα γὰρ παραιτήσεών ἐστιν, ὡς παραιτήσαισθε ἐφ' ὑμῖν αὐτοῖς

16. ἀπαύριον] codicis scripturam retinuimus. Cf. Gen. XIX, 34. Exod. IX, 6. ἡμέρας cod., non ἡμέραις ut ed. 21. ταυτησί] vix aliter cod., nequaquam ταύτῃ ἡ, quod relatum erat Ammonio. Ed. ταύτης, ἡ (βοή). 22. ἀμήσητε (cf. v. 10) cod., non ἀμήσετε ut ed. 23. Διείλεκτο c od. ed.

ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν. [29]ἐπεὶ πᾶσα ψυχὴ ἣ οὐ ταπεινωθήσεται ἐν τῷ χρήματι τῆς ἡμέρας ταυτησί, καὶ ὀλοθρευθήσεται πρὸς τῶν λεῶν αὐτῆς· [30]πᾶσά τε ψυχὴ ἣ ποιήσειεν ἡντιναοῦν ἐργασίαν ἐν τῷ χρῷ τῆς ἡμέρας ταυτησί, καὶ ἀπολῶ τὴν ψυχὴν ἐκείνην μέσοθεν τοῦ ταύτης λεώ. [31]ἡντιναοῦν ἐργασίαν οὐ ποιήσετε· τύπωσις αἰῶνος ταῖς γενεαῖς ὑμῶν ἐν πάσαις ταῖς καθέδραις ὑμῶν. [32]παῦλα παυλίδιόν ἐστιν ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· ἐν τῇ ἐννάτῃ τοῦ μηνὸς ἐν τῇ ἑσπέρᾳ, ἀφ' ἑσπέρας ἄχρις ἑσπέρας καταπαύσετε τὴν κατάπαυσιν ὑμῶν.

[33]Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [34]διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τουτουΐ ἑορτὴ τῶν καλυβῶν ἑπτὰ ἡμέραις τῷ ὀντωτῇ. [35]ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ κλῆσις ἁγία, ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε. [36]ἑπτὰ ἡμέραις προσοίσετε πυρίφλεγμα τῷ ὀντωτῇ· ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ κλῆσις ἁγία τελέσει ὑμῖν, προσοίσετε τοίνυν πυρίφλεκτα τῷ ὀντωτῇ· κωλύμη ἐστίν, ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε. [37]οὗτοι οἱ ὅροι τοῦ ὀντωτοῦ οἷς καλέσετε σφᾶς κλήσεις ἁγίου προσφέρειν ἔμπυρον τῷ ὀντωτῇ, ἀναφορὰν μειλιγμά τε, θυσίας καὶ σπονδάς, λόγῳ ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, [38]χωρὶς τῶν καταπαύσεων τοῦ ὀντωτοῦ χωρίς τε τῶν δωρεῶν ὑμῶν καὶ χωρὶς πασῶν τῶν εὐχῶν ὑμῶν χωρίς τε πασῶν τῶν ἐλευθεριοτήτων ὑμῶν ἃς δώσετε τῷ ὀντωτῇ. [39]ἐν μέντοι τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, ὅταν συνάγητε ὑμεῖς τὴν εἰσφορὰν τῆς γῆς, ἑορτάσετε τὴν ἑορτὴν τοῦ ὀντωτοῦ ἑπτὰ ἡμέραις· ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ παῦλα κἀν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ παῦλα. [40]λήψεσθέ θ' ὑμῖν αὐτοῖς ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύλου καλλονῆς, κλάδους φοινίκων καὶ κλάδον ξύλου πλεκτοῦ ἰτέας τε χειμάρρου, καὶ ἡσθήσεσθε κατέμπροσθεν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ἑπτὰ ἡμέραις· [41]καὶ ἑορτάσετε ταύ-

---

29. (πρὸς τῶν λεῶν) αὐτῶν cod. et ed. Saepius compendia syllabarum ῶν et ῆς a librario confunduntur. Cf. Prol. I, 3, a. 32. ἐννάτῃ] sic, non ἐνάτῃ, cod. 37. θυσίας] legendum suspicor θυσίαν (זֶבַח). Cf. not. sq. 40. ὑμῖν αὐτοῖς perperam ed. Cf. not. ad Gen. XXXIV, 5. κλάδον (ξύλου) cod., non κλάδους ut ed. Singularem וְכַפֹּת pluraliter reddere non ausus est.

την ἑορτὴν τῷ ὀντωτῇ ἑπτὰ ἡμέραις ἐν τῷ ἔτει· τύπωσις αἰῶνος ταῖς γενεαῖς ὑμῶν, ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτάσετε ταύτην. [42] ἐν καλύβαις καθεδεῖσθε ἑπτὰ ἡμέραις· ἅπας αὐτόχθων ἐν τῷ ἰσραέλῳ καθεδοῦνται ἐν καλύβαις, [43] ἵνα γνῶσιν αἱ γενεαὶ ὑμῶν ὅτι ἐν καλύβαις ἐκάθισα τοὺς υἱέας τοῦ ἰσραέλου ὅτ' ἐξῆγον ἐγὼ σφᾶς ἀπὸ τῆς γῆς τῆς αἰγύπτου· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [44] διείλεκταί θ' ὁ μωσεὺς τοὺς ὅρους τοῦ ὀντωτοῦ πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου.

XXIV. [1] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] κέλευσον τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ λαβέτωσαν πρὸς σὲ ἔλαιον ἐλαίας καθαρᾶς, κόμμα, εἰς τὸν φωτισμὸν, ὥστ' ἀναφέρειν λύχνον διηνεκῶς. [3] ἔξωθεν τῆς αὐλαίας τῆς μαρτυρίας ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ διατάξει αὐτὸν ἀαρὼν ἀφ' ἑσπέρας ἄχρις ἕω πρόσθεν τοῦ ὀντωτοῦ διηνεκῶς· τύπωσις αἰῶνος ταῖς γενεαῖς ὑμῶν. [4] ἐπὶ τοῦ λαμπτῆρος τοῦ καθαροῦ τάξει τοὺς λύχνους ἐπίπροσθεν τοῦ ὀντωτοῦ διηνεκῶς.

° [5] Λήψῃ δὲ σεμίδαλιν καὶ ἀρτουργήσεις αὐτὴν δυοκαίδεκα ψήττας, δύο δεκάτω τελέσει ἡ ψῆττα ἡ μία· [6] θήσεις τε αὐτὰς δύο στίχω, ἓξ ὁ στίχος, ἐπὶ τῆς τραπέζης τῆς καθαρᾶς ἐπίπροσθεν τοῦ ὀντωτοῦ· [7] καὶ δώσεις ἐπὶ τοῦ στίχου λίβανον καθαρὸν, τελέσει τ' εἰς ἄρτον εἰς μνήμην ἔμπυρον τῷ ὀντωτῇ· [8] ἐν ἡμέρᾳ τῆς καταπαύσεως ἐν ἡμέρᾳ τῆς καταπαύσεως διατάξει αὐτὸν ἐπίπροσθεν τοῦ ὀντωτοῦ διηνεκῶς, πρὸς τῶν υἱέων τοῦ ἰσραέλου συνθήκη αἰῶνος· [9] τελέσει τε τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ, καὶ ἔδονταί ἑ ἐν τόπῳ ἁγίῳ· ἅγιον γὰρ ἁγίων ἐστὶν αὐτῷ πρὸς τῶν ἐμπύρων τοῦ ὀντωτοῦ, τύπος αἰῶνος.

[10] Ἐξῆλθε δ' υἱεὺς γυναικὸς ἰσραελίτιδος, κἀκεῖνος υἱὸς ἀνδρὸς αἰγυπτίου, μέσον τῶν υἱέων τοῦ ἰσραέλου· ἐμαχέσαντο δ' ἐν τῷ στρατοπέδῳ ὁ υἱὸς τῆς ἰσραελίτιδος καὶ ἀνὴρ ὁ ἰσραελίτης. [11] ἡρμήνευσεν οὖν ὁ υἱὸς τῆς γυναικὸς τῆς ἰσραελίτιδος τοὔνομα καὶ ἐβλασφήμησεν. ἤνεγκαν οὖν αὐτὸν πρὸς μωσέα. τοὔνομα δὲ τῆς μητρὸς αὐτοῦ σελομίθη θυγάτηρ διβρῖνος τοῦ σκήπτρου

---

41. ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ] ita oscitanter aut librarius aut ipse translator pro ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ (בַּחֹדֶשׁ הַשְּׁבִיעִי).

XXIV. 2. πρὸς σὲ] ita omnino cod., non πρός σε ut ed. Cf. Prol. I, 4, b. 5. δύο καὶ δέκα repugnante codice ed. Cf. not. ad Gen. V, 8.

τοῦ δανός. [12] ἀφῆκάν τ' αὐτὸν ἐν τῇ φυλακῇ, ἑρμηνεῦσαι σφίσιν ἐπὶ τοῦ στόματος τοῦ ὀντωτοῦ.

[13] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [14] ἐξάγαγε τὸν βλάσφημον πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου, στηριοῦσί τε πάντες οἱ ἀκούοντες τὰς χεῖρας σφῶν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, λεύσουσί τ' αὐτὸν πᾶν τὸ ἄϑροισμα. [15] πρὸς μέντοι τοὺς υἱέας τοῦ ἰσραέλου διαλέξῃ τῷ φάσκειν· ἀνὴρ ἀνὴρ ἐπὰν βλασφημήσῃ τὸν ϑεὸν ἑαυτοῦ, τοίνυν ἀρεῖ τὴν ἁμαρτίαν αὐτοῦ, [16] ἑρμηνεύων τε τοὔνομα τοῦ ὀντωτοῦ τῷ ϑνήσκειν ϑανατούσϑω· τῷ λεύειν λεύσουσιν εἰς αὐτὸν πᾶν τὸ ἄϑροισμα· καϑάπερ ὁ μέτοικος οὕτως ὁ αὐτόχϑων, ἐπὰν ἑρμηνεύοι αὐτὸς τοὔνομα ϑανατούσϑω. [17] καὶ ἀνὴρ ἐπὰν πλήξῃ ἥντιναοῦν ψυχὴν ἀνϑρώπου, τῷ ϑνήσκειν τεϑανατώσϑω· [18] πλήττων δὲ ψυχὴν κτήνους ἀποτίσει αὐτὴν, ψυχὴν ἀντὶ ψυχῆς. [19] ἀνήρ τ' ἐπὰν δοίη μῶμον ἐν τῷ ὁμοεϑνεῖ οἱ, καϑάπερ ἐποίησε τῇδε ποιηϑήσεταί οἱ· [20] σύντριμμα ἀντὶ συντρίμματος, ὀφϑαλμοῦ ἀντ' ὀφϑαλμοῦ, ὀδόντος ἀντ' ὀδόντος· καϑάπερ δοίη μῶμον ἐν τῷ ἀνϑρώπῳ, τῇδε δεδόσϑω ἐν αὐτῷ. [21] πλήττων δὲ κτῆνος ἀποτίτω αὐτὸ, πλήττων τε ἄνϑρωπον ϑανατούσϑω. [22] κρίσις μία τελέσει ὑμῖν, ὡς ὁ μετοίκων οὕτως ὁ αὐτόχϑων ὑπάρξει· ἐπεὶ ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν.

[23] Διείλεκται δὲ μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου, καὶ ἐξήνεγκαν τὸν βλάσφημον πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου καὶ ἔλευσαν αὐτὸν λίϑῳ· οἵ ϑ' υἱεῖς τοῦ ἰσραέλου ἐποίησαν καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

XXV. (μερίς)

[1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῷ ὄρει τῶν ξινάων τῷ φάναι· [2] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἐπὰν ἀφίκοισϑε πρὸς τὴν γῆν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ κατάπαυσιν τῷ ὀντωτῇ. [3] ἓξ ἔτεσι σπερεῖς τὸν ἀγρόν σου, ἓξ ἔτεσι τεμεῖς τὸν ἀμπελῶ σου καὶ συνάξεις τὴν εἰσφορὰν αὐτῶν· [4] ἐν δὲ τῷ ἔτει τῷ ἑβδόμῳ παῦλα παῦσις τε-

---

16. λεύσουσιν εἰς αὐτὸν] cave expungas εἰς (יִרְגְּמוּ־בוֹ). Cf. Prol. II, 2, g. οὕτως cod., non οὕτω ut Mor. ait. 17. τεϑανατούσϑω cod. et ed. 20. Legendum ὀφϑαλμὸν ἀντ' ὀφϑαλμοῦ, ὀδόντα ἀντ' ὀδόντος. Cf. Exod. XXI, 24. δεδόσϑω cod., non δεδώσϑω ut ed. 23. πρὸς τὰ ἔξωϑεν corr. προσταέξωϑεν cod. Cf. Prol. I, 4, d.

XXV. 3. αὐτῶν] αὐτοῦ (תְּבוּאָתָהּ)? An suffixum ָהּ cum ָם confudit?

λέσει τῇ γῇ, παῦσις τῷ ὀντωτῇ· τὸν ἀγρόν σου οὐ σπερεῖς καὶ τὸν ἀμπελῶ σου οὐ τεμεῖς, [5] τὰ αὐτόματα τοῦ ἀμητοῦ σου οὐχ ἀμήσεις καὶ τὰς σταφυλὰς τοῦ ἀγεωργήτου σου οὐ τρυγήσεις· ἔτος παύσεως τελέσει τῇ γῇ. [6] καὶ τελέσει ἡ παῦλα τῆς γῆς ὑμῖν εἰς ἐδωδὴν, σοί τῷ τε δούλῳ σου καὶ τῇ δούλῃ σου, καὶ τῷ μισθίῳ σου τῷ τε καθέδρῳ σου τοῖς παροικοῦσι παρὰ σοί· [7] καὶ τῷ κτήνει σου καὶ τῷ ζώῳ τῷ ἐν τῇ γῇ σου τελέσει πᾶσα ἡ εἰσφορὰ ταύτης ὥστε ἐσθίειν. [8] Ἀριθμήσῃ δὲ σαυτῷ ἑπτὰ παύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις, καὶ τελέσουσί σοι ἡμέραι ἑπτὰ παύσεων, τὰ ἔτη, ἐννέα καὶ τετταράκοντα ἔτη. [9] διάξεις τοίνυν κέρας θρύλλου ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἐν τῇ δεκάτῃ τοῦ μηνὸς, ἐν τῇ ἡμέρᾳ τῆς παραιτήσεως διάξετε κέρας εἰς πᾶσαν τὴν γῆν ὑμῶν. [10] καὶ ἁγιάσετε τὸ ἔτος τῶν πεντήκοντα ἐτῶν, καὶ βοήσετε λύτρωσιν ἐν τῇ γῇ πᾶσι τοῖς ἐφέδροις αὐτῆς· κέρας τελέσει ὑμῖν, καὶ στραφήσεσθε ἕκαστος πρὸς τὴν κατάσχεσιν ἑαυτοῦ, καὶ ἕκαστος πρὸς τὴν φρήτραν αὐτοῦ στραφήσεσθε. [11] κέρας αὐτὸ τὸ ἔτος τοῦ πεντηκονταετοῦς τελέσει ὑμῖν· οὐ σπερεῖτε, οὐχ ἀμήσετε τὰ αὐτόματα ταύτης καὶ οὐ τρυγήσετε τὰ ἀγεώργητα ταύτης· [12] κέρας γάρ ἐστιν, ἅγιον τελέσει ὑμῖν· ἀπὸ τοῦ ἀγροῦ ἔδεσθε τὴν εἰσφορὰν αὐτοῦ. [13] ἐν τῷ ἔτει τοῦ κέρως τουδὶ στραφήσεσθε ἕκαστος πρὸς τὴν κατάσχεσιν ἑαυτοῦ. [14] καὶ ἐπὰν πράσητε πρᾶσιν τῷ ὁμοεθνεῖ σοι ἢ τῷ ὠνεῖσθαι πρὸς χειρὸς ὁμοεθνοῦς σοι, μὴ ἀλγύνητε ἕκαστος πρὸς τὸν ἀδελφὸν ἑαυτοῦ· [15] ἐν τῷ ἀριθμῷ τῶν ἐτῶν μετὰ τὸ κέρας ὠνήσῃ πρὸς τοῦ ὁμοεθνοῦς σοι, ἐν τῷ ἀριθμῷ τῶν ἐτῶν τῶν εἰσφορῶν πράσει σοι. [16] κατὰ τὸ πλῆθος τῶν ἐτῶν πληθυνεῖς τὴν ὠνὴν αὐτοῦ, κατὰ τὸ ὀλίγωμα τῶν ἐτῶν ὀλιγώσεις τὴν ὠνὴν αὐτοῦ· τὸν γὰρ ἀριθμὸν τῶν εἰσφορῶν ἐκεῖνος πράττει σοι. [17] οὔκουν ἀλγυνεῖτε ἕκαστος τὸν ὁμοεθνῆ οἱ, δείσεις δ' ἀπὸ τοῦ θεοῦ σου· ἐγὼ γὰρ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [18] ποιήσετε τοίνυν τὰς τυπώσεις μου, καὶ τὰς κρίσεις μου τηρήσετε καὶ ποιήσετε ταύτας, καὶ

---

4. οὐ (1) non abest a codice (cf. Amm. ad h. l.), sed supra lineam ab eadem manu postea additum. 5. ἀμητοῦ — ἀμήσεις] **cf. Prol. I, 4, c. 6.** ἐδωδὴν, σοὶ κτλ.] **invito codice ed. sic:** ἐδωδήν σοι, κτλ. **10.** τελέσει] הִוא **om. Cf. v. sq. 14.** πρὸς τὸν ἀδελφὸν] אֶל־אָחִיו **(ita codd. Kenn. 150 et 193) pro** אֶת־אָחִיו ὀλιγώσεις] ὀλίγωμα **cod. et ed. Cf. Num. XXVI, 54. XXXIII, 54.** πράττει] πράτει **cod. et ed. Cf. Prov. XI, 26.**

καθεδεῖσθε ἐπὶ τῆς γῆς πεποιθότως· [19] δώσει δ' ἡ γῆ τὸν καρπὸν ἑαυτῆς, ἔδεσθέ τε ἐς κόρον, καὶ καθεδεῖσθε πεποιθότως ἐπ' αὐτῆς. [20] ὅτι δὲ φήσετε· τί ἐδόμεθα ἐν τῷ ἔτει τῷ ἑβδόμῳ; αὐτίκα οὐ σπεροῦμεν οὔτε συνάξομεν τὴν εἰσφορὰν ἡμῶν. [21] τοίνυν κελεύσω τῇ εὐλογίᾳ μου ὑμῖν ἐν ἔτει τῷ ἕκτῳ, ποιήσει τε τὴν εἰσφορὰν ἐς τρία ἔτη. [22] καὶ σπερεῖτε τῷ ἔτει τῷ ὀγδόῳ, καὶ ἔδεσθε πρὸς τῆς εἰσφορᾶς παλαιόν· ἄχρι τοῦ ἔτους τοῦ ἐννάτου, μέχρι τοῦ ἀφικέσθαι τὴν εἰσφορὰν αὐτοῦ, φάγεσθε παλαιόν. [23] ἥ τε γῆ οὐ πραθήσεται εἰς τομήν· ἐμὴ γάρ ἐστιν ἡ γῆ, ὅτι πάροικοι καὶ προσκάθεδροί ἐστε παρ' ἐμοί· [24] κἀν πάσῃ τῇ γῇ τῆς κατασχέσεως ὑμῶν λύτρωσιν δώσετε τῇ γῇ.

[25] Ἐπὰν πτωχεύσειεν ὁ σὸς ἀδελφὸς πράσῃ τε πρὸς τῆς κατασχέσεως ἑαυτοῦ, ἐλεύσεται μέντοι ὁ λυτρωτὴς αὐτοῦ ὁ ἐγγὺς πρὸς αὐτὸν καὶ λυτρώσεται τὴν πρᾶσιν τοῦ ἀδελφοῦ οἱ. [26] καὶ ἀνὴρ ἐπὰν μὴ τελῇ οἱ λυτρωτής, φθάνοι μέντοι ἡ χεὶρ αὐτοῦ καὶ εὑρίσκοι κατὰ τὸ ἀποχρῶν τῆς λυτρώσεως ἑαυτοῦ, [27] λογιεῖται τοίνυν τὰ ἔτη τῆς πράσεως αὐτοῦ, καὶ ἀποστρέψει τὸ περιττεῦον τῷ ἀνδρὶ ὃς ἔπρασεν αὐτῷ, καὶ στραφήσεται τῇ κατασχέσει οἱ· [28] ἢν δὲ μὴ εὑρῇ ἡ χεὶρ αὐτοῦ ἀποχρῶν στρέψαι οἱ, τελέσει δὲ ἡ πρᾶσις αὐτοῦ ἐν τῇ χειρὶ τοῦ ἐωνημένου ταύτην ἄχρις ἔτους τοῦ κέρως· καὶ ἐξελεύσεται ἐν τῷ κέρατι, καὶ στραφήσεται τῇ κατασχέσει οἱ. [29] Καὶ ἀνὴρ ἐπὰν πράσειεν οἶκον καθέδρας ἄστεος τείχους, τελέσει τοίνυν ἡ λύτρωσις αὐτοῦ μέχρι τοῦ τελεσθῆναι τὸ ἔτος τῆς πράσεως αὐτοῦ· ἡμέραι τελέσει ἡ πρᾶσις αὐτοῦ· [30] κἂν μὴ λυτρώσεται μέχρι τοῦ πλησθῆναί οἱ ἔτος τέλειον, τοιγάρτοι κυρωθήσεται ὁ οἶκος ὁ ἐν τῷ ἄστει, ὅπερ ἔχει τεῖχος, εἰς κοπὴν τῷ ἐωνημένῳ αὐτὸν ἐς γενεὰς αὐτοῦ· οὐκ ἐξελεύσεται ἐν τῷ κέρατι. [31] οἶκοι δὲ τῶν

19. ἑαυτῆς cod., non ἑαυτοῦ ut ed. 21. ποιήσει τε cod., non ποιήσετε 25. πράσῃ] πράσε cod. 26. τελῇ ὁ λυτρ. cod. et ed. 27. τὰ ἔτη τῆς πράσεως cod., non τὰ ἐκ. τ. πρ. ut ed. ὃς ἔπρασεν αὐτῷ] male. Scribendum erat ᾧ ἔπρ. αὐτῷ 28. πράσις cod. itemque v. 29. 33. 42. At v. 14. 25 ipse πρᾶσιν habet. Cf. Prol. I, 4, c. 29. πράσειεν] πράσοιεν c. cd. ed. μέχρι τῷ τελεσθ. cod. et ed. πρᾶσις] l. λύτρωσις (גְּאֻלָּתוֹ). 30. λυτρώσεται] יִגָּאֵל (cf. v. 33) pro יִגְאַל (cf. v. 54. XXVII, 28. 33). Correxerim λυτρώσηται, sed illud et XXVII, 15 scriptum est. ἅπερ ἔχει cod. et ed. 31. οἶκοι c. cd. ed.

αὐλῶν οἵπερ οὐκ ἔχουσι τεῖχος κύκλῳ, ἐπὶ τοῦ ἀγροῦ τῆς γῆς λογισϑήσεται· λύτρωσις τελέσει, κἂν τῷ κέρατι ἐξελεύσεται. [32] πόλεις μέντοι τῶν λευιτῶν, οἶκοι πόλεων ἡ κατάσχεσις σφῶν, λύτρωσις αἰῶνος τελέσει τοῖς λευίταις· [33] ὅστις τε λυτρώσεται πρὸς τῶν λευιτῶν, καὶ ἐξελεύσεται ἡ πρᾶσις τοῦ οἴκου καὶ ἡ πόλις τῆς κατοχῆς αὐτοῦ ἐν τῷ κέρατι· καὶ γὰρ οἶκοι τῶν πόλεων τῶν λευιτῶν, αὕτη ἐστὶν ἡ κατοχὴ σφῶν μέσον τῶν υἱέων τοῦ ἰσραέλου. [34] καὶ ἀγρὸς ἐκβολῆς τῶν πόλεων αὐτῶν οὐ πραϑήσεται, κατοχὴ γὰρ αἰῶνός ἐστιν αὐτοῖς.

[35] Ἐπὰν δὲ πτωχεύσειεν ὁ ἀδελφός σου καὶ κλίνοι χεὶρ ἐκείνου παρὰ σοί, στηριεῖς οὖν ἐν αὐτῷ, μέτοικος καὶ κάϑεδρος, ζήσεται γὰρ παρὰ σοί. [36] μὴ λάβῃς ἀπ' αὐτοῦ τόκον καὶ πλεονασμόν· εὐλαβήσῃ δ' ἀπὸ τοῦ ϑεοῦ σου, ζήσει ϑ' ὁ ἀδελφός σου ξὺν σοί. [37] τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐν τόκῳ, κἂν πλεονασμῷ οὐ δώσεις τὸ βρῶμά σου. [38] ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν ὃς ἐξήνεγκα ὑμᾶς ἀπὸ γῆς αἰγύπτου, ὡς δοίην ὑμῖν τὴν γῆν τοῦ κεναᾶνος ὡς εἴην ὑμῖν εἰς ϑεόν.

[39] Ἐπὰν δὲ πτωχεύσῃ ὁ ἀδελφός σου παρὰ σοὶ καὶ πραϑῇ σοι, οὐ δουλώσῃ ἐν αὐτῷ δούλωσιν δούλου. [40] ὡς μίσϑιος, ὡς κάϑεδρος τελέσει παρὰ σοί, μέχρι τοῦ ἔτους τοῦ κέρως δουλεύσει παρὰ σοί· [41] καὶ ἐξελεύσεται ἀπὸ σοῦ κεῖνος καὶ οἱ υἱεῖς αὐτοῦ ξὺν αὐτῷ, καὶ στραφήσεται πρὸς τὴν φρήτραν ἑαυτοῦ, καὶ πρὸς τὴν κατάσχεσιν τῶν πατέρων ἑαυτοῦ στραφήσεται. [42] ἐπείπερ οἰκέται μού εἰσιν οἷς ἐξήνεγκα σφᾶς ἀπὸ γῆς αἰγύπτου· οὐ πραϑήσονται πρᾶσιν οἰκέτου. [43] οὐ δεσπόσεις ἐν αὐτῷ ἐν σκληρότητι, δείσεις δ' ἀπὸ τοῦ ϑεοῦ σου. [44] δοῦλος δέ σοι καὶ ϑεραπαινίς σοι οὓς ἕξεις, ἀπὸ τῶν ἐϑνῶν τῶν κύκλῳ ὑμῶν, ἀπ' ἐκείνων ὠνήσεσϑε δοῦλον καὶ ϑεράπαιναν· [45] ἔτι τ' ἀπὸ τῶν υἱῶν τῶν καϑέδρων τῶν μετοικούντων παρ' ὑμῖν, ἀπ' αὐτῶν ὠνήσεσϑε κἀπὸ τῆς φρήτρας αὐτῶν τῆς ξὺν ὑμῖν, οὓς ἐγέννησαν ἐν τῇ γῇ ὑμῶν, τελέσουσί ϑ' ὑμῖν εἰς κατοχήν· [46] καὶ κληρώσετε

αὐλῶν] αὐτῶν cod. et ed. τελέσει] תִּהְיֶה (ut cod. Kenn. 109) pro תִּהְיֶה־לּוֹ. Item, ut videtur, LXX, nisi quod עוֹלָם (גְּאֻלַּת) legerunt (λυτρωταὶ διὰ παντὸς ἔσονται), quam vocem etiam cod. Kenn. 227 exhibet (cf. v. sq.). 35. χεὶρ ἐκεί[νου] in ras. παρὰ σοί, στηριεῖς οὖν] ita duce textu Hebr. (עִמָּךְ וְהֶחֱזַקְתָּ) emendavimus: παραστηριεῖς οὖν cod. et ed. (ζήσεται) γὰρ] γοῦν (וָחַי)? 42. οὐ πραϑήσονται] πρασϑήσονται (sic, absque οὐ) cod. et ed. 43. σκληρότητι] κληρότητι cod. 45. τῶν (ξὺν ὑμῖν) cod. et ed.

σφᾶς τοῖς υἱέσιν ὑμῶν μεθ' ὑμᾶς ὥστε κληρονομεῖν κατοχὴν, εἰς αἰῶνα ἐν αὐτοῖς δουλώσεσθε· ἐν δὲ τοῖς ἀδελφοῖς ὑμῶν τοῖς υἱέσι τοῦ ἰσραέλου, ἀνὴρ ἐν τῷ ἀδελφῷ οἱ οὐ κυριεύσει ἐν αὐτῷ ἐν ἀποτόμῳ. [47]Ἐπὰν μέντοι φθάσειεν ἡ χεὶρ τοῦ μετοίκου καὶ τοῦ καθέδρου ξὺν σοὶ καὶ πτωχεύσειεν ὁ ἀδελφός σου σὺν αὐτῷ, πραθείη τε τῷ μετοίκῳ, τῷ καθέδρῳ παρὰ σοὶ ἢ τῷ ῥιζώματι τῆς φρήτρας τοῦ μετοίκου· [48]μεθὰ πέπραται λύτρωσις τελέσει οἱ· εἷς πρὸς τῶν ἀδελφῶν αὐτοῦ λυτρώσεταί ἑ, [49]ἢ θεῖος αὐτοῦ ἢ υἱὸς θείου αὐτοῦ λυτρώσεταί ἑ, ἢ ἀπὸ τοῦ περιλοίπου τῆς σαρκὸς αὐτοῦ πρὸς τῆς φρήτρας αὐτοῦ λύσεταί ἑ· ἢ ἔφθασεν ἡ χεὶρ αὐτοῦ, καὶ λυθήσεται. [50]λογιεῖται δὲ ξὺν τῷ ἑωνημένῳ αὐτὸν ἀπὸ τοῦ ἔτους τοῦ πραθῆναί ἑ αὐτῷ μέχρι τοῦ ἔτους τοῦ κέρως, τελέσει τ' ἀργύριον πράσεως αὐτοῦ ἐν τῷ ἀριθμῷ τῶν ἐτῶν· ὡς ἡμέραις μισθίου τελέσει ξὺν αὐτῷ. [51]εἴπερ ἔτι πολλὰ ἐν ἔτεσι, κατὰ ταῦτα στρέψει τὸ λύτρον ἑαυτοῦ πρὸς τοῦ ἀργυρίου τῆς πράσεως ἑαυτοῦ· [52]καὶ εἴπερ ὀλίγον περιλιμπάνοιτο ἐν τοῖς ἔτεσιν ἄχρι τοῦ ἔτους τοῦ κέρως, λογιεῖται μέντοι αὐτῷ· κατὰ τὰ ἔτη αὐτοῦ στρέψει τὸ λύτρον ἑαυτοῦ· [53]ὡς μίσθιος ἔτους ἐν ἔτει τελέσει παρ' αὐτῷ· οὐ κυριεύσει αὐτοῦ ἐν σκληρότητι ἐν ὄμμασί σοι. [54]κἂν μὴ λυθῇ ἐν τούτοις, ἐξελεύσεται μέντοι ἐν τῷ ἔτει τοῦ κέρως αὐτὸς οἵ θ' υἱεῖς αὐτοῦ ξὺν αὐτῷ· [55]ὅτι ἐμοὶ οἱ υἱεῖς τοῦ ἰσραέλου δοῦλοι, δοῦλοί μού εἰσιν οἷς ἐξήνεγκα σφᾶς ἀπὸ γῆς αἰγύπτου· ἐγὼ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [1]οὐ ποιήσετε XXVI. ὑμῖν αὐτοῖς φαῦλα, καὶ ξόανον βῆμά τ' οὐκ ἐγερεῖτε ὑμῖν αὐτοῖς, καὶ λίθον ἀτενίσματος οὐ δώσετε ἐν τῇ γῇ ὑμῶν ὥστε προσκυνεῖν ἐπ' αὐτοῦ· ἐγὼ γὰρ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [2]τὰς καταπαύσεις μου τηρήσετε, τοὐμόν θ' ἱερὸν δείσετε· ἐγὼ ὁ ὀντωτής.

[3]Ἤνπερ ἐν ταῖς τυπώσεσί μου πορεύησθε καὶ τὰς κελεύσεις (μερίς) μου τηρῆτε καὶ ποιῆτε ταύτας, [4]τοίνυν δώσω τοὺς ὄμβρους ὑμῶν ἐν τῷ καιρῷ σφῶν, δώσει θ' ἡ γῆ τὴν πρόσοδον ἑαυτῆς, καὶ τὸ ξύλον τοῦ ἀγροῦ δώσει τὸν καρπὸν ἑαυτοῦ· [5]φθάσει θ'

---

46. κυριεύσει] κυριεύσῃ invito codice ed. 47. φθάσειεν cod., non φθάσει ut ed. 48. μεθὰ] sic cod. Cf. Prol. I, 4, d. 50. πραθῆναι cod., non παραθῆναι ut ed.

XXVI. 1. οὐ ποιήσ. ὑμῖν αὐτοῖς cod. Ed. αὐτοῖς om. 4. τὸν πρόσ. α. cd. ed.

ὑμῖν ἀλοητὸς τὸν τρυγητὸν, ὅ τε τρυγητὸς φϑάσει τὸν σπόρον, ἔδεσϑέ τε τὸν ἄρτον ὑμῶν ἐς κόρον καὶ καϑεδεῖσϑε ϑαρρούντως ἐν τῇ γῇ ὑμῶν· [6] δώσω τ' εἰρήνην ἐν τῇ γῇ, καὶ ἀνακλινεῖσϑε μηδενὸς δεδιττομένου· παύσω τε ζῶον κακὸν ἀπὸ τῆς γῆς, καὶ ξίφος οὐ διελεύσεται ἐν τῇ γῇ ὑμῶν· [7] διώξετε δὲ τοὺς ἐχϑροὺς ὑμῶν, καὶ πεσοῦνται ἐπίπροσϑεν ὑμῶν τῷ ξίφει. [8] διώξουσί τ' ἀφ' ὑμῶν πέντε ἑκατὸν, καὶ ἑκατὸν ἀφ' ὑμῶν μυριάδα διώξουσι, πεσοῦνταί ϑ' οἱ ἐχϑροὶ ὑμῶν ἐνώπιον ὑμῶν τῷ ξίφει. [9] κλινῶ τε πρὸς ὑμᾶς καὶ αὐξήσω ὑμᾶς πληϑυνῶ ϑ' ὑμᾶς, καὶ ἐγερῶ τὴν ξυνϑήκην μου ξὺν ὑμῖν· [10] ἔδεσϑέ τε παλαιὸν παλαιωϑὲν, παλαιόν τε πρὸ προσώπου καινοῦ ἐξοίσετε· [11] δώσω τε τὸ κατοίκημά μου μέσον ὑμῶν, καὶ οὐ μυσάξεται ἡ ψυχή μου ὑμᾶς. [12] πορεύσομαί τε μέσον ὑμῶν τελέσω ϑ' ὑμῖν εἰς ϑεὸν, ὑμεῖς δὲ τελέσετέ μοι εἰς λεών· [13] ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν ὃς ἐξήνεγκα ὑμᾶς ἀπὸ γῆς αἰγύπτου πρὸς τοῦ χρηματίζειν ὑμᾶς δούλους, ξυνέτριψά τε τὰ δεσμὰ τοῦ ζυγοῦ ὑμῶν, ἐπόρευσά τε ξὺν ὑμῖν ἐγέρσεις.

[14] Ἢν δὲ μὴ ὑπακούσητέ μοι μήτε ποιήσητε ξυμπάσας τὰς κελεύσεις ταύτας, [15] ἤν τε ἐν ταῖς τυπώσεσί μου μυσάξησϑε καὶ ἢν τὰς κρίσεις μου βδελύξηται ἡ ψυχὴ ὑμῶν ὥστε μὴ ποιεῖν ξυμπάσας τὰς κελεύσεις μου, ὡς παύσοιτε τὴν συνϑήκην μου· [16] ἔτι ἐγὼ ποιήσω τόδε ὑμῖν, ἐπισκέψομαί τ' ἐφ' ὑμῶν ϑάμβος, τὸ ῥίγος καὶ τὸν πυρετὸν, ὀλέϑρους ὀμμάτων καὶ λύπας ψυχῆς· καὶ σπερεῖτε εἰς κενὸν τὸ σπέρμα ὑμῶν, ἔδονταί τ' αὐτὸ οἱ ἐχϑροὶ ὑμῶν· [17] καὶ δώσω τὸ πρόσωπόν μου εἰς ὑμᾶς, τυπήσεσϑέ τε ἐνώπιον τῶν ἐχϑρῶν ὑμῶν, καὶ δεσπόσουσιν ἐν ὑμῖν οἱ μισοῦντες ὑμᾶς, φεύξεσϑέ τε καὶ μηδενὸς διώκοντος ὑμᾶς. [18] κἂν ἄχρι τούτων μὴ ὑπακούσητέ μοι, προσϑήσω τε παιδεύειν ὑμᾶς ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν· [19] καὶ συντρίψω τὴν ἔπαρσιν τοῦ κράτους ὑμῶν, δώσω τε τοὺς οὐρανοὺς ὑμῶν ὡς σίδηρον καὶ τὴν γῆν

---

5. τοῦ καϑεδεῖσϑε cod. Emendationem Amm. praeivit: „Recte monet censor Lipsiensis, librarium deceptum esse exspectatione infinitivi καϑεδεῖσϑαι". 6. ϑ' (εἰρήνην) c. cd. ed. καὶ (1) in ras. 13. πρὸς τοῦ χρηματίζειν ὑμᾶς] מֵהְיֹתְכֶם pro מֵהְיֹת לָהֶם. Item, ut videtur, LXX (ὄντων ὑμῶν δούλων). ξυνέτριψά τε] ξυντρίψατε cod. et ed. ἐγέρσεις] male (קוֹמְמִיּוּת). 16. ῥίγος, non ῥῖγος, cod. Cf. Prol. I, 4, c. 18. ὑπακούσητε cod., non ὑπακούσετε ut ed.

ὑμῶν ὡς χαλκόν· [20]τελευτήσει τε εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ οὐ δώσει ἡ γῆ ὑμῶν τὴν εἰσφορὰν αὐτῆς, ξύλον τε τῆς γῆς οὐ δώσει τὸν καρπὸν ἑαυτοῦ. [21]κἂν πορεύησϑε παρ' ἐμοὶ τύχῃ καὶ μὴ βούλησϑε ὑπακούειν μοι, καὶ προσϑήσω ἐφ' ὑμῶν πληγὴν ἑπτάκις κατὰ τὰς ἁμαρτίας ὑμῶν· [22]πέμψω τ' ἐφ' ὑμᾶς τὸ ζῶον τοῦ ἀγροῦ, καὶ ἀτεκνώσει ὑμᾶς ὀλοϑρεύσει τε τὸ κτῆνος ὑμῶν καὶ ὀλιγώσει ὑμᾶς, καὶ φρουδωϑήσονται αἱ ὁδοὶ ὑμῶν. [23]κἂν ἐν τοῖσδε μὴ παιδευϑῆτέ μοι, πορευϑῆτε δὲ παρ' ἐμοὶ τύχῃ, [24]τοίνυν πορεύσομαι ἔτι ἐγὼ ξὺν ὑμῖν τυχαίως, βαλῶ τε ὑμᾶς ἐν τύχῃ ἔτι ἐγὼ ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν, [25]ἄξω τ' ἐφ' ὑμᾶς ξίφος ἐκδικοῦν ἐκδίκησιν συνϑήκης· συναχϑήσεσϑε γοῦν πρὸς τὰς πόλεις ὑμῶν, καὶ πέμψω ϑνῆσιν μέσον ὑμῶν, καὶ δοϑήσεσϑε ἐν χειρὶ ἐχϑροῦ· [26]ἐπὰν συντρίβοιμι ἐγὼ ὑμῖν στήριγμα ἄρτου, καὶ κλιβανῶσι δέκα γυναῖκες τὸν ἄρτον ὑμῶν ἐν ἰπνῷ ἑνὶ καὶ ἀποδιδῶσι τὸν ἄρτον ὑμῶν ἐν σταϑμῷ· ἐσϑίητε δέ, καὶ μὴ κορεννύησϑε.

[27]Κἂν ἐν τῷδε μὴ ὑπακούητέ μοι, πορεύησϑε δὲ παρ' ἐμοὶ τυχαίως, [28]τοίνυν πορεύσομαι ἔτι ἐγὼ ξὺν ὑμῖν ἐν ϑυμῷ τύχης, παιδεύσω τε ὑμᾶς κἀγὼ ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν· [29]ἔδεσϑε τοιγαροῦν σάρκα υἱέων ὑμῶν, καὶ σάρκα ϑυγατέρων ὑμῶν φάγεσϑε. [30]ἀφανιῶ τε τοὺς βωμοὺς ὑμῶν καὶ ὀλοϑρεύσω τοὺς ὑμετέρους ἀκάμαντας, δώσω τε τοὺς νεκροὺς ὑμῶν ἐπὶ τῶν νεκρῶν τῶν φορυτωμάτων ὑμῶν, καὶ μυσάξεται ἡ ψυχή μου ὑμᾶς· [31]δώσω τε τὰς πόλεις ὑμῶν ἔρημον καὶ φρουδώσω τὰ ἱερὰ ὑμῶν, οὔτ' ὀσφρανοῦμαι ἐν ὀδμῇ ἀναπαύματος ὑμῶν· [32]ἀφανιῶ τ' ἐγὼ τὴν γῆν, καὶ ἀπορήσουσιν ἐπ' αὐτῇ οἱ ἐχϑροὶ ὑμῶν οἱ καϑεζόμενοι ἐν αὐτῇ· [33]ὑμᾶς δὲ σκεδάσω ἐς τὰ ἔϑνη, κενώσω τε κατόπιν ὑμῶν μάχαιραν· καὶ τελέσει ἡ γῆ ὑμῶν φρούδη, καὶ αἱ πόλεις ὑμῶν τελέσουσιν ἔρημος· [34]τότε

---

20. αὐτῆς cod., non αὐτῆς. Cf. not. ad Gen. XXXIV, 5. 24. ἐν τύχῃ] בְּקֶרִי ex priore membro (בְּקֶרִי) videtur huc irrepsisse. 28. τοίνυν πορ. ἔτι ἐγὼ] legit וְהָלַכְתִּי אַף־אֲנִי (ut cod. Kenn. 136) pro וְהָלַכְתִּי t. rec. Item, ni fallor, LXX (καὶ αὐτὸς πορεύσομαι) et Hier. (*et ego incedam*). Cf. v. 24. 30. ἀκάμαντας] vocis Hebr. (חַמָּנֵיכֶם) consonantiae causa sollerter delegit vocabulum ἀκάμας, quod quidem, ut omnibus notum, apud Homerum epitheton est τοῦ ἠελίοιο. Unde efficitur, eum illud חַמָּנִים recte de simulacris vel statuis soli positis intellexisse. 33. μάχῃραν (sic, ι subscripto) cod.

θελήσει ἡ γῆ τὰς καταπαύσεις αὐτῆς πάσαις ταῖς ἡμέραις τοῦ ἠφανίσθαι ταύτην, ὑμεῖς δὲ ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· τότε καταπαύσεται ἡ γῆ καὶ θελήσει τὰς καταπαύσεις αὐτῆς. [35] πάσαις ταῖς ἡμέραις τοῦ ἠφανίσθαι ταύτην καταπαύσεται, οἷσπερ οὐκ ἀναπέπαυται ἐν ταῖς καταπαύσεσιν ὑμῶν ἐν τῷ καθέζεσθαι ὑμᾶς ἐπ' αὐτῆς. [36] καὶ τοὺς περιλοίπους ἐν ὑμῖν, οἴσω τε μαλθακισμὸν εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, ἐλάσει τε σφᾶς φωνὴ φύλλου ὠθουμένου, καὶ φεύξονται φυγὴν ξίφους καὶ πεσοῦνται μηδενὸς διώκοντος, [37] προσκόψουσί τε ἕκαστος ἐν τῷ ἀδελφῷ οἱ καθὼς ἀπὸ προσώπου ξίφους, καὶ διώκοντος οὐδενός· οὔθ' ὑπάρξει ὑμῖν ἀνάστασις ἐπίπροσθεν τῶν ἐχθρῶν ὑμῶν· [38] καὶ ἀπολεῖσθε ἐν τοῖς ἔθνεσιν, ἔδεταί θ' ὑμᾶς γῆ ἐχθρῶν ὑμῶν. [39] οἱ δὲ περιλειφθέντες ἐν ὑμῖν σαπήσονται ἐν τοῖς ἐγκλήμασι σφῶν ἐν οἰκίαις τῶν ἐχθρῶν αὐτῶν, ἔτι τ' ἐν τοῖς ἐγκλήμασι τῶν πατέρων αὐτῶν ξὺν αὐτοῖς σαπήσονται. [40] καὶ ἐξομολογήσονται τοὔγκλημα σφῶν καὶ τοὔγκλημα τῶν πατέρων αὐτῶν, ἐν τῷ παραβαίνειν οἷς παρέβησαν εἰς ἐμέ, καὶ αὖθις οἷς πεπόρευνται παρ' ἐμοὶ τυχαίως, [41] αὖθις ἐγὼ πορεύσομαι παρ' αὐτοῖς τυχαίως, ἄξω τε σφᾶς εἰς γῆν ἐχθρῶν αὐτῶν· ἢ τότε ὑποκύψῃ ἡ καρδία σφῶν ἡ βαρεῖα, καὶ τότε βουλήσονται τοὔγκλημα σφῶν· [42] μνησθήσομαι γοῦν τῆς συνθήκης μου ἰακώβου, καὶ ἔτι τῆς συνθήκης μου ἰσάκου, πρὸς δὲ καὶ τῆς συνθήκης μου ἀβρaάμου μνησθήσομαι, καὶ τῆς γῆς μνησθήσομαι. [43] ἡ δὲ γῆ ἀφεθήσεται πρὸς αὐτῶν, καὶ ἀποτίσει τὰς καταπαύσεις αὐτῆς ἐπὰν ἀφανίζοιτο ἀπ' αὐτῶν· καὶ αὐτοὶ θελήσουσι τοὔγκλημα σφῶν, ἀνθῶν καὶ ἐν οἷς ἐν ταῖς κρίσεσί μου ἐμυσάξαντο, καὶ τὰς τυπώσεις μου ἐβδελύξατο ἡ ψυχὴ σφῶν. [44] ἔτι τε καὶ τόδε, ἐν τῷ τυγχάνειν σφᾶς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, οὐκ ἐμυσαξάμην αὐτοὺς οὐδ' ἐβδελυξάμην αὐτοὺς ὥστ' ὀλοθρεῦσαι σφᾶς, ὥστε παῦσαι τὴν συνθή-

36. ἐν τῇ γῇ] בְּאֶרֶץ (ut cod. Kenn. 69, Ross. 18 a pr.) pro בְּאַרְצֹת. Item LXX. 37. ὑμῖν] ὑμεῖς cod. et ed. 39. ἐν τοῖς ἐγκλήμασι σφῶν] בַּעֲוֹנוֹתָם (cf. infra) pro בַּעֲוֹנָם. Item LXX. ἐν οἰκίαις] legendum puto ἐν ταῖς γαίαις (בְּאַרְצֹת). Cf. Gen. X, 5. 20 cet. τῶν ἐχθρῶν αὐτῶν] אֹיְבֵיהֶם (ut multi codd.) pro אֹיְבֵיכֶם t. rec. Item LXX. 40. ἐν τῷ παραβαίνειν] suff. om. (בְּמַעֲלָם). 42. ἰσάκου] sic, non ἰσχάκου, cod. Cf. Gen. XXI, 3 sqq. 43. αὐτῆς] αὐτῶν cod. et ed. ἀνθῶν] sic cod. itemque ἑνοῖς, quod consulto non retinuimus. Cf. Prol. I, 4, d.

κην μου σὺν αὐτοῖς· ἐγὼ γὰρ ὁ ὀντωτὴς θεὸς ὑμῶν. [45] μνημονεύσω τοίνυν αὐτοῖς τῆς ξυνθήκης τῶν προτέρων, οὓς ἐξήνεγκα σφᾶς ἀπὸ τῆς γῆς αἰγύπτου ἐπ' ὄμμασι τῶν ἐθνῶν ὡς εἴην σφίσιν εἰς θεόν· ἐγὼ ὁ ὀντωτής. [46] οὗτοι οἱ τύποι καὶ αἱ κρίσεις καὶ οἱ νόμοι οὓς ἔδωκεν ὁ ὀντωτὴς ἀν' ἑαυτὸν κἀνὰ τοὺς υἱέας τοῦ ἰσραέλου ἐν ὄρει τῶν ξινάων ἐν χειρὶ μωσέως.

XXVII. [1] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἀνὴρ ἐπὰν θαυμαστώσειεν εὐχὴν ἐν τῇ τάξει σου τῶν ψυχῶν τῷ ὀντωτῇ, [3] τελέσει τοίνυν ἡ τάξις σου· ὁ ἄρρην ἀφ' υἱοῦ εἰκοσαετοῦς καὶ μέχρις υἱοῦ ἑξηκονταετοῦς, τελέσει γοῦν ἡ τάξις σου πεντήκοντα στατήρων ἀργύρου ἐν τῷ στατῆρι τῷ ἁγίῳ· [4] ἢν δὲ θήλεια οὖσα τυγχάνῃ, τελέσει τοίνυν ἡ τάξις σου τριάκοντα στατῆρες. [5] ἢν δ' ἀφ' υἱοῦ πενταετοῦς καὶ μέχρις υἱοῦ εἰκοσαετοῦς, τελέσει γοῦν ἡ τάξις σου· ὁ ἄρρην εἴκοσι στατῆρες, ἡ δὲ θήλεια δέκα στατῆρες. [6] ἢν δ' ἀφ' υἱοῦ μηνὸς καὶ μέχρις υἱοῦ πενταετοῦς, τελέσει γοῦν ἡ τάξις σου· ὁ ἄρρην πέντε στατῆρες ἀργύρου, τῇ δὲ θηλείᾳ ἡ τάξις σου τρεῖς στατῆρες ἀργύρου. [7] ἢν δ' ἀφ' υἱοῦ ἑξαετοῦς καὶ ἄνω, εἴπερ ἄρρενος, τελέσει γοῦν ἡ τάξις σου πεντεκαίδεκα στατῆρες, τῇ δὲ θηλείᾳ δέκα στατῆρες. [8] ἢν μέντοι πτωχὸς ᾖ ἀπὸ τῆς τάξεώς σου, στήσει τοίνυν αὐτὸν ἐνώπιον τοῦ ἱερέως καὶ τάξει αὐτὸν ὁ ἱερεύς· ἐφ' ὅσον ἂν φθάνοι ἡ χεὶρ τοῦ εὐχομένου, τάξει αὐτὸν ὁ ἱερεύς. [9] Ἢν δὲ κτῆνος ὃ προσφέροιεν ἀπ' αὐτοῦ προσφορὰν τῷ ὀντωτῇ, πᾶν ὃ δοίη ἀπ' αὐτοῦ τῷ ὀντωτῇ τελέσει ἅγιον. [10] οὐκ ἀλλάξει αὐτὸ καὶ οὐκ ἀμείψει αὐτὸ, χρηστὸν ἐν κακῷ ἢ κακὸν ἐν χρηστῷ· κἂν τῷ ἀμείβειν ἀμείψῃ κτῆνος ἐν κτήνει, τελέσει τοίνυν αὐτὸ, καὶ ἡ ἀμοιβὴ αὐτοῦ τελέσει ἅγιον. [11] ἢν δ' ὁτιοῦν κτῆνος μιαρὸν ὅπερ

---

44. θεὸς ὑμῶν] אֱלֹהֵיכֶם (ita codd. nonn. Kenn. et Ross.) pro אֱלֹהֵיהֶם

XXVII. 4. οὖσα redundat. Videtur primo θήλεια οὖσα (נְקֵבָה הִוא) scripsisse, tum correxisse θήλεια τυγχάνῃ, id quod librarius non recte intellexit. Cf. Prol. I, 2, f. 5. γοῦν cod., non τοίνυν ut ed. ἡ δὲ θήλεια (θηλεία cod. et ed.)] legendum suspicor τῇ δὲ θηλείᾳ (וְלַנְּקֵבָה). Cf. v. 6 sq. 6. τῇ δὲ cod., non τῇδε ut ed. 7. ἑξαετοῦς] l. ἑξηκονταετοῦς (שִׁשִּׁים). Cf. v. 3. 10. κακὸν] καλῷ cod. et ed.

οὐ προσοίσει ἀπ' αὐτοῦ προσφορὰν τῷ ὀντωτῇ, ἀμείψῃ τε τὸ κτῆνος ἐνώπιον τοῦ ἱερέως, [12]τάξει θ' ὁ ἱερεὺς αὐτὸ ἀνὰ χρηστὸν ἀνά τε φαῦλον· κατὰ τὴν τάξιν σου τοῦ ἱερέως, ὧδε τελέσει. [13]ἢν δὲ τῷ λυτροῦσθαι λυτρῶται αὐτὸ, προσθήσει τοίνυν τὸ πέμπτον αὐτοῦ πρὸς τῇ τάξει σου. [14]ἀνήρ τ' ἐπὰν ἁγιάσῃ τὸν οἶκον ἑαυτοῦ ἅγιον τῷ ὀντωτῇ, τοιγαροῦν τάξει αὐτὸν ὁ ἱερεὺς ἀνὰ χρηστὸν ἀνά τε φαῦλον· καθάπερ τάξει αὐτὸν ὁ ἱερεὺς, τῇδε κυρωθήσεται. [15]ἢν δ' ὁ ἁγιάζων λυτρώσεται τὸν οἶκον ἑαυτοῦ, προσθήσει τοίνυν τὸ πέμπτον τοῦ ἀργύρου τῆς τάξεώς σου ἐπ' αὐτοῦ, τελέσει τ' αὐτῷ. [16]ἢν δ' ἀπ' ἀγροῦ κατοχῆς αὐτοῦ ἁγιάζῃ ἀνὴρ τῷ ὀντωτῇ, τελέσει τοίνυν ἡ τάξις σου πρὸς τὸν σπόρον αὐτοῦ· σπόρος δεκαμεδίμνου κριθῶν ἐν πεντήκοντα στατῆρσιν ἀργύρου. [17]ἢν ἀπὸ τοῦ ἔτους τοῦ κέρως ἁγιάσῃ τὸν ἀγρὸν ἑαυτοῦ, κατὰ τὴν τάξιν σου βεβαιωθήσεται· [18]ἢν δὲ μετὰ τὸ κέρας ἁγιάσῃ τὸν ἀγρὸν ἑαυτοῦ, λογιεῖται τοίνυν αὐτῷ ὁ ἱερεὺς τὸν ἄργυρον ἐπὶ τοῖς χρόνοις τοῖς περιλοίποις ἄχρι τοῦ ἔτους τοῦ κέρως, καὶ ἀφαιρεθήσεται ἀπὸ τῆς τάξεώς σου. [19]κἂν τῷ λυτροῦσθαι λυτρῶται τὸν ἀγρὸν ὁ ἱερῶν αὐτὸν, προσθήσει τοίνυν τὸ πέμπτον τοῦ ἀργύρου τῆς τάξεώς σου αὐτῷ, καὶ κυρώσεταί οἱ. [20]ἢν δ' οὐ λυτρῶται τὸν ἀγρὸν, καὶ εἰ ἔπρασε τὸν ἀγρὸν ἀνδρὶ ἑτέρῳ, οὐ λυτρώσεται ἔτι· [21]τελέσει δ' ὁ ἀγρὸς ἐν τῷ ἐξιέναι ἐ ἐν τῷ κέρατι ἅγιος τῷ ὀντωτῇ, ὡς ἀγρὸς τοῦ ἀναθήματος· τῷ ἱερεῖ τελέσει ἡ κατοχὴ αὐτοῦ. [22]κἂν τὸν ἀγρὸν τῶν ὠνῶν αὐτοῦ, τὸν οὐκ ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως ἑαυτοῦ, ἱερώσει τῷ ὀντωτῇ, [23]λογιεῖται τοίνυν αὐτῷ ὁ ἱερεὺς τὸ μέτρον τῆς τάξεως

---

11. προσοίσει] יַקְרִיב (ita Sam., codd. Kenn. 110 et 181) pro יַקְרִיבֶ‍ ἀμείψῃ] quasi וְהֵמִיר scriptum esset, non וְהֶעֱמִיד. Vix ex στήσει (cf. v. 8. XIV, 11 cet.; nusquam aliter reddit וְהֶעֱמִיד) gigni poterat ἀμείψῃ 12. κἂν χρηστὸν κἄν τε φαῦλον satis corrupte cod. et ed. Item v. 14. 14. ἁγιάσῃ cod., non ἁγιάσει ut ed. 15. λυτρώσεται, non λυτρώσηται (cf. vv. sqq.), cod. Cf. XXV, 30. 16. δεκαμεδίμνου cod., non δέκα μεδίμνου ut ed. 19. αὐτῷ] liberius quam ei mos est (עָלָיו). Cf. v. 15. κυρώσεται cod., non κυροῦται ut ed. 20. λυτρώσεται] יִגָּאֵל pro יִגְאַל (cf. not. ad XXV, 30). Item LXX et Hieron. 21. ἐξιέναι] διϊέναι (sic) cod. Cf. Gen. XII, 4. Exod. XXIII, 16 cet. (בְּצֵאת), Prol. I, 3, a. 22. κἂν τὸν cod., non κἄν τοι ut ed. τῶν ὠνῶν] nonne τῆς ὠνῆς (מִקְנָתוֹ)? Cf. XXV, 16. 51. ἱερώσει] cf. v. 15.

σου μέχρι τοῦ ἔτους τοῦ κέρως, δώσει τε τὴν τάξιν σου ἐν τῇ ἡμέρᾳ κείνῃ ἁγίαν τῷ ὀντωτῇ· [24]ἐν τῷ ἔτει τοῦ κέρως ὑποστρέψει ὁ ἀγρὸς τῷ ἐωνημένῳ αὐτὸν ἀπ' αὐτοῦ, ὅσπερ ἔχει τὴν κατάσχεσιν τῆς γῆς. [25]πᾶσά τε ἡ τάξις σου τελέσει ἐν τῷ στατῆρι τῷ ἁγίῳ, εἴκοσιν ὀβολοὶ τελέσει ὁ στατήρ. [26]πλὴν πρωτότοκον ὃ πρωτοτοκισϑήσεται τῷ ὀντωτῇ ἐν κτήνει, οὐχ ἱερώσει ἀνὴρ αὐτὸ, εἴπερ βοῦς εἴπερ πρόβατον· τῷ ὀντωτῇ ἐστιν· [27]ἢν δ' ἐν κτήνει τῷ μιαρῷ, τοίνυν λύσεται ἐν τῇ τάξει σου καὶ προσϑήσει τὸ πέμπτον αὐτῆς ἐπ' αὐτῆς· κἂν μὴ λυτρῶται, πραϑήσεται γοῦν κατὰ τὴν τάξιν σου. [28]πᾶν μέντοι ἀνάϑημα ὅπερ ἀναϑείη ἀνὴρ τῷ ὀντωτῇ πρὸς πάντων τῶν ἑαυτοῦ, ἀπ' ἀνϑρώπου, κτήνους τε καὶ ἀγροῦ τῆς κατοχῆς ἑαυτοῦ, οὐ πραϑήσεται καὶ οὐ λυτρωϑήσεται· πᾶν ἀνάϑημα ἅγιον ἁγίων ἐστὶ τῷ ὀντωτῇ· [29]πᾶν ἀνάϑημα ὅπερ ἀναϑείη ἀπ' ἀνϑρώπου, οὐ λυτρωϑήσεται· τῷ ϑνήσκειν ϑανατούσϑω. [30]πᾶς τε δεκατισμὸς τῆς γῆς ἀπὸ τοῦ σπέρματος τῆς γῆς, ἀπὸ τοῦ καρποῦ τοῦ ξύλου, τῷ ὀντωτῇ τελεῖ, ἅγιον τῷ ὀντωτῇ. [31]κἂν τῷ λυτροῦσϑαι λυτρῶται ἀνὴρ πρὸς τοῦ δεκατισμοῦ οἱ, τὸ πέμπτον προστίϑησιν ἐπ' αὐτοῦ. [32]πᾶς τε δεκατισμὸς βουκολίου καὶ ποιμνίου, παντὸς ὅπερ ἂν διαβαίῃ ὑπὸ τῇ ῥάβδῳ, τὸ δέκατον ὑπάρξει ἅγιον τῷ ὀντωτῇ. [33]οὐχ ἐτασϑήσεται ἀνὰ χρηστὸν ἐς φαῦλον, οὔτ' ἀμείψει αὐτό· κἂν τῷ ἀμείβειν ἀμείψῃ αὐτὸ, τελέσει τοίνυν αὐτὸ, καὶ ἡ ἀμοιβὴ αὐτοῦ τελέσει ἅγιον, οὐ λυτρωϑήσεται. [34]αὗται αἱ κελεύσεις ἃς ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου ἐν τῷ ὄρει τοῦ ξινάϊνος.

---

27. λυτρῶται] active (יִגְאַל pro יִגָּאֵל) legit cod. Ross. 304 a pr. Item LXX. Hier. · πραϑήσεται] προϑήσεται cod., προσϑήσεται ed. κατὰ τὴν τάξιν σου] בְּעֶרְכְּךָ pro בְּעֵ 30. πᾶς] πᾶν cod. et ed. (cf. v. 32). 31. τὸ πέμπτον] suff. om. (חֲמִשִׁיתוֹ). 33. ἐτασϑήσεται] quasi יְבַקֵּר scriptum esset, non יְבַקֵּר (cf. XIII, 36). ἀμείψῃ] ἀμείψει cod. et ed. (cf. v. 10).

I. Διεῖλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῇ ἐρήμῳ ξινάῖνος ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ ἐν τῇ μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἐν ἔτει τῷ δευτέρῳ τοῦ ἐξελϑεῖν σφᾶς ἐκ γῆς αἰγύπτου τῷ φάναι· [2] ἄρατε τὴν κεφαλὴν παντὸς τοῦ ἀϑροίσματος τῶν υἱέων τοῦ ἰσραέλου εἰς τὰς φρήτρας αὐτῶν, εἰς οἶκον τῶν πατέρων αὐτῶν, ἐν τῷ ἀριϑμῷ τῶν ὀνομάτων παντὸς ἄρρενος ἐς κρανία σφῶν, [3] ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πάντα ἐξιόντα στρατιᾷ ἐν ἰσραέλῳ· ἐπισκέψεσϑε σφᾶς ἐς τὰς στρατιὰς αὐτῶν σὺ καὶ ἀαρών· [4] καὶ σὺν ὑμῖν ἔστωσαν ἀνὴρ ἀνὴρ τῷ σκήπτρῳ, ἀνὴρ, κεφαλὴ τοῦ δόμου τῶν πατέρων αὐτοῦ κεῖνος· [5] ταυτὶ δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν στησομένων ξὺν ὑμῖν· τῷ ῥεουβένῃ ἐλισούδης υἱεὺς σεδεούρου, [6] τῷ συμεῶνι σελουμιέλης υἱεὺς σουρισαδάῖνος, [7] τῷ ἰεούδῃ νασσὼν υἱεὺς ἀμιναδάβου, [8] τῷ ἰσσαχάρῳ νεϑανέλης υἱεὺς σουάρου, [9] τῷ ζεβουλούνῳ ἐλιάβης υἱεὺς ἐλῶνος, [10] τοῖν υἱέοιν ἰωξέφου, τῷ ἐφραΐμῳ ἐλισαμάος υἱεὺς ἀμιούδου, τῷ μεναξεῖ γαμελιέλης υἱεὺς πεδασούρου, [11] τῷ βινιαμῖνι ἀβιδὰν υἱεὺς γιδωνῖνος, [12] τῷ δανὶ ἀηέζερος υἱεὺς ἀμισαδάῖνος, [13] τῷ ἀσέρῳ παγοιέλης υἱεὺς ἀχρᾶνος, [14] τῷ γάδῃ ἐλιαξάφης υἱεὺς δεουέλου, [15] τῷ ναφεταλῖνι ἀηράος υἱεὺς αἰνᾶνος· [16] οὗτοι οἱ κλητοὶ τοῦ ἀϑροίσματος, οἱ ἡγεμόνες τῶν σκήπτρων τῶν πατέρων αὐτῶν, κεφαλαὶ τῶν χιλιάδων τοῦ ἰσραέλου τελοῦντες. [17] ἔλαβεν οὖν μωσεὺς καὶ ἀαρὼν τοὺς ἄνδρας τούτους οἵπερ ἐχαράχϑησαν ἐν ὀνόμασι, [18] πᾶν τε

I. 1. ἐξελϑεῖν] διελϑεῖν cod. et ed. Cf. Prol. I, 3, a. 2. κρανίας σφῶν cod. et ed. Item v. 18. Cf. Exod. XVI, 16. XXXVIII, 26 cet. 5. ἐλισούδης] ר (אֱלִיצוּר) cum ד commiscuit. Cf. II, 10. 8. ἰσσαχάρῳ] ἰωσαχάρῳ cod. et ed. Cf. v. 28 sq. 10. ἰωξέφου cod., non ἰωζέφου ut ed. ἐλισάμαος c. cd. ed. τοῦ μεναξεῖ cod., τοῦ μεναξειοῦ ed. Legendum (τῷ) μενασεῖ (לִמְנַשֶּׁה). Cf. v. 34 sq. Gen. XLI, 51 cet. 11. γιδωνῖνος] l. γιδεωνῖνος ut II, 22. 14. ἐλιαζάφης c. cd. ed.

τὸ ἄθροισμα ἐξεκλησίασαν ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου· γεγένηνται τοίνυν ἐπὶ ταῖς φρήτραις αὐτῶν τῷ δόμῳ τῶν πατέρων αὐτῶν ἐν ἀριθμῷ ὀνομάτων, ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω ἐς κρανία σφῶν, [19] καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· καὶ ἐπεσκέψατο σφᾶς ἐν ἐρήμῳ τοῦ ξινάϊνος.

[20] Ὑπῆρξαν δ' υἱοὶ ῥεουβένου τοῦ πρωτοτόκου ἰσραέλου, γεννήσεις σφῶν ταῖς φρήτραις αὐτῶν, τῷ οἴκῳ τοῦ πατρὸς αὐτῶν, ἐν ἀριθμῷ τῶν ὀνομάτων τῶν κρανίων αὐτῶν, πᾶς ἄρρην ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [21] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ ῥεουβένου ἓξ καὶ τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι.

[22] Τοῖς υἱέσι συμεῶνος, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐπεσκεμμένοι σφῶν ἐν ἀριθμῷ ὀνομάτων, τοῖς κρανίοις αὐτῶν, πᾶς ἄρρην ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [23] ἐπίσκεψις σφῶν τῷ σκήπτρῳ συμεῶνος ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι.

[24] Τοῖς υἱέσι γάδου, γεννήσεις αὐτῶν, τῷ δόμῳ τοῦ πατρὸς αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [25] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ γάδου πέντε καὶ τετταράκοντα χιλιάδες ἑξακόσιοί τε καὶ πεντήκοντα.

[26] Τοῖς υἱέσιν ἰεούδου, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [27] ἐπεσκεμμένοι αὐτῶν τῷ σκήπτρῳ τοῦ ἰεούδου τέτταρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι.

[28] Τοῖς υἱέσιν ἰσσαχάρου, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τοῦ πατρὸς αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [29] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ ἰσσαχάρου τέτταρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

[30] Τοῖς υἱέσι ζεβουλούνου, αἱ γεννήσεις αὐτῶν ταῖς φρήτραις σφῶν,

---

20. τοῦ πατρὸς] nonne τῶν πατέρων (אֲבֹתָם)? Idem error (librarii?) v. 24. 28 occurrit. 22. ἐπεσκεμμένοι σφῶν] פְּקֻדֵיהֶם (ita Sam.) pro פְּקֻדָיו 24. γεννήσεις αὐτῶν] om. ταῖς φρήτραις αὐτῶν (לְמִשְׁפְּחֹתָם).

τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [31] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ ζεβουλούνου ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

[32] Τοῖς υἱέσιν ἰωξέφου· τοῖς υἱέσιν ἐφραΐμου, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ. [33] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ ἐφραΐμου τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι.

[34] Τοῖς υἱέσι μενασέως, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱοῦ εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [35] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ μενασέως δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι.

[36] Τοῖς υἱέσι βινιαμῖνος, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [37] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ βινιαμῖνος πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι.

[38] Τοῖς υἱέσι δανὸς, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [39] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ δανὸς δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

[40] Τοῖς υἱέσιν ἀσέρου, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῳ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [41] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ ἀσέρου μία καὶ τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι.

[42] Υἱεῖς ναφεταλῖνος, γεννήσεις αὐτῶν ταῖς φρήτραις αὐτῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ἐν ἀριθμῷ ὀνομάτων ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ, [43] ἐπεσκεμμένοι σφῶν τῷ σκήπτρῳ τοῦ ναφεταλῖνος τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

---

30. δόμῳ] λόγῳ miro errore cod. (et ed.). 32. ἰωξέφου] ἰωζέφου rursus refragante codice ed. 42. Υἱεῖς cod., non Τοῖς υἱέσι ut ed.

[44] Οὗτοι οἱ ἐπεσκεμμένοι οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν καὶ οἱ ἡγεμόνες τοῦ ἰσραέλου· δυοκαίδεκα ἄνδρες, ἀνὴρ εἷς τῷ δόμῳ τῶν πατέρων αὐτοῦ ὑπῆρξαν. [45] ἐτέλεσαν οὖν πάντες οἱ ἐπεσκεμμένοι υἱεῖς ἰσραέλου τῷ δόμῳ τῶν πατέρων αὐτῶν ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, πᾶς ἐξιὼν στρατιᾷ ἐν τῷ ἰσραέλῳ, [46] τοίνυν ὑπῆρξαν πάντες οἱ ἐπισκεφϑέντες ἑξακόσιαι χιλιάδες τρισχίλιοί τε καὶ πεντακόσιοι καὶ πεντήκοντα. [47] οἱ δὲ λευῖται τῷ σκήπτρῳ τῶν πατέρων αὐτῶν οὐκ ἐπεσκέφϑησαν μέσον αὐτῶν.

[48] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [49] μόνον τὸ σκῆπτρον λευῖνος οὐκ ἐπισκέψῃ καὶ τὴν κεφαλὴν αὐτῶν οὐκ ἀρεῖς μέσον τῶν υἱέων τοῦ ἰσραέλου· [50] σὺ μέντοι ἐπίσκεψαι τοὺς λευίτας ἐπὶ τοῦ οἰκήματος τῆς μαρτυρίας καὶ ἐπὶ πάντων τῶν σκευῶν αὐτοῦ κἀπὶ πάντων τῶν αὐτοῦ· αὐτοὶ ἀροῦσι τὸ οἴκημα ξύμπαντά τε τὰ σκεύη αὐτοῦ, κἀκεῖνοι διακονήσουσιν αὐτῷ, κύκλῳ τε τοῦ οἰκήματος στρατοπεδεύσουσι· [51] κἂν τῷ μεταίρειν τὸ οἴκημα κατάξουσιν αὐτὸ οἱ λευῖται, κἂν τῷ στρατοπεδεύεσϑαι τὸ οἴκημα ἐγεροῦσιν αὐτὸ οἱ λευῖται· καὶ ὁ ἀλλότριος ὁ ἐγγίζων τεϑανατώσϑω. [52] στρατοπεδεύσουσιν οὖν οἱ υἱεῖς ἰσραέλου ἕκαστος ἐπὶ τοῦ στρατοπέδου αὐτοῦ καὶ ἕκαστος ἐπὶ τῆς σημαίας αὐτοῦ ταῖς στρατιαῖς αὐτῶν· [53] οἱ δὲ λευῖται στρατοπεδεύσουσι κύκλῳ τοῦ οἰκήματος τῆς μαρτυρίας, καὶ οὐ τελέσει ϑυμὸς ἐπὶ τὸ συνάϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου· φυλάξουσί ϑ' οἱ λευῖται τὴν φυλακὴν τοῦ οἰκήματος τῆς μαρτυρίας. [54] καὶ ποιήσουσιν οἱ υἱεῖς ἰσραέλου κατὰ πάνϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· τῇδε ἐποίησαν.

II. [1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [2] ἕκαστος ἐπὶ τῆς σημαίας ἑαυτοῦ, ἐν τοῖς σημείοις τοῦ δόμου τοῦ πατρὸς αὐτῶν στρατοπεδεύσονται οἱ υἱεῖς ἰσραέλου, ἀπαντικρὺ κύκλῳ τῆς σκηνῆς τοῦ ξυναγμοῦ στρατοπεδεύσονται· [3] οἱ δὲ στρα-

---

44. Sectionem invito codice ed. omittit, nisi quod litera rubra desideratur. Cf. Prol. II, 1, a. 52. σημαίας cod., non σημασίας ut ed. Similiter II, 25. ταῖς στρατιαῖς] ἐς ταῖς στρ. cod. et ed. (cf. II, 3. 9 cet.). An voluit ἐς τὰς στρατιὰς (לְצִבְאֹתָם)? Cf. I, 3. X, 25. 28. 54. καὶ ποιήσουσιν] quasi וְעָשׂוּ scriptum esset, non וַיַּעֲשׂוּ

II. 2. τοῦ πατρὸς] rursus sing. pro plur. (אֲבֹתָם). Cf. not. ad I, 20. Prol. I, 3, a.

τοπεδευόμενοι πρὸς ἀρχὴν, πρὸς ἀνατολάς· ἡ σημαία τοῦ στρατοπέδου τοῦ ἰεούδου ταῖς στρατιαῖς αὐτῶν, ἡγεμὼν δὲ τοῖς υἱέσιν ἰεούδου ναησὼν υἱὸς ἀμιναδάβου· [4] στρατιὰ δέ οἱ καὶ οἱ ἐπισκεφϑέντες αὐτῶν τέτταρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι. [5] οἵ τε στρατοπεδευόμενοι ἐπ' αὐτῷ· τὸ σκῆπτρον τοῦ ἰσσασχάρου, ἡγεμὼν δὲ τοῖς υἱέσιν ἰσσασχάρου νεϑανέλης υἱεὺς ζουάρου· [6] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι οἱ τέτταρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. [7] σκῆπτρον ζεβουλούνου, καὶ ἡγεμὼν τοῖς υἱέσι τοῦ ζεβουλούνου ἐλιάβης υἱὸς ἐλῶνος· [8] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι οἱ ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. [9] πάντες οἱ ἐπεσκεμμένοι τοῦ στρατοπέδου τοῦ ἰεούδου ἑκατὸν χιλιάδες ὀγδοήκοντά τε χιλιάδες καὶ ἓξ χιλιάδες καὶ τετρακόσιοι ταῖς στρατιαῖς σφῶν· πρῶτοι μεταροῦσι.

[10] Σημαία τοῦ στρατοπέδου ῥεουβένου πρὸς νότον ταῖς στρατιαῖς αὐτῶν, ἡγεμὼν δὲ τοῖς υἱέσι ῥεουβένου ἐλισούρης υἱεὺς σαδεούρου· [11] στρατιά τέ οἱ καὶ ἐπεσκεμμένοι οἱ ἓξ καὶ τετταράκοντα χιλιάδες ἑπτακόσιοι. [12] οἵ τε στρατοπεδευόμενοι ἐπ' αὐτῷ· τὸ σκῆπτρον τοῦ συμεῶνος, ἡγεμὼν δὲ τοῖς υἱέσι συμεῶνος σελουμιέλης υἱεὺς σουρισαδάϊνος· [13] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι. [14] καὶ τὸ σκῆπτρον τοῦ γάδου, ἡγεμὼν δὲ τοῖς υἱέσι γάδου ἐλιαξάφης υἱεὺς ῥεουέλου· [15] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν πέντε καὶ τετταράκοντα χιλιάδες ἑξακόσιοί τε καὶ πεντήκοντα. [16] πάντες οἱ ἐπεσκεμμένοι τοῦ στρατοπέδου τοῦ ῥεουβένου ἑκατὸν χιλιάδες μία τε καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι καὶ πεντήκοντα ταῖς στρατιαῖς αὐτῶν· καὶ δεύτεροι μεταροῦσι.

[17] Μεταρεῖ δὲ ἡ σκηνὴ τοῦ ξυναγμοῦ, τὸ στρατόπεδον τῶν λευινίων μέσον τῶν στρατοπέδων· καϑάπερ στρατοπεδεύσονται τῇδε μεταροῦσιν, ἕκαστος ἐπὶ χειρὸς ἑαυτοῦ ταῖς σημαίαις αὐτῶν.

[18] Σημαία στρατοπέδου τοῦ ἐφραΐμου ταῖς στρατιαῖς

5. ἰσσασχάρου (1) in ras. In margine eadem manus adscripsit γρ ἰσσασ. Ed. ἰσαχάρου 9. ὀγδοήκοντα] ὀβδομήκοντα corrupte cod., ἑβδομήκοντα (sic) ed. 11. ἐπεσκεμμένοι οἱ cod. Ed. οἱ om. χιλιάδες cod., non χιλιάδων ut ed. ἑπτακόσιοι] l. καὶ πεντακόσιοι (וַחֲמֵשׁ מֵאוֹת). 14. ἐλιαξάρης (sic) cod., non ἐλιαζάρης ut ed. ῥεουέλου] ἐξουέλου corrupte cod., fort. pro δεου. Cf. I, 14. Prol. l. c. 16. τοῦ (2)] τῶν cod.

αὐτῶν πρὸς θάλατταν, ἡγεμὼν δὲ τοῖς υἱέσιν ἐφραΐμου ἐλισαμάος υἱὸς ἀμιούδου· [19] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι. [20] ἐπ' αὐτῷ δὲ τὸ σκῆπτρον τοῦ μενασέως, ἡγεμών τε τοῖς υἱέσι τοῦ μενασέως γαμελιέλος υἱεὺς πεδασούρου· [21] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι. [22] καὶ τὸ σκῆπτρον τοῦ βενιαμῖνος, ἡγεμὼν δὲ τοῖς υἱέσι τοῦ βινιαμῖνος ἀβιδὰν υἱὸς γιδεωνῖνος· [23] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν πέντε τριάκοντά τε χιλιάδες καὶ τετρακόσιοι. [24] πάντες οἱ ἐπισκεφθέντες τοῦ στρατοπέδου ἐφραΐμου ἑκατὸν χιλιάδες ὀκτώ τε χιλιάδες καὶ ἑκατὸν τῇ στρατιᾷ σφῶν· τρίτοι τε μεταροῦσι.

[25] Σημαία τοῦ στρατοπέδου δανὸς πρὸς ἄρκτους τῇ στρατιᾷ σφῶν, ἡγεμὼν δὲ τοῖς υἱέσι δανὸς ἀηέζερος υἱεὺς ἀμισαδαΐνος· [26] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι. [27] οἵ τε στρατοπεδευόμενοι ἐπ' αὐτῷ· τὸ σκῆπτρον τοῦ ἀσέρου, ἡγεμὼν δὲ τοῖς υἱέσιν ἀσέρου παγοιέλης υἱεὺς ἀχρᾶνος· [28] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν μία καὶ τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι. [29] καὶ τὸ σκῆπτρον τοῦ ναφεταλῖνος, ἡγεμὼν δὲ τοῖς υἱέσι ναφεταλῖνος ἀηδάος υἱεὺς αἰνᾶνος· [30] στρατιὰ δέ οἱ καὶ ἐπεσκεμμένοι σφῶν τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι· [31] πάντες οἱ ἐπισκεφθέντες τοῦ στρατοπέδου δανὸς ἑκατὸν χιλιάδες ἑπτά τε καὶ πεντήκοντα χιλιάδες καὶ ἑξακόσιοι· ἐς ὕστερον μεταροῦσι ταῖς σημαίαις αὐτῶν.

[32] Οὗτοι οἱ ἐπισκεφθέντες τῶν υἱέων τοῦ ἰσραέλου τῷ οἴκῳ τῶν πατέρων αὐτῶν· πάντες οἱ ἐπισκεφθέντες τοῦ στρατοπέδου ταῖς στρατιαῖς αὐτῶν ἑξακόσιαι χιλιάδες τρισχίλιοί τε καὶ πεντακόσιοι καὶ πεντήκοντα. [33] οἱ μέντοι λευῖται οὐκ ἐπεσκέφθησαν μέσον τῶν υἱέων τοῦ ἰσραέλου, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [34] τοιγαροῦν ἐποίησαν οἱ υἱεῖς ἰσραέλου κατὰ πάνθ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· τῇδε ἐστρατοπεδεύσαντο ταῖς ση-

---

22. βενιαμῖνος] sic cod. (בִּנְיָמִן), at paullo inferius ipse βινιαμ. exhibet. 24. τῇ στρατιᾷ] sing. pro plur. (לְצִבְאֹתָם). Item v. sq. 25. ἀμιγαδαΐνος cod. (עַמִּישַׁדָּי). Cf. I, 12. Prol. l. c. 29. ἀηδάος] rursus ר (אֲחִירַע) cum ד confudit. Cf. I, 15. 31. ἐσύστερον cod. Cf. Prol. I, 4, d. 32. τοῦ στρατοπέδου] l. τῶν στρατοπέδων (הַמַּחֲנֹת). ἑξαχόσιοι cod. et ed.

μαίαις αὐτῶν, τῇδέ τε μετῆραν ἕκαστος ταῖς φρήτραις αὐτοῦ ἐπὶ τῷ δόμῳ τῶν πατέρων αὐτοῦ.

III. [1] Αἵδί δὲ αἱ γεννήσεις ἀαρῶνος καὶ μωσέως, ἐν ἡμέρᾳ ῇ διείλεκται ὁ ὀντωτὴς τῷ μωσεῖ ἐν τῷ ὄρει ξινάϊνι. [2] ταυτί τε τὰ ὀνόματα τῶν υἱέων τοῦ ἀαρῶνος· ὁ πρωτότοκος ναδάβης, ἀβιοῦς τε, ἐλαζάρης καὶ ἡϑαμάρος· [3] ταῦτα τὰ ὀνόματα τῶν υἱέων τοῦ ἀαρῶνος, τῶν ἱερέων τῶν κεχρισμένων, οἷς ἔπλησε τὴν χεῖρα σφῶν ὥσϑ' ἱερατεύειν. [4] τέϑνηκε δὲ ναδάβης καὶ ἀβιοῦς ἐπίπροσϑεν τοῦ ὀντωτοῦ, ἐπεὶ προσφέροιεν αὐτὼ πῦρ ὀϑνεῖον ἐνώπιον τοῦ ὀντωτοῦ ἐν τῇ ἐρήμῳ ξινάϊνος· υἱεῖς δ' οὐχ ὑπῆρξαν αὐτοῖν, ἱεράτευσε δὲ ἐλεαζάρης καὶ ἡϑαμάρος ἐπὶ προσώπου ἀαρῶνος τοῦ πατρὸς αὐτῶν.

[5] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [6] προσάγαγε το σκῆπτρον τοῦ λευῖνος, στήσεις αὐτὸ ἐπίπροσϑεν ἀαρῶνος τοῦ ἱερέως, καὶ ὑπηρετήσονται αὐτῷ· [7] φυλάξουσί τε τὰς φυλάξεις αὐτοῦ καὶ τὴν φύλαξιν παντὸς τοῦ ἀϑροίσματος ἐπίπροσϑεν τῆς σκηνῆς τοῦ ξυναγμοῦ, ὥστε λατρεύειν τὴν λατρείαν τοῦ οἰκήματος· [8] φυλάξουσι δὲ ξύμπαντα τὰ σκεύη τῆς σκηνῆς τοῦ ξυναγμοῦ καὶ τὴν φύλαξιν τῶν υἱέων τοῦ ἰσραέλου, ὡς ὑπηρετοῖντο τὴν ὑπηρεσίαν τοῦ οἰκήματος. [9] δώσεις τε τοὺς λευίτας τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ δοτούς· δοτοί εἰσιν αὐτῷ πρὸς τῶν υἱέων τοῦ ἰσραέλου. [10] τὸν δ' ἀαρῶνα καὶ τοὺς υἱέας αὐτοῦ ἐπισκέψῃ, καὶ φυλάξουσι τὴν ἱερωσύνην ἑαυτῶν· ὁ δ' ἀλλότριος ὁ ἐγγίζων τεϑανατώσϑω.

[11] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [12] κἀγὼ ϑεῶ ἔλαβον τοὺς λευίτας μέσοϑεν τῶν υἱέων τοῦ ἰσραέλου ἀντὶ παντὸς πρωτοτόκου, ἐλευϑερώματος πάσης νηδύος πρὸς τῶν υἱέων τοῦ ἰσραέλου, τελέσουσί τέ μοι οἱ λευῖται· [13] ἐμοὶ γὰρ πᾶν πρωτότοκον· ἐν τῇ ἡμέρᾳ τοῦ βαλεῖν με πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτου ἡγίασα ἐμαυτῷ πᾶν πρωτότοκον ἐν τῷ ἰσραέλῳ, ἀπ' ἀνϑρώπου μέχρι κτήνους, ἐμοὶ τελέσουσιν· ἐγὼ ὁ ὀντωτής.

---

34. ταῖς φρήτραις αὐτῶν cod. et ed. (לְמִשְׁפְּחֹתָיו).

III. 1. ῇ διείλεκται] ῇ ipsi addidimus invito codice. Cf. Exod. VI, 28. Deut. IV, 15. **4.** αὐτὼ cod., non αὐτῷ ut ed. Sed pro προσφέροιεν legendum puto προσφέρετον (cf. XXVI, 61) vel προσφεροίτην. Cf. Prol. II, 2, b. **12.** πάσης νηδύος] כָּל־רֶחֶם (ita codd. Kenn. 75. 136) pro solo רֶחֶם t. rec.

[14] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῇ ἐρήμῳ ξινάϊνος τῷ φάναι· [15] ἐπίσκεψαι τοὺς υἱέας τοῦ λευΐνος τῷ δόμῳ τῶν πατέρων αὐτῶν, ταῖς φρήτραις αὐτῶν· πᾶν ἄρρεν ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω ἐπισκέψῃ σφᾶς. [16] ἐπεσκέψατο τοίνυν αὐτοὺς μωσεὺς ἐπὶ τῷ στόματι τοῦ ὀντωτοῦ καϑάπερ ἐκέλευσεν. [17] ἐτέλεσάν τε οὗτοι υἱοὶ λευΐνος ἐν τοῖς ὀνόμασι σφῶν· γερσὼν, κεάϑης τε καὶ μεραρίς. [18] ταῦτά τε τὰ ὀνόματα τῶν υἱῶν γερσῶνος ταῖς φρήτραις σφῶν· λιβενὶς καὶ σιμεῖς. [19] υἱεῖς δὲ κεάϑου ταῖς φρήτραις αὐτῶν· ἀμεράμης καὶ ἰσάρης, ἐβρὼν καὶ οὐζιέλης. [20] υἱεῖς δὲ μεραρῖνος ταῖς φρήτραις σφῶν· μαλὶς καὶ μουσίς. οὗτοί εἰσιν αἱ φρῆτραι τοῦ λευΐνος τῷ δόμῳ τῶν πατέρων αὐτῶν. [21] τοῦ γερεσῶνος ἡ φρήτρα τοῦ λιβενῖνος καὶ ἡ φρήτρα τοῦ σιμεῖνος· αὗταί εἰσιν αἱ φρῆτραι τοῦ γερσωνίου. [22] ἐπεσκεμμένοι σφῶν ἐν ἀριϑμῷ, πᾶς ἄρρην ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω, ἐπεσκεμμένοι σφῶν ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι. [23] αἱ φρῆτραι τοῦ γερσωνίου μετὰ τὸ οἴκημα στρατοπεδεύσονται πρὸς ϑάλατταν· [24] ἡγεμὼν δὲ τοῦ οἴκου τοῦ πατρὸς τοῦ γερσωνίου ἐλιαξάφης υἱεὺς λαέλου. [25] φυλακὴ δὲ τῶν υἱέων γερσῶνος ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· τὸ οἴκημα ἡ σκηνή τε, τὸ κάλυμμά οἱ καὶ ἡ σκέπη τοῦ πυλεῶνος τῆς σκηνῆς τοῦ ξυναγμοῦ, [26] αἵ τε σφενδόναι τῆς αὐλῆς, καὶ ξὺν τῇ σκέπῃ τοῦ πυλεῶνος τῆς αὐλῆς τῇ ἐπὶ τοῦ οἰκήματος κἀπὶ τοῦ ϑυτηρίου κύκλῳ, καὶ ξὺν ταῖς σχοίνοις αὐτῆς εἰς πᾶσαν τὴν ὑπηρεσίαν αὐτῆς. [27] Τῷ δὲ κεάϑῃ· φρήτρα τοῦ ἀμεραμίου ἥ τε φρήτρα τοῦ ἰσαρίου καὶ ἡ φρήτρα τοῦ ἐβρωνίου καὶ ἡ φρήτρα τοῦ οὐζαελίου· οὗτοί εἰσιν αἱ φρῆτραι τοῦ κεαϑίου, [28] ἐν ἀριϑμῷ παντὸς ἄρρενος ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω ὀκτὼ χιλιάδες καὶ ἑξακόσιοι, φυλάττοντες τὴν φυλακὴν τοῦ ἁγίου. [29] αἱ

---

15. τῷ δόμῳ] ἐς τῷ δόμῳ cod. et ed. Cf. not. ad I, 52. 16. ἐκέλευσεν] צִוָּה (ita ex codd. Ross. unus solus 18) pro צִוָּה. Consentiunt LXX. Hier., nisi quod יְהוָה addunt. 17. γερσῶν c. cd. ed. At v. 19 ipse cod. videtur ἐβρῶν exhibere. 20. μαλις] μαηλις (cf. v. 33), vel potius μαχλις (מַחְלִי)? Cf. Exod. VI, 19. 22. ἑβδομήκοντα] שִׁבְעִים pro שִׁבְעַת 25. κάλυμμα] κατάλυμμα cod. Amm.: „Num κατακάλυμμα?" At hoc vocabulo omnino non utitur. Cf. IV, 8 sqq. Exod. XXXVI, 19 cet. 26. τῆς αὐλῆς] τῶν αὐτῶν cod. τῇ (2) cod., non τῆς ut ed. 27. ἀμεραμιοῦ (sic) cod., non ἀμεραμινοῦ οὐζαελίου] l. οὐζιελίου (cf. v. 19. 30) aut ὀζιελίου (הָעָזִּיאֵלִי).

φρῆτραι τῶν υἱῶν τοῦ κεάϑου στρατοπεδεύσονται ἐπὶ τοῦ μηροῦ τοῦ οἰκήματος πρὸς νότον. [30] ἡγεμὼν δὲ τοῦ οἴκου τοῦ πατρὸς τῶν φρητρῶν τοῦ κεαϑίου ἐλισαφὰν υἱεὺς οὐζιέλου. [31] φυλακὴ δὲ σφῶν ἡ χηλὸς ἥ τε τράπεζα καὶ ὁ λαμπτὴρ, τά τε ϑυτήρια καὶ τὰ σκεύη τοῦ ἁγίου οἷς ὑπηρετήσουσιν ἐν αὐτοῖς, ἡ σκέπη τε καὶ πᾶσα ἡ ἐργασία αὐτῆς. [32] ἡγεμὼν δὲ τῶν ἡγεμόνων τοῦ λευῖνος ἐλεαζάρης υἱεὺς ἀαρῶνος τοῦ ἱερέως, ἐπίσκεψις τῶν φυλαττόντων τὴν φυλακὴν τοῦ ἁγίου. [33] τῷ μεραρῖνι· φρήτρα τοῦ μαηλῖνος καὶ φρήτρα τοῦ μουσῖνος· αὗταί εἰσιν αἱ φρῆτραι τοῦ μεραρῖνος. [34] ἐπεσκεμμένοι δ' αὐτῶν ἐν ἀριϑμῷ παντὸς ἄρρενος ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω ἑξακισχίλιοι καὶ διακόσιοι. [35] καὶ ἡγεμὼν τοῦ οἴκου τοῦ πατρὸς τῶν φρητρῶν τοῦ μεραρῖνος σουριέλης υἱεὺς ἀβιαΐλου· ἐπὶ μηροῦ τοῦ οἰκήματος στρατοπεδεύσονται πρὸς ἄρκτους. [36] ἐπίσκεψις δὲ τῆς φυλακῆς τῶν υἱέων τοῦ μεραρῖνος αἱ σανίδες τοῦ οἰκήματος οἵ τε μοχλοὶ αὐτοῦ καὶ οἱ στύλοι αὐτοῦ, αἱ ϑυΐσκαι τ' αὐτοῦ καὶ πάντα τὰ σκεύη αὐτοῦ πᾶσά ϑ' ἡ ὑπηρεσία αὐτοῦ, [37] καὶ οἱ στύλοι τῆς αὐλῆς κύκλῳ καὶ αἱ ϑυΐσκαι σφῶν, οἵ τε πάτταλοι σφῶν καὶ αἱ σχοῖνοι σφῶν. [38] οἱ δὲ στρατοπεδευόμενοι ἐπίπροσϑεν τοῦ οἰκήματος πρὸς ἀρχὰς ἐνώπιον τῆς σκηνῆς τοῦ ξυναγμοῦ, πρὸς ἀνατολὰς, μωσεὺς ἀαρών τε καὶ οἱ υἱεῖς αὐτοῦ, φυλάττοντες τὴν φυλακὴν τοῦ ἱεροῦ ἐς φυλακὴν τῶν υἱέων τοῦ ἰσραέλου· ὁ δ' ἀλλότριος ὁ ἐγγίζων ϑανατωϑήσεται. [39] πάντες οἱ ἐπεσκεμμένοι τῶν λευινίων οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν ἐπὶ στόματος τοῦ ὀντωτοῦ ἐς τὰς φρήτρας αὐτῶν, πᾶς ἄρρην ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω, δύο καὶ εἴκοσι χιλιάδες.

[40] Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἐπίσκεψαι πάντα πρωτότοκον ἄρρενα τῶν υἱέων τοῦ ἰσραέλου ἀφ' υἱέως μηνὸς καὶ ἄνω, καὶ ἆρον τὸν ἀριϑμὸν τῶν ὀνομάτων αὐτῶν· [41] λήψῃ τε τοὺς λευινίους ἐμοὶ, ἐγὼ ὁ ὀντωτὴς, ἀντὶ παντὸς πρωτοτόκου ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ τὸ κτῆνος τῶν λευινίων ἀντὶ παντὸς πρωτοτόκου ἐν τῷ κτήνει τῶν υἱέων τοῦ ἰσραέλου. [42] τοίνυν ἐπε-

---

29. προσνότον cod. itemque v. 35 προσάρκτους (ita et ed.). Cf. Prol. I, 4, d. 35. ἀβιαΐλου] quasi אֲבִיהָיִל legisset, non אֲבִיחָיִל. Cf. not. ad Lev. XXVI, 42. 36 sq. στύλοι] hoc accentu utitur. Cf. Prol. I, 4, c. 37. αὐλῆς] αὐτῆς cod. Emendationem Amm. praeivit. 38. προσαρχὰς — προσανατολὰς cod. et ed. Vid. supra. 39. ἀαρὼν] de punctis cf. Prol. II, 2, k.

σκέψατο μωσεὺς καϑάπερ ἐκέλευσεν ὁ οντωτὴς αὐτῷ, πάντα πρωτότοκον ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου· [43] καὶ ὑπῆρξε πᾶς πρωτότοκος ἄρρην ἐν ἀριϑμῷ ὀνομάτων ἀφ' υἱοῦ μηνὸς καὶ ἄνω εἰς τοὺς ἐπεσκεμμένους αὐτῶν δύο καὶ εἴκοσι χιλιάδες τρεῖς ἑβδομήκοντά τε καὶ διακόσιοι.

[44] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [45] λάβε τοὺς λευινίους ἀντὶ παντὸς πρωτοτόκου ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου, τό τε κτῆνος τῶν λευινίων ἀντὶ τοῦ κτήνους αὐτῶν, τελέσουσί τ' ἐμοὶ οἱ λευίνιοι· ἐγὼ ὁ ὀντωτής· [46] τοὺς δὲ λυτρουμένους τοὺς τρεῖς καὶ ἑβδομήκοντα καὶ διακοσίους, τοὺς περιττεύοντας ὑπὲρ τοὺς λευινίους ἀπὸ τοῦ πρωτοτόκου τῶν υἱέων τοῦ ἰσραέλου, [47] καὶ λήψῃ πέντε πέντε στατῆρας τῷ κρανίῳ, ἐν τῷ στατῆρι τῷ ἁγίῳ λήψῃ, εἴκοσιν ὀβολοὺς ὁ στατήρ· [48] δώσεις τε τὸ ἀργύριον τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ· λελυτρωμένοι οἱ περιττεύοντες ἐν αὐτοῖς. [49] ἔλαβεν οὖν μωσεὺς τὸν ἄργυρον τῶν λελυτρωμένων ἀπὸ τῶν περιττευόντων ὑπὲρ τοὺς υἱέας τοῦ λευῖνος· [50] πρὸς τοῦ πρωτοτόκου τῶν υἱέων τοῦ ἰσραέλου ἔλαβε τὸν ἄργυρον, πέντε καὶ ἑξήκοντα πρὸς τοῖς τριακοσίοις καὶ χιλίοις ἐν τῷ στατῆρι τῷ ἁγίῳ· [51] καὶ ἔδωκε μωσεὺς τὸν ἄργυρον τῶν λελυτρωμένων τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ ἐπὶ στόματος τοῦ ὀντωτοῦ, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

IV.

[1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [2] ἐπαίρειν τὴν κεφαλὴν τῶν υἱέων καάϑου μέσοϑεν τῶν υἱέων τοῦ λευῖνος, ἐς τὰς φρήτρας αὐτῶν, εἰς τὸν δόμον τῶν πατέρων αὐτῶν, [3] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω μέχρι ϑ' υἱέως πεντηκονταετοῦς, πάντα ἰόντα στρατιᾷ ποιεῖν ἐργασίαν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ. [4] αὕτη ἡ ὑπηρεσία τῶν υἱέων καάϑου ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ τοῦ ἁγίου τῶν ἁγίων. [5] ἐλεύσεται τοίνυν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ ἐν τῷ μεταίρειν τὸ στρατόπεδον,

---

45. υἱέσι τε ἰσραέλου cod. et ed. 46. τῶν (τρεῖς καὶ ἑβδ.)? τοὺς λευινίους cod., non τῶν λευινίων ut ed. 49. (τὸν) ἀργύριον cod. et ed. τῶν λελυτρωμένων] הַפְּדוּיִם (ita Sam., cod. Kenn. 84) pro הַפְּדוּיִם υἱέας] בְּנֵי pro פְּדוּיֵי 50. πρωτοτόκου] τόκου cod. Recte jam ed.

IV. 2. μέσοϑεν] μεσόϑεν cod. et ed. Cf. Prol. I, 4, c. 3. ποιεῖν] ποιεῖς cod. et ed. 4. τοῦ ξυναγμοῦ τοῦ ἁγίου] nonne τοῦ ξυναγμοῦ· τὸ ἅγιον?

καὶ καταβιβάσουσι τὴν αὐλαίαν τῆς σκέπης, καλύψουσί τ' ἐν αὐτῇ τὴν χηλὸν τῆς μαρτυρίας, [6] δώσουσί τ' ἐπ' αὐτῆς κάλυμμα δέρματος παρδάλεως, καὶ τενοῦσιν ὕφασμα ὅλως ὑακίνθινον ἄνωθεν, θήσουσί τε τοὺς μοχλοὺς αὐτῆς. [7] ἐπὶ δὲ τῆς τραπέζης τοῦ προσώπου τενοῦσιν ὕφασμα ὑακίνθου, δώσουσί τ' ἐπ' αὐτῆς τὰς τρύβλας τούς τε δοίδυκας καὶ τοὺς παττάλους καὶ τοὺς καλάμους τῆς σπονδῆς, ὅ τ' ἄρτος ὁ διηνεκὴς ἐπ' αὐτῆς ὑπάρξει· [8] καὶ τενοῦσιν ἐπ' αὐτῶν ὕφασμα σκώληκος ἐρυθροῦ, καλύψουσί τ' αὐτὸ ἐν καλύμματι δέρματος παρδάλεως, καὶ θήσουσι τοὺς μοχλοὺς αὐτῆς. [9] λήψονται δὲ ὕφασμα ὑακίνθου καὶ καλύψουσι τὸν λαμπτῆρα τοῦ φωτισμοῦ τούς τε λύχνους αὐτοῦ καὶ τὰς λαβίδας αὐτοῦ τά τε θυμιατήρια αὐτοῦ, καὶ ξύμπαντα τὰ σκεύη τοῦ ἐλαίου αὐτοῦ οἷς ὑπηρετήσουσιν αὐτὰ ἐν αὐτοῖς· [10] δώσουσί τ' αὐτὸν καὶ ξύμπαντα τὰ σκεύη αὐτοῦ πρὸς τὸ κάλυμμα τοῦ δέρματος τῆς παρδάλεως, καὶ δώσουσιν ἐπὶ τοῦ ζυγοῦ. [11] κἀπὶ τοῦ θυτηρίου τοῦ χρυσοῦ διατενοῦσιν ὕφασμα ὑακίνθου, καλύψουσί τε αὐτὸ ἐν καλύμματι δέρματος παρδάλεως καὶ θήσουσι τοὺς μοχλοὺς αὐτοῦ, [12] καὶ λήψονται ξύμπαντα τὰ σκεύη τοῦ ὑπηρετεῖν οἷς ὑπηρετήσονται ἐν αὐτοῖς ἐν τῷ ἁγίῳ, καὶ δώσουσι πρὸς τὸ ὕφασμα τοῦ ὑακίνθου, καλύψουσί τ' αὐτὰ ἐν καλύμματι δέρματος παρδάλεως καὶ δώσουσιν ἐπὶ τοῦ ζυγοῦ. [13] ἀπολιπανοῦσί τε τὸ θυτήριον καὶ τενοῦσιν ἐπ' αὐτοῦ ὕφασμα πορφύρας, [14] δώσουσί τ' ἐπ' αὐτοῦ ξύμπαντα τὰ σκεύη αὐτοῦ οἷς ὑπηρετήσονται ἐπ' αὐτοῦ ἐν αὐτοῖς, τὰ θυμιατήρια, τὰ ἀγκύρια καὶ τὰ ξύστρα τά τε ῥάντιστρα, πάντα τὰ σκεύη τοῦ θυτηρίου· τενοῦσί τ' ἐπ' αὐτοῦ κάλυμμα δέρματος παρδάλεως καὶ θήσουσι τοὺς μοχλοὺς αὐτοῦ. [15] τελέσει τοίνυν ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ καλύπτων τὸ ἅγιον ξύμπαντά τε τὰ σκεύη τοῦ ἁγίου, ἐπὰν μεταίροι τὸ στρατόπεδον· μετὰ δὲ ταῦτα ἐλεύσονται οἱ υἱεῖς κεάθου ὡς αἴροιεν, καὶ οὐκ ἐγγιοῦσι πρὸς τὸ ἅγιον καὶ τεθνήξονται. ταῦτα τὸ ἄρμα τῶν υἱῶν τοῦ κεάθου ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ. [16] καὶ ἐπίσκεψις ἐλεαζάρου τοῦ υἱοῦ ἀαρῶνος τοῦ ἱερέως· ἔλαιον τοῦ φωτὸς καὶ θυμίαμα τῶν ἀρωμάτων καὶ μείλιγμα τὸ διηνεκὲς μύρον τε τῆς

---

5. τὸν (χηλὸν) invito codice ed. 7. αὐτῆς (1)] αὐτοῦ cod. et ed. 15. ταῦτα (2)] cave suspiceris mendum esse librarii pro τοῦτο (אֵלֶּה). ἄρμα] hoc accentu utitur. Cf. Prol. l. c.

χρίσεως, ἐπίσκεψις παντὸς τοῦ οἰκήματος καὶ πάντων τῶν ἐν αὐτῷ, ἐν τῷ ἁγίῳ κἀν τοῖς σκεύεσιν αὐτοῦ.

[17] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [18] μὴ τέμητε τὸ σκῆπτρον τῶν φρητρῶν τὸ κεάϑιον μέσοϑεν τῶν λευινίων. [19] τόδε τε ποιήσετε σφίσι, ζήσονταί τε καὶ οὐ τεϑνήξονται ἐπὰν ἐγγίζοιεν αὐτοὶ τῷ ἁγίῳ τῶν ἁγίων· ἀαρὼν καὶ οἱ υἱεῖς αὐτοῦ ἐλεύσονται καὶ ϑήσουσι σφᾶς, ἄνδρα ἕκαστον ἐπὶ τῆς ὑπηρεσίας ἑαυτοῦ καὶ πρὸς τῷ ἅρματι ἑαυτοῦ, [20] οὔτ' ἀφίξονται ϑεᾶσϑαι ἐπὰν κρύπτηται τὸ ἅγιον, καὶ τεϑνήξονται.

[21] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [22] αἴρειν τὴν (μερίς) κεφαλὴν τῶν υἱέων γερσῶνος ἔτι σφῶν, τῷ δόμῳ τῶν πατέρων αὐτῶν ἐς φρήτρας αὐτῶν, [23] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω καὶ μέχρις υἱέως πεντηκονταετοῦς ἐπισκέψασϑαι σφᾶς, πάντα τὸν ἰόντα στρατεύεσϑαι στρατείαν, ὑπηρετεῖν ὑπηρεσίαν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ. [24] αὕτη ἡ ὑπηρεσία τῶν φρητρῶν τοῦ γερσωνίου ἐς τὸ ὑπηρετεῖν καὶ εἰς ἅρμα· [25] τοιγαροῦν ἀροῦσι τὰς αὐλαίας τοῦ οἰκήματος καὶ τὴν σκηνὴν τοῦ ξυναγμοῦ, τὴν σκέπην ταύτης καὶ τὸ κάλυμμα τῆς παρδάλεως τὸ ἐπ' αὐτῆς ἄνωϑεν, καὶ τὴν σκέπην τοῦ πυλῶνος τῆς σκηνῆς τοῦ ξυναγμοῦ, [26] τάς τε σφενδόνας τῆς αὐλῆς καὶ τὴν σκέπην τοῦ πυλῶνος τῆς πύλης τῆς αὐλῆς, τῆς ἐπὶ τοῦ οἰκήματος κἀπὶ τοῦ ϑυτηρίου κύκλῳ, τάς τε σχοίνους αὐτῆς καὶ ξύμπαντα τὰ σκεύη τῆς ὑπηρεσίας αὐτῆς, ξύμπαντά ϑ' ἅπερ ποιηϑήσεται σφίσι, καὶ ὑπηρετήσονται. [27] ἐπὶ τοῦ στόματος τοῦ ἀαρῶνος καὶ τῶν υἱέων αὐτοῦ τελέσει πᾶσα ὑπηρεσία τῶν υἱέων τοῦ γερσωνίου εἰς πᾶν τὸ ἅρμα σφῶν εἴς τε πᾶσαν ὑπηρεσίαν αὐτῶν· καὶ ἐπισκέψεσϑε ἐπ' αὐτῶν ἐν φυλακῇ ξύμπαν τὸ φορτίον αὐτῶν. [28] αὕτη ἡ ὑπηρεσία τῶν φρητρῶν τῶν υἱῶν τοῦ γερσωνίου ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· ἡ δὲ φυλακὴ σφῶν ἐν χειρὶ ἠϑαμάρου τοῦ υἱέως ἀαρῶνος τοῦ ἱερέως.

---

18. τὸ κεάϑιον] τοῦ κεαϑίου (cf. v. 34. 37)? 19. αὐτοὶ] scriptura in codice paene evanuit, at certo ita (non αὐτῇ ut ed.) legendum est. ϑήσουσι] ϑύσουσι cod. et ed. 20. ἐπὰν κρύπτηται] בְּבַלַּע pro כְּבַ? 23. ἐπισκέψασϑαι] correxerim ἐπισκέψῃ (תִּפְקֹד; cf. v. 29 sq.) aut ἐπίσκειψαι (cf. I, 50). 26. σχοίνους αὐτῆς] l. σχ. αὐτῶν (מֵיתְרֵיהֶם), itemque ὑπηρεσίας αὐτῶν (עֲבֹדָתָם). 28. ἀαρῶνος cod., non τοῦ ἀαρ. ut ed.

[29] Τοὺς υἱεῖς μεραρῖνος ἐς τὰς φρήτρας αὐτῶν, ἐς οἶκον τῶν πατέρων αὐτῶν ἐπισκέψῃ σφᾶς, [30] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω μέχρις υἱέως πεντηκονταετοῦς ἐπισκέψῃ σφᾶς, πάντα τὸν ἀφικνούμενον εἰς στρατιὰν ὡς ὑπηρετοῖτο τὴν ὑπηρεσίαν τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [31] τοιγαροῦν αὕτη ἡ φυλακὴ τοῦ ἅρματος αὐτῶν ἐς πᾶσαν τὴν ὑπηρεσίαν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· αἱ σανίδες τοῦ οἰκήματος οἵ τε μοχλοί οἱ, οἵ τε στύλοι οἱ καὶ αἱ ϑυῖσκαι οἱ, [32] καὶ οἱ στύλοι τῆς αὐλῆς κύκλῳ, αἵ τε ϑυῖσκαι σφῶν καὶ οἱ πάτταλοι σφῶν καὶ αἱ σχοῖνοι σφῶν, ἐς πάντα τὰ σκεύη σφῶν καὶ εἰς πᾶσαν τὴν ὑπηρεσίαν αὐτῶν· κἀν ὀνόμασιν ἐπισκέψεσϑε τὰ σκεύη τῆς φυλακῆς τοῦ ἅρματος σφῶν. [33] αὕτη ἡ ὑπηρεσία τῶν φρητρῶν τῶν υἱέων τοῦ μεραρῖνος εἰς πᾶσαν τὴν ὑπηρεσίαν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, ἐν χειρὶ ἠϑαμάρου τοῦ υἱέως ἀαρῶνος τοῦ ἱερέως. [34] ἐπεσκέψατο τοίνυν μωσεὺς, ἀαρών τε καὶ οἱ ἡγούμενοι τοῦ ἀϑροίσματος τοὺς υἱέας τοῦ κεαϑίου ἐς φρήτρας αὐτῶν, ἐς δόμους τῶν πατέρων αὐτῶν, [35] ἀφ' υἱοῦ τριακονταετοῦς καὶ ἄνω μέχρι ϑ' υἱοῦ πεντηκονταετοῦς, πάντα τὸν ἰόντα ἐς στρατιὰν ἐς ὑπηρεσίαν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· [36] τελέσουσι δ' οἱ ἐπεσκεμμένοι σφῶν ἐς τὰς φρήτρας αὐτῶν δισχίλιοι ἑπτακόσιοι καὶ πεντήκοντα. [37] οὗτοι οἱ ἐπισκεφϑέντες τῶν φρητρῶν τοῦ κεαϑίου, πᾶς ὑπηρετούμενος ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν ἐπὶ στόματος τοῦ ὀντωτοῦ ἐν χειρὶ τοῦ μωσέως.

[38] Ἐπισκεφϑέντες δὲ τῶν υἱῶν τοῦ γερσῶνος ἐς φρήτρας αὐτῶν εἴς τε δόμον πατέρων αὐτῶν, [39] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω καὶ μέχρις υἱέως πεντηκονταετοῦς, πάντα τὸν ἰόντα εἰς στρατιὰν ἐς ὑπηρεσίαν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· [40] ἐτέλεσαν δὲ οἱ ἐπεσκεμμένοι σφῶν ἐς φρήτρας αὐτῶν, εἰς δόμον πατέρων αὐτῶν, δισχίλιοι καὶ ἑξακόσιοι καὶ τριάκοντα. [41] οὗτοι οἱ ἐπισκεφϑέντες τῶν φρητρῶν τῶν υἱέων τοῦ γερσῶνος, πᾶς ὁ ὑπηρετούμενος ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν ἐπὶ στόματος τοῦ ὀντωτοῦ.

---

30. ὑπηρετοῖτο cod., non ὑπηρετεῖτο ut ed. 31 sq. στύλοι, non στῦλοι, cod. Cf. Prol. I, 4, c. 34. δόμους cod., non δόμον ut ed. Dubitari potest, utrum librarius plurali φρήτρας adductus etiam hic pluralem posuerit, an ipse translator libertate quadam usus Hebr. לְבֵית pluraliter reddiderit. Cf. v. 38. 42. I, 18. 20. 22 cet. 36. τελέσουσι δ'] inconsiderate pro וַיִּהְיוּ.

[42] Ἐπεσκεμμένοι δὲ τῶν φρητρῶν τῶν υἱέων τοῦ μεραρῖνος ἐς φρήτρας αὐτῶν, ἐς δόμον τῶν πατέρων αὐτῶν, [43] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω μέχρι ϑ' υἱοῦ πεντηκονταετοῦς, πᾶς ὁ ἰὼν ἐς στρατιὰν εἰς ὑπηρεσίαν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· [44] τοίνυν ἐτέλεσαν οἱ ἐπεσκεμμένοι σφῶν ἐς φρήτρας αὐτῶν τρισχίλιοι καὶ διακόσιοι. [45] οὗτοι οἱ ἐπεσκεμμένοι τῶν φρητρῶν τῶν υἱέων τοῦ μεραρῖνος, οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν ἐπὶ στόματος τοῦ ὀντωτοῦ ἐν χειρὶ μωσέως. [46] πάντες οἱ ἐπισκεφϑέντες οὓς ἐπεσκέψατο μωσεὺς καὶ ἀαρὼν καὶ ἡγεμόνες ἰσραέλου μετὰ τῶν λευινίων, ἐς φρήτρας σφῶν, ἐς δόμον πατέρων αὐτῶν, [47] ἀφ' υἱέως τριακονταετοῦς καὶ ἄνω μέχρι ϑ' υἱέως πεντηκονταετοῦς, πᾶς ὁ ἰὼν ὑπηρετεῖσϑαι ὑπηρεσίαν ὑπηρεσίας καὶ ὑπηρεσίαν ἅρματος ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ· [48] τοίνυν ἐτέλεσαν οἱ ἐπεσκεμμένοι σφῶν ὀκτακισχίλιοι πεντακόσιοί τε καὶ ὀγδοήκοντα. [49] ἐπὶ στόματος τοῦ ὀντωτοῦ ἐπεσκέψατο σφᾶς ἐν χειρὶ μωσέως ἕκαστον ἄνδρα ἐπὶ τῆς ὑπηρεσίας αὐτοῦ καὶ ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ οἱ ἐπεσκεμμένοι αὐτοῦ οὓς ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

V.

[1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] κέλευσον τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ πεμψάντων ἀπὸ τοῦ στρατοπέδου πάντα λεπρὸν πάντα τε ῥέοντα καὶ πάντα μιαρὸν εἰς ψυχήν, [3] ἀπ' ἄρρενος ἄχρι ϑηλείας πέμψετε· πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου πέμψετε σφᾶς, καὶ οὐ μιανοῦσι τὰ στρατόπεδα ὑμῶν οἷς ἐγὼ κατοικῶ μέσον αὐτῶν. [4] ἐποίησαν οὖν οὕτως οἱ υἱεῖς τοῦ ἰσραέλου καὶ ἔπεμψαν σφᾶς πρὸς τὰ ἔξωϑεν τοῦ στρατοπέδου· καϑάπερ διείλεκται ὁ ὀντωτὴς πρὸς μωσέα, τῇδε ἐποίησαν οἱ υἱεῖς τοῦ ἰσραέλου.

[5] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [6] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου· ἀνὴρ ἢ γυνὴ ἐπὰν ποιήσαιεν ἀφ' ὡντινωνοῦν ἁμαρτιῶν τοῦ ἀνϑρώπου ὡς ὑπερβαῖεν ὑπερβασίαν ἐν τῷ ὀντωτῇ, πλημμελήσειέ ϑ' ἡ ψυχὴ ἐκείνη, [7] καὶ ἐξομολογήσονται

43. ἐς στρατιὰν cod., non εἰς στρ. ut ed. 45. ἐπὶ στόματος cod., non ἐπὶ τοῦ στόματος

V. 3. πέμψετε (1) cod., non πέμψατε ut ed. στρατόπεδα ὑμῶν] מַחֲנֵיכֶם pro מַחֲנֵיהֶם 4. προσταέξωϑεν cod., at v. 3 ipse disjuncte πρὸς τὰ ἔξωϑεν exhibet. Cf. Prol. I, 4, d.

τὴν ἁμαρτίαν αὐτῶν ἣν ἐποίησαν, ἀποτίσει τε τὴν πλημμέλειαν ἑαυτοῦ ἐν κεφαλαίῳ ταύτης, καὶ τὸ πέμπτον ταύτης προσθήσει ἐπ' αὐτῆς, δώσει θ' ᾧπερ ἤμπλακεν αὐτῷ· [8] ἢν δὲ μὴ ᾖ τῷ ἀνδρὶ λυτρωτὴς ὡς ἀποδιδοίη τὴν πλημμέλειαν πρὸς αὐτόν, ἡ πλημμέλεια ἡ ἀποτιννυμένη τῷ ὀντωτῇ, τῷ ἱερεῖ, χωρὶς τοῦ κριοῦ τῆς παραιτήσεως ᾧ παραιτήσεται ἐν αὐτῷ ἐπ' αὐτοῦ. [9] πᾶσα ὕψωσις πάντων τῶν ἁγίων τῶν υἱέων τοῦ ἰσραέλου ἣν προσοίσουσι τῷ ἱερεῖ, αὐτῷ τελέσει· [10] καὶ ἀνδρὸς τὰ ἅγια αὐτοῦ, αὐτῷ τελέσουσιν· ἀνὴρ ἅττα δώσει τῷ ἱερεῖ, αὐτῷ τελέσει.

[11] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [12] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἀνὴρ ἀνὴρ ἐπὰν παρακλίνοι ἡ γυνή οἱ καὶ ὑπερβῇ ἐν αὐτῷ ὑπερβασίαν, [13] ἀνακλιθείη τ' ἀνὴρ σὺν αὐτῇ ἀνάκλισιν σπέρματος, καὶ καλυφθείη ἀπὸ τῶν ὀμμάτων τοῦ ταύτης ἀνδρὸς κρυβείη τε, κἀκείνη μεμιασμένη, μάρτυρός τ' οὐκ ὄντος ἐν αὐτῇ κἀκείνη οὐχ ἑάλω, [14] διέλθοι μέντοι ἐπ' αὐτὸν πνεῦμα ζηλοτυπίας καὶ ζηλοτυπήσειε τὴν γυναῖκά οἱ, καίτοι κείνη μεμίασται, ἢ διέβη ἐπ' αὐτὸν πνεῦμα ζηλοτυπίας καὶ ζηλοτυπήσειε τὴν γυναῖκά οἱ, καίτοι κείνη οὐ μεμίασται· [15] τοίνυν οἴσει ὁ ἀνὴρ τὴν γυναῖκά οἱ πρὸς τὸν ἱερέα, καὶ οἴσει τὴν προσφορὰν ἑαυτῆς ἐφ' ἑαυτῆς δέκατον τοῦ μεδίμνου ἄλευρον κριθῆς· οὐ χεεῖ ἐπ' αὐτοῦ ἔλαιον οὔτε δώσει ἐπ' αὐτοῦ λίβανον, μείλιγμα γὰρ ζήλου ἐστί, μείλιγμα ἀναμνήσεως, μνήμης ἐγκλήματος. [16] προσοίσει τοίνυν αὐτὴν ὁ ἱερεύς, στήσει τ' αὐτὴν ἐνώπιον τοῦ ὀντωτοῦ· [17] καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ ἁγίων ἐν ἀγγείῳ ὀστράκου, καὶ πρὸς τοῦ χοὸς ὃς τελέσει ἐν τῷ ἐδάφει τοῦ οἰκήματος λήψεται ὁ ἱερεύς, δώσει τε πρὸς τὸ ὕδωρ· [18] καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἐπίπροσθεν τοῦ ὀντωτοῦ καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικός, δώσει τ' ἐπὶ ταῖν παλάμαιν αὐτῆς τὸ μείλιγμα τῆς ἀναμνήσεως, μείλιγμα ζηλοτυπίας ἐστίν· ἐν δὲ

---

7. ἔμπλακεν cod. et ed. 13. ὑπὸ (τῶν ὀμμάτων) cod. Aptius atque ex usu ipsius translatoris (cf. Lev. IV, 13. V, 2 sqq.) ἀπὸ ed. 14. μεμίασται (2)] μεμίαται cod. et ed. 15. οἴσει τὴν προσφ. ἑαυτῆς] וְהֵבִיאָה pro וְהֵבִיא ἔλαιον cod., non τοὔλαιον ut ed. μνήμης cod., non μνήμων 16. αὐτὴν (1) cod., non αὐτὰ ut ed.

τῇ χειρὶ τοῦ ἱερέως τελέσουσιν ὕδατα πικρὰ καταρατικά. [19] ὁρκώσει τ' αὐτὴν ὁ ἱερεὺς ἐρεῖ τε πρὸς τὴν γυναῖκα· εἴπερ οὐκ ἀνακέκλιται ἀνὴρ σὺν σοί καὶ εἴπερ οὐ παρέκλινας μεμιασμένη ὑπὸ τῷ ἀνδρί σου, κεκάϑαρο πρὸς τῶν ὑδάτων τῶν πικρῶν τῶν καταρατικῶν τουτωνί· [20] σύ ϑ' ὅτι παρέκλινας ὑπὸ τῷ ἀνδρί σου καὶ ὅτι μεμίασαι, ἔδωκέ τ' ἀνὴρ ἐν σοὶ τὴν ἀνάκλισιν ἑαυτοῦ χωρὶς τοῦ ἀνδρός σου· [21] τοίνυν ὁρκώσει ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τῷ ὅρκῳ τῆς ἀρᾶς, φήσει ϑ' ὁ ἱερεὺς τῇ γυναικί· δοίη ὁ ὀντωτής σε εἰς ἀρὰν καὶ εἰς ὅρκον μέσον τοῦ λεώ σου, ἐν τῷ δοῦναι τὸν ὀντωτὴν τὸν μηρόν σου πίπτοντα καὶ τὴν κοιλίαν σου ᾠδηκυῖαν, [22] ἔλϑοιέν τε τὰ ὕδατα τὰ καταρατικὰ ταδὶ εἰς τὰς χολάδας σου ὥστ' ὀγκοῦν γαστέρα καὶ ῥίπτειν μηρόν. ἐρεῖ δ' ἡ γυνή· εἶϑε εἶϑε. [23] γράψει τε τὰς ἀρὰς ταύτας ὁ ἱερεὺς ἐν βιβλίῳ καὶ ἀπαλείψει πρὸς τὰ ὕδατα τὰ πικρά, [24] ποτιεῖ τε τὴν γυναῖκα τὰ ὕδατα τὰ πικρὰ τὰ καταρατικά, καὶ ἐλεύσονται εἰς αὐτὴν τὰ ὕδατα τὰ καταρατικὰ εἰς πικρά. [25] λήψεταί ϑ' ὁ ἱερεὺς πρὸς τῆς χειρὸς τῆς γυναικὸς τὸ μείλιγμα τῆς ζηλοτυπίας, ὑψώσει τε τὸ μείλιγμα πρόσϑεν τοῦ ὀντωτοῦ καὶ προσοίσει τάδε πρὸς τὸ ϑυτήριον· [26] δράξεταί ϑ' ὁ ἱερεὺς ἀπὸ τοῦ μειλίγματος τὸ μνημόσυνον αὐτοῦ καὶ ϑυμιάσει τὸ ϑυτήριον, εἶτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ. [27] καὶ ποτιεῖ τὸ ὕδωρ, τελέσει τε εἴπερ μεμίασται καὶ ὑπερέβη ὑπερβασίαν ἐν τῷ ταύτης ἀνδρί, καὶ ἀφίξονται εἰς αὐτὴν τὰ ὕδατα τὰ καταρατικὰ εἰς πικρά, καὶ οἰδήσει ἡ γαστὴρ αὐτῆς καὶ πεσεῖται ὁ μηρὸς αὐτῆς, τελέσει ϑ' ἡ γυνὴ εἰς ἀρὰν μέσον τοῦ ταύτης λεώ· [28] εἰ δὲ οὐ μεμίασται ἡ γυνή, καϑαρὰ δέ ἐστι, καὶ ἀϑωωϑήσεται καὶ σπαρήσεται σπέρμα. [29] οὗτος ὁ νόμος τῆς ζηλοτυπίας, ᾗ παρακλίνοι ἂν γυνὴ ὑπὸ τῷ ταύτης ἀνδρὶ καὶ μιανϑείη, [30] ᾗ ἀνὴρ ᾧ διαβαίη ἂν ἐπ' αὐτὸν πνεῦμα

---

18. καταρατικά] κατῖρατικὰ (sic, non κατερ. ut relatum erat Ammonio) cod. Item v. sq. κατῖρατικῶν pro καταρ. 19. (ὁρκώσει) ϑ' c. cd. ed. μεμιασμένη] quasi מְגֻפָּאָה (cf. Ezech. IV, 14) scriptum esset, non טֻמְאָה κεκάϑαρο] κεκάϑαρον cod., κεκάϑαρου (sic) ed. 22. καταρατικὰ] καταρκτικὰ cod. ὥστ'] ὡς τ' c. cd. ed. καὶ ῥίπτειν] μὴ ῥίπτειν cod., καὶ πίπτειν contra textum Hebr. emend. Amm. 25. τάδε] l. τόδε (אֹתָהּ). 26. τὸ ϑυτήριον (הַמִּזְבֵּחָה)] cf. not. ad Lev. I, 9. 27. καὶ ποτιεῖ] suff. om. (וְהִשְׁקָהּ). ὑπερέβη cod., non ὑπερβῇ ut ed. αὐτὴν ex corr. (pro ταύτην ut ed.) cod. 30. αὐτὸν] αὐτὸ cod. et ed.

ζηλοτυπίας καὶ ζηλοτυπήσεις τὴν γυναῖκά οἱ, στήσει τε τὴν γυναῖκα πρόσϑεν τοῦ όντωτοῦ, ποιήσει τε ταύτῃ ὁ ἱερεὺς πάντα τὸν νόμον τουτονί· [31] τοίνυν ἀϑωωϑήσεται ὁ ἀνὴρ ἀπ' ἐγκλήματος, ἡ δὲ γυνὴ κείνη ἀρεῖ τοὔγκλημα ἑαυτῆς.

VI. [1] Διεῖλεκταί ϑ' ὁ όντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] διεῖλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἀνὴρ ἢ γυνὴ ἐπὰν διαστεῖλαι εὔξασϑαι εὐχὴν ἀφωρισμένου, ὡς ἀφορίσειε τῷ όντωτῇ, [3] ἀπ' οἴνου καὶ συρμαίας ἀφοριεῖ, ὄξος οἴνου καὶ ὄξος συρμαίας οὐ πίεται καὶ ὁτιοῦν βρέγμα σταφυλῶν οὐ πίεται, σταφυλὰς ϑ' ὑγρὰς καὶ ξηρὰς οὐκ ἔδεται· [4] πάσαις ταῖς ἡμέραις τοῦ ἀφορισμοῦ οἱ πρὸς ὁτουοῦν ὃ ποιηϑήσεται ἀπ' ἀμπέλου τοῦ οἴνου, ἀπὸ γιγάρτων καὶ μέχρις ἐλύτρου, οὐκ ἔδεται. [5] πάσαις ταῖς ἡμέραις τοῦ ἀφορισμοῦ οἱ ξυρὸς οὐ διαβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· μέχρι τοῦ πλησϑῆναι τὰς ἡμέρας ἃς ἀφοριεῖ τῷ όντωτῇ, ἅγιος ὑπάρξει, τῷ μεγεϑύνειν ἀνακάλυμμα τῆς τριχὸς τῆς κεφαλῆς ἑαυτοῦ. [6] πάσαις ταῖς ἡμέραις τοῦ ἀφορίζειν αὐτὸν τῷ όντωτῇ ἐπὶ ψυχῇ τεϑνηκότος οὐκ ἀφίξεται. [7] τῷ πατρί οἱ τῇ τε μητρί οἱ, τῷ ἀδελφῷ οἱ καὶ τῇ ἀδελφῇ οἱ, οὐ μιανεῖται σφίσιν ἐπὰν τεϑναῖεν αὐτοί· ἀφόρισμα γὰρ τοῦ ϑεοῦ οἱ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· [8] πάσαις ταῖς ἡμέραις τοῦ ἀφορισμοῦ οἱ ἅγιός ἐστι τῷ όντωτῇ. [9] ἐπὰν μέντοι τεϑναίη νεκρὸς ἐπ' αὐτοῦ ἐν αὐτομάτῳ ἄφνω, μιανεῖ τε τὴν κεφαλὴν τοῦ ἀφορισμοῦ οἱ, καὶ ξυριεῖ τὴν κεφαλὴν ἑαυτοῦ ἐν ἡμέρᾳ τοῦ καϑαρισμοῦ οἱ· ἐν ἡμέρᾳ τῇ ἑβδόμῃ ξυριεῖ ταύτην. [10] κἀν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει δύο τρυγόνε ἢ δύο υἱὼ περιστερᾶς πρὸς τὸν ἱερέα πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ, [11] ποιήσει ϑ' ὁ ἱερεὺς ἕνα εἰς ἁμαρτίαν ϑάτερόν τ' εἰς ἀναφορὰν, καὶ παραιτήσεται ἐπ' αὐτοῦ ἀφοῦπερ ἥμαρτεν ἐπὶ τῇ ψυχῇ, καὶ ἁγιάσει τὴν κεφαλὴν αὐτοῦ ἐν τῇ ἡμέρᾳ κείνῃ. [12] ἀφοριεῖ τε τῷ όντωτῇ τὰς ἡμέρας τοῦ ἀφορισμοῦ οἱ, καὶ οἴσει πρόβατον υἱὸν ἔτους ἑαυτοῦ εἰς πλημμέλειαν· αἱ δ' ἡμέραι αἱ πρῶται πεσοῦνται, ὅτι ἐμίανε τὸν ἀφορισμὸν ἑαυτοῦ.

VI. 2. ἀφωρισμένου cod., non ἀφορισμοῦ ut ed. 4. ἑλύτρου (spir. asp.) cod. et ed. 9. μιανεῖ] nonne μιανοῖ? 11. ἀφοῦπερ] sic invito codice edidimus, qui ἀφ' οὗπερ praebet. Cf. Gen. XXXIX, 5. Prol. I, 4, d. 12. οἴσει] οἶσοι cod. ἐμίανε τὸν ἀφ.] טִמֵּא pro טָמֵא

[13] ὅδε μέντοι ὁ νόμος τοῦ ἀφωρισμένου· ἐν τῇ ἡμέρᾳ τοῦ πλησθῆναι τὰς ἡμέρας τοῦ ἀφορισμοῦ οἱ οἴσει αὐτὸν πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [14] καὶ προσοίσει τὴν προσφορὰν ἑαυτοῦ τῷ ὀντωτῇ πρόβατον υἱὸν ἔτους ἑαυτοῦ τέλειον ἓν εἰς ἀναφορὰν, ὄϊν τε μίαν θυγατέρα ἔτους ἑαυτῆς τελείαν εἰς ἁμαρτίαν, κριόν θ' ἕνα τέλειον ἐς εἰρηναῖα, [15] καὶ τάλαρον ἀζύμων σεμιδάλεως, ψηττῶν δεδευμένων ἐν ἐλαίῳ πλακούντων τε ἀζύμων ἀληλειμμένων ἐν ἐλαίῳ, τό τε μείλιγμα σφῶν καὶ τὰς σπονδὰς αὐτῶν· [16] προσοίσει θ' ὁ ἱερεὺς ἐνώπιον τοῦ ὀντωτοῦ καὶ ποιήσει τὴν ἁμαρτίαν αὐτοῦ καὶ τὴν ἀναφορὰν αὐτοῦ· [17] τὸν δὲ κριὸν ποιήσει θυσίαν εἰρηναίων τῷ ὀντωτῇ ἐπὶ τοῦ ταλάρου τῶν ἀζύμων, ποιήσει θ' ὁ ἱερεὺς τὸ μείλιγμά οἱ καὶ τὴν σπονδήν οἱ. [18] ξυριεῖ τε τὸν ἀφωρισμένον τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ τὴν κεφαλὴν τοῦ ἀφορισμοῦ οἱ, λήψεται δὲ τὴν τρίχα τῆς κεφαλῆς τοῦ ἀφορισμοῦ οἱ καὶ δώσει ἐπὶ τοῦ πυρὸς τοῦ ὑπὸ τῇ θυσίᾳ τῶν εἰρηναίων· [19] λήψεταί θ' ὁ ἱερεὺς τὸν βραχίονα τῆς ἑψήσεως πρὸς τοῦ κριοῦ, ψηττάν τε ἄζυμον μίαν ἀπὸ τοῦ ταλάρου πλακοῦντά τε ἄζυμον ἕνα, καὶ δώσει ἐπὶ τῶν παλαμῶν τοῦ ἀφωρισμένου μετὰ τὸ ξυρισθῆναί ἑ τὸ ἀφόρισμά οἱ· [20] καὶ ὑψώσει ταῦθ' ὁ ἱερεὺς ὕψωσιν ἐνώπιον τοῦ ὀντωτοῦ· ἅγιόν ἐστι τῷ ἱερεῖ ἐπὶ τοῦ στήθους τῆς ὑψώσεως κἀπὶ τοῦ σκέλους τῆς ἐπάρσεως· μετὰ δὲ ταῦτα πίεται ὁ ἀφωρισμένος οἴνου. [21] οὗτος ὁ νόμος τοῦ ἀφωρισμένου ὃς εὔξεται προσφορὰν ἑαυτοῦ τῷ ὀντωτῇ ἐπ' ἀφορισμοῦ οἱ, χωρὶς ὧν φθάσειεν ἡ χεὶρ αὐτοῦ· κατὰ τὴν εὐχὴν ἑαυτοῦ ἣν εὔξαιτο, τῇδε ποιήσει ἐπὶ τοῦ νόμου τοῦ ἀφορισμοῦ οἱ.

[22] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [23] διείλεξο πρὸς ἀαρῶνα καὶ πρὸς τοὺς υἱέας αὐτοῦ τῷ φάναι· τῇδε εὐλογήσετε τοὺς υἱέας τοῦ ἰσραέλου. φάθι σφίσιν·

[24] Εὐλογήσαι σε ὁ ὀντωτὴς φυλάξαι τέ σε·
°[25] Φῆναι ὁ ὀντωτὴς τὸ πρόσωπον ἑαυτοῦ πρὸς σὲ καὶ

---

13. ὅδε] ὁ δὲ cod. et ed. 14. προσφορὰν ἑαυτοῦ cod. Ed. ἑαυτοῦ om. υἱὸν] τέλειον cod. et ed. ἑαυτῆς cod., non ἑαυτοῦ ut ed. 15. ἀληλειμμένων] sic cod. Cf. Exod. XXIX, 2 etc. 18. ἀφορισμοῦ] ἀφωρισμένου (bis) c. ed. ed. τοῦ (4)] τῇ cod. 19. ἀφωρισμένου recte jam ed. pro cod. ἀφωρισμοῦ (sic). 24. Litera init. rubra (cf. Prol. II, 1, a) deest, sed in linea praecedente nihil nisi φάθι σφίσιν· scriptum.

χαρίσαιτό σοι· °[26]Ἄραι ὁ ὀντωτὴς τὸ πρόσωπον ἑαυτοῦ παρὰ σὲ ϑείη τέ σοι εἰρήνην.

°[27]Καὶ ϑήσετε τοὔνομά μου ἐπὶ τῶν υἱέων τοῦ ἰσραέλου, κἀγὼ εὐλογήσω σφᾶς.

VII. [1]‘Υπῆρξε δ' ἐν τῇ ἡμέρᾳ τοῦ τελευτῆσαι μωσέα ὡς ἐγείρειν τὸ οἴκημα, καὶ ἔχρισεν αὐτὸ καὶ ἡγίασεν αὐτὸ πάντα τε τὰ σκεύη οἱ, τό τε ϑυτήριον καὶ ξύμπαντα τὰ σκεύη οἱ, ἔχρισέ τε καὶ ἡγίασεν αὐτά· [2]καὶ προσήνεγκαν οἱ ἡγούμενοι τοῦ ἰσραέλου, αἱ κεφαλαὶ τοῦ δόμου τῶν πατέρων αὐτῶν· ἐκεῖνοι οἱ ἡγεμόνες τῶν σκήπτρων, ἐκεῖνοι οἱ ἑστῶτες ἐπὶ τῶν ἐπισκεφϑέντων· [3]ἤνεγκαν οὖν τὴν προσφορὰν ἑαυτῶν ἐνώπιον τοῦ ὀντωτοῦ ἓξ ἁμάξας ζεύγους δυοκαίδεκά τε βόας, ἅμαξα ἐπὶ τοῖν δυοῖν ἡγεμόνοιν καὶ βοῦς τῷ ἑνὶ, προσήνεγκάν τε αὐτοὺς ἐνώπιον τοῦ οἰκήματος. [4]ἔφη τε ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [5]λάβε παρ' αὐτῶν, καὶ τελέσουσιν εἰς τὸ ὑπηρετεῖν τὴν ὑπηρεσίαν τῆς σκηνῆς τοῦ ξυναγμοῦ, δώσεις τε αὐτὰς τοῖς λευινίοις, ἑκάστῳ κατὰ τὴν ὑπηρεσίαν αὐτοῦ. [6]τοιγαροῦν ἔλαβε μωσεὺς τὰς ἁμάξας καὶ τοὺς βόας, ἔδωκέ τε πρὸς τοὺς λευινίους· [7]τὰ δύο ἁμάξα καὶ τοὺς τέτταρας βόας ἔδωκε τοῖς υἱέσι γερεσῶνος κατὰ τὴν ὑπηρεσίαν αὐτῶν, [8]τὰς δὲ τέτταρας ἁμάξας καὶ τοὺς ὀκτὼ βόας ἔδωκε τοῖς υἱέσι τοῦ μεραρῖνος κατὰ τὴν ὑπηρεσίαν αὐτῶν ἐν χειρὶ ἠϑαμάρου τοῦ υἱοῦ ἀαρῶνος τοῦ ἱερέως· [9]τοῖς δ' υἱέσι τοῦ κεάϑου οὐκ ἔδωκεν, ὅτι ἡ ὑπηρεσία τοῦ ἁγίου ἐπ' αὐτῶν· ἐν ὤμῳ ἀροῦσι. [10]προσήνεγκάν ϑ' οἱ ἡγεμόνες τὸν ἐγκαινισμὸν τοῦ ϑυτηρίου ἐν τῇ ἡμέρᾳ τοῦ χρισϑῆναι αὐτὸ, καὶ προσήνεγκαν οἱ ἡγεμόνες τὴν προσφορὰν ἑαυτῶν ἐνώπιον τοῦ ϑυτηρίου. [11]ἔφη γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα· ἡγεμὼν εἰς τῇ ἡμέρᾳ, ἡγεμὼν εἰς τῇ ἡμέρᾳ προσοίσουσι τὴν προσφορὰν ἑαυτῶν εἰς ἐγκαινισμὸν τοῦ ϑυτηρίου.

[12]Τοιγαροῦν ἐτέλεσεν ὁ προσφέρων ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ τὴν προσφορὰν ἑαυτοῦ ναησὼν υἱεὺς ἀμιναδάβου τοῦ σκήπ-

---

27. καὶ ϑήσετε] וְשִׂימוּ (ita Sam.) pro וְשָׂמוּ

VII. 1. ὡς ἐγείρειν] ex usu translatoris emendaverim ὥστ' ἐγείρειν vel ὡς ἐγείρεις **3.** δύο καὶ δέκα obstinate c. cd. ed. **6.** ἔδωκέ τε] אוֹתָם om. Nisi forte librarii negligentiâ αὐτοὺς (cf. v. 3) excidit. **7.** τέτταρας cod., non τέτταρες ut ed. Item v. sq. **11.** γοῦν] γνῶ corrupte cod. Emendationem Amm. praeivit.

τρου ἰεούδου· [13]προσφορὰ δ' αὐτοῦ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [14]δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [15]ταῦρος εἷς υἱὸς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους αὐτοῦ εἰς ἀναφοράν· [16]χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [17]εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ νασῶνος τοῦ υἱέως ἀμιναδάβου.

[18]Ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ προσήνεγκε ναθανέλης υἱεὺς σοάρου ἡγεμὼν ἰσσαχάρου· [19]προσήνεγκε τὴν προσφορὰν ἑαυτοῦ τρύβλην ἀργύρου μίαν, τριάκοντα καὶ ἑκατὸν ἡ ὁλκὴ ταύτης, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [20]δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [21]ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους αὐτοῦ εἰς ἀναφοράν· [22]χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [23]εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ναθανέλου τοῦ υἱέως σοάρου.

°[24]Ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἡγεμὼν τῶν υἱέων ζεβουλούνου ἐλιάβης υἱεὺς ἐλῶνος· [25]ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [26]δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [27]ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον τοῦ ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [28]χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [29]εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἐλιάβου τοῦ υἱέως ἐλῶνος.

---

13. σφὼ cod., non σφῶ ut ed. Item v. 19. 25. 31. πλήρη] πλήρης cod. et ed. 17. νασῶνος] l. ναησῶνος. Cf. v. 12. I, 7. II, 3. 18. σοάρου] correxerim σουάρου (צוּעָר; cf. I, 8. II, 5), nisi illud et v. 23. X, 15 scriptum esset. 19. τρύβλην] τρύβλον cod. et ed. 24. υἱεὺς cod., non υἱὸς ut ed. Item v. 33. Miro errore utroque loco ἡεὺς apud Mor. legitur. Cf. not. ad Exod. XXIX, 21.

[30] Ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἡγεμὼν τῶν υἱέων ῥεουβένου ἐλισούρης υἱεὺς σεδεούρου· [31] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφῶ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [32] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [33] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [34] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [35] εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἐλισούρου υἱέως σεδεούρου.

[36] Ἐν τῇ ἡμέρᾳ τῇ πέμπτῃ ἡγεμὼν τῶν υἱέων συμεῶνος σελουμιέλος υἱεὺς σουρισαδαΐνος· [37] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφῶ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [38] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [39] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [40] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [41] εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ σελουμιέλου τοῦ υἱέως σουρισαδαΐνος.

[42] Ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἡγεμὼν τῶν υἱέων γάδου ἐλιαξάφης υἱεὺς δεουέλου· [43] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφῶ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [44] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [45] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [46] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [47] εἴς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἐλιαξάφου τοῦ υἱοῦ δεουέλου.
[48] Ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἡγεμὼν τῶν υἱέων ἐφραΐμου ἐλισαμάος υἱεὺς ἀμιούδου· [49] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριά-

30. υἱεὺς] υἱέως cod. et ed. 43. δεδευμένης] δεδευμένου cod. 48. ἀμιούδου] ἰμερούδου cod. et ed. Cf. v. 53. I, 10.

κοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [50] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [51] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους αὐτοῦ εἰς ἀναφοράν· [52] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [53] εἷς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἐλισαμάου υἱέως ἀμιούδου.

[54] Ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἡγεμὼν τῶν υἱέων μενασέως γαμελιέλος υἱεὺς πεδασσούρου· [55] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως τεταραγμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [56] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [57] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [58] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [59] εἷς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· αὕτη ἡ προσφορὰ γαμελιέλου υἱέως πεδασσούρου.

[60] Ἐν τῇ ἡμέρᾳ τῇ ἐννάτῃ ἡγεμὼν τῶν υἱέων βινιαμῖνος ἀβιδὰν υἱεὺς γιδεωνῖνος· [61] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως τεταραγμένης ἐν ἐλαίῳ εἰς μείλιγμα· [62] δοίδυξ εἷς δεκάχρυσος πλήρης θυμιάματος· [63] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [64] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [65] εἷς τε θυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· αὕτη ἡ προσφορὰ ἀβιδᾶνος υἱέως γιδεωνῖνος.

[66] Ἐν τῇ ἡμέρᾳ τῇ δεκάτῃ ἡγεμὼν τῶν υἱέων δανὸς ἀηιέζερος υἱεὺς ἀμισαδαΐδος· [67] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομή-

---

53. ἀμιούδου cod., non ἐμιούδου ut ed. 63. τέκνον ἔτους ἑαυτοῦ] hinc et ex locis similibus perspicitur, pronomina αὐτοῦ et ἑαυτοῦ promiscue usurpare translatorem. Cf. v. 15. 21. 51 cum v. 27. 33. 39 cet.

κοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως τεταραγμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [68] δοίδυξ εἷς δεκάχρυσος πλήρης ϑυμιάματος· [69] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [70] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [71] εἷς τε ϑυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἀηεζέρου υἱέως ἀμισαδαΐδος.

[72] Ἐν τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ ἡμέρᾳ ἡγεμὼν τῶν υἱέων ἀσέρου παγοιέλος υἱεὺς ἀχρᾶνος· [73] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [74] δοίδυξ εἷς δεκάχρυσος πλήρης ϑυμιάματος· [75] ταῦρος εἷς υἱεὺς βουκολίου, κριος εἷς, πρόβατον ἓν τέκνον ἔτους ἑαυτοῦ εἰς ἀναφοράν· [76] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [77] εἷς τε ϑυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ παγοιέλου υἱέως ἀχρᾶνος.

[78] Ἐν τῇ ἡμέρᾳ τῇ δυοκαιδεκάτῃ ἡμέρᾳ ἡγεμὼν τῶν υἱέων ναφεταλῖνος ἀηδάος υἱεὺς αἰνᾶνος· [79] ἡ προσφορά οἱ τρύβλη ἀργύρου μία, τριάκοντα καὶ ἑκατὸν ἡ ταύτης ὁλκὴ, ῥάντιστρον ἓν ἀργύρου, ἑβδομήκοντα στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ, ἄμφω σφὼ πλήρη σεμιδάλεως δεδευμένης ἐν ἐλαίῳ εἰς μεῖλιγμα· [80] δοίδυξ εἷς δεκάχρυσος πλήρης ϑυμιάματος· [81] ταῦρος εἷς υἱεὺς βουκολίου, κριὸς εἷς, πρόβατον ἓν τέκνον ἔτους αὑτοῦ εἰς ἀναφοράν· [82] χίμαρος αἰγῶν εἷς εἰς ἁμαρτίαν· [83] εἷς τε ϑυσίαν τῶν εἰρηναίων βόε δύο, κριοὶ πέντε, τράγοι πέντε, πρόβατα τέκνα ἔτους πέντε· ἥδε ἡ προσφορὰ ἀηδάου υἱέως αἰνᾶνος.

[84] Αὕτη ἡ ἐγκαίνισις τοῦ οἰκήματος ἐν ἡμέρᾳ τοῦ χρισϑῆναι αὐτὸ, πρὸς τῶν ἡγεμόνων τοῦ ἰσραέλου τρύβλαι ἀργύρου δυοκαί-

---

78. ἀηδάος] rursus ר cum ד confudit (אֲחִירַע; cf. II, 29) itemque v. 83. Recte I, 15 ipse ἀηράος habet. 79. πλήρη] πλήρης rursus cod. et ed. 84. τοῦ οἰκήματος] quasi הַמִּשְׁכָּן scriptum esset, non הַמִּזְבֵּחַ. Cf. v. 88. τρύβλαι] τρύβλη cod. et ed.

δεκα, ῥάντιστρα ἀργύρου δυοκαίδεκα, δοίδυκες χρυσοῦ δυοκαίδεκα· [85] τριάκοντα καὶ ἑκατὸν ἡ τρύβλη ἡ μία ἀργύρου, καὶ ἑβδομήκοντα τὸ ῥάντιστρον τὸ ἕν· πᾶς ὁ ἄργυρος τῶν σκευῶν δισχίλιοι καὶ τετρακόσιοι ἐν τῷ στατῆρι τῷ ἁγίῳ. [86] δοίδυκες χρυσοῦ δυοκαίδεκα πλήρεις ϑυμιάματος, δέκα δέκα ὁ δοίδυξ ἐν τῷ στατῆρι τῷ ἁγίῳ· ἅπας ὁ χρυσὸς τῶν δοιδύκων εἴκοσι καὶ ἑκατόν. [87] πάντες οἱ βόες τῆς ἀναφορᾶς δυοκαίδεκα ταῦροι, κριοὶ δυοκαίδεκα, πρόβατα τέκνα ἔτους δυοκαίδεκα, καὶ τὸ μείλιγμα σφῶν, χίμαροί τ' αἰγῶν δυοκαίδεκα εἰς ἁμαρτίαν· [88] καὶ πάντες οἱ βόες τῆς ϑυσίας τῶν εἰρηναίων εἴκοσι καὶ τέτταρες ταῦροι, κριοὶ ἑξήκοντα, τράγοι ἑξήκοντα, πρόβατα τέκνα ἔτους ἑξήκοντα· αὕτη ἡ ἐγκαίνισις τοῦ ϑυτηρίου μετὰ τὸ χρισϑῆναι αὐτό. [89] ἐπὰν δ' ἀφίκοιτο μωσεὺς πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ διαλεχϑῆναι ξὺν αὐτῷ, τοίνυν ἐπύϑετο φωνὴν διαλεγομένου πρὸς αὐτὸν ἀπὸ τοῦ σκεπάσματος τοῦ ἐπὶ τῆς χηλοῦ τῆς μαρτυρίας, μεταξύϑεν τοῖν δυοῖν κερούβοιν, καὶ διείλεκται πρὸς αὐτόν.

VIII. (μερίς)

[1] Διείλεκται τοίνυν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] διείλεξο πρὸς ἀαρῶνα φήσεις τε πρὸς αὐτόν· ἐπὰν ἀναβιβάζεις σὺ τοὺς λύχνους, προσαντικρὺ τοῦ προσώπου τοῦ λαμπτῆρος φανοῦσιν οἱ ἑπτὰ λύχνοι. [3] τοίνυν ἐποίησεν οὕτως ἀαρών· προσαντικρὺ τοῦ προσώπου τοῦ λαμπτῆρος ἀνεβίβασε τοὺς λύχνους αὐτοῦ, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [4] τουτὶ δὲ τὸ ἔργον τοῦ λαμπτῆρος· συνεχὲς χρυσοῦ μέχρι τοῦ μηροῦ, μέχρι τοῦ ἄνϑους συνεχής ἐστι· κατὰ τὴν ὄψιν ἣν ἔδειξεν ὁ ὀντωτὴς τῷ μωσεῖ, τῇδε ἐποίησε τὸν λαμπτῆρα.

[5] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [6] λάβε τοὺς λευινίους μέσοϑεν τῶν υἱέων τοῦ ἰσραείλου καϑαρεῖς τε σφᾶς· [7] τῇδέ τε ποιήσεις αὐτοῖς ὡς καϑήραις αὐτούς· ῥάνον ἐπ' αὐτῶν ὕδωρ ἁμαρτίας, διάξουσί τε ξυρὸν ἐπὶ πᾶσαν τὴν σάρκα σφῶν πλυνοῦσί τε τὰ περιβλήματα σφῶν, καὶ καϑαροῦνται. [8] λήψονται γοῦν

---

89. τοίνυν ἐπύϑετο cod. Ed. τοίνυν om. φωνὴν cod., non φωνῆς ut ed.

VIII. 2. ἀναβιβάζεις] sic, non ἀναβιβάζοις, cod. Cf. Lev. X, 9. XII, 6 cet. At saepius ἐπὰν cum indic. componitur. Cf. X, 9. XV, 8 cet. οἱ] αἱ cod. 4. ἄνϑους] suff. om. (פִּרְחָהּ). 7. αὐτοῖς] αὐτοὺς cod. et ed. Cf. v. 20. 26. ῥάνον, non ῥᾶνον, cod. Cf. Prol. I, 4, c.

ταῦρον υἱὸν βουκολίου καὶ τὸ μεϊλιγμά οἱ, σεμίδαλιν τεταραγμένην ἐν ἐλαίῳ, ταῦρόν τε δεύτερον υἱὸν βουκολίου λήψῃ εἰς ἁμαρτίαν. [9] προσοίσεις τε τοὺς λευινίους ἐπίπροσϑεν τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ἐκκλησιάσεις ξύμπαν τὸ ἄϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου· [10] προσοίσεις τε τοὺς λευινίους ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ στηριοῦσιν οἱ υἱεῖς ἰσραέλου τὰς χεῖρας ἑαυτῶν ἐπὶ τῶν λευινίων· [11] προσοίσει τ' ἀαρὼν τοὺς λευινίους προσφορὰν ἐνώπιον τοῦ ὀντωτοῦ πρὸς τῶν υἱέων τοῦ ἰσραέλου, τελέσαιέν τε τῷ ὑπουργεῖν τὴν ὑπουργίαν τοῦ ὀντωτοῦ. [12] λευίνιοι δὲ στηρίξαιεν τὰς χεῖρας ἑαυτῶν ἐπὶ τῆς κεφαλῆς τῶν ταύρων· καὶ ποίησον τὸν ἕνα ἁμαρτίαν, ϑάτερον δὲ ἀναφορὰν τῷ ὀντωτῇ, ὡς παραιτήσαιο ἐπὶ τοῖς λευινίοις. [13] στήσεις τε τοὺς λευινίους ἐνώπιον ἀαρῶνος καὶ ἐνώπιον τῶν υἱέων αὐτοῦ, καὶ προσάξεις αὐτοὺς προσένεξιν τῷ ὀντωτῇ. [14] διαστελεῖς τε τοὺς λευινίους μέσοϑεν τῶν υἱέων τοῦ ἰσραέλου, καὶ τελέσουσιν ἐμοὶ οἱ λευίνιοι. [15] μετὰ δὲ ταῦτα ἐλεύσονται οἱ λευίνιοι ὡς ὑπουργοῖεν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, καϑαρεῖς τε σφᾶς καὶ προσάξεις αὐτοὺς προσένεξιν· [16] ἐπεὶ δοτοὶ δοτοί εἰσιν ἐμοὶ μέσοϑεν τῶν υἱέων τοῦ ἰσραέλου, ἀντὶ ἀφέσεως πάσης νηδύος, πρωτοτόκου παντὸς πρὸς τῶν υἱέων τοῦ ἰσραέλου ἔλαβον αὐτοὺς ἐμαυτῷ. [17] καὶ γὰρ ἐμοὶ πᾶν πρωτότοκον ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου, ἐν τῷ ἀνϑρώπῳ κἀν τῷ κτήνει· ἐν τῇ ἡμέρᾳ τοῦ βαλεῖν με πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτου ἡγίασα ταῦτα ἐμοί· [18] τοίνυν ἔλαβον τοὺς λευινίους ἀντὶ παντὸς πρωτοτόκου ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου, [19] ἔδωκά τε τοὺς λευινίους δοτοὺς τῷ ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ μέσοϑεν τῶν υἱέων τοῦ ἰσραέλου, ὡς ὑπηρετοῖντο τὴν ὑπηρεσίαν τῶν υἱέων τοῦ ἰσραέλου ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ καὶ ὡς παραιτοῖντο ἐπὶ τοῖς υἱέσι τοῦ ἰσραέλου· οὔϑ' ὑπάρξει ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου ϑραῦσις ἐν τῷ ἐγγίζειν τοὺς υἱέας τοῦ ἰσραέλου πρὸς τὸ ἅγιον. [20] ἐποίησεν οὖν μωσεὺς καὶ ἀαρὼν πᾶν τε τὸ ἄϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου τοῖς λευινίοις· κατὰ πάνϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ τοῖς λευινίοις, τῇδε ἐποίησαν αὐτοῖς οἱ υἱεῖς ἰσραέλου. [21] τοίνυν ἡμάρτωνται οἱ λευίνιοι, καὶ ἔπλυναν τὰ ἐνδύματα σφῶν· προσήνεγκέ

---

9. ἐκλησιάσεις cod. 12. λευίνιοι] si in textu Hebr. articulus deesset, crediderim eum etiam a translatore omissum esse. Sed non ita est (וְהַלְוִיִּם), quare librarii culpa οἱ excidisse puto. 21. ἡμάρτωνται] part. perf. pass. a verbo ἁμαρτόω· ab ipso translatore ficto. Cf. index in fine libri.

τε ἀαρὼν αὐτοὺς προσένεξιν ἐπίπροσϑεν τοῦ ὀντωτοῦ, καὶ παρῃτήσατο ἐπ' αὐτοῖς ἀαρὼν ὥστε καϑάραι σφᾶς. [22] μετὰ δὲ ταῦτα ἀφίκοντο οἱ λευίνιοι λατρεύειν τὴν λατρείαν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ ἐπίπροσϑεν ἀαρῶνος ἐπίπροσϑέν τε τῶν υἱέων αὐτοῦ· καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ ἐπὶ τοῖς λευινίοις, τῇδε ἐποίησαν αὐτοῖς.

[23] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [24] τοῦϑ' ὅπερ τοῖς λευινίοις· ἀφ' υἱοῦ πεντεκαιεικοσαετοῦς καὶ ἄνω ἐλεύσεται στρατεύειν στρατείαν ἐν τῇ λατρείᾳ τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [25] ἀπὸ δ' υἱοῦ πεντηκονταετοῦς στραφήσεται ἀπὸ τῆς στρατείας τῆς λατρείας καὶ οὐ λειτουργήσει ἔτι. [26] καὶ ὑπηρετήσεται σὺν τοῖς ἀδελφοῖς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ ὡς φυλάττοι τὴν φυλακὴν, καὶ τὴν λειτουργίαν οὐ λειτουργήσει. τῇδέ τε ποιήσεις τοῖς λευινίοις ἐν ταῖς φυλακαῖς αὐτῶν.

IX. [1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῇ ἐρήμῳ ξιναΐνος ἐν ἔτει τῷ δευτέρῳ τοῦ ἐξελϑεῖν αὐτοὺς ἀπὸ γῆς αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ τῷ φάναι· [2] τοίνυν ἐποίησαν οἱ υἱεῖς ἰσραέλου τὸ ἅλμα ἐν τῷ ὅρῳ οἱ· [3] ἐν τῇ τετταρεσκαιδεκάτῃ ἡμέρᾳ ἐν τῷ μηνὶ τῳδὶ μέσον τῆς ἑσπέρας ποιήσουσιν αὐτὸ ἐν τῷ ὅρῳ οἱ, κατὰ πάσας τὰς τυπώσεις αὐτοῦ, κατὰ πάσας τε τὰς κρίσεις αὐτοῦ ποιήσουσιν αὐτό.

[4] Διείλεκται τοίνυν μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου ποιῆσαι τὸ ἅλμα. [5] τοιγαροῦν ἐποίησαν τὸ ἅλμα πρῶτον ἐν τῇ τετταρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς μέσον τῆς ἑσπέρας ἐν τῇ ἐρήμῳ ξιναΐδος· κατὰ πάνϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ, τῇδε ἐποίησαν οἱ υἱεῖς ἰσραέλου. [6] ὑπῆρξαν ἄνδρες οἵπερ ἐτέλεσαν μεμολυσμένοι εἰς ψυχὴν ἀνϑρώπου καὶ οὐκ ἴσχυσαν ποιῆσαι τὸ ἅλμα ἐν τῇ ἡμέρᾳ κείνῃ· τοιγαροῦν ἤγγισαν ἐνώπιον τοῦ μωσέως καὶ ἐνώπιον τοῦ ἀαρῶνος ἐν τῇ ἡμέρᾳ κείνῃ· [7] καὶ εἶπον οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτόν· ἡμεῖς μεμολυσμένοι εἰς ψυχὴν ἀνϑρώπου, τοῦ χάριν ἡττησόμεϑα ὥστε μὴ προσενεγκεῖν τὴν προσφορὰν τοῦ ὀντωτοῦ ἐν τῷ

καϑάραι] hoc accentu cod. Cf. Eccl. IX, 1. Prol. l. c. 25. οὐ λειτουργήσει] οὐ ipsi addidimus invito codice.

IX. 2. ἅλμα cod. Item v. 4 sqq. Cf. Prol. I, 4, c. ὅρῳ et hic et v. sq. c. cd. ed. 3. ἐν τῇ] ἐν τῇ τε cod. et ed. ποιήσουσιν] יַעֲשׂוּ (ita cod. Kenn. 181, Ross. 10 a pr.) pro תַּעֲשׂוּ

ὅρῳ ταύτης μέσον τῶν υἱέων τοῦ ἰσραέλου; [8] τοίνυν εἶπε πρὸς αὐτοὺς μωσεύς· στῆτε, καὶ ἀκούσομαι τί κελεύσει ὁ ὀντωτὴς ὑμῖν.

[9] Διείλεκται γοῦν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [10] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ἀνὴρ ἀνὴρ ἐπὰν τελέσειε μιαρὸς εἰς ψυχὴν ἢ ἐν ὁδῷ πορρωτέρᾳ, ὑμῖν ἢ ταῖς γενεαῖς ὑμῶν, ποιήσει τε τὸ ἅλμα τῷ ὀντωτῇ· [11] ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῇ τετταρεσκαιδεκάτῃ ἡμέρᾳ μέσον τῆς ἑσπέρας ποιήσουσιν αὐτὸ, ἐπὶ ἀζύμοις καὶ πικρίσιν ἔδονται αὐτό· [12] οὐ καταλείψουσιν ἀπ' αὐτοῦ μέχρις ἕω, καὶ ὀστοῦν οὐ ϑλάσουσιν ἐν αὐτῷ· κατὰ πάντα τὸν τύπον τοῦ ἅλματος ποιήσουσιν αὐτό. [13] καὶ ὁ ἀνὴρ ὅς ἐστι καϑαρὸς, κἀν ὁδῷ οὐχ ὑπῆρξεν, ἔπαυσε δὲ ποιεῖν τὸ ἅλμα, ὀλοϑρευϑήσεται γοῦν ἡ ψυχὴ κείνη ἀπὸ τῶν ταύτης λεῶν· τὴν γὰρ προσφορὰν τοῦ ὀντωτοῦ οὐ προσήνεγκεν ἐν τῷ ὅρῳ ταύτης, τὴν ἁμαρτίαν αὐτοῦ ἀρεῖ ὁ ἀνὴρ ἐκεῖνος. [14] ἐπὰν δὲ μετοικήσειε παρ' ὑμῖν μέτοικος, ποιήσει τοίνυν τὸ ἅλμα τῷ ὀντωτῇ κατὰ τὸν τύπον τοῦ ἅλματος κατά τε τὴν κρίσιν αὐτοῦ, τῇδε ποιήσει· τύπωσις μία τελέσει ὑμῖν, τῷ τε μετοίκῳ καὶ τῷ αὐτόχϑονι τῆς γῆς.

[15] Ἐν δὲ τῇ ἡμέρᾳ τοῦ ἐγεῖραι τὸ οἴκημα ἐκάλυψεν ἡ νεφέλη τὸ οἴκημα· κἀν τῇ ἑσπέρᾳ τελέσειεν ἐπὶ τοῦ οἰκήματος ὡς ὄψις πυρὸς ἄχρις ἕω. [16] τῇδε τελοίη διηνεκῶς· ἡ νεφέλη καλύπτοι ἂν αὐτὸ, καὶ ὄψις πυρὸς νύκτωρ. [17] ἐν τῷ ἀναφέρεσϑαι τοίνυν τὴν νεφέλην ἄνωϑεν τῆς σκηνῆς, καὶ μεταταῦτα μεταίροιεν οἱ υἱεῖς ἰσραέλου· κἀν τῷ τόπῳ ᾧ κατοικήσειεν ἐκεῖ ἡ νεφέλη, ἐκεῖ στρατοπεδεύσαιντο οἱ υἱεῖς τοῦ ἰσραέλου. [18] ἐπὶ στόματι τοῦ ὀντωτοῦ μεταίροιεν οἱ υἱεῖς ἰσραέλου κἀπὶ στόματι τοῦ ὀντωτοῦ στρατοπεδεύσαιντο· πάσαις ταῖς ἡμέραις αἷς οἰκήσειεν ἡ νεφέλη ἐπὶ τοῦ οἰκήματος στρατοπεδεύσαιντο. [19] ἐν δὲ τῷ μηκύνειν τὴν νεφέλην ἐπὶ τοῦ οἰκήματος ἡμέραις πολλαῖς, φυλάξουσί τε οἱ υἱεῖς ἰσραέλου τὴν φυλακὴν τοῦ ὀντωτοῦ καὶ οὐ μεταροῦσιν. [20] ἔσϑ' ὅτε δὲ τελέσει ἡ νεφέλη ἡμέραις ἀριϑμοῦ ἐπὶ τοῦ οἰκήματος· ἐπὶ στόματι τοῦ ὀντωτοῦ στρατοπεδεύσαιντο κἀπὶ στόματι τοῦ ὀντωτοῦ

---

10. πορρωτέρᾳ] nulla hoc loco puncta extraordinaria (רְחֹקָה). Cf. III, 39. Gen. XIX, 33. XXXIII, 4. 15. τὸ οἴκημα] לְאֹהֶל הָעֵדֻת om. 17. μεταταῦτα] sic cod. Cf. Gen. VI, 4. XLI, 31 cet. 18. στρατοπεδεύσαιντο (2) cod., non στρατοπεδεύσαντο ut ed. 19. φυλάξουσί σε cod. et ed.

μεταίροιεν· [21] ἔστι δ' ὅτε τελέσειεν ἡ νεφέλη ἀφ' ἑσπέρας ἄχρις ἕω, καὶ ἀναφέροιτο ἡ νεφέλη ἐν ἕῳ, καὶ μεταροῖεν· ἢ ἡμέρας καὶ νυκτός, καὶ ἀναχϑείη ἡ νεφέλη, καὶ μεταροῖεν· [22] ἢ διημέρῳ ἢ μηνὶ ἢ ἡμέραις, ἐπὰν μηκύνοι ἡ νεφέλη ἐπὶ τοῦ οἰκήματος οἰκεῖν ἐπ' αὐτοῦ, στρατοπεδεύοιεν οἱ υἱεῖς ἰσραέλου καὶ οὐ μεταίροιεν· ἐν δὲ τῷ ἀνάγεσϑαι αὐτὴν μεταίροιεν. [23] ἐπὶ στόματι τοῦ ὀντωτοῦ στρατοπεδεύσαιντο κἀπὶ στόματι τοῦ ὀντωτοῦ μεταίροιεν· τὴν φυλακὴν τοῦ ὀντωτοῦ ἐφύλαξαν ἐπὶ στόματι τοῦ ὀντωτοῦ διὰ μωσέως.

X. [1] Διείλεκταί δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] ποίησον σαυτῷ δύο σάλπιγγε ἀργύρου, συνεχὲς ποιήσεις αὐτά· καὶ τελέσουσί σοι εἰς κλῆσιν τοῦ ἀϑροίσματος καὶ εἰς μέταρσιν τῶν στρατοπέδων. [3] δουπήσουσί τε ἐν αὐταῖν, καὶ ἀϑροισϑήσονται πρὸς σὲ πᾶν τὸ ἄϑροισμα πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ· [4] κἂν ἐν μιᾷ δουπήσετε, τοίνυν ἀϑροισϑήσονται πρὸς σὲ οἱ ἡγεμόνες, αἱ κεφαλαὶ τῶν χιλιάδων τοῦ ἰσραέλου· [5] ἀλλὰ δουπήσετε ἀλαλαγμὸν, τοίνυν μεταροῦσι τὰ στρατόπεδα τὰ στρατοπεδευόμενα πρὸς ἀνατολάς· [6] δουπήσετε δὲ ἀλαλαγμοῦ δεύτερον, καὶ μεταροῦσιν αἱ στρατοπεδεῖαι αἱ στρατοπεδευόμεναι πρὸς νότον· ἀλαλαγμὸν δουπήσουσιν ἐν ταῖς μετάρσεσιν ὑμῶν. [7] ἐν δὲ τῷ ἐκκλησιάζειν τὴν ἐκκλησίαν δουπήσετε καὶ οὐκ ἀλαλάξετε. [8] οἱ δ' υἱεῖς ἀαρῶνος οἱ ἱερεῖς δουπήσουσιν ἐν σάλπιγξι, καὶ τελέσουσιν ὑμῖν εἰς τύπον αἰῶνος ταῖς γενεαῖς ὑμῶν. [9] ἐπὰν δ' ἀφικνεῖσϑε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν ἐπὶ τὸν ἐχϑρὸν τὸν ϑλίβοντα ὑμᾶς, τοιγαροῦν ἀλαλάξετε ἐν σάλπιγξι, καὶ μνημονευϑήσεσϑε ἐνώπιον ὀντωτοῦ τοῦ ϑεοῦ ὑμῶν, σωϑήσεσϑέ τε πρὸς τῶν ἐχϑρῶν ὑμῶν. [10] ἐν δὲ τῇ ἡμέρᾳ τῆς εὐφροσύνης ὑμῶν κἀν ταῖς ἑορταῖς ὑμῶν κἀν ταῖς νεομηνίαις ὑμῶν, καὶ δουπήσετε ἐν ταῖς σάλπιγξιν, ἐπὶ ταῖς ἀναφοραῖς ὑμῶν κἀπὶ ταῖς ϑυσίαις τῶν εἰρηναίων ὑμῶν, τελέσουσί δ'

---

21. ἀναχϑείη] ἀναχεεῖ corrupte cod. et ed. 22. ἢ διημέρῳ ἢ κτλ.] ed. om. ἢ διημέρῳ, neque Mor. supplevit. 23. στόματι (3) cod., non στόματος ut ed.

X. 2. σάλπιγγες cod. et ed. Etiam συνεχὲς corruptum, ut videtur, pro συνεχῆ (cf. Exod. XXV, 18). 3. πρὸς σὲ] πρὸς δὲ cod. et ed. 4. δουπήσετε] תִּתְקְעוּ (cf. v. 7) pro יִתְקְעוּ. An vocabulo וּתְקַעְתֶּם (v. 5 sq.) deceptus est? 6. ἐν ταῖς μετ. ὑμῶν] לְמַסְעֵיכֶם pro לְמַסְעֵיהֶם. 8. σάλπιξι c. cd. ed., itemque v. 10. 9. ἀφικνεῖσϑε] cf. not. ad VIII, 2. 10. εὐφροσύνης cod., non ἀφρ. ut ed.

ὑμῖν εἰς μνήμην ἐνώπιον τοῦ ϑεοῦ ὑμῶν· ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν.

[11] Ὑπῆρξε δ' ἐν ἔτει τῷ δευτέρῳ ἐν μηνὶ τῷ δευτέρῳ, ἐν εἰκοστῇ ἐν τῷ μηνί, ἀνηνέχϑη ἡ νεφέλη ἄνωϑεν τοῦ οἰκήματος τῆς μαρτυρίας, [12] καὶ μετῆραν οἱ υἱεῖς ἰσραέλου ταῖς μετάρσεσιν ἑαυτῶν ἀπ' ἐρήμου τοῦ ξινάῖνος· ἐσκήνωσε δ' ἡ νεφέλη ἐν ἐρήμῳ τοῦ παρᾶνος. [13] μετῆραν οὖν πρῶτον, ἐπὶ στόματι τοῦ ὀντωτοῦ διὰ χειρὸς μωσέως· [14] καὶ μετῆρεν ἡ σημαία τοῦ στρατοπέδου τῶν υἱέων ἰεούδου ἐν πρώτοις τῶν στρατιῶν αὐτῶν, κἀπὶ τῆς στρατιᾶς αὐτοῦ νaασὼν υἱεὺς ἀμιναδάβου· [15] ἐπὶ δὲ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων ἰσσαχάρου νεϑανέλης υἱεὺς σοάρου· [16] κἀπὶ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων ζεβουλούνου ἐλιάβης υἱεὺς ἐλῶνος· [17] κατενήνεκται τοίνυν τὸ οἴκημα, καὶ μετῆραν οἱ υἱεῖς γερσῶνος οἵ ϑ' υἱεῖς μεραρῖνος οἱ αἴροντες τὸ οἴκημα. [18] καὶ μετῆρεν ἡ σημαία τοῦ στρατοπέδου ῥεουβένου ταῖς στρατιαῖς αὐτῶν· ἐπὶ δὲ τῆς στρατιᾶς αὐτοῦ ἐλισούρης υἱεὺς σεδεούρου· [19] κἀπὶ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων συμεῶνος σελουμιέλης υἱεὺς σουρισαδάϊνος· [20] ἐπὶ δὲ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων γάδου ἐλιαξάφης υἱεὺς δεουέλου· [21] καὶ μετῆραν οἱ κεάϑιοι αἴροντες τὸ ἱερόν, ἤγειράν τε τὸ οἴκημα μέχρι τοῦ ἀφικέσϑαι σφᾶς. [22] μετῆρέ ϑ' ἡ σημαία τοῦ στρατοπέδου τῶν υἱέων ἐφραΐμου ταῖς στρατιαῖς αὐτῶν· ἐπὶ δὲ τῆς στρατιᾶς αὐτοῦ ἐλισαμάος υἱεὺς ἀμιούδου· [23] κἀπὶ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων μενασέως γαμελιέλος υἱεὺς πεδασούρου· [24] ἐπὶ δὲ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων βινιαμῖνος ἀβιδὰν υἱεὺς γιδεωνῖνος. [25] μετῆρέ ϑ' ἡ σημαία τοῦ στρατοπέδου τῶν υἱέων δανος συνάγουσα πρὸς πάντα τὰ στρατόπεδα εἰς τὰς στρατιὰς αὐτῶν· ἐπὶ δὲ τῆς στρατιᾶς αὐτοῦ ἀηέζερος υἱεὺς ἀμισαδάϊνος· [26] κἀπὶ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων ἀσέρου παγοιέλος υἱεὺς ἀχρᾶνος· [27] ἐπὶ δὲ τῆς στρατιᾶς τοῦ σκήπτρου τῶν υἱέων ναφεϑαλῖνος ἀηράος

---

14. τῆς στρατιᾶς αὐτοῦ] τῇ στρατιᾷ σαυτοῦ cod. et ed. Cf. v. 18. 22 cet. ναασὼν] νaησὼν? Cf. I, 7. II, 3 cet. 15. τῆς στρατιᾶς cod., non ταῖς στρατιαῖς ut ed. σοάρου (צוּעָר)] cf. VII, 18. 23. 17. κατανήνεκται cod. et ed. 18. σεδεούρου cod., non σεδεύρου ut ed. 20. ἐλιαξάφος c. cd. ed. 26. παγοιέλος cod., non παγιέλος 27. ναφεϑαλῖνος cod., non ναφεταλ. At sic I, 15. II, 29 cet. scriptum est. ἀηράος cod., non ἀχίρας ut ed.

υἱεὺς αἰνᾶνος. [28]αὗται αἱ μετάρσεις τῶν υἱέων τοῦ ἰσραέλου εἰς τὰς στρατιὰς αὐτῶν,καὶ μετῆραν. [29]Ἔφη δὲ μωσεὺς ὡβάβη τῷ υἱῷ ῥεουέλου τοῦ μιδιανίτου τοῦ πενϑεροῦ μωσέως· μεταίρομεν ἡμεῖς πρὸς τὸν τόπον ὃν ἔφη ὁ όντωτής· αὐτὸν δώσω ὑμῖν· δεῦρο σὺν ἡμῖν, καὶ ἀγαϑυνοῦμέν σοι· ὁ γὰρ όντωτὴς διείλεκται χρηστὸν ἐπὶ τῷ ἰσραέλῳ. [30]καὶ ἔφη πρὸς αὐτόν· οὐ βαδιοῦμαι, ἀλλὰ πρὸς τὴν γῆν μου καὶ πρὸς τὴν πατρίδα μου βαδιοῦμαι. [31]τοίνυν ἔφη· μὴ δὴ παρῇς ἡμᾶς, ὅτι διαταῦτα ἔγνως τὸ στρατοπεδεύειν ἡμῶν ἐν τῇ ἐρήμῳ, τελέσεις τοίνυν ἡμῖν εἰς ὀφϑαλμούς· [32]τελέσει δ' ἐπὰν βαδίσειας ξὺν ἡμῖν, καὶ ὑπάρξει τὸ χρηστὸν ἐκεῖνο ᾧπερ ἀγαϑυνεῖ ὁ όντωτὴς ξὺν ἡμῖν, καὶ ἀγαϑυνοῦμέν σοι. [33]μετῆραν οὖν ἀπ' ὄρους τοῦ όντωτοῦ ὁδῷ τριῶν ἡμερῶν· καὶ ἡ χηλὸς τῆς ξυνϑήκης τελέσειε μεταίρουσα πρόσϑεν αὐτῶν ὁδῷ τριῶν ἡμερῶν ἐρευνῆσαι σφίσι κατάπαυσιν. [34]ἡ δὲ νεφέλη τοῦ όντωτοῦ ἐπ' αὐτῶν ἡμέρας ἐπὰν ἀπαίροιεν·ἀπὸ τοῦ στρατοπέδου.

[35]Τοιγαροῦν ὑπῆρξεν ἐν τῷ ἀπαίρειν τὴν χηλὸν, καὶ ἔφη μωσεύς· ἔγειραι, όντωτὰ, καὶ σκορπισϑεῖεν οἱ ἐχϑροί σου φυγέτωσάν ϑ' οἱ μισηταί σου ἀπὸ προσώπου σου. [36]καὶ ἐπεὶ καταπαύσαιτο, φαίη· ὑπόστρεψον, όντωτὰ, μυριάδες τῶν χιλιάδων τοῦ ἰσραέλου.

XI. [1]Ὑπῆρξε δ' ὁ λεὼς ὡς συκοφαντοῦντες κακὸν ἐν ὠσὶ τοῦ όντωτοῦ· ἤκουσε δ' ὁ όντωτὴς καὶ ὤργισται ὁ ϑυμὸς αὐτοῦ, ἧπταί τ' ἐν αὐτοῖς πῦρ τοῦ όντωτοῦ καὶ βέβρωκεν ἐν ἄκρῳ τοῦ στρατοπέδου. [2]ἐβόησε δ' ὁ λεὼς πρὸς μωσέα, καὶ προσηύξατο μωσεὺς πρὸς τὸν όντωτὴν, καὶ ἐβυϑίσϑη τὸ πῦρ. [3]ἐκάλεσέ τε τοὔνομα τοῦ τόπου κείνου ἄψις, ὅτι ἧπται ἐν αὐτοῖς πῦρ τοῦ όντωτοῦ. [4]ὁ δ' ἐπισυνηϑροισμένος ὁ ἐν μέσῳ αὐτοῦ, ὠρέξαντο ὄρεξιν, ἐστράφησάν τε καὶ ἔκλαυσαν ἔτι οἱ υἱεῖς ἰσραέλου καὶ εἶπον· τίς σιτιεῖ ἡμᾶς κρέας; [5]ἐμνήσϑημεν τοῦ ἰχϑύος οὗ ἐδοίμεϑα ἐν αἰγύπτῳ χάριν, τῶν σικύων τῶν τε πεπόνων τοῦ τε πράσου τῶν τε κρομμύων καὶ τῶν σκορόδων· [6]νῦν δ' ἡ ψυχὴ ἡμῶν ξηρὰ, ἧκισϑ' ὁτιοῦν, πλὴν

---

29. ὡβάβῃ (spir. len.) cod. Vix recte (חֹבָב). αὐτὸν c. cd. ed. Cf. not. ad Gen. XXXIV, 5. 31. διαταῦτα] διὰ ταῦτα cod. et ed. Cf. Gen. XX, 6. Prol. I, 4, d. ἡμῶν cod., non ἡμᾶς ut ed. 33. τελέσειε] quasi יְהִיֶה scriptum esset, non יִהְיֶה. Cf. Prol. II, 2, 1.

XI. 6. ἧκισϑ' cod., non ἥκιστα ut ed.

πρὸς τὸν μᾶνα τὰ ὄμματα ἡμῶν. [7] ὁ δὲ μὰν ὡς σπέρμα κοριάννου ἐστὶν, ἥ τ' ὄψις αὐτοῦ κατ' ὄψιν τοῦ μαργάρου. [8] ἔτειναν ὁ λεὼς, συλλέξαιεν τότε καὶ ἀλέσαιεν ἐν μύλωνι ἢ ὀλμοκοπήσαιεν ἐν τῷ ὄλμῳ καὶ μιστύλλαιεν ἐν τῇ λοπάδι, ποιήσαιέν τ' αὐτὸν κόλικας· ὑπάρξειέ θ' ἡ γεῦσις αὐτοῦ ὡς γεῦσις λίπους τοῦ ἐλαίου. [9] ἐν δὲ τῷ κατιέναι τὴν δρόσον ἐπὶ τὸ στρατόπεδον νύκτωρ καταβαίη ὁ μὰν ἐπ' αὐτό. [10] τοίνυν ἤκουσε μωσεὺς τοῦ λεὼ κλαίοντος ἐς φρήτρας αὐτοῦ, ἕκαστον τῷ πυλῶνι τῆς σκηνῆς αὐτοῦ· καὶ ὤργισται ὁ θυμὸς τοῦ ὀντωτοῦ λίαν, ἐν ὄμμασί τε μωσέως δεινόν. [11] ἔφη τοίνυν μωσεὺς πρὸς τὸν ὀντωτήν· διατί ἐκάκωσας τὸν οἰκέτην σου καὶ τοῦ χάριν οὐχ εὗρον χάριν ἐν ὄμμασί σοι, τῷ θεῖναι τὸν φόρτον παντὸς τοῦ λεὼ τοῦδε ἐπ' ἐμοῦ; [12] ἆρ' ἐγὼ ἐκύησα ξύμπαντα τὸν λεὼν τοῦτον; εἴπερ ἐγὼ ἐγέννησά ἑ, ὅτι φήσεις πρός με· ἆρον αὐτὸν ἐν τῷ κόλπῳ σου, καθάπερ ἄροι ὁ τροφεὺς τὸ θηλάζον, ἐπὶ τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν; [13] πόθεν ἐμοὶ κρέας δοῦναι παντὶ τῷ λεῷ τῳδί; ἐπεὶ κλαύσονται ἐπ' ἐμοῦ τῷ φάσκειν· δὸς ἡμῖν κρέας, καὶ φαγόμεθα. [14] οὐχ ἕξω ἐγὼ μόνος ἐμοὶ φέρειν ξύμπαντα τὸν λεὼν τονδὶ, βαρύτερος γάρ μου. [15] κἂν τῇδέ πῃ σὺ ποιῇς μοι, κτεῖνόν με δὴ τῷ κτείνειν, εἰ εὗρον χάριν ἐν ὄμμασί σοι, μήτ' ἴδοιμι ἐν τῇ κακώσει μου.

[16] Τοιγαροῦν ἔφη ὁ ὀντωτὴς πρὸς μωσέα· σύναξόν μοι ἑβδομήκοντα ἄνδρας πρὸς τῶν γερόντων τοῦ ἰσραέλου, οὓς οἶσθα ὅτι εἰσὶ γέροντες τοῦ λεὼ καὶ πράκτορες αὐτοῦ, λήψῃ τ' αὐτοὺς πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, καὶ στήσονται ἐκεῖ σὺν σοί. [17] καταβήσομαί δὲ καὶ διαλέξομαι σὺν σοὶ ἐκεῖ, παρήσω τ' ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοῦ καὶ θήσω ἐπ' αὐτῶν· ἀροῦσί τε σὺν σοὶ ἐν τῷ φόρτῳ τοῦ λεὼ, καὶ οὐκ ἀρεῖς σὺ μόνος σαυτῷ· [18] πρὸς δὲ τὸν λεὼν φήσεις· ἁγιάσθητε ἐς αὔριον, καὶ ἔδεσθε κρέας· ἐπεὶ ἐκλαύσατε ἐν ὠσὶ τοῦ ὀντωτοῦ τῷ φάσκειν· τίς σιτιεῖ ἡμᾶς κρέας;

---

8. συλλέξαιεν τότε] l. συλλέξαιντό τε aut συλλέξαιέν τε (וְלָקְטוּ). ἀλέσαιεν] ἀλέσειεν cod. et ed. μύλωνι] hoc accentu utitur. Cf. Exod. XI, 5. ὀλμοκοπ.—ὄλμῳ] sic (cum spiritu leni) cod. Cf. Prov. XXVII, 22. Prol. I, 4, c. κόλικας, non κόλλικας, cod. 11. φόρτον] φόνον cod. et ed. Cf. v. 17. Deut. I, 12. 12. τοῖς πατράσιν αὐτῶν] לַאֲבֹתָם pro לַאֲבֹתָיו. Item LXX. 14. φέρειν] φέρε cod. et ed. 15. τῇδε πῇ c. cd. ed. 17. παρήσω] παρήσεις cod. et ed. Cf. v. 25. 18. ἐσαύριον cod. Cf. Prol. I, 4, d.

ἐπεὶ χρηστὸν ἡμῖν ἐν αἰγύπτῳ. δώσει τοίνυν ὁ ὀντωτὴς ὑμῖν κρέας, καὶ ἔδεσϑε. [19] οὐχ ἡμέρᾳ μιᾷ φάγεσϑε, οὔτε διημέρῳ οὔτε πέντε ἡμέραις οὔτε δέκα ἡμέραις οὔτ' εἰκοσαημέρῳ· [20] μέχρι μηνὸς ἡμερῶν, ἄχρις ἂν ἐξέλϑοι πρὸς τοῦ μυκτῆρος ὑμῶν τελέσειέ ϑ' ὑμῖν εἰς σκορπισμὸν, ἀνϑότου ἐβδελύξασϑε τὸν ὀντωτὴν τὸν ἐν μέσῳ ὑμῶν, καὶ ἐκλαύσατε ἐνώπιον αὐτοῦ τῷ φάσκειν· διατί τόδε ἐξήνεγκεν ἡμᾶς ἀπ' αἰγύπτου; [21] καὶ εἶπε μωσεύς· ἑξακόσιαι χιλιάδες πεζοῦ ὁ λεὼς ᾧπέρ εἰμι ἐν τῷ μέσῳ αὐτοῦ, σὺ δ' ἔφης· κρέας δώσω σφίσι, καὶ ἔδονται μηνὸς ἡμέραις· [22] ἆρα ποίμνιον καὶ βουκόλιον ἱερευϑήσεται σφίσι, καὶ εὑρήσει σφίσιν; εἰ ξύμπαντας τοὺς ἰχϑύας τῆς ϑαλάττης συνάξονται σφίσι, καὶ εὑρήσει σφίσιν;

[23] Ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα· ἆρ' ἡ χεὶρ τοῦ ὀντωτοῦ βραχυνεῖ; νῦν ὄψει πότερον συμβήσεταί σοι ὁ λόγος μου εἴτε μή. [24] τοίνυν ἐξῆλϑε μωσεὺς καὶ διείλεκται πρὸς τὸν λεὼν τοὺς λόγους τοῦ ὀντωτοῦ, προσέϑηκέ τε τοὺς ἑβδομήκοντα ἄνδρας πρὸς τῶν γερόντων τοῦ λεὼ καὶ ἔστησε σφᾶς κύκλῳ τῆς σκηνῆς. [25] κατέβη δ' ὁ ὀντωτὴς ἐν νεφέλῃ καὶ διείλεκται πρὸς αὐτὸν, παρῆκέ τε πρὸς τοῦ πνεύματος τοῦ ἐπ' αὐτοῦ καὶ ἔδωκεν ἐπὶ τῶν ἑβδομήκοντα ἀνδρῶν τῶν πρεσβυτῶν· ὑπῆρξέ τ' ἐν τῷ ἀναπεπαῦσϑαι ἐπ' αὐτῶν τὸ πνεῦμα, καὶ προὐφήτευσαν, καὶ οὐ προσέϑηκαν. [26] παρελειφϑήτην δὲ δύο ἄνδρε ἐν τῷ στρατοπέδῳ, τοὔνομα τοῦ ἑνὸς ἐλδάδης, τοὔνομα δὲ τοῦ δευτέρου μεδάδης· ἀνεπαύσατο γοῦν ἐπ' αὐτοῖν τὸ πνεῦμα· κείνω δ' ἐν τοῖς γεγραμμένοις, καὶ οὐκ ἐξηλϑέτην τὴν σκηνήν· προὐφητευσάτην μέντοι ἐν τῷ στρατοπέδῳ. [27] τοιγαροῦν ἔδραμεν ὁ νέος ἤγγειλέ τε τῷ μωσεῖ καὶ εἶπεν· ἐλδάδης καὶ μεδάδης προφητεύετον ἐν τῷ στρατοπέδῳ. [28] τοιγαροῦν ἀποκέκριται ἰεωσούας υἱεὺς νούνου, ὑπηρέτης μωσέως ἀπὸ τῶν νεανίσκων αὐτοῦ, καὶ εἶπε· δέσποτά μου μωσεῦ, εἶρξον αὐτώ. [29] καὶ εἶπεν αὐτῷ μωσεύς· ἆρα φϑονεῖς σύ μοι; εἴϑε μέντοι πᾶς ὁ λεὼς τοῦ

---

20. ἀνϑότου] sic cod. Cf. Gen. XXII, 16. 18. Prov. I, 29 cet. ἐξήνεγκεν ἡμᾶς] הוֹצִיאָנוּ (cf. Exod. XIII, 14. 16) pro יָצָאנוּ? 21. ἑξακόσιοι cod. et ed. μηνὸς ἡμέραις] voluitne μηνὶ ἡμερῶν? Cf. Gen. XXIX, 14. 22. συνάξονται] יֵאָסֵף (cf. v. 24) pro יֵאָסֵף. Cf. Prol. II, 2, b. 25. πρεσβυτῶν cod., non πρεσβυτέρων ut ed. ἐν τῷ ἀναπ.] בְּנוֹחַ (ita cod. Kenn. 223) pro כְּנ' 26. παρελειφϑήτην] codicis scriptura non satis clara. Fort. περελ., non περιλ.

ὀντωτοῦ προφῆται, δοίη γὰρ ὁ ὀντωτὴς τὸ πνεῦμά οἱ ἐπ' αὐτῶν. [30] συνῆκται δὲ μωσεὺς πρὸς τὸ στρατόπεδον, ἐκεῖνος καὶ οἱ γέροντες τοῦ ἰσραέλου. [31] πνεῦμα δὲ μετῆρε πρὸς τοῦ ὀντωτοῦ, ἔτεμέ τ' ὄρτυγας ἀπὸ τῆς ϑαλάττης καὶ ἔτεινεν ἐπὶ τοῦ στρατοπέδου καϑ' ὁδὸν ἡμέρας τῇδε καὶ καϑ' ὁδὸν ἡμέρας τῇδε, κύκλῳ τοῦ στρατοπέδου, καὶ ὡς διπήχει ἐπὶ τοῦ προσώπου τῆς γῆς. [32] ἐγήγερται δ' ὁ λεὼς πάσῃ τῇ ἡμέρᾳ κείνῃ καὶ πάσῃ τῇ νυκτὶ, πάσῃ τε τῇ ἡμέρᾳ τῇ αὔριον, καὶ συνελέξαντο τὸν ὄρτυγα· ὁ ὀλιγῶν συνήγαγε δέκα σωρούς· ἔτεινάν ϑ' ἑαυτοῖς τάσεις κύκλῳ τοῦ στρατοπέδου. [33] τὸ κρέας ἔτι ἦν μέσον τῶν ὀδόντων αὐτῶν, πρὶν τμηϑείη, καὶ ϑυμὸς τοῦ ὀντωτοῦ ὤργισται ἐν τῷ λεῷ καὶ ἔπληξεν ὁ ὀντωτὴς ἐν τῷ λεῷ πληγὴν πλείστην. [34] ἐκάλεσε δὲ τοὔνομα τοῦ τόπου κείνου τύμβοι τῆς ὀρέξεως· ἐκεῖ γὰρ ἔϑαψαν τὸν λεὼν τῶν ὀριγνωμένων. [35] ἀπὸ τῶν τύμβων τῆς ὀρέξεως μετῆραν ὁ λεὼς ἐς αὐλὰς, ὑπῆρξάν τε ἐν αὐλαῖς.

XII. [1] Διείλεκται δὲ μεριάμη καὶ ἀαρὼν εἰς μωσέα ἐπὶ τῷ χρήματι τῆς γυναικὸς τῆς αἰϑίοπος ἣν ἔλαβε. γυναῖκα γὰρ αἰϑίοπα ἔλαβε. [2] καὶ εἰπέτην· ἆρα μόνον πλὴν ἐν μωσεῖ διείλεκται ὁ ὀντωτής; ἆρ' οὐ καὶ ἐν ἡμῖν διείλεκται; καὶ ἤκουσεν ὁ ὀντωτής. [3] ὁ δ' ἀνὴρ μωσεὺς ἐπιεικὴς ἄγαν ὑπὲρ πάντα τὸν ἄνϑρωπον τὸν ἐπὶ τοῦ προσώπου τῆς γῆς.

[4] Ἔφη ϑ' ὁ ὀντωτὴς ἐξαίφνης πρὸς μωσέα, πρὸς ἀαρῶνά τε καὶ πρὸς μεριάμην· ἔξιτε οἱ τρεῖς ὑμεῖς πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ. καὶ ἐξῆλϑον οἱ τρεῖς αὐτοί. [5] κατέβη ϑ' ὁ ὀντωτὴς ἐν στύλῳ νεφέλης ἔστη τε τῷ πυλῶνι τῆς σκηνῆς· ἐκάλεσε δὲ τὸν ἀαρῶνα καὶ τὴν μεριάμνην, καὶ ἐξηλϑέτην ἄμφω αὐτώ. [6] καὶ εἶπεν· ἀκούσατε δὴ τοὺς λόγους μου· εἴπερ τελέσειε προφήτης ὑμῶν τῷ ὀντωτῇ, ἐν ὄψει πρὸς αὐτὸν γνωσϑήσομαι, ἐν ὀνείρῳ διαλέξομαι ἐν αὐτῷ. [7] οὐ τῇδε ὁ οἰκέτης μου μωσεὺς, ἐν παντὶ οἴκῳ μου πιστός ἐστι· [8] στόματι πρὸς στόμα διαλέξομαι ἐν αὐτῷ, ὄψει τε καὶ οὐκ ἐν αἰνίγμασι, σχῆμά τε τοῦ ὀντωτοῦ ἀτενιεῖ· τίνος οὖν χάριν οὐκ ἐδείσατε διαλέγεσϑαι πρὸς τὸν οἰκέτην μου, εἰς

32. πάσῃ τε] τε ipsi addidimus invito codice. 35. (ὑπῆρξάν) τ' c. ed. ed. αὐλαῖς] αὐταῖς cod. Emendationem Amm. praeivit.

XII. 5. μεριάμνην] nonne μεριάμην (ut v. 1. 4 cet.), vel potius μιριάμην (מִרְיָם)? Cf. Exod. XV, 20 sq. 8. πρὸς τὸν οἰκ. μου] exspectaveris εἰς τ. κτλ. (בְּעַבְדִּי).

μωσέα; [9] ὤργισται τοίνυν ὁ ϑυμὸς τοῦ ὀντωτοῦ ἐν αὐτοῖς, καὶ ἀπῆλϑεν, [10] ἥ τε νεφέλη ἐπέλιπεν ἄνωϑεν τῆς σκηνῆς, αὐτίκα γοῦν μεριάμη λεπρῶσα ὡς χιών· ἠτένισέ τ' ἀαρὼν πρὸς μεριάμην, καὶ ϑεῶ λεπρῶσα. [11] τοίνυν εἶπεν ἀαρὼν πρὸς μωσέα· εἰς ἐμὲ, δέσποτά μου, μὴ δὴ ϑῆς ἐφ' ἡμῶν ἁμαρτίαν, οἷς ἠφρονεύσαμεν οἷς ϑ' ἡμάρτομεν· [12] μὴ δὴ τελείτω ὡς τεϑνηκὸς, ὅπερ ἐπὰν ἐξέλϑοι ἀπὸ τῆς νηδύος τῆς μητρὸς αὐτοῦ, καὶ βρωϑήσεται τὸ ἥμισυ τῆς σαρκὸς αὐτοῦ. [13] τοιγαροῦν ἐβόησε μωσεὺς πρὸς τὸν ὀντωτὴν τῷ φάναι· ϑεὲ δὴ, ϑεράπευσον δὴ ταύτην.

°[14] Ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· ὁ πατὴρ οὖν αὐτῆς τῷ πτύειν ἔπτυσεν εἰς πρόσωπον αὐτῆς, ἆρ' οὐκ αἰσχυνεῖται ἑπτὰ ἡμέραις; κλεισϑήτω ἑπτὰ ἡμέραις ἔξωϑεν τοῦ στρατοπέδου, μετὰ δὲ ταῦτα συναχϑήσεται. [15] κέκλεισται γοῦν μεριάμη ϑύραϑεν τοῦ στρατοπέδου ἑπτὰ ἡμέραις· ὁ δὲ λεὼς οὐκ ἀπῆρεν ἄχρι τοῦ συναχϑῆναι τὴν μεριάμην. [16] μετὰ δὲ ταῦτα μετῆραν ὁ λεὼς ἀπὸ τῶν αὐλῶν, ἐστρατοπεδεύσαντό τε ἐν ἐρήμῳ παρᾶνος.

XIII. (μερίς)

[1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] πέμψον σαυτῷ ἄνδρας, σκοπησάντων τε τὴν γῆν τοῦ κεναᾶνος ἣν ἐγὼ δίδωμι τοῖς υἱέσι τοῦ ἰσραέλου, ἄνδρα ἕνα ἄνδρα ἕνα τῷ σκήπτρῳ τῶν πατέρων αὐτοῦ πέμψετε, πάντα ἡγεμόνα ἐν αὐτοῖς. [3] ἔπεμψεν οὖν αὐτοὺς μωσεὺς ἀπ' ἐρήμου παρᾶνος ἐπὶ στόματι τοῦ ὀντωτοῦ· ξύμπαντες αὐτοὶ ἄνδρες κεφαλαὶ τῶν υἱέων τοῦ ἰσραέλου κεῖνοι. [4] ταῦτά τε τὰ ὀνόματα σφῶν· τοῦ σκήπτρου ῥεουβένου, σαμούας υἱεὺς ζαχούρου· [5] τοῦ σκήπτρου συμεῶνος, σαφάτης υἱεὺς ὡρῖνος· [6] τοῦ σκήπτρου ἰεούδου, καλέβης υἱεὺς ἰεφουνέως· [7] τοῦ σκήπτρου ἰσσαχάρου, ἰγάλης υἱεὺς ἰωξέφου· [8] τοῦ σκήπτρου ἐφραΐμου, ὡσέας υἱεὺς νούνου· [9] τοῦ σκήπτρου βινιαμῖνος, παλετὶς υἱεὺς ῥαφοῦντος· [10] τοῦ σκήπτρου ζεβουλούνου, γαδιέλος υἱεὺς ξωδῖνος· [11] τοῦ σκήπτρου ἰωξέφου· τοῦ σκήπτρου μενασέως, γαδὶς υἱεὺς ξουξῖνος· [12] τοῦ σκήπτρου δανὸς, ἀμιέλος υἱεὺς γεμαλῖνος· [13] τοῦ σκήπτρου ἀσέρου, ξεϑοῦρος υἱεὺς μιχαέλου· [14] τοῦ σκήπτρου ναφεταλῖνος, ναβὶς υἱεὺς ζαφεξῖνος· [15] τοῦ σκήπτρου γάδου, γεουέλος υἱεὺς

12. μὴ δὴ] μὴ δὲ cod., μήδε ed. 14. αὐτῆς] αὐτῶν (bis) cod. et ed.

XIII. 8. ὡσέας] correxerim ὠσ. (הוֹשֵׁעַ; cf. Gen. IV, 2 sqq. X, 27. XVI, 1 cet.). At pariter (spir. asp.) v. 16 scriptum est. 14. ναβὶς (נַחְבִּי)] cf. X, 14. ζαφεξῖνος] quasi וָפְסִי scriptum esset, non וָפְסִי

μαχῖνος. [16]ταῦτα ὀνόματα τῶν ἀνδρῶν οὓς ἔπεμψε μωσεὺς κατασκοπῆσαι τὴν γῆν· ὠνόμασε δὲ μωσεὺς τὸν ὡσέαν υἱέον νούνου ἰωσούαν. [17]καὶ ἔπεμψεν αὐτοὺς μωσεὺς ὡς κατασκοπήσαιεν τὴν γῆν τοῦ κεναᾶνος, ἔφη τε πρὸς αὐτούς· ἀνάβητε τόδε εἰς νότον καὶ ἀναβήσεσθε τὸ ὄρος, [18]καὶ ὄψεσθε τὴν γῆν τίς ἐστι, τόν τε λεὼν τὸν καθεζόμενον ἐπ' αὐτῆς ἆρ' ἰσχυρός ἐστιν, ἆρα μαλθακὸς, ἆρ' ὀλίγος ἐστὶν εἴτε πολύς· [19]τίς θ' ἡ γῆ ᾗ ἐκεῖνος καθέζεται ἐν αὐτῇ, ἆρα χρηστή ἐστιν εἴτε φαύλη· τίνες θ' αἱ πόλεις αἷς ἐκεῖνος καθέζεται ἐν αὐταῖς, ἆρ' ἐν στρατοπέδοις εἴτ' ἐν ὀχυρώμασι· [20]τίς θ' ἡ γῆ, ἆρα λιπαρά ἐστιν εἴτ' ἰσχνὴ, ἆρ' ἔστιν ἐν αὐτῇ ξύλον εἴθ' ἥκιστα. καὶ κατισχύσετε λήψεσθέ τ' ἀπὸ τοῦ καρποῦ τῆς γῆς. καὶ αἱ ἡμέραι ἡμέραι πρωτογόνων σταφυλῶν. [21]ἀνῆλθον οὖν καὶ κατεσκόπησαν τὴν γῆν ἀπ' ἐρήμου σινὸς ἄχρι πλατείας, ὡς ἀφίκοιντο ἐς ἀμάθην. [22]ἀνέβησαν οὖν ἐς νότον, καὶ ἀφῖκται μέχρις ἑβρῶνος· ἐκεῖ δ' ἀημὰν, σεσάϊν καὶ θεμάϊς, τέκνα τοῦ ἀνάχου· ἡ δὲ ἑβρὼν ἑπτὰ ἔτεσιν ἐδομήθη πρὸ σοάνου τῆς αἰγύπτου. [23]τοίνυν ἀφίκοντο μέχρι τοῦ χειμάρρου τοῦ βότρυος, ἔτεμόν τ' ἐκεῖθεν κλάδον καὶ βότρυν σταφυλῶν ἕνα καὶ ἦραν αὐτὸν ἐν ζυγῷ ἐν δυσίν, ἀπό τε τῶν ῥοῶν κἀπὸ τῶν σύκων. [24]τῷ τόπῳ κείνῳ κέκληκε χειμάρρους βότρυος, ἐπὶ τῷ χρήματι τοῦ βότρυος ὃν ἔτεμον ἐκεῖθεν οἱ υἱεῖς ἰσραέλου. [25]τοιγαροῦν ὑπέστρεψαν ἀπὸ τοῦ κατασκοπεῖν τὴν γῆν ἀπ' ἄκρου τετταράκοντα ἡμερῶν. [26]ἐβάδισάν τε καὶ ἀφίκοντο πρὸς μωσέα πρός τ' ἀαρῶνα καὶ πρὸς πᾶν τὸ ἄθροισμα τῶν υἱέων τοῦ ἰσραέλου πρὸς ἔρημον παρᾶνος, πρὸς κάδησον, ἀπέστρεψάν τε σφίσι λόγον καὶ παντὶ τῷ ἀθροίσματι, καὶ ἔδειξαν σφίσι τὸν καρπὸν τῆς γῆς· [27]καὶ διηγήσαντό οἱ καὶ εἶπον· ἀφίγμεθα πρὸς τὴν γῆν ᾗ ἔπεμψας ἡμᾶς, καὶ ἔτι ῥεομένη γάλακτι καὶ μέλιτι τελεῖ, οὗτός θ' ὁ ταύτης καρπός· [28]πλὴν ὅτι κραταιὸς ὁ λεὼς ὁ καθήμενος ἐν τῇ γῇ, καὶ αἱ πόλεις ὀχυραὶ μέγισται, καὶ ἔτι τέκνα τοῦ ἀνάχου τεθεάμεθα ἐκεῖ· [29]ὁ ἀμαλέκης κάθηται ἐν τῇ γῇ τοῦ νότου, ὅ θ' ἥτιος καὶ ὁ ἰεβούξιος, ὁ δ' ἐμόριος κάθηται ἐν τῷ ὄρει, ὁ δὲ

---

16. ταῦτα] ταῦτα δὲ ed. Sed δὲ expunctum est in codice. Legendum fort. ταῦτα τὰ   21. ἀμάθην (spir. len.) c. cd. ed.   22. εἰς (νότον) c. cd. ed. θεμάϊς] l. θαλμάϊς (תַּלְמַי).   ἀνάχου] sic etiam v. 28. 33 cet. Per κ (עֲנָקִים) Deut I, 28. II, 10 cet.

κεναὰν κάϑηται ἐπὶ τῆς ϑαλάττης κἀπὶ χειρὸς τοῦ ἰαρδένου. [30] κατεδίκασε δὲ καλέβης τὸν λεὼν πρὸς μωσέα καὶ εἶπε· τῷ ἀναβαίνειν ἀναβησόμεϑα καὶ κληρωσόμεϑα ταύτην, τῷ γὰρ ἰσχύειν ἰσχύσομεν αὐτῇ. [31] οἱ δ' ἄνδρες οἱ ἀναβάντες ξὺν αὐτῷ εἶπον· οὐκ ἰσχύσομεν ἀναβῆναι πρὸς τὸν λεών, ἐπεὶ κραταιότερός ἐστιν ἡμῶν. [32] ἐξήνεγκαν οὖν φήμην τῆς γῆς, ἣν κατεσκόπησαν αὐτήν, πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου τῷ φάσκειν· ἡ γῆ ἣν διήλϑομεν ἐν αὐτῇ κατασκοπεῖν αὐτήν, γῆ τρώγουσα τοὺς καϑέδρους ἑαυτῆς ἐστι, πᾶς ϑ' ὁ λεὼς ὃν εἴδομεν μέσον αὐτῆς ἄνδρες μέτρων· [33] ἐκεῖ τ' εἴδομεν τοὺς νεφιλίους τοὺς υἱέας τοῦ ἀνάχου πρὸς τῶν νεφιλίων, ὑπήρξαμέν τ' ἐν ὄμμασιν ἡμῖν ὡς ἀκρίδες, καὶ τῇδε ὑπήρξαμεν ἐν ὄμμασιν αὐτοῖς. [1] ἦρεν οὖν πᾶν τὸ ἄϑροισμα, καὶ ἔδοσαν τὴν φωνὴν ἑαυτῶν ἔκλαυσάν ϑ' ὁ λεὼς ἐν τῇ νυκτὶ κείνῃ· [2] καὶ ἐγόγγυσαν κατὰ μωσέως καὶ κατ' ἀαρῶνος πάντες υἱεῖς ἰσραέλου, καὶ εἶπον πρὸς αὐτοὺς πᾶν τὸ ἄϑροισμα· εἴϑε τεϑναίημεν ἐν τῇ γῇ τῆς αἰγύπτου, ἢ ἐν τῇ ἐρήμῳ τηδὶ εἴϑε τεϑναίημεν· [3] καὶ τοῦ χάριν ὁ ὀντωτὴς ἄγει ἡμᾶς πρὸς τὴν γῆν ταύτην ὥστε πεσεῖν ἐν ξίφει; αἱ γυναῖκες ἡμῶν καὶ τὰ νήπια ἡμῶν τελέσουσιν εἰς προνομήν· ἆρ' οὐ χρηστὸν ἡμῖν στραφῆναι πρὸς αἴγυπτον; [4] εἶπον οὖν ἕκαστος πρὸς τὸν ἀδελφὸν ἑαυτοῦ· δῶμεν κεφαλὴν καὶ στραφῶμεν εἰς αἴγυπτον. [5] ἔπεσε δὲ μωσεὺς καὶ ἀαρὼν ἐπὶ πρόσωπον ἑαυτοῖν ἐνώπιον πάσης τῆς ἐκκλησίας τοῦ ἀϑροίσματος τῶν υἱέων ἰσραέλου. [6] ὅ τ' ἰωσούας ὁ υἱεὺς νούνου καὶ χαλέβης ὁ υἱεὺς ἰεφουνέως, πρὸς τῶν κατασκοπούντων τὴν γῆν, ἔσχισαν τὰ ἐνδύματα σφῶν, [7] ἔφησάν τε πρὸς τὸ ἄϑροισμα τῶν υἱέων ἰσραέλου τῷ φάναι· ἡ γῆ ἣν διήλϑομεν ἐν αὐτῇ κατασκοπεῖν αὐτήν, χρηστὴ ἡ γῆ λίαν λίαν· [8] εἴπερ ϑέλοι ἐν ἡμῖν ὁ ὀντωτὴς καὶ ἀγάγοι ἡμᾶς πρὸς τὴν γῆν ταύτην, δώσει τε ταύτην ἡμῖν· γῆ ἥπερ τυγχάνει ῥεομένη γάλακτι καὶ μέλιτι. [9] μόνον εἰς τὸν ὀντωτὴν μὴ ἀνταίρητε, καὶ ὑμεῖς μὴ δείσητε τὸν λεὼν τῆς γῆς·

XIV.

---

29. κεναὰν] l. κεναάνιος (הַכְּנַעֲנִי). Cf. Gen. X, 18 sq. XII, 6 cet. 32. τῆς γῆς ῷ κατεσχ. cod. et ed.

XIV. 2. εἴϑε cod., non εἴτε ut ed., nec εἴϑε ut apud Morell. legitur. 3. προνομήν] sic plane cod., non ut Amm. profert: „Obscure admodum et quasi per nebulam legebatur προνοαι —" (αι scripto supra νο). 7. πρὸς τὸ ἄϑρ.] כָּל־ om. Item codd. Kenn. 151 et 157. 8. ϑέλοι ἐν] ϑέλοιεν cod. et ed. τυγχάνη cod. et ed. 9. δείσετε corr. δείσητε cod.

ἄρτος γὰρ ἡμῶν εἰσιν· ἐξέλιπεν ἡ σκιὰ σφῶν ἄνωϑεν αὐτῶν, ὅ τ' ὀντωτὴς ξὺν ἡμῖν· μὴ δείσητε σφᾶς· [10]εἶπον οὖν πᾶν τὸ ἄϑροισμα καταλεῦσαι σφᾶς ἐν λίϑοις. δόξα δὲ τοῦ ὀντωτοῦ πέφηνεν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ πρὸς πάντας τοὺς υἱέας τοῦ ἰσραέλου.

[11]Καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· μέχρι τίνος περιόψονταί με ὁ λεὼς ὁδί; καὶ μέχρι τίνος οὐ πιστεύσουσί μοι ἐν πᾶσι τοῖς τέρασιν ἅπερ ἐποίησα ἐν μέσῳ οἱ; [12]τύψω ἑ ἐν ϑνήσει καὶ ἀποκληρώσω ἑ, ποιήσω δὲ σὲ εἰς ἔϑνος μέγα καὶ κραταιότερον αὐτοῦ. [13]τοίνυν ἔφη μωσεὺς πρὸς τὸν ὀντωτήν· ἀκούσονται δὲ αἴγυπτος, ὅτι ἀνήνεγκας ἐν τῇ ἰσχύϊ σου τὸν λεὼν τουτονὶ μέσοϑεν αὐτοῦ, [14]ἐροῦσί τε πρὸς τὸν κάϑεδρον τῆς γῆς τησδί· ἠκούσατε, ὅτι σὺ, ὀντωτὰ, μέσον τοῦ λεὼ τουδὶ, ᾧπερ ὄμματι ἐν ὄμματι φαίνῃ σὺ, ὀντωτὰ, ἥ τε νεφέλη σου ἵσταται ἐπ' αὐτῶν, κἀν στύλῳ νεφέλης σὺ βαδίζεις πρόσϑεν αὐτῶν ἡμέρας κἀν στύλῳ πυρὸς νυκτός· [15]ἀποκτενεῖς δὲ τὸν λεὼν τοῦτον ὡς ἄνδρα ἕνα, καὶ φήσουσι τὰ ἔϑνη ἅπερ ἐπύϑοντο τὴν ἀκοήν σου τῷ φάσκειν· [16]ἀπὸ τοῦ μὴ οἷός τ' εἶναι ὁ ὀντωτὴς ἐνεγκεῖν τὸν λεὼν τοῦτον πρὸς τὴν γῆν ἣν ὤμοσε σφίσι, τοίνυν ἔσφαξε σφᾶς ἐν τῇ ἐρήμῳ. [17]νῦν οὖν μεγαλυνϑήτω δὴ ἡ ἰσχὺς τοῦ ὀντωτοῦ, καϑάπερ διείλεξαι τῷ φάσκειν· [18]ὁ ὀντωτὴς μῆκος ϑυμῶν καὶ πολὺς τὸν ἔλεον, αἴρων ἀμπλάκημα καὶ ἔγκλημα, ἀϑῳῶν τε οὐκ ἀϑῳώσει, ἐπισκεπτόμενος ἔγκλημα πατέρων ἐφ' υἱῶν ἐπὶ τριττευόντων κἀπὶ τεταρτευόντων. [19]σύγγνωϑι δὴ τῷ ἐγκλήματι τοῦ λεὼ τουδὶ κατὰ τὸ μέγεϑος τοῦ ἐλέους σου, καὶ καϑάπερ ἦρας τῷ λεῴ τῳδὶ ἀπ' αἰγύπτου καὶ μέχρι τῶν τῆδε. [20]καὶ εἶπεν ὁ ὀντωτής· συνέγνων κατὰ τὸν λόγον σου· [21]ὄντως μέντοι, ζῶ ἐγὼ, πληρώσει ϑ' ἡ δόξα τοῦ ὀντωτοῦ ξύμπασαν τὴν γῆν· [22]πάντες γὰρ οἱ ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου καὶ τὰ τέρατά μου ἅπερ ἐποίησα ἐν αἰγύπτῳ κἀν τῇ ἐρήμῳ, καὶ ἐπείρασάν με τόδε δεκάκις, οὐχ ὑπήκουσάν τε τῇ φωνῇ μου, [23]εἰ ὄψοιντο τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, πάντες ϑ' οἱ ὀργίζοντές με οὐκ ὄψονται ταύτην. [24]ὁ δ'

14. ἤκουσα τὲ cod. Legendum fort. ἤκουσάν τε (וְשָׁמְעוּ pro שָׁמְעוּ codd. Samar. 16. 183, Kenn. 181. 196). 17. τοῦ ὀντωτοῦ] יְהוָה (ita multi codd. Kenn. et Ross.) pro אֲדֹנָי t. rec. 19. δὴ] δὲ cod. et ed. τῶν τῆδε] alibi τουτῆδε. Cf. Gen. XV, 16.

οἰκέτης μου χαλέβης, ἀνϑῶν ὑπῆρξε πνεῦμα ἕτερον σὺν αὐτῷ καὶ ἐπλήσϑη κατόπιν μου, τοίνυν οἴσω ἑ πρὸς τὴν γῆν ἥπερ ἀφῖκται ἐκεῖσε, καὶ τὸ σπέρμα οἱ κληρώσεται ταύτην. [25] ὁ δ' ἀμαλεκίτης καὶ ὁ κεναάνιος καϑεζέτην ἐν τῇ κοιλάδι. αὔριον ἐκνεύσατε καὶ ἀπάρατε ὑμῖν αὐτοῖς πρὸς τὴν ἔρημον ὁδῷ τῆς ϑαλάττης τοῦ φύκους.

[26] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [27] μέχρι τίνος τῷ ἀϑροίσματι τῷ κακῷ τῳδί, οἵπερ τυγχάνουσι γογγύζοντες κατ' ἐμοῦ; τοὺς γογγυσμοὺς τῶν υἱέων τοῦ ἰσραέλου, οἵ τυγχάνουσι γογγύζοντες κατ' ἐμοῦ, πέπυσμαι. [28] φάϑι πρὸς αὐτούς· ζῶ ἐγὼ, φησὶν ὁ ὀντωτὴς, εἰ μὴ καϑάπερ διείλεχϑε ἐν ὡσί μοι, τῇδε ποιήσοιμι ὑμῖν· [29] ἐν τῇ ἐρήμῳ τῃδὶ πεσοῦνται οἱ νεκροὶ σφῶν, πάντες ϑ' οἱ ἐπεσκεμμένοι ὑμῶν παντὶ τῷ ἀριϑμῷ ὑμῶν ἀφ' υἱοῦ εἰκοσαετοῦς καὶ ἄνω, οἵπερ ἐγογγύσατε κατ' ἐμοῦ. [30] εἰ ὑμεῖς ἐλεύσεσϑε πρὸς τὴν γῆν ἣ ἦρα τὴν χεῖρά μου ὡς οἰκίσαιμι ὑμᾶς ἐν αὐτῇ, ὅτι μὴ χαλέβης ὁ υἱεὺς ἰεφουνέως, ἰωσούας ϑ' ὁ υἱεὺς νούνου· [31] καὶ ἡ νηπιότης ὑμῶν, ἐφῶπερ ἔφητε· εἰς λείαν τελοῖ, ἄξω τε σφᾶς καὶ εἴσονται τὴν γῆν ἣν ἐμυσάξασϑε ἐν αὐτῇ. [32] καὶ οἱ νεκροὶ ὑμῶν, ὑμεῖς, πεσοῦνται ἐν τῇ ἐρήμῳ ταύτῃ· [33] οἵ ϑ' υἱεῖς ὑμῶν τελέσουσι νεμόμενοι ἐν τῇ ἐρήμῳ τετταράκοντα ἔτεσι, καὶ ἀροῦσι τὴν πορνείαν ὑμῶν ἄχρι τοῦ τελεσϑῆναι τοὺς νεκροὺς ὑμῶν ἐν τῇ ἐρήμῳ· [34] ἐν ἀριϑμῷ τῶν ἡμερῶν αἷς κατεσκοπήσατε τὴν γῆν, τετταράκοντα ἡμέραις, ἡμέρα τῷ ἔτει ἡμέρα τῷ ἔτει, ἀρεῖτε τὰ ἐγκλήματα ὑμῶν τετταράκοντα ἔτεσιν, εἴσεσϑέ τε τὴν ἀνάνευσίν μου.

[35] Ἐγὼ ὁ ὀντωτὴς διείλεγμαι· εἰ μὴ τόδε ποιήσοιμι παντὶ τῷ ἀϑροίσματι τῷ κακῷ τῳδί, τοῖς ἀϑροιζομένοις κατ' ἐμοῦ· ἐν τῇ ἐρήμῳ τῃδὶ τελεσϑήσονται κἀκεῖ τεϑνήξονται. [36] οἱ ἄνδρες οὓς ἔπεμψε μωσεὺς κατασκοπῆσαι τὴν γῆν, καὶ ὑπέστρεψαν, ἐγογγύσμωσάν τε κατ' αὐτοῦ ξύμπαν τὸ ἄϑροισμα τῷ ἐξενεγκεῖν φήμην κατὰ τῆς γῆς, [37] τεϑνήκασί ϑ' οἱ ἄνδρες οἱ ἐξενεγκόντες τὴν φήμην τῆς γῆς κακὴν ἐν βολῇ πρόσϑεν τοῦ ὀντωτοῦ· [38] καὶ ἰωσούας

---

24. ἀνϑῶν] codicis scripturam servavimus. Cf. Prol. I, 4, d. 28. (ἐν ὡσί) μου corr. μοι cod. 29. οἱ νεκροὶ σφῶν] פִּגְרֵיהֶם pro פִּגְרֵיכֶם 30. εἰ ὑμεῖς cod. Ed. ὑμεῖς om. 31. ἐφῶπερ] sic cod. Cf. Prol. l. c. ἔφητε] cf. Gen. XLIII, 29. 33. νεμόμενοι in ras.

υἱεὺς νούνου καὶ χαλέβης υἱεὺς ἰεφουνέως ἐζησάτην ἀπὸ τῶν ἀνδρῶν ἐκείνων τῶν ἀπελϑόντων κατασκοπῆσαι τὴν γῆν. [39] διείλεκται δὲ μωσεὺς τοὺς λόγους τούτους πρὸς πάντας τοὺς υἱέας τοῦ ἰσραέλου, καὶ ἐπένϑησαν ὁ λεὼς ἄγαν. [40] ὤρϑρισαν δ' ἐν ἕῳ καὶ ἀνέβησαν πρὸς τὴν ἀκρώρειαν τῷ φάσκειν· πάρεσμεν, ἀναβῶμεν οὖν πρὸς τὸν τόπον ὃν ἔφη ὁ ὀντωτὴς, ἐπεὶ ἡμάρτομεν. [41] ἔφη δὲ μωσεύς· διατί τόδε ὑμεῖς παραβαίνετε τὸ στόμα τοῦ ὀντωτοῦ; κἀκεῖνος, οὐκ εὐοδώσεις. [42] μὴ ἀναβῆτε, οὐ γάρ ἐστιν ὁ ὀντωτὴς μέσον ὑμῶν, καὶ οὐ τυπήσεσϑε ἐνώπιον τῶν ἐχϑρῶν ὑμῶν· [43] ὁ γὰρ ἀμαλεκίτης καὶ ὁ κεναάνιος ἐκεῖ ἐπίπροσϑεν ὑμῶν, πεσεῖσϑε τοίνυν ἐν ξίφει· διότι γὰρ ἐστράφητε ἀπὸ τῶν ὄπισϑεν τοῦ ὀντωτοῦ, καὶ οὐκ ἔσται ὁ ὀντωτὴς ξὺν ὑμῖν. [44] ἐμετεώρισαν δὲ ἀναβῆναι πρὸς τὴν ἀκρώρειαν· ἡ δὲ χηλὸς τοῦ ξυνϑήματος τοῦ ὀντωτοῦ καὶ μωσεὺς οὐκ ἐδέησαν μέσοϑεν τοῦ στρατοπέδου. [45] κατέβη γοῦν ὁ ἀμαλεκίτης καὶ ὁ κεναάνιος ὁ καϑήμενος ἐν τῷ ὄρει κείνῳ, καὶ ἔπληξαν σφᾶς ἐπέτριψάν τε σφᾶς ἄχρι τῆς ἁρμᾶς.

XV. [1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἐπὰν ἀφίκοισϑε πρὸς τὴν γῆν τῶν καϑεδρῶν ὑμῶν ἣν ἐγὼ δίδωμι ὑμῖν, [3] ποιήσετε γοῦν ἔμπυρον τῷ ὀντωτῇ, ἀναφορὰν ἢ ϑυσίαν, ὥστε ϑαυμαστῶσαι εὐχὴν ἢ ἐν ἐλευϑεριότητι ἢ ἐν ἑορταῖς ὑμῶν, ὥστε ποιῆσαι ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ, πρὸς τοῦ βουκολίου ἢ πρὸς τοῦ ποιμνίου· [4] προσοίσει τοίνυν ὁ προσφέρων τὴν προσφορὰν ἑαυτοῦ τῷ ὀντωτῇ μείλιγμα σεμιδάλεως δέκατον τεταραγμένον ἐν τετάρτῳ ξέστου ἐλαίου· [5] καὶ οἶνον εἰς σπονδὴν τέταρτον τοῦ ξέστου ποιήσεις ἐπὶ τῇ ἀναφορᾷ ἢ τῇ ϑυσίᾳ, τῷ προβάτῳ τῷ ἑνί. [6] ἢ τῷ κριῷ, ποιήσεις μείλιγμα σεμιδάλεως δύο δεκάτω, δεδευμένον ἐν ἐλαίῳ τρίτῳ τοῦ ξέστου· [7] οἶνον δ' εἰς σπονδὴν τρίτον τοῦ ξέστου προσοίσεις, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ. [8] ἐπὰν δὲ ποιήσεις υἱὸν βουκολίου ἀναφορὰν ἢ ϑυσίαν ϑαυμαστῶσαι εὐχὴν ἢ εἰρηναῖα τῷ ὀντωτῇ, [9] προσοίσει τοίνυν ἐπὶ τῷ υἱεῖ τοῦ βουκολίου μείλιγμα σεμιδάλεως

41. κἀκεῖνος, οὐκ εὐοδώσεις] **corruptus, ut videtur, locus. Fort.** κἀκεῖνο οὐκ εὐοδήσει (וְהִוא לֹא תִצְלָח). **44.** μεσόϑεν **ed., nescio an etiam cod. Cf. Prol. I, 4, c. 45.** ἐπέτριψαν] ἐπέτριψε **cod. et ed.**

XV. 4. ἑαυτοῦ **cod., non** αὐτοῦ **ut ed.**

τρία δέκατα, ἀναδεδευμένον ἐν ἐλαίῳ ἡμιξέστῳ· [10] καὶ οἶνον προσοίσεις εἰς σπονδὴν ἡμίξεστον πυρίφλεκτον, ὀδμὴ ἀναπαύματος τῷ ὀντωτῇ. [11] τῇδέ πη ποιήσεις τῷ βοῒ τῷ ἑνὶ ἢ τῷ κριῷ τῷ ἑνὶ ἢ τῷ νεογνῷ ἐν τοῖς προβάτοις ἢ ἐν ταῖς αἰξίν· [12] ἐν τῷ ἀριϑμῷ ᾧ ποιήσετε, τῇδέ πη ποιήσετε τῷ ἑνὶ ἐν τῷ ἀριϑμῷ σφῶν. [13] πᾶς ὁ αὐτόχϑων ποιήσει τῇδέ πη ταυτὶ ὡς προσφέροι πυρίφλεκτον, ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ. [14] καὶ ἐπὰν παροικήσειε σὺν ὑμῖν μέτοικος ἢ ὅστις ἐν ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν, ποιήσειέ τε πυρίφλεκτον ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ, καϑάπερ ποιήσετε τῇδε ποιήσει. [15] ἡ ἐκκλησία, τύπος εἷς ὑμῖν καὶ τῷ μετοίκῳ τῷ μετοικοῦντι, τύπωσις αἰῶνος ταῖς γενεαῖς ὑμῶν· ὡς ὑμῖν οὕτω τῷ μετοίκῳ τελέσει ἐνώπιον τοῦ ὀντωτοῦ. [16] νόμος εἷς κρίσις τε μία τελέσει ὑμῖν καὶ τῷ μετοίκῳ τῷ μετοικοῦντι παρ' ὑμῖν.

[17] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάσκειν· [18] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ἐπὰν ἀφίκοισϑε ὑμεῖς πρὸς τὴν γῆν ἥπερ ἐγὼ ἄγω ὑμᾶς ἐκεῖσε, [19] τελέσει τοίνυν ἐν τῷ ἐσϑίειν ὑμᾶς ἀπὸ τοῦ ἄρτου τῆς γῆς, ἐξαρεῖτε ἔξαρμα τῷ ὀντωτῇ· [20] ἀπαρχὴν τῶν φυραμάτων ὑμῶν ψῆτταν ἐξαρεῖτε ἔξαρσιν· ὥσπερ ἔξαρμα ἅλωνος, οὕτως ἐξαρεῖτε ταύτην· [21] ἐξ ἀπαρχῆς τῶν πεμμάτων ὑμῶν δώσετε τῷ ὀντωτῇ ἔξαρμα ἐς τὰς γενεὰς ὑμῶν. [22] Ἐπὰν δ' ἐπιλάϑοισϑε καὶ οὐ ποιήσητε ξύμπαντα τὰ κελεύσματα ταδὶ ἅπερ διείλεκται ὁ ὀντωτὴς πρὸς μωσέα, [23] ξύμπανϑ' ἅπερ ἐκέλευσε πρὸς ὑμᾶς διὰ μωσέως, ἀπὸ τῆς ἡμέρας ᾗ ἐκέλευσεν ὁ ὀντωτὴς καὶ ἐπέκεινα ἐς τὰς γενεὰς ὑμῶν, [24] τελέσει τοίνυν· εἰ πρὸς τῶν ὀφϑαλμῶν τοῦ ἀϑροίσματος γέγονεν εἰς ἐπιλησμονὴν, ποιήσουσι γοῦν πᾶν τὸ ἄϑροισμα ταῦρον υἱὸν βουκολίου ἕνα εἰς ἀναφορὰν εἰς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ, τό τε μείλιγμά οἱ καὶ τὴν σπονδήν οἱ κατὰ τὴν κρίσιν, χίμαρόν τ' αἰγῶν ἕνα εἰς ἁμαρτίαν·

---

9. ἀναδεδευμένον] ἀναδεδευμένω cod., ἀναδεδευμένα ed. Cf. v. 6. **11. ποιήσεις]** תַּעֲשֶׂה (ut cod. Kenn. 69) pro יַעֲשֶׂה. Item LXX. Hier. **12. ἐν τῷ ἀριϑμῷ]** בְּמִסְפָּר pro 'כְּמִ. Item paullo inferius בְּמִסְפָּרָם pro 'כְּמִ. Per ב utroque loco codd. nonn. Kenn. et Ross., Sam. **14. ἐν ὑμῖν]** exspectaveris ἐν μέσῳ aut μέσον ὑμῶν (בְּתוֹכְכֶם). Cf. Gen. XXXV, 2. Lev. XX, 14 cet. **15.** τύπωσις cod., non τύπωσιν ut ed. **22.** ποιήσητε cod., non ποιήσετε **23. ἐκέλευσε]** יְהוָה om. Item codd. Kenn. 69. 109.

[25] καὶ παραιτήσεται ὁ ἱερεὺς ἐπὶ παντὶ τῷ ἀϑροίσματι τῶν υἱέων τοῦ ἰσραέλου, καὶ συγγνωσϑήσεται σφίσιν· ὅτι ἐπιλησμονή ἐστιν, ἐκεῖνοί τε ἤνεγκαν τὴν προσφορὰν ἑαυτῶν πυρίφλεκτον τῷ ὀντωτῇ, τήν ϑ' ἁμαρτίαν ἑαυτῶν ἐνώπιον τοῦ ὀντωτοῦ ἐπὶ τῇ ἐπιλησμονῇ σφῶν· [26] καὶ συγγνωσϑήσεται παντὶ τῷ ἀϑροίσματι τῶν υἱέων τοῦ ἰσραέλου καὶ τῷ μετοίκῳ τῷ μετοικοῦντι μέσον ὑμῶν· παντὶ γὰρ τῷ λεῷ ἐν ἐπιλησμονῇ.

[27] Κἂν ψυχὴ μία ἁμάρτῃ ἐν ἐπιλησμονῇ ἑαυτῆς, προσοίσει τοίνυν αἶγα ϑυγατέρα ἔτους εἰς ἁμαρτίαν· [28] τοίνυν παραιτήσεται ὁ ἱερεὺς ἐπὶ τῇ ψυχῇ τῇ ἐπιλανϑανομένῃ ἐν ἁμαρτίᾳ ἐν ἐπιλησμονῇ ἐνώπιον τοῦ ὀντωτοῦ ὡς παραιτήσαιτο ἐπ' αὐτοῦ, καὶ συγγνωσϑήσεταί οἱ. [29] τῷ αὐτόχϑονι ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου καὶ τῷ μετοίκῳ τῷ μετοικοῦντι μέσον ὑμῶν, νόμος εἷς τελέσει ὑμῖν τῷ ποιοῦντι ἐν ἐπιλησμονῇ. [30] ἡ ψυχὴ δὲ ἥτις ποιήσειεν ἐν χειρὶ μετεώρῳ, πρὸς τοῦ αὐτόχϑονος καὶ πρὸς τοῦ μετοίκου, τὸν ὀντωτὴν ἐκείνη ὑβρίζει· τμηϑήσεται τοίνυν ἡ ψυχὴ κείνη μέσοϑεν τοῦ ταύτης λεώ· [31] τὸν γὰρ λόγον τοῦ ὀντωτοῦ περιεφρόνησε καὶ τὴν κέλευσιν αὐτοῦ ἔπαυσε· τῷ τέμνεσϑαι τμηϑήτω ἡ ψυχὴ κείνη, τοὔγκλημα ταύτης ἐν αὐτῇ.

° [32] Ἐτέλεσαν οὖν οἱ υἱεῖς ἰσραέλου ἐν τῇ ἐρήμῳ, καὶ εὗρον ἄνδρα καλαμώμενον ξύλα ἐν ἡμέρᾳ τῆς καταπαύσεως. [33] προσήνεγκαν οὖν αὐτὸν οἱ εὑρόντες αὐτὸν καλαμώμενον ξύλα πρὸς μωσέα πρός τ' ἀαρῶνα καὶ πρὸς πᾶν τὸ ἄϑροισμα· [34] παρῆκαν οὖν αὐτὸν ἐν τῇ φυλακῇ, ἐπείπερ οὐ δεδήλωται τί ποιητὸν αὐτῷ.

[35] Τοιγαροῦν εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· τῷ ϑνήσκειν τεϑανατώσϑω ὁ ἀνήρ, τῷ λεύειν αὐτὸν ἐν λίϑοις πᾶν τὸ ἄϑροισμα ϑύραϑεν τοῦ στρατοπέδου. [36] τοιγαροῦν ἐξήνεγκαν αὐτὸν πᾶν τὸ ἄϑροισμα πρὸς τὰ ϑύραϑεν τοῦ στρατοπέδου, κατέλευσαν αὐτὸν ἐν λίϑοις, καὶ τέϑνηκεν· ὥσπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[37] Καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [38] διείλεξο πρὸς

---

26. μέσον ὑμῶν] בְּתוֹכְכֶם (ut cod. Kenn. 186, LXX) pro בְּתוֹכָם. Item v. 29. At hic neque cod. Hebr. neque LXX consentiunt. 27. ἐν ἐπιλ. ἑαυτῆς — ϑυγατ. ἔτους] l. ἐν ἐπιλ. — ϑυγατ. ἔτους ἑαυτῆς (בִּשְׁגָגָה — בַּת־שְׁנָתָהּ).
34. δεδήλωται] δεδήλωτο cod. et ed. ποιητὸν cod., non ποιητέον ut ed.
36. κατέλευσαν] καὶ ἔλευσαν (וַיִּרְגְּמוּ)?

τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτοὺς, ποιήσουσί ϑ' ἑαυτοῖς κροσσὸν ἐπὶ τῶν κρασπέδων τῶν περιβολαίων αὐτῶν ἐς τὰς γενεὰς αὐτῶν, δώσουσί τ' ἐπὶ τοῦ κροσσοῦ τοῦ κρασπέδου μίτραν ὑακίνϑου· [39] τελέσει ϑ' ὑμῖν εἰς κροσσὸν, ϑεάσεσϑέ τ' αὐτὸ καὶ μνησϑήσεσϑε ξυμπάντων τῶν κελευσμάτων τοῦ ὀντωτοῦ καὶ ποιήσετε ταῦτα, καὶ οὐκ ἐρευνήσετε κατόπιν τῆς καρδίας ὑμῶν καὶ κατόπιν τῶν ὀφϑαλμῶν ὑμῶν οἷς ὑμεῖς πορνεύετε κατόπιν αὐτῶν· [40] ὡς μνημονεύοιτε καὶ ποιῆτε ξυμπάσας μου τὰς κελεύσεις, καὶ τελεῖτέ μοι ἅγιοι, τῷ ϑεῷ ὑμῶν· [41] ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν, ὃς ἐξήγαγον ὑμᾶς ἐκ γῆς αἰγύπτου ὥστ' εἶναι ὑμῖν εἰς ϑεόν· ἐγὼ ὁ ὀντωτὴς ϑεὸς ὑμῶν.

XVI. (μερίς)

[o1] Ἔλαβε δὲ χόραος υἱεὺς ἰσάρου υἱέως κεάϑου υἱέως λευῖνος, δαϑάν τε καὶ ἀβιράμης υἱεῖς ἐλιάβου, καὶ ὢν υἱεὺς πελέϑου, τῶν υἱέων ῥεουβένου, [2] καὶ ἠγέρϑησαν ἐπίπροσϑεν μωσέως, καὶ ἄνδρες πρὸς τῶν υἱέων τοῦ ἰσραέλου πεντήκοντα καὶ διακόσιοι, ἡγούμενοι τοῦ ἀϑροίσματος, κλήτορες συναγωγῆς, ἄνδρες ὀνόματος· [3] καὶ ἐξεκλησίασαν κατὰ μωσέως καὶ κατὰ ἀαρῶνος εἰπόν τε πρὸς αὐτούς· πολὺ ὑμῖν, ὅτι πᾶν τὸ ἄϑροισμα πάντες εἰσὶν ἅγιοι, μέσον τε σφῶν ὁ ὀντωτής· τοῦ χάριν τοίνυν ἐπαρϑήσεσϑε ἐπὶ τῆς ἐκκλησίας τοῦ ὀντωτοῦ; [4] ἐπύϑετο δὲ μωσεὺς, ἔπεσέ τ' ἐπὶ πρόσωπον ἑαυτοῦ, [5] καὶ διείλεκται πρὸς κόραχον πρὸς πᾶν τε τὸ ἄϑροισμα αὐτοῦ τῷ φάναι· ἕῳ, καὶ γνωριεῖ ὁ ὀντωτὴς τὸν ἑαυτοῦ, καὶ τὸν ἅγιον ἐγγιεῖ πρὸς ἑαυτὸν, ὅν ϑ' ἑλεῖται ἐγγιεῖ πρὸς ἑαυτόν. [6] τόδε ποιήσατε· λάβετε ὑμῖν αὐτοῖς ϑυμιατήρια, κόραχε καὶ πᾶν τὸ ἄϑροισμά οἱ, [7] καὶ δότε ἐν αὐτοῖς πῦρ, ϑέτε τ' ἐπ' αὐτῶν ϑυμίαμα ἐνώπιον τοῦ ὀντωτοῦ αὔριον· τελέσει ϑ' ὁ ἀνὴρ ὃν ἑλεῖται ὁ ὀντωτὴς, ἐκεῖνος ὁ ἅγιος· πολὺ ὑμῖν, υἱεῖς λευῖνος. [8] ἔφη τε μωσεὺς πρὸς κόραχον· ἀκούσατε δὴ, υἱεῖς λευῖνος· [9] ἆρ' ὀλίγον ἀφ' ὑμῶν ὅτι διέστειλεν ὁ ϑεὸς ἰσραέλου ὑμᾶς πρὸς τοῦ ἀϑροί-

---

38. ἑαυτοῖς (ex corr.) cod., non ἐπ' αὐτοῖς 40. καὶ τελεῖτέ μοι] וִהְיִיתֶם, absque לִי, text. Hebr. Cf. Prol. II, 2, i. 41. ὃς cod., non ὡς ut ed.

XVI. 1. χόραος] ita pro κόραχος (ut v. 5 sqq.) cod. Item v. 19. 27. 32. XVII, 5. 14 cet. ῥεουβένου] ῥεουβάνου cod. et ed. 2. κλήτορες cod., non κλήτωρες ut ed. 3. ἐξεκλησίασαν cod., non ἐξεκκλ. 5. ἑλεῖται] בּוֹ om. 7. αὐτῶν] αὐτῆς cod. et ed.

σματος τοῦ ἰσραέλου, ὡς ἐγγίσειεν ὑμᾶς πρὸς ἑαυτὸν λατρεύειν τὴν λατρείαν τοῦ οἰκήματος τοῦ ὀντωτοῦ καὶ ἑστάναι ἐπίπροσθεν τοῦ συναθροίσματος ὑπηρετεῖν αὐτοῖς, [10] ἤγγισέ τε σὲ καὶ ξύμπαντας τοὺς ἀδελφούς σου τοὺς υἱέας λευῖνος ξὺν σοί; ζητήσετε γοῦν ἔτι ἱερωσύνην; [11] διὸ σὺ πᾶν τε ἄθροισμά σου οἱ ἀθροιζόμενοι κατὰ τοῦ ὀντωτοῦ· καὶ ἀαρὼν, τί ἐστιν ὅτι γογγύσετε κατ' αὐτοῦ; [12] τοίνυν ἔπεμψε μωσεὺς βοῆσαι τῷ δαθᾶνι καὶ τῷ ἀβιράμῃ τοῖς υἱέσιν ἑλιάβου. καὶ εἶπον· οὐκ ἀναβησόμεθα· [13] ἆρ' ὀλίγον ὅτι ἀνήνεγκας ἡμᾶς ἀπὸ γῆς ῥεομένης γάλακτι καὶ μέλιτι, θανατῶσαι ἡμᾶς ἐν τῇ ἐρήμῳ; ὅτι ἀρχοντωθήσῃ ἐφ' ἡμῶν, ἔτι ἀρχοντώθητι· [14] ὅμως οὐκ εἰς γῆν ῥεομένην γάλακτι καὶ μέλιτι ἤνεγκας ἡμᾶς, ἔδωκάς θ' ἡμῖν κληρονομίαν ἀγροῦ καὶ ἀμπελῶνος· τὰ ὄμματα τῶν ἀνδρῶν ἐκείνων ἐκσπάσεις; οὐκ ἀναβησόμεθα. [15] τοίνυν ὤργισται τῷ μωσεῖ σφόδρα, καὶ εἶπε πρὸς τὸν ὀντωτήν· μὴ νεύσῃς πρὸς τὸ μείλιγμα σφῶν· οὐκ ὄνον ἕνα πρὸς αὐτῶν ἦρα οὔτ' ἐκάκωσα ἕνα πρὸς αὐτῶν. [16] ἔφη δὲ μωσεὺς πρὸς κόραχον· σὺ πᾶν τε τὸ ἄθροισμά σου τελέσατε πρόσθεν τοῦ ὀντωτοῦ, σὺ κἀκεῖνοι καὶ ἀαρὼν αὔριον· [17] καὶ λάβετε ἕκαστος τὸ θυμιατήριον ἑαυτοῦ καὶ δώσετε ἐπ' αὐτῶν θυμίαμα, προσοίσετέ τ' ἐνώπιον τοῦ ὀντωτοῦ ἕκαστος τὸ θυμιατήριον ἑαυτοῦ, πεντήκοντα διακόσιά τε θυμιατήρια, σὺ δὲ καὶ ἀαρὼν ἑκάτερος τὸ θυμιατήριον ἑαυτοῦ. [18] τοίνυν ἔλαβον ἕκαστος τὸ θυμιατήριον ἑαυτοῦ καὶ ἔδοσαν ἐπ' αὐτῶν πῦρ ἔθεσάν τ' ἐπ' αὐτῶν θυμίαμα, καὶ ἔστησαν τῇ πύλῃ τῆς σκηνῆς τοῦ ξυναγμοῦ, μωσεύς τε καὶ ἀαρών· [19] ἐξεκλησίασε δ' ἐπ' αὐτοὺς χόραος ξύμπαν τὸ ἄθροισμα πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ· καὶ ὤφθη δόξα τοῦ ὀντωτοῦ πρὸς ἅπαν τὸ ἄθροισμα. [20] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [21] διαστάλητε μέσοθεν τοῦ ἀθροίσματος τουτουΐ, καὶ φθερῶ σφᾶς ὡς ἀτόμῳ. [22] τοίνυν ἐπεσέτην ἐπὶ πρόσωπον σφῷν εἰπέτην τε· θεὲ θεὲ τῶν πνευμάτων ἁπάσης σαρκὸς, ἆρ' ἀνὴρ εἷς ἁμαρτήσει, καὶ κατὰ παντὸς τοῦ ἀθροίσματος χολωθήσῃ; [23] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [24] διείλεξο πρὸς τὸ ἄθροισμα τῷ φάναι· ἀνενέχθητε κύκλωθεν τοῦ κατοικητηρίου κοράχου,

---

11. γογγύσετε cod., non γογγύσατε ut ed. 15. νεύσῃς cod., non νεύσεις
23. Διείλεκταί δ' (θ'?) cod.

δαθᾶνος καὶ ἀβιράμου. [25] τοίνυν ἠγέρθη μωσεὺς ἀπῆλθέ τε πρὸς δαθᾶνα καὶ ἀβιράμην, ἀπῆλθόν τε κατόπιν αὐτοῦ οἱ υἱεῖς ἰσραέλου· [26] διείλεκται δὲ πρὸς τὸ ἄθροισμα τῷ φάναι· ἀπόστητε δὴ ἄνωθεν τῶν σκηνῶν τῶν ἀσεβῶν τουτωνὶ καὶ μὴ ἅψησθε ὁτουοῦν τῶν αὐτῶν, μήποτε προστεθῆτε ἐν πάσαις ταῖς ἁμαρτίαις αὐτῶν. [27] ἀνέβησαν οὖν ἄνωθεν τοῦ οἰκήματος χοράου δαθὰν καὶ ἀβιράμης κύκλωθεν· δαθὰν καὶ ἀβιράμης ἐξηλθέτην ἑστῶτες τῷ πυλῶνι τῆς σκηνῆς ἑαυτῶν, αἵ τε γυναῖκες αὐτῶν οἵ θ' υἱεῖς αὐτῶν καὶ ἡ νηπιότης αὐτῶν. [28] ἔφη δὲ μωσεύς· ἐν τούτῳ γνώσεσθε ὅτι ὁ ὀντωτὴς ἔπεμψέ με ποιεῖν ξύμπαντα τὰ ἔργα τάδε· οὐ γὰρ ἀπὸ καρδίας μου· [29] εἰ κατὰ θάνατον τοῦ παντὸς ἀνθρώπου τεθνήξονται οὗτοι, ἐπίσκεψίς τε τοῦ παντὸς ἀνθρώπου ἐπισκεφθήσεται ἐπ' αὐτῶν, οὐχ ὁ ὀντωτὴς ἔπεμψέ με· [30] καὶ εἴπερ κτίσμα κτίσειεν ὁ ὀντωτής, χανεῖ ἡ γῆ τὸ ταύτης στόμα καὶ καταπίεται σφᾶς καὶ ξύμπανθ' ἅπερ αὐτοῖς, καὶ καταβήσονται ζῶντες ἐς ᾅδου, εἴσεσθέ θ' ὅτι ὤργισαν οἱ ἄνδρες οὗτοι τὸν ὀντωτήν. [31] ἐτέλεσε δ' ἐπεὶ τελευτήσειε διαλεγόμενος ξύμπαντας τοὺς λόγους τούτους, ἐρράγη τε ἡ γῆ ἡ ὑπὸ σφίσιν, [32] ἤνοιξέ θ' ἡ γῆ τὸ στόμα ταύτης καὶ κατέπιε σφᾶς τάς τ' οἰκίας αὐτῶν καὶ ξύμπαντα τὸν ἄνθρωπον τὸν τοῦ χοράου, ξύμπαντά τε τὸν πλοῦτον. [33] κατέβησαν οὖν ἐκεῖνοι καὶ πάντα τὰ σφῶν ζῶντες ἐς ᾅδου, καὶ ἐκάλυψεν ἐπ' αὐτῶν ἡ γῆ, καὶ ἀπολώλασι μέσοθεν τῆς ἐκκλησίας. [34] πᾶς τ' ἰσραέλος ὁ κύκλῳ σφῶν ἔφυγον τῇ φωνῇ σφῶν, ἐπείπερ ἔφησαν· μήποτε καταπίῃ ἡμᾶς ἡ γῆ. [35] πῦρ τ' ἐξῆλθε πρὸς τοῦ ὀντωτοῦ καὶ βέβρωκε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας προσφέροντας τὸ θυμίαμα.

XVII.

[1] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] φάθι πρὸς ἐλαζάρην τὸν υἱὸν ἀαρῶνος τοῦ ἱερέως, καὶ ὑψωσάτω τὰ θυμιατήρια μέσοθεν τῆς καύσεως, καὶ τὸ πῦρ σκέδασον ἐπέκεινα, ἐπεὶ ἡγίασαν [3] τὰ θυμιατήρια οἱ ἁμαρτωλοὶ οὗτοι ἐν ταῖς ψυχαῖς αὐτῶν· ποιήσουσί τ' αὐτὰ τάματα παγίδων, εἴλημα τῷ θυτηρίῳ· προσήνεγκαν γὰρ αὐτὰ πρόσθεν τοῦ ὀντωτοῦ καὶ ἡγία-

25. ἀβιράμην] ἀβιράμον cod. et ed. Cf. v. 1 etc. υἱεῖς] quasi בְּנֵי scriptum esset, non וּבְנֵי! 26. τῶν ἀσεβῶν] הָאֲנָשִׁים om. Item cod. Kenn. 69. 27. χοράου] χοράος (hoc accentu) cod. ἀβιράμης (1)] σεβιράμης cod. τῆς σκηνῆς] l. τῶν σκηνῶν (אָהֳלֵיהֶם).

XVII. 3. πρόσθεν] πρόθεν cod. Recte jam ed.

σαν, ὑπάρξουσί τ' εἰς σημεῖον τοῖς υἱέσι τοῦ ἰσραέλου. [4] τοιγαροῦν ἔλαβεν ἐλαζάρης ὁ ἱερεὺς τὰ ϑυμιατήρια τοῦ χαλκοῦ ἅττα προσήνεγκαν οἱ πεπρησμένοι, καὶ ἔτειναν αὐτὰ εἴλημα τῷ ϑυτηρίῳ, [5] μνημόσυνον τοῖς υἱέσι τοῦ ἰσραέλου, ἵναπερ μὴ προσάγῃ ἀνὴρ ξένος ὃς οὐκ ἐκ τοῦ σπέρματος ἀαρῶνός ἐστιν ὡς ϑυμιῴη ϑυμίαμα πρόσϑεν τοῦ ὀντωτοῦ, καὶ μὴ τελῇ ὡς χόραος καὶ ὡς τὸ ἄϑροισμά οἱ, καϑάπερ διείλεκται ὁ ὀντωτὴς διὰ χειρὸς μωσέως αὐτῷ.

[6] Ἐγόγγυσαν δὲ πᾶν τὸ ἄϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου ἀφ' ὑστεραίας κατὰ μωσέως καὶ κατ' ἀαρῶνος τῷ φάσκειν· ὑμεῖς ἐϑανατώσατε τὸν λεὼν τοῦ ὀντωτοῦ. [7] τοίνυν ὑπῆρξεν ἐπεὶ ἐκκλησιάζοιντο τὸ ἄϑροισμα κατὰ μωσέως καὶ κατ' ἀαρῶνος, ἀπένευσάν τε πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, ϑεῷ τοίνυν ἐκάλυψεν αὐτὴν ἡ νεφέλη καὶ ὤφϑη δόξα τοῦ ὀντωτοῦ. [8] ἀφῖκται δὲ μωσεὺς καὶ ἀαρὼν πρὸς πρόσωπον τῆς σκηνῆς τοῦ ξυναγμοῦ.

[9] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [10] ἐπάρϑητον μέσοϑεν τοῦ ἀϑροίσματος τουτουΐ, καὶ ἀπολῶ σφᾶς ὡς ἀτόμῳ· ἐπεσέτην οὖν ἐπὶ πρόσωπον αὐτοῖν. [11] ἔφη τε μωσεὺς πρὸς ἀαρῶνα· λάβε τὸ ϑυμιατήριον δός τ' ἐπ' αὐτοῦ πῦρ ἄνωϑεν τοῦ ϑυτηρίου καὶ ϑὲς ϑυμίαμα, καὶ ἀπιὼν ταχέως πρὸς τὸ ἄϑροισμα παραίτησαί τ' ἐπ' αὐτοῖς· ὅτι ἐξῆλϑεν ὁ χόλος ἀπέμπροσϑεν τοῦ ὀντωτοῦ, ἤρξατο ἡ βολή. [12] τοίνυν ἔλαβεν ἀαρὼν καϑάπερ διείλεκται μωσεύς, ἔδραμέ τε πρὸς τὰ μέσον τῆς ἐκκλησίας, αὐτίκα τ' ἤρξατο ἡ βολὴ ἐν τῷ λεῷ· καὶ ἔδωκε τὸ ϑύωμα, παρῃτήσατό τ' ἐπὶ τῷ λεῷ· [13] καὶ ἔστη μεταξὺ τῶν τεϑνηκότων καὶ μεταξὺ τῶν ζώντων, ἐπίσχηταί ϑ' ἡ βολή. [14] ὑπῆρξαν δ' οἱ τεϑνηκότες ἐν τῇ βολῇ τετταρεσκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεϑνηκότων ἐπὶ τῷ χρήματι τοῦ χοράου. [15] ὑπέστρεψε δ' ἀαρὼν πρὸς μωσέα πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ἡ βολὴ ἐπίσχηται.

[16] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [17] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου, λάβε τε πρὸς αὐτῶν βάκτρον βάκ-

---

4. εἴλημα] codicis scripturam servavimus. **5.** προσάγῃ] יַקְרִיב pro יַקְרַב. ὃς οὐκ cod. Ed. οὐκ om. ὡς τὸ] ὡς τ' cod. et ed. **7.** αὐτὴν] αὐτὰ cod. et ed. **11.** χολὸς c. cd. ed. **12.** ἔλαβεν] ἔλαβε δ' cod. et ed. Cf. Prol. I, 2, g. πρὸς τὰ μέσον] προσταμέσον cod. Cf. Lev. XI, 33. Prol. I, 4, d. Nescio qua ratione τὸ pro τὰ Amm. ediderit.

τρον τῷ δόμῳ τοῦ πατρὸς πρὸς πάντων τῶν ἡγεμόνων αὐτῶν, τῷ οἴκῳ τοῦ πατρὸς αὐτῶν, δυοκαίδεκα βάκτρα· ἑκάστου τοὔνομά οἱ γράψεις ἐπὶ τοῦ βάκτρου οἱ, 18 τό τ' ὄνομα τοῦ ἀαρῶνος γράψεις ἐπὶ τοῦ βάκτρου λευῖνος· βάκτρον γὰρ ἓν εἰς κεφαλὴν τοῦ δόμου τοῦ πατρὸς αὐτῶν· 19 παρήσεις τ' αὐτὰ ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ ἐνώπιον τῆς μαρτυρίας ᾗ μαρτυροῦμαι ὑμῖν ἐκεῖ· 20 τελέσει ϑ' ὁ ἀνὴρ ᾧπερ ἑλοῦμαι ἐν αὐτῷ, τὸ βάκτρον αὐτοῦ ἀνϑήσει· παύσω τε ἄνωϑέν μου τοὺς γογγυσμοὺς τῶν υἱέων τοῦ ἰσραέλου οὓς αὐτοὶ γογγύζουσι κατὰ σφῶϊν. 21 διείλεκται δὲ μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου, καὶ ἔδοσαν πρὸς αὐτὸν πάντες οἱ ἡγεμόνες αὐτῶν βάκτρον τοῦ ἡγεμόνος, ἓν βάκτρον τοῦ ἡγεμόνος τοῦ ἑνὸς τῷ δόμῳ τῶν πατέρων αὐτῶν, δυοκαίδεκα βάκτρα· βάκτρον τε τοῦ ἀαρῶνος μέσον τῶν βάκτρων αὐτῶν. 22 παρῆκέ τε μωσεὺς τὰ βάκτρα πρόσϑεν τοῦ ὀντωτοῦ ἐν τῇ σκηνῇ τῆς μαρτυρίας. 23 ὑπῆρξέ τ' ἀφ' ὑστεραίας, καὶ ἀφῖκται μωσεὺς πρὸς τὴν σκηνὴν τῆς μαρτυρίας, αὐτίκα τ' ἤνϑησε τὸ βάκτρον τοῦ ἀαρῶνος τοῦ δόμου λευῖνος, ἐξήνεγκέ τε ἄνϑος ἐβλάστησέ τε βλάστημα καὶ ἀπεγαλάκτισεν ἀμύγδαλα. 24 τοίνυν ἐξήνεγκε μωσεὺς ξύμπαντα τὰ βάκτρα ἀπέμπροσϑεν τοῦ ὀντωτοῦ πρὸς πάντας τοὺς υἱέας τοῦ ἰσραέλου· καὶ εἶδον, καὶ ἔλαβον ἕκαστος τὸ βάκτρον ἑαυτοῦ.

° 25 Τοιγαροῦν ἔφη ὁ ὀντωτὴς πρὸς μωσέα· ἀπόστρεψον τὸ βάκτρον ἀαρῶνος ἐνώπιον τῆς μαρτυρίας εἰς τήρημα τοῦ σημείου τοῖς υἱέσι τῆς ἀντάρσεως, καὶ τελεσϑήσονται οἱ γογγυσμοὶ σφῶν ἄνωϑέν μου καὶ οὐ τεϑνήξονται. 26 τοιγαροῦν ἐποίησε μωσεὺς καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ, τῇδε ἐποίησεν.

° 27 Εἶπον δ' οἱ υἱεῖς ἰσραέλου πρὸς μωσέα τῷ φάσκειν· ϑεῷ τεϑνάμεν, ἀπωλόμεϑα, πάντες ἡμεῖς ᾠχόμεϑα· 28 πᾶς ὁ ἐγγίζων ὁ ἐγγίζων πρὸς τὸ οἴκημα τοῦ ὀντωτοῦ τεϑνάτω· ἆρ' εἴπερ ἐτελευτήσαμεν τῷ ϑνήσκειν;

XVIII. 1 Ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς ἀαρῶνα· σὺ καὶ οἱ υἱεῖς σου καὶ ὁ δόμος τοῦ πατρός σου σὺν σοὶ ἀρεῖτε τοὔγκλημα τοῦ ἱεροῦ, σύ τε καὶ οἱ υἱεῖς σου

---

17. τοῦ πατρὸς αὐτῶν] correxerim τῶν πατέρων αὐτ. (אֲבֹתָם; cf. v. 21), nisi etiam v. sq. sing. exhiberet. **23.** ἀφυστεραίας cod. At v. 6 ipse disjuncte ἀφ' ὑστεραίας. Cf. Prol. l. c. **25.** οὐ τεϑνήξονται] οὐ ipsi addidimus invito codice. **28.** ἐγγίζων (2) cod., non ἐγγίζον ut apud Mor. legitur.

XVIII. 1. σὺν (1)] ξὺν c. cd. ed.

συν σοί ἀρεῖτε τοὔγκλημα τῆς ἱερωσύνης ὑμῶν. [2] ἔτι τε τοὺς ἀδελφούς σου, τὸ βάκτρον λευῖνος, τὸ σκῆπτρον τοῦ πατρός σου ἔγγισον σὺν σοί, κοινωνήσουσί τ' ἐπὶ σοὶ καὶ ὑπηρετήσονταί σοι· σὺ δὲ καὶ οἱ υἱεῖς σου ξὺν σοὶ πρόσθεν τῆς σκηνῆς τῆς μαρτυρίας· [3] τηρήσουσί τε τὸ τήρημά σου καὶ τὸ τήρημα πάσης τῆς σκηνῆς· μόνον πρὸς τὰ σκεύη τοῦ ἁγίου καὶ πρὸς τὸ θυτήριον οὐκ ἐγγιοῦσι, καὶ οὐ τεθνήξονται καὶ αὐτοὶ καὶ ὑμεῖς. [4] κοινωνήσουσι δὲ ἐπὶ σοὶ καὶ φυλάξουσι τὸν φυλαγμὸν τῆς σκηνῆς τοῦ ξυναγμοῦ εἰς πᾶσαν λατρείαν τῆς σκηνῆς· ἀλλότριος δὲ οὐκ ἐγγιεῖ πρὸς ὑμᾶς· [5] καὶ φυλάξετε τὸ φύλαγμα τοῦ ἁγίου καὶ τὸ φύλαγμα τοῦ θυτηρίου, καὶ οὐκέτι τελέσει χόλος ἐπὶ τοῖς υἱέσι τοῦ ἰσραέλου. [6] κἀγὼ θεῶ ἔλαβον τοὺς ἀδελφοὺς ὑμῶν τοὺς λευινίους μέσοθεν τῶν υἱέων τοῦ ἰσραέλου ὑμῖν δῶρον δεδομένους τῷ ὀντωτῇ, λατρεύειν τὴν λατρείαν τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [7] σὺ δὲ καὶ οἱ υἱεῖς σου ξὺν σοὶ φυλάξετε τὴν ἱερωσύνην ὑμῶν εἰς πᾶν χρῆμα τοῦ θυτηρίου καὶ εἰς τὰ ἔσωθεν τῆς αὐλαίας, καὶ λατρεύσετε· λατρείαν δώρου δώσω τὴν ἱερωσύνην ὑμῶν, ὁ δ' ἀλλόκοτος ὁ ἐγγίζων θανατωθήσεται.

[8] Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς ἀαρῶνα· κἀγὼ θεῶ δέδωκά σοι τὸ φύλαγμα τῶν ὑψώσεών μου· πάντων τῶν ἁγίων τῶν υἱέων τοῦ ἰσραέλου, σοὶ ἔδωκα ταῦτα εἰς χρίσιν τοῖς θ' υἱέσι σου εἰς τύπον αἰῶνος. [9] τοδὶ τελέσει σοι πρὸς τοῦ ἁγίου τῶν ἁγίων, πρὸς τοῦ πυρός· πᾶσα ἡ προσφορὰ σφῶν εἰς πᾶν τὸ μείλιγμα σφῶν εἴς τε πᾶσαν τὴν ἁμαρτίαν σφῶν καὶ εἰς πᾶσαν τὴν πλημμέλειαν σφῶν ἣν στρέψουσί μοι, ἅγιον ἁγίων σοὶ τελεῖ καὶ τοῖς υἱέσι σου. [10] ἐν ἁγίῳ τῶν ἁγίων ἔδῃ αὐτήν· πᾶς ἄρρην ἔδεται ταύτην· ἁγία τελέσει σοι. [11] τόδε μέντοι σοί, ὕψωσις τοῦ δώρου σφῶν εἰς πάσας τὰς ἄρσεις τῶν υἱέων τοῦ ἰσραέλου· σοὶ ἔδωκα ταῦτα τοῖς θ' υἱέσι σου καὶ ταῖς θυγατράσι σου ξὺν σοὶ εἰς τύπον αἰῶνος· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτό. [12] πᾶν στέαρ ἐλαίου καὶ πᾶν στέαρ γλεύκους καὶ σίτου, τὰς ἀπαρχὰς σφῶν ἃς δώσουσι τῷ ὀντωτῇ, σοὶ ἔδωκα ταῦτα. [13] τὰ πρωτόγονα πάντων τῶν ἐν τῇ γῇ σφῶν ἅπερ οἴσουσι τῷ ὀντωτῇ, σοὶ τελέσει· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτό. [14] πᾶν ἀνάθημα ἐν τῷ ἰσραέλῳ σοὶ

---

3. τήρημα(1)] ῥῆμα cod. et ed. 7. δώρου cod., non δῶρον ut ed. 8. ταῦτα] ταύτῃ cod. et ed.

τελέσει. [15] πᾶσα ἄφεσις νηδύος πάσης σαρκὸς ἣν προσοίσουσι τῷ ὀντωτῇ, ἐν τῷ ἀνϑρώπῳ κἀν τῷ κτήνει, τελέσει σοί· πλὴν τῷ λυτροῦσϑαι λυτρώσῃ τὸ πρωτόγονον τοῦ ἀνϑρώπου, καὶ τὸ πρωτόγονον τοῦ κτήνους τοῦ μιαροῦ λυτρώσῃ. [16] τὰ δὲ λυτρούμενά οἱ ἀφ' υἱοῦ μηνὸς λυτρώσῃ ἐν τῇ τάξει σου, ἀργύρῳ πέντε στατήρων ἐν τῷ στατῆρι τῷ ἁγίῳ· εἴκοσιν ὀβολοί ἐστιν. [17] ὅμως πρωτόγονον βοὸς ἢ πρωτόγονον προβάτου ἢ πρωτόγονον αἰγὸς οὐ λυτρώσῃ, ἅγιόν εἰσι. τὸ αἷμα σφῶν ῥανεῖς ἐπὶ τοῦ ϑυτηρίου καὶ τὸ στέαρ σφῶν ϑυμιάσεις πυρίφλεγμα εἰς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ· [18] ἡ δὲ σάρξ σφῶν τελέσει σοὶ ὡς τὸ στῆϑος τῆς προσενέξεως, καὶ ὡς τὸ σκέλος τὸ δεξιὸν σοὶ τελέσει. [19] πάσας τὰς ὑψώσεις τῶν ἁγίων, ἃς ὑψώσουσιν οἱ υἱεῖς ἰσραέλου τῷ ὀντωτῇ, ἔδωκα σοὶ τοῖς ϑ' υἱέσι σου καὶ ταῖς ϑυγατράσι σου ξὺν σοὶ εἰς τύπον αἰῶνος· συνϑήκη ἁλὸς αἰῶνός ἐστιν ἐνώπιον τοῦ ὀντωτοῦ σοὶ καὶ τῷ σπέρματί σου ξὺν σοί. [20] τοίνυν ἔφη ὁ ὀντωτὴς πρὸς ἀαρῶνα· ἐν τῇ γῇ σφῶν οὐ κληρονομήσεις, μερίς τε οὐχ ὑπάρξει σοι μέσον αὐτῶν· ἐγὼ μερίς σου καὶ κληρονομία σου μέσον τῶν υἱέων τοῦ ἰσραέλου.

°[21] Καὶ τοῖς υἱέσι τοῦ λευῖνος αὐτίκα δέδωκα πάντα τὸν δεκατισμὸν ἐν τῷ ἰσραέλῳ εἰς κληρονομίαν, ἀμοιβὴν τῆς λατρείας αὐτῶν, ᾗ ἐκεῖνοι λατρεύουσι τὴν λατρείαν τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [22] καὶ οὐχ ἐγγιοῦσιν ἔτι οἱ υἱεῖς ἰσραέλου πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ ὡς αἶροιεν τὴν ἁμαρτίαν ὡς τεϑναῖεν. [23] λατρεύσει δὲ λευὶν αὐτὸς τὴν λατρείαν τῆς σκηνῆς τοῦ ξυναγμοῦ, κἀκεῖνοι ἀροῦσι τοὔγκλημα σφῶν· τύπος αἰῶνος ταῖς γενεαῖς ὑμῶν, μέσον τε τῶν υἱέων τοῦ ἰσραέλου οὐ κληρονομήσουσι κλῆρον· [24] τὸν γὰρ δεκατισμὸν τῶν υἱέων τοῦ ἰσραέλου, ὃν ὑψώσουσι τῷ ὀντωτῇ ὕψωμα, ἔδωκα τοῖς λευινίοις εἰς κληρονομίαν, διόπερ ἔφην αὐτοῖς· μέσον τῶν υἱέων τοῦ ἰσραέλου οὐ κληρονομήσουσι κλῆρον.

[25] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [26] πρός τε τοὺς λευινίους διαλέξῃ φήσεις τε πρὸς αὐτούς· ἐπὰν λάβοιτε πρὸς τῶν υἱέων τοῦ ἰσραέλου τὸν δεκατισμὸν ὃν ἔδωκα ὑμῖν πρὸς αὐτῶν εἰς κλῆρον ὑμῶν, τοίνυν ὑψώσετε ἀπ' αὐτοῦ ὕψωμα τῷ ὀντωτῇ

---

15. λυτρώσῃ(1)] λύτρωσιν cod. et ed. 16. εἴκοσι cod. et ed. Cf. Prol. I, 4, a. 17. ὅμως] exspectaveris μόνον (אַךְ). Cf. Lev. XI, 4. 21 cet. 20. μέρις c. ed. ed., itemque οὐχ ὑπάρξει σοὶ 26. ὑψώσετε cod., non ὑψώσατε ut ed.

δεκατισμὸν ἀπὸ τοῦ δεκατισμοῦ. [27] καὶ λογισϑήσεται ὑμῖν ὕψωμα ὑμῶν ὡς σῖτος ἀπὸ τῆς ἅλω καὶ ὡς πλήρωμα ἀπὸ τῆς ληνοῦ. [28] τῇδε ὑψώσετε καὶ ὑμεῖς τὴν ὕψωσιν τοῦ ὀντωτοῦ πρὸς πάντων τῶν δεκατισμῶν οὓς λήψεσϑε πρὸς τῶν υἱέων τοῦ ἰσραέλου, δώσετέ τ' ἀπ' αὐτοῦ τὴν ὕψωσιν τοῦ ὀντωτοῦ τῷ ἀαρῶνι τῷ ἱερεῖ. [29] πρὸς πάντων τῶν δώρων ὑμῶν ὑψώσετε ξύμπασαν τὴν ὕψωσιν τοῦ ὀντωτοῦ, πρὸς παντὸς στέατος αὐτοῦ τὸ ἱερὸν αὐτοῦ πρὸς αὐτοῦ. [30] φήσεις τε πρὸς αὐτούς· ἐπὰν ὑψοῖτε ὑμεῖς τὸ στέαρ αὐτοῦ πρὸς αὐτοῦ, καὶ λογισϑήσεται τοῖς λευινίοις ὡς πρόσοδος ἅλωνος καὶ ὡς πρόσοδος ληνοῦ. [31] καὶ ἔδεσϑε αὐτὸ ἐν παντὶ τόπῳ, ὑμεῖς καὶ οἱ δόμοι ὑμῶν, ὅτι μισϑός ἐστιν ὑμῖν, ἀμοιβὴ τῆς λατρείας ὑμῶν ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ. [32] καὶ οὐκ ἀρεῖτε ἐπ' αὐτοῦ ἁμαρτίαν ἐπὰν ὑψοῖτε ὑμεῖς τὸ στέαρ αὐτοῦ ἀπ' αὐτοῦ· τό ϑ' ἅγιόν μου, υἱεῖς ἰσραέλου, οὐ βεβηλώσετε, καὶ οὐ τεϑνήξεσϑε.

XIX. (μερίς) [1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα τῷ φάναι· [2] οὗτος ὁ τύπος τοῦ νόμου ὃν ἐκέλευσεν ὁ ὀντωτὴς τῷ φάναι· διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου, καὶ λαβόντων πρὸς σὲ δάμαλιν πυρρὰν τελείαν, ἥπερ οὐκ ἔστιν ἐν αὐτῇ μῶμος, ἥπερ οὐκ ἀνέβη ἐπ' αὐτῆς ζυγός, [3] δώσετέ τ' αὐτὴν πρὸς ἐλαζάρην τὸν ἱερέα, καὶ ἐξοίσει ταύτην πρὸς τὰ ϑύραϑεν τοῦ στρατοπέδου, ϑύσει τε ταύτην ἐνώπιον ἑαυτοῦ· [4] καὶ λήψεται ἐλαζάρης ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς ἐν τῷ δακτύλῳ οἱ, καὶ ῥανεῖ προσαντικρὺ τοῦ προσώπου τῆς σκηνῆς τοῦ ξυναγμοῦ πρὸς τοῦ αἵματος ταύτης ἑπτάκις, [5] καύσει τε τὴν δάμαλιν ἐνώπιον ἑαυτοῦ· τὸ δέρμα ταύτης τό τε κρέας ταύτης καὶ τὸ αἷμα ταύτης ἐπὶ τῇ ὄνϑῳ ταύτης καύσει· [6] λήψεταί ϑ' ὁ ἱερεὺς ξύλον κέδρου καὶ ὕσσωπον καὶ ἐρυϑρὸν σκώληκα, ῥίψει τε πρὸς τὰ μέσον τῆς καύσεως τῆς δαμάλεως. [7] καὶ πλυνεῖ τὰ ἱμάτιά οἱ ὁ ἱερεύς, λούσει τε τὴν σάρκα οἱ ἐν ὕδατι, εἶτα μέντοι ἐλεύσεται πρὸς τὸ στρατόπεδον· καὶ

---

30. ὑψοῖτε] ὑψεῖτε cod. et ed. Cf. v. 32. 31. αὐτὸ] αὐτῷ cod. et ed. οἱ δόμοι ὑμῶν] וּבָתֵּיכֶם (ita Sam., codd. quinque Kenn., duo Ross.) pro וּבֵיתְכֶם. Consentiunt LXX et Hieron. 32. (ἀρεῖτε) ἐπ' αὐτοῦ] ἀπ' αὐτοῦ c. cd. ed. ἅγιόν μου] inconsiderate (קָדְשֵׁי).

XIX. 3. προσταϑύραϑεν cod. et v. 6 προσταμέσον. Cf. XVII, 12. Lev. X, 4 sqq. XIV, 3 cet. Prol. I, 4, d. 4. αὐτῆς] αὐτῶν cod. et ed.

μιανεῖται ὁ ἱερεὺς ἄχρι τῆς ἑσπέρας. [8] ὅ τε καίων αὐτὴν πλυνεῖ τὰ ἱμάτιά οἱ ἐν ὕδασι λούσει τε τὴν σάρκα οἱ ἐν ὕδασι, καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας. [9] συνάξει δ' ἀνὴρ καϑαρὸς τὴν σποδὸν τῆς δαμάλεως καὶ παρήσει ϑύραϑεν τοῦ στρατοπέδου ἐν τόπῳ καϑαρῷ· τελέσει τε τῷ ἀϑροίσματι τῶν υἱέων τοῦ Ἰσραέλου εἰς τήρημα, εἰς ὕδωρ μιασμοῦ· ἁμαρτία ἐστί. [10] πλυνεῖ δ' ὁ συνάγων τὴν σποδὸν τῆς δαμάλεως τὰ ἱμάτιά οἱ, καὶ μιανεῖται μέχρι τῆς ἑσπέρας· τελέσει δὲ τοῖς υἱέσι τοῦ Ἰσραέλου καὶ τῷ μετοίκῳ τῷ μετοικοῦντι μέσον αὐτῶν εἰς τύπον αἰῶνος. [11] ὁ ϑίγων νεκροῦ ἡστινοσοῦν ψυχῆς ἀνϑρώπου, τοίνυν μιανεῖται ἑπτὰ ἡμέραις· [12] ἐκεῖνος ἁμαρτηϑήσεται ἐν αὐτῷ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, κἀν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καϑαρϑήσεται· ἣν δὲ μὴ ἁμαρτηϑῇ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ κἀν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, οὐ καϑαρϑήσεται. [13] πᾶς ὁ ψαύων νεκροῦ ἐν ψυχῇ τοῦ ἀνϑρώπου ὃς τεϑναίη, καὶ οὐχ ἁμαρτηϑείη, τὸ οἴκημα τοῦ ὀντωτοῦ ἐμίανε· τοίνυν ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη ἀπὸ τοῦ Ἰσραέλου, καὶ γὰρ ὕδωρ ἐμμήνου οὐκ ἐῤῥαντίσϑη ἐπ' αὐτοῦ· μιαρὸς τελέσει, ἔτι ὁ μιασμὸς αὐτοῦ ἐν αὐτῷ. [14] οὗτος ὁ νόμος· ἄνϑρωπος ἐπὰν τεϑναίη ἐν σκηνῇ, πᾶς ὁ ἀφικνούμενος πρὸς τὴν σκηνὴν καὶ πᾶν τὸ ἐν τῇ σκηνῇ μιανεῖται ἑπτὰ ἡμέραις· [15] πᾶν τε ἀγγεῖον ἀνεῳγὸς ᾧπερ οὐκ ἔστιν ἐπίπλεγμα μίτου ἐπ' αὐτοῦ, μιαρόν ἐστι. [16] πᾶς ϑ' ὃς ψαύσειεν ἐπὶ προσώπου τοῦ πεδίου πεφονευμένου ξίφει ἢ νεκροῦ ἢ ὀστοῦ ἀνϑρώπου ἢ τύμβου, μιανεῖται ἑπτὰ ἡμέραις. [17] λήψονται γοῦν τῷ μεμιασμένῳ πρὸς τοῦ χοὸς τῆς καύσεως τῆς ἁμαρτίας, δώσει τ' ἐπ' αὐτοῦ ὕδωρ ζῶν πρὸς ἀγγεῖον· [18] καὶ λήψεται ὕσσωπον βαπτιεῖ τ' ἐν ὕδατι ἀνὴρ καϑαρὸς, καὶ ῥανεῖ ἐπὶ τῆς σκηνῆς κἀπὶ πάντων τῶν ἀγγείων κἀπὶ τῶν ψυχῶν τῶν ὑπαρξασῶν ἐκεῖ, κἀπὶ τοῦ ψαύοντος τοῦ ὀστοῦ ἢ τοῦ πεφονευμένου ἢ τοῦ νεκροῦ ἢ τοῦ τύμβου. [19] ῥανεῖ ϑ' ὁ καϑαρὸς ἐπὶ τοῦ μιαροῦ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ κἀν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἁμαρτώσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· πλυνεῖ τε τὰ ἱμάτιά οἱ καὶ λούσεται

---

7. μιανεῖται] μιανεῖ τε cod. et ed. 8. λούσει τε] λούσατε cod. Errorem jam Amm. sustulit. 12. ἁμαρτηϑήσεται] l. ἁμαρτωϑήσεται itemque infra ἁμαρτωϑῇ et v. 13 ἁμαρτωϑείη. Cf. v. 19 sq. XXXI, 19 sqq. τῇ τρίτῃ] τῇ addidimus invito codice. 13. ἐμίανε] cf. Gen. XXXIV, 5. 13. 15. ἐπιπλέγμα cod. 16. ὃς (ψαύσειεν) cod., non ὁ ut ed. 18. ὑπαρξασῶν] ita cod. Nescio quo jure ὑπαρξουσῶν Amm. substituerit.

ἐν τῷ ὕδατι, καὶ καϑαρϑήσεται ἐν τῇ ἑσπέρᾳ. [20] καὶ ἀνὴρ ὃς μιανεῖται καὶ οὐχ ἁμαρτωϑήσεται, καὶ ὀλοϑρευϑήσεται ἡ ψυχὴ κείνη μέσοϑεν τῆς ἐκκλησίας· τὸ γὰρ ἱερὸν τοῦ ὀντωτοῦ ἐμίανεν, ὕδωρ ἐμμήνου οὐκ ἐρραντίσϑη ἐπ᾽ αὐτοῦ· μιαρός ἐστι. [21] τελέσει τε σφίσιν εἰς τύπον αἰῶνος· καὶ ὁ ῥαίνων τὸ ὕδωρ τῆς ἐμμήνου πλυνεῖ τὰ ἱμάτιά οἱ, καὶ ὁ ϑίγων τοῦ ὕδατος τῆς ἐμμήνου μιανεῖται μέχρι τῆς ἑσπέρας· [22] πᾶς ϑ᾽ ὃς ψαύσειεν αὐτοῦ ὁ μιαρὸς μιανεῖται, καὶ ἡ ψυχὴ ἡ ψαύουσα μιανεῖται μέχρι τῆς ἑσπέρας.

XX. [1] Ἀφίκοντο δ᾽ οἱ υἱεῖς ἰσραέλου, πᾶν τὸ ἄϑροισμα, τῇ ἐρήμῳ σινὸς ἐν τῷ μηνὶ τῷ πρώτῳ, καὶ ἐκαϑέσϑη ὁ λεὼς ἐν καδέσῃ· τέϑνηκε δ᾽ ἐκεῖ μεριάμη, τέϑαπταί τε ἐκεῖ. [2] καὶ οὐχ ὑπῆρξεν ὕδωρ τῷ ἀϑροίσματι· τοιγαροῦν ἐξεκλησιάσϑησαν ἐπὶ μωσέα καὶ ἐπ᾽ ἀαρῶνα. [3] καὶ ἐδικάσατο ὁ λεὼς ξὺν τῷ μωσεῖ καὶ εἶπον πρὸς αὐτόν· εἴϑε γοῦν τεϑναίημεν ἐν τῷ ϑανάτῳ τῶν ἀδελφῶν ἡμῶν ἐνώπιον τοῦ ὀντωτοῦ· [4] καὶ τοῦ χάριν ἠνέγκατε τὴν ἐκκλησίαν τοῦ ὀντωτοῦ πρὸς τὴν ἔρημον ταυτηνί, τεϑνάναι ἐκεῖ ἡμᾶς καὶ τὸ κτῆνος ἡμῶν; [5] καὶ τοῦ χάριν ἀνήνεγκας ἡμᾶς ἀπ᾽ αἰγύπτου ὡς ἐνέγκαις ἡμᾶς πρὸς τὸν τόπον τὸν κακὸν τουτονί; οὐ τόπον σπόρου συκῆς τε καὶ ἀμπέλου καὶ ῥοιᾶς, ὕδωρ τ᾽ οὐκ ἔστι πιεῖν. [6] ἀφῖκται δὲ μωσεὺς καὶ ἀαρὼν ἀπέμπροσϑεν τῆς ἐκκλησίας πρὸς τὸν πυλῶνα τῆς σκηνῆς τοῦ ξυναγμοῦ, καὶ ἐπεσέτην ἐπὶ προσώπου σφῶϊν· ὤφϑη τε δόξα τοῦ ὀντωτοῦ πρὸς αὐτώ.

[7] Διείλεκταί ϑ᾽ ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [8] λάβε τὸ σκῆπτρον, ἐκκλησίασόν τε τὸ ἄϑροισμα σὺ καὶ ἀαρὼν ὁ κασίγνητός σου, διαλέξεσϑόν τε πρὸς τὴν πέτραν ἐν ὄμμασι σφίσι, καὶ δώσει τὰ ὕδατα ταύτης· ἐξοίσεις τε σφίσιν ὕδατα πρὸς τῆς πέτρας καὶ ποτιεῖς τὸ ἄϑροισμα καὶ τὸ κτῆνος αὐτῶν. [9] ἔλαβεν οὖν μωσεὺς τὸ σκῆπτρον ἀπέμπροσϑεν τοῦ ὀντωτοῦ καϑάπερ ἐκέλευσεν αὐτῷ· [10] ἐξεκλησιασάτην τε μωσεὺς καὶ ἀαρὼν τὴν ἐκκλησίαν πρὸς πρόσωπον τῆς πέτρας, ἔφη τε σφίσιν· ἀκούσατε δή, ἀντάρται· ἆρ᾽ ἀπὸ τῆς πέτρας ταύτης ἐξοίσομεν ὑμῖν ὕδατα;

---

20. αὐτοῦ] αὐτῆς cod. Cf. v. 13.

XX. 5. ἀνήνεγκας ἡμᾶς] הֶעֱלִיתָנוּ pro הֶעֱלִיתֻנוּ. Cf. XXI, 5. 6. προσώπου] l. πρόσωπον ut XVII, 10 etc. 10. ἐξεκκλησιασάτην cod. et ed.

[11] τοίνυν ὕψωσε μωσεὺς τὴν χεῖρά οἱ καὶ ἔτυψε τὴν πέτραν ἐν τῷ σκήπτρῳ οἱ δίς, καὶ ἐξῆλθον ὕδατα πολλά, καὶ ἔπιε τὸ ἄθροισμα καὶ τὸ κτῆνος αὐτῶν. [12] Ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα· διόπερ οὐκ ἐπιστεύσατον εἰς ἐμὲ ὥσθ' ἁγιάσαι με ἐν ὄμμασι τῶν υἱέων τοῦ ἰσραέλου, διατοῦτο οὐκ οἴσετε τὴν ἐκκλησίαν τηνδὶ πρὸς τὴν γῆν ἣν ἔδωκα σφίσι. [13] ταῦτα τὰ ὕδατα τοῦ δικασμοῦ οἷς ἐδικάσαντο οἱ υἱεῖς ἰσραέλου τῷ ὀντωτῇ, καὶ ἡγίασται ἐν αὐτοῖς.

[14] Ἔπεμψε δὲ μωσεὺς ἀγγέλους ἀπὸ καδέσης πρὸς τὸν βασιλέα τοῦ ἐδώμου· τῆδε ἔφη ὁ ἀδελφός σου ἰσραέλος· σὺ ἔγνως ξύμπαντα τὸν μόχθον ὅς εὗρεν ἡμᾶς, [15] καὶ κατῆλθον οἱ πατέρες ἡμῶν αἰγυπτόνδε, καὶ ἐκαθέσθημεν ἐν αἰγύπτῳ ἡμέραις πολλαῖς, ἐκάκωσάν τ' εἰς ἡμᾶς ἡ αἴγυπτος καὶ εἰς τοὺς πατέρας ἡμῶν· [16] ἐβοήσαμεν οὖν πρὸς τὸν ὀντωτὴν, κἀπύθετο τὴν φωνὴν ἡμῶν καὶ ἔπεμψεν ἄγγελον, ἐξήνεγκέ θ' ἡμᾶς ἀπ' αἰγύπτου· καὶ ἰδοὺ ἡμεῖς ἐν καδέσῃ πόλει ἄκρῳ τῶν ὅρων σου. [17] διαβῶμεν δὴ ἐν τῇ γῇ σου· οὐ διαβησόμεθα ἐν ἀγρῷ ἢ ἀμπελῶνι, οὐ πιόμεθα ὕδωρ φρέως· ὁδῷ τοῦ βασιλέως πορευσόμεθα, οὐ κλινοῦμεν δεξιὰ καὶ ἀριστερὰ μέχρις ἂν διαβαίημεν τοὺς ὅρους σου. [18] τοιγαροῦν εἶπε πρὸς αὐτὸν ἐδῶμος· οὐ διαβήσῃ ἐν ἐμοί, μήποτε ἐν ξίφει ἐξέλθοιμι εἰς ξυνάντησίν σοι. [19] εἰπόν τε πρὸς αὐτὸν οἱ υἱεῖς ἰσραέλου· ἐν διόδῳ ἀναβησόμεθα· κἂν ὕδατά σου πίωμεν ἐγὼ καὶ τὰ κτήματά μου, δώσω μὲν τὴν ὠνὴν αὐτῶν· μόνον οὐδὲν χρῆμα, ἐν τοῖς ποσί μου διαβήσομαι. [20] καὶ εἶπεν· οὐ διαβήσῃ. τοίνυν ἐξῆλθεν ἐδῶμος εἰς ξυνάντησιν αὐτῷ ἐν λεῷ βαρεῖ κἀν χειρὶ κραταιᾷ. [21] ἀπηνήνατο δ' ἐδῶμος δοῦναι τὸν ἰσραέλον διαβῆναι ἐν τῷ ὅρῳ οἱ· τοίνυν ἔκλινεν ἰσραέλος ἀπ' αὐτοῦ.

[22] Μετῆραν οὖν ἀπὸ καδέσης καὶ ἀφίκοντο οἱ υἱεῖς ἰσραέλου, πᾶν τὸ ἄθροισμα, εἰς ὧρον τὸ ὄρος. [23] καὶ εἶπεν ὁ θεὸς πρὸς μωσέα καὶ πρὸς ἀαρῶνα ἐν ὥρῳ τῷ ὄρει ἐπὶ τοῦ ὅρου τῆς γῆς τοῦ ἐδώμου τῷ φάναι· [24] συναχθήτω ἀαρὼν πρὸς τοὺς λεὼς αὐτοῦ, ὅτι

---

12. ὥσθ'] ὡς θ' rursus cod. et ed. διατοῦτο] codicis scripturam servavimus. Cf. Gen. XXXIII, 10 etc. **16.** κἀπύθετο] ἐπύθετο cod. et ed. τῶν ὅρων σου] plur. pro sing. (גְּבוּלֶךָ). Item v. sq. Consentiunt LXX. Hier. **19.** τὴν ὠνὴν cod., non τὸν ὦνὸν ut ed. **24.** τοὺς (λεὼς)] τοῦ cod. et ed.

οὐκ ἀφίξεται πρὸς τὴν γῆν ἣν ἔδωκα τοῖς υἱέσι τοῦ ἰσραέλου, ἐφοῖς ἀντήρατε τῷ στόματί μου τοῖς ὕδασι τοῦ δικασμοῦ. [25] λάβε τὸν ἀαρῶνα καὶ ἐλαζάρην τὸν υἱὸν αὐτοῦ, καὶ ἀνάβίβασον σφωὲ εἰς ὥρον τὸ ὄρος· [26] περίδυσόν τε τὸν ἀαρῶνα τὰ ἱμάτιά οἱ καὶ περίβαλε ταῦτα ἐλαζάρην τὸν υἱὸν αὐτοῦ· ὁ δ' ἀαρὼν ξυναχθήτω καὶ τεθνάτω ἐκεῖ. [27] τοίνυν ἐποίησε μωσεὺς καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς, καὶ ἀνῆλθον πρὸς ὥρον τὸ ὄρος ἐν ὄμμασι παντὸς τοῦ ἀθροίσματος. [28] περιέδυσε δὲ μωσεὺς τὸν ἀαρῶνα τὰ ἱμάτιά οἱ καὶ περιέβαλεν αὐτὰ ἐλαζάρην τὸν υἱὸν αὐτοῦ· τέθνηκέ τ' ἀαρὼν ἐκεῖ ἐν τῇ ἀκρωρείᾳ, κατέβη δὲ μωσεὺς καὶ ἐλαζάρης ἀπὸ τοῦ ὄρους. [29] εἶδόν τε πᾶν τὸ ἄθροισμα ὅτι τέθνηκεν ἀαρών· καὶ ἔκλαυσαν τὸν ἀαρῶνα τριακονθημέρῳ πᾶς ὁ δέμος τοῦ ἰσραέλου.

XXI. [1] Ἤκουσε δ' ὁ κεναάνιος ὁ βασιλεὺς ἀράδης, ὁ κάθεδρος τοῦ νότου, ὅτι ἀφῖκται ἰσραέλος ὁδῷ τῶν ἀθαρίων, καὶ ἐπολέμησε τῷ ἰσραέλῳ ἐληίσατό τ' ἀπ' αὐτοῦ λείαν. [2] ηὔξατο δ' ἰσραέλος εὐχὴν τῷ ὀντωτῇ καὶ εἶπεν· ἢν τῷ διδόναι δῷς τὸν λεὼν τοῦτον ἐν τῇ χειρί μου, καὶ ἀναθεματίσω τὰς πόλεις σφῶν. [3] ἐπύθετο δ' ὁ ὀντωτὴς τὴν φωνὴν τοῦ ἰσραέλου, καὶ ἔδωκε τὸν κεναάνιον· ἀνεθημάτισέ τε σφᾶς καὶ τὰς πόλεις αὐτῶν, ἐκάλεσέ τε τοὔνομα τοῦ τόπου ἀναθημάτισις.

[4] Ἀπῆραν δ' ἀπὸ ὥρου τοῦ ὄρους ὁδῷ θαλάττης φύκους ὥστε κυκλῶσαι τὴν γῆν τοῦ ἐδώμου· καὶ ἐβράχυνεν ἡ ψυχὴ τοῦ λεὼ ἐν τῇ ὁδῷ. [5] διείλεκται τοίνυν ὁ λεὼς εἰς τὸν θεὸν καὶ εἰς μωσέα· διατί ἀνήνεγκαν ἡμᾶς ἀπ' αἰγύπτου τεθνάναι ἐν τῇ ἐρήμῳ; οὐ γάρ ἐστιν ἄρτος οὔθ' ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν ἐτελεύτησεν ἐν ἄρτῳ τοῦ ἰλύγγου. [6] ἔπεμψε δ' ὁ ὀντωτὴς εἰς τὸν λεὼν τοὺς ὄφεις τοὺς πρηστῆρας, ἔδακόν τε τὸν λεών· καὶ τέθνηκε λεὼς πολὺς ἐξ ἰσραέλου. [7] παρεγένετο δ' ὁ λεὼς πρὸς μωσέα καὶ εἶπον· ἡμάρτομεν ὅτι διειλέγμεθα εἰς τὸν ὀντωτὴν καὶ εἰς σέ· πρόσευξαι πρὸς τὸν ὀντωτὴν, καὶ ἀφελέτω ἄνωθεν ἡμῶν τὸν ὄφιν. προσηύ-

---

ἐφοῖς] sic cod. Cf. Gen. VI, 3. Prol. I, 4, d. 25. σφωὲ] σφῶε cod. Cf. Lev. XV, 14. 29. τριακονθ' ἡμέρω cod.

XXI. 2. ἀναθεματίσω cod., non ἀναθεματίσῃς ut ed. 3. ἀνεθημάτισε] ita cod., non ἀναθεμάτισε ut Amm. legi jubet. ἀναθεμάτισις c. ed. ed. 4. τὴν γῆν] cod. τὴν om. 5. ἀνήνεγκαν] sic cod., non ἀνήνεγκας ut ed. Cf. XX, 5. ἰλύγγου, non ἰλίγγου, cod.

ξατο δὲ μωσεὺς ὑπὲρ τοῦ λεώ. [8] καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· ποίησον σαυτῷ πρηστῆρα θές τ' αὐτὸν ἐπὶ σημαίας, τελέσει τε πᾶς ὁ δεδηγμένος, ὄψεταί τ' αὐτὸν καὶ ζήσεται. [9] τοίνυν ἐποίησε μωσεὺς ὄφιν χαλκοῦ καὶ ἔθηκεν αὐτὸν ἐπὶ σημαίας· ὑπῆρξέ τ' εἴπερ δάκοι ὁ ὄφις τὸν ἄνδρα, καὶ ἠτένισε πρὸς τὸν ὄφιν τὸν χαλκοῦν, καὶ ἔζησεν. [10] ἀπῆραν οὖν οἱ υἱεῖς ἰσραέλου καὶ ἐστρατοπεδεύσαντο ἐν ὠβαῖς. [11] ἀπῆράν τ' ἀπ' ὠβῶν καὶ ἐστρατοπεδεύσαντο ἐν ἐρήμοις τῶν διελεύσεων, ἐν τῇ ἐρήμῳ τῇ ἐπὶ τοῦ προσώπου τοῦ μωάβου ἀπ' ἀνατολῆς τοῦ ἡλίου. [12] ἐκεῖθεν ἀπῆραν καὶ ἐστρατοπεδεύσαντο ἐν χειμάρρῳ ζαράδου. [13] ἐκεῖθεν ἀπῆραν καὶ ἐστρατοπεδεύσαντο ἀποπέραν τοῦ ἀρνῶνος τοῦ ἐν τῇ ἐρήμῳ, τοῦ ἐξιόντος ἀφ' ὅρου τοῦ ἐμορίου· ὅτι ἀρνὼν ὅρος μωάβου ἀνὰ τὸν μωάβην κἀνὰ τὸν ἐμόριον. [14] διὸ ῥηθείη ἐν βίβλῳ τῶν παρατάξεων τοῦ ὀντωτοῦ· ἐτεβαέβη ἐν λαίλαπι, χείμαρροι ἀρνῶνος· [15] χύσις τε τῶν χειμάρρων οὓς ἔκλινε τῷ καθῆσθαι ἄρην, καὶ ἐρήρεισται τῷ ὅρῳ τοῦ μωάβου. [16] κἀκεῖθεν εἰς φρέαρ· ἐκεῖνο τὸ φρέαρ ὅπερ ἔφη ὁ ὀντωτὴς τῷ μωσεῖ· συνάθροισον τὸν λεών, καὶ δώσω σφίσιν ὕδωρ.

[17] Τότ' ᾄσειεν ἰσραέλος τὴν ᾠδὴν ταύτην· ἐπὶ φρέως ἀποκρίνασθέ οἱ· [18] φρέαρ, ὤρυξαν αὐτὸ ἄρχοντες, ἔσκαψαν αὐτὸ εὐεργέται τοῦ λεὼ ἐν τυπωτῇ, ἐν τοῖς στηρίγμασι σφῶν· κἀπὸ τῆς ἐρήμου δῶρον· [19] κἀπὸ τοῦ δώρου χείμαρρόν μου τοῦ θεοῦ· κἀπὸ τοῦ χειμάρρου μου τοῦ θεοῦ βωμούς· [20] κἀπὸ τῶν βωμῶν τῆς φάραγγος τῆς ἐν τῷ πεδίῳ μωάβου, κεφαλὴν τοῦ λόφου, καὶ προκεκύψεται ἐπὶ πρόσωπον τῆς φρούδης.

[21] Ἔπεμψε δ' ἰσραέλος ἀγγέλους πρὸς ξιῶνα τὸν βασιλέα τοῦ ἐμορίου τῷ φάσκειν· [22] διαβαίην ἐν τῇ γῇ σου, καὶ οὐ κλινοῦμεν εἰς ἀγρὸν οὐδ' εἰς ἀμπελῶνα, οὐ πιόμεθα ὕδωρ φρέως· ἐν ὁδῷ τοῦ βασιλέως πορευσόμεθα μέχρις ἂν διαβαίημεν τοὺς ὅρους σου. [23] καὶ οὐκ ἐνέδωκε ξιὼν τὸν ἰσραέλον διαβῆναι ἐν τῷ ὅρῳ αὐτοῦ· συνή-

---

10. ὠβαῖς] ἐβαῖς cod. (בְּאֹבֹת) itemque v. sq. ἐβῶν pro ὠβῶν. Facile literae ω et ε confundi poterant. Cf. Prol. I, 3, a. 11. διελεύσκων cod. et ed. Cf. XXVII, 12. XXXIII, 2. 44 cet. 13. ἐμόριον] ἀμόριον cod. et ed. Cf. Gen. XIV, 7. 13 cet. 14. ἐτεβαέβη] אֶתְוָהֵב (cf. אֶתְוָהֵב apud Kimchium) pro אֶת־וָהֵב. Conjuncte tres codd. Kenn. (89. 94. 136), alii quinque in marg. 17. ἐπὶ] quasi עֲלֵי scriptum esset, non עֲלִי 18. τῆς (ἐρήμου)] γῆς cod. 19. κἀπὸ (2)] κἀπὶ cod. et ed.

ϑροισε δὲ ξιὼν ξύμπαντα τὸν λεὼν ἑαυτοῦ καὶ ἐξῆλϑεν εἰς ὑπάντησιν τοῦ ἰσραέλου πρὸς τὴν ἔρημον, ἀφῖκταί τ' εἰς ἰασὰν καὶ ἐπολέμησε τῷ ἰσραέλῳ. [24] ἔπληξε δ' αὐτὸν ἰσραέλος στόματι ξίφους, ἐκληρώσατό τε τὴν γῆν αὐτοῦ ἀπ' ἀρνῶνος ἄχρις ἰαβόκου, μέχρις υἱέων ἀμῶνος· ἡ γὰρ ἄζος ὅρος ἦν ἀμῶνος. [25] ἔλαβε δ' ἰσραέλος ξυμπάσας τὰς πόλεις ταύτας· ἐκαϑέσϑη τ' ἰσραέλος ἐν πάσαις ταῖς πόλεσι τοῦ ἐμορίου, ἐν ἐσβῶνι κἀν πάσαις ταῖς ϑυγατράσιν αὐτῆς. [26] ἡ γὰρ ἐσβὼν πόλις ξιῶνος τοῦ βασιλέως τοῦ ἐμορίου τελεῖ· κἀκεῖνος ἐπολέμησε τῷ βασιλεῖ μωάβου τῷ πρώτῳ καὶ ἔλαβε ξύμπασαν τὴν γῆν αὐτοῦ ἀπὸ χειρὸς αὐτοῦ μέχρις ἀρνῶνος. [27] διὸ φαῖεν οἱ παραβολεῖς· ἄφιχϑε εἰς ἐσβῶνα, δομηϑήσῃ καὶ καταρτισϑήσῃ πόλις ξιῶνος· [28] πῦρ γὰρ ἐξῆλϑεν ἀφ' ἐσβῶνος, φλὸξ ἀπ' ἄστεος ξιῶνος, βέβρωκε τὸν ἀρνὸν τοῦ μωάβου, τοὺς δεσπέτας τῶν βημάτων τοῦ ἀρνῶνος. [29] αἴ σοι, μωάβη, ἀπώλου, λαὲ τοῦ κεμόσου· ἔδωκε τοὺς υἱοὺς αὐτοῦ ἀπηλλαγμένους καὶ τὰς ϑυγατέρας αὐτοῦ εἰς τὸν ἀνδραποδισμὸν τῷ βασιλεῖ τοῦ ἐμορίου ξιῶνι· [30] καὶ τὸ νέωμα σφῶν ᾤχετο ἐσβὼν ἄχρι διβῶνος, ἀφανιοῦμέν τ' ἄχρι νόφας τῆς μέχρις μεδαβᾶς. [31] τοιγαροῦν ἐκαϑέσϑη ἰσραέλος ἐν γῇ τοῦ ἐμορίου. [32] καὶ ἔπεμψε μωσεὺς κατασκοπῆσαι τὴν ἰαζέρην, συνέσχον τε τὰς ϑυγατέρας αὐτῆς καὶ ἀπεκλήρωσαν τὸν ἐμόριον τὸν ἐκεῖ. [33] καὶ ἀπέκλιναν καὶ ἀνέβησαν ὁδῷ τοῦ βασᾶνος· ἐξῆλϑε δ' ὤγος ὁ βασιλεὺς τοῦ βασᾶνος εἰς ξυνάντησιν αὐτοῖς, ἐκεῖνος καὶ πᾶς ὁ λεὼς αὐτοῦ εἰς πόλεμον ἐδραιῖνι. [34] καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· μὴ δείσῃς αὐτόν· ἐν γὰρ χειρί σοι δέδωκά ἑ καὶ ξύμπαντα τὸν λεὼν αὐτοῦ καὶ τὴν γῆν αὐτοῦ, ποιήσας τέ οἱ καϑάπερ ἐποίησας τῷ ξιῶνι τῷ βασιλεῖ τοῦ ἐμορίου τῷ καϑεζομένῳ ἐν ἐσβῶνι. [35] τοίνυν ἔβαλον αὐτὸν τούς ϑ' υἱέας αὐτοῦ καὶ ξύμπαντα τὸν λεὼν αὐτοῦ, ἄχρις ἂν ὑπο-

---

24. ἦν] ita pro υἱέων (בְּנֵי) cod. 27. ἀφῖχϑε cod. et ed. Cf. Gen. XLV, 17 sq. Deut. I, 8 (בֹּאוּ). 28. τὸν ἀρνὸν] exspectaveris τὴν ἄρην (כַּר). Cf. v. 15. Deut. II, 9. βημάτων] βρωμάτων cod. et ed. 29. αἴ, non αἶ, cod. Cf. XXIV, 23. ἀπόλου cod. et ed. Cf. Eccl. IX, 6. αὐτοῦ (2)] αὐτῆς cod. 30. καὶ τὸ νέωμα σφῶν] male (וַנִּירָם). μέχρις μεδαβᾶς] μέχρι σκεδαβεῖς corrupte cod. (עַד־מֵידְבָא). 33. ἐδραιῖνι cod. Cf. Deut. I, 4. III, 1. 35. ἄχρις ἂν ὑπολοίπου οἱ] ita corrupte cod. Legendum fort. ἄχρις οὐχ ὑπέλιπέν οἱ vel ἄχρι τοῦ μὴ ὑπολιπεῖν οἱ (עַד־בִּלְתִּי הִשְׁאִיר־לוֹ). Cf. Deut. III, 3. XXVIII, 55.

λοίπου οἱ περιλείμματος, ἐκληρώσαντό τε τὴν γῆν αὐτοῦ. [1] ἀπῆράν XXII. ϑ' οἱ υἱεῖς ἰσραέλου καὶ ἐστρατοπεδεύσαντο ἐν τοῖς ἐρήμοις τοῦ μωάβου πέραϑεν τοῦ ἰαρδένου ἱερεοῖ.

[2] Τεϑέαται δὲ βαλάκης ὁ υἱεὺς σιπῶρος ξύμπανϑ' ἅπερ (μερίς) ἐποίησεν ἰσραέλος τῷ ἐμορίῳ, [3] καὶ ἔπτηξε μωάβης ἀπὸ προσώπου τοῦ λεὼ σφέδρα, πολὺς γὰρ ἦν, καὶ ἐστένωται μωάβης ἀπὸ προσώπου τῶν υἱέων τοῦ ἰσραέλου. [4] καὶ εἶπε μωάβης πρὸς τοὺς γέροντας τοῦ μιδιᾶνος· νῦν λείξουσιν ἡ ἐκκλησία ξύμπαντα τὰ κύκλῳ ἡμῶν, ὡς λείξειεν ὁ βοῦς τὴν χλόην τοῦ πεδίου. βαλάκης δ' ὁ υἱεὺς σιπῶρος βασιλεὺς τοῦ μωάβου ἐν τῷ καιρῷ κείνῳ. [5] ἔπεμψε δ' ἀγγέλους πρὸς βιλάμην τὸν υἱὸν βεώρου εἰς πεϑώραν τὴν ἐπὶ τοῦ ποταμοῦ τῆς γῆς τῶν υἱέων τοῦ λεώ οἱ, μετακαλέσασϑαί οἱ τῷ φάσκειν· αὐτίκα λεὼς ἐξῆλϑεν ἀπ' αἰγύπτου, καὶ ϑεῶ ἐκάλυψε τὸν ὀφϑαλμὸν τῆς γῆς, κεῖνός τε καϑέζεται ἀπέναντί μοι. [6] νῦν οὖν δεῦρο δὴ κατάρασαί μοι τῷ λεῷ τουτῳΐ, κραταιότερος γάρ ἐστι μοῦ, τυχὸν δυνήσομαι, βαλοῦμέν τ' αὐτὸν καὶ ἐξάξω ἑ ἀπὸ τῆς γῆς· ἔγνων γὰρ ὃν ἂν εὐλογήσειας εὐλογημένον, καὶ ᾧπερ ἂν καταράσαιο καταραϑήσεται. [7] ἀπῆλϑον οὖν οἱ γέροντες τοῦ μωάβου καὶ οἱ γέροντες μιδιᾶνος μαντεῖά τ' ἐν χειρὶ σφῶν· ἀφίκοντο τοίνυν πρὸς βιλάμην, καὶ διειλεγμένοι εἰσὶ πρὸς αὐτὸν τοὺς λόγους βαλάκου. [8] καὶ ἔφη πρὸς αὐτούς· μείνατε ὧδε τῇ νυκτί, καὶ ἀποδώσω ὑμῖν λόγον καϑάπερ διαλέξοιτο ὁ ὀντωτὴς πρός με. τοιγαροῦν ἐκαϑέσϑησαν οἱ ἄρχοντες τοῦ μωάβου σὺν βιλάμῃ. [9] ἀφῖκται δὲ ὁ ϑεὸς πρὸς βιλάμην καὶ εἶπε· τίνες οἱ ἄνδρες οἵδε παρὰ σοί; [10] καὶ εἶπε βιλάμης πρὸς τὸν ϑεόν· βαλάκης υἱεὺς σιπῶρος ὁ βασιλεὺς μωάβου ἔπεμψε πρός με· [11] ϑεῶ ὁ λεὼς ὁ ἐξιὼν ἀπ' αἰγύπτου καὶ ἐκάλυψε τὸν ὀφϑαλμὸν τῆς γῆς· νῦν δεῦρο βλασφήμησόν μοι αὐτόν, τυχὸν δυνήσομαι πολεμῆσαι ἐν αὐτῷ καὶ ἀπελάσω ἑ. [12] καὶ εἶπεν ὁ ϑεὸς πρὸς βιλάμην· οὐκ ἀπελεύσῃ σὺν αὐτοῖς οὔτε καταράσῃ τῷ λεῷ, καὶ γὰρ εὐλογημένος τυγχάνει. [13] τοιγαροῦν ἐγήγερται βιλεάμης ἐν ἕῳ καὶ εἶπε

XXII. 1. ἐν ταῖς ἐρήμοις repugnante codice ed. Cf. XXVI, 3. 6. τυχὸν cod., non τυχὴν ut ed. Item v. 11. 7. βιλάμον c. cd. ed. 8. διαλέξειτο cod., διαλέξαιτο ed. Cf. XXIII, 26. 10. υἱεὺς ipsi addidimus invito codice. 12. τοῦ λεὼ cod. et ed. Cf. v. 6. XXIV, 9.

πρὸς τοὺς ἄρχοντας τοῦ βαλάκου· ἄπιτε πρὸς τὴν γῆν ὑμῶν, ἀπείπετο γὰρ ὁ ὀντωτὴς δοῦναί με ἀπελϑεῖν σὺν ὑμῖν. [14] ἠγέρϑησαν οὖν οἱ ἄρχοντες τοῦ μωάβου, καὶ παρεγένοντο πρὸς βαλάκην ἔφησάν τε· ἀπείπατο βιλαάμης πορευϑῆναι σὺν ἡμῖν. [15] προσέϑηκεν οὖν ἔτι βαλάκης πέμπειν ἄρχοντας πλείους καὶ ἐνδοξοτέρους ἐκείνων. [16] καὶ ἀφίκοντο πρὸς βιλεάμην ἔφησάν τέ οἱ· τῆδε ἔφη βαλάκης υἱεὺς σιπῶρος· μὴ δὴ κωλυϑῇς ἀπὸ τοῦ πορεύεσϑαι πρός με· [17] ἐπεὶ τῷ δοξάζειν δοξάσω σε λίαν, καὶ πᾶν ὅπερ ἐρεῖς πρός με ποιήσω· τοίνυν δεῦρο δὴ βλασφήμησόν μοι τὸν λεὼν τοῦτον. [18] ἀποκέκριται δὲ βιλεάμης καὶ εἶπε πρὸς τοὺς δούλους τοῦ βαλάκου· εἴ μοι δοίη βαλάκης τὸ πλήρωμα τοῦ δόμου οἱ ἄργυρον καὶ χρυσὸν, οὐχ ἔξω διαβῆναι τὸ στόμα τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ μου ὡς ποιήσαιμι μικρὸν ἢ μέγα· [19] νῦν οὖν καϑέσϑητε δὴ ἐν τῷδε καὶ ὑμεῖς τῇ νυκτὶ, καὶ εἴσομαι ἢ προστίϑησιν ὁ ὀντωτὴς διαλέγεσϑαι σὺν ἐμοί. [20] παρεγένετο γοῦν ὁ ϑεὸς πρὸς βιλάμην νύκτωρ ἔφη τέ οἱ· εἴπερ μετακαλέσασϑαί σε παρεγένοντο οἱ ἄνδρες, ἐγέρϑητι ἄπιϑι σὺν αὐτοῖς· μόνον δὲ τὸν λόγον ὃν διαλέξομαι πρὸς σὲ, ἐκεῖνον ποιήσεις. [21] ἐγήγερται δὲ βιλεάμης ἐν ἕῳ καὶ ἔσαξε τὴν ὄνον ἑαυτοῦ, καὶ ἀπῆλϑε σὺν τοῖς ἄρχουσι τοῦ μωάβου. [22] ὤργισται δ' ὁ ϑυμὸς τοῦ ϑεοῦ ἐπεὶ ἀπῄει κεῖνος, ἔστη δ' ἄγγελος τοῦ ὀντωτοῦ ἐν τῇ ὁδῷ ἐς ἀντικείμενόν οἱ· κεῖνος δ' ὠχεῖτο ἐπὶ τῆς ὄνου οἱ, δύο τε νέω οἱ σὺν αὐτῷ. [23] τεϑέαται δ' ἡ ὄνος τὸν ἄγγελον τοῦ ὀντωτοῦ ἑστῶτα ἐν τῇ ὁδῷ, τό τε ξίφος αὐτοῦ εἱλκυσμένον ἐν χειρί οἱ, ἔκλινε δ' ἡ ὄνος ἐκ τῆς ὁδοῦ καὶ ἀπῆλϑεν εἰς τὸ πεδίον· καὶ ἔτυψε βιλεάμης τὴν ὄνον ὡς κλίνοι ταύτην ἐς τὴν ὁδόν. [24] ἔστη δ' ὁ ἄγγελος τοῦ ὀντωτοῦ ἐν διόδῳ τῶν ἀμπελώνων, φραγμὸς ἔνϑεν καὶ φραγμὸς ἐκεῖϑεν· [25] εἶδε δ' ἡ ὄνος τὸν ἄγγελον τοῦ ὀντωτοῦ καὶ ἐστενώϑη πρὸς τὸν τοῖχον, ἐστένωσέ τε τὸν πόδα τοῦ βιλάμου πρὸς τῷ τοίχῳ· καὶ προσέϑηκε τύπτειν αὐτήν. [26] προσέϑηκε δ' ὁ ἄγγελος τοῦ ὀντωτοῦ διϊέναι καὶ ἔστη ἐν χώρῳ στενῷ ᾧπερ οὐκ ἦν ὁδὸς κλῖναι δεξιὰ καὶ ἀριστερά· [27] τεϑέαται τοίνυν ἡ ὄνος τὸν ἄγγελον τοῦ ὀντωτοῦ καὶ σεσήκω-

---

13. με] ἐ cod. et ed. 14. ἐγέρϑησαν c. cd. ed. βιλαάμης] alibi βιλεάμης (cf. v. 13. 16. 18 cet.) aut βιλάμης (cf. v. 5. 7 sqq.) cod. 19. ἢ] ita corrupte, ut videtur, pro τί (מַה־) cod. 24. διόδῳ cod., non διώδῳ ut ed. 26. κλίναι cod. Cf. Prol. I, 4, c.

ται ὑπὸ τῷ βιλεάμῃ· ὤργισται δ' ὁ θυμὸς τοῦ βιλεάμου καὶ ἔτυψε τὴν ὄνον ἐν μάστιγι. [28]διῆρε δ' ὁ ὀντωτὴς τὸ στόμα τῆς ὄνου, καὶ εἶπε τῷ βιλεάμῃ· τί ἐποίησά σοι ὅτι ἔτυψάς με τοδὶ τρισὶ βολαῖς; [29]καὶ εἶπε βιλάμης τῇ ὄνῳ· ἐπεὶ πεπλάνησαι εἰς ἐμέ· εἴθε εἴη ξίφος ἐν χειρί μοι, νῦν γὰρ ἀπέκτεινά σε. [30]καὶ εἶπεν ἡ ὄνος πρὸς βιλάμην· ἄρ' οὐκ ἐγὼ ἡ ὄνος σου, ῇ ὤχησαι ἐπ' ἐμοῦ ἀφότου ἔτι εἶ μέχρι τῆς ἡμέρας τησδί; ἆρα τῷ ἐθίζειν εἴθισμαι ποιῆσαί σοι τῇδε; καὶ εἶπεν· ἥκιστα. [31]διῆρε δ' ὁ ὀντωτὴς τὼ ὄμματε τοῦ βιλάμου, καὶ εἶδε τὸν ἄγγελον τοῦ ὀντωτοῦ ἑστῶτα ἐν τῇ ὁδῷ, τό τε ξίφος αὐτοῦ ἐλκυσμένον ἐν χειρί οἱ· ἔπεσέ τε καὶ προσεκύνησεν εἰς πρόσωπον ἑαυτοῦ. [32]καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος τοῦ ὀντωτοῦ· ἐπὶ τῷ ἔτυψας τὴν ὄνον σου τοδὶ τρισὶ βολαῖς; αὐτίκ' ἐγὼ ἐξῆλθον εἰς ἀντικείμενον, ἐπεὶ ἔκλινεν ἡ ὁδὸς ἀντικρύ μου· [33]τεθέαται δέ με ἡ ὄνος, ἔκλινέ τ' ἐνώπιόν μου τοδὶ τρισὶ βολαῖς· ἴσως ἔκλινας ἀπὸ προσώπου μου, νῦν γὰρ καὶ σὲ ἀπέκτεινα καὶ αὐτὴν ἐζώωσα. [34]καὶ εἶπε βιλάμης πρὸς τὸν ἄγγελον τοῦ ὀντωτοῦ· ἥμαρτον, οὐ γὰρ ἔγνων ὅτι σὺ ἵστασαι εἰς ξυνάντησίν μοι ἐν τῇ ὁδῷ· νῦν οὖν εἴπερ πονηρὸν ἐν ὄμμασί σοι, ὑποστρέψω ἐμαυτῷ. [35]καὶ εἶπεν ὁ ἄγγελος τοῦ ὀντωτοῦ πρὸς βιλάμην· ἄπιθι σὺν τοῖς ἀνδράσι· πλὴν μέντοι τὸν λόγον ὃν διαλέξομαι πρός σέ, ἐκεῖνον διαλέξῃ. τοίνυν ἀπῆλθε βιλάμης ξὺν τοῖς ἄρχουσι τοῦ βαλάκου. [36]καὶ ἐπύθετο βαλάκης ὅτι ἀφικνεῖται βιλάμης, ἐξῆλθέ τ' εἰς ξυνάντησιν αὐτοῦ πρὸς πόλιν μωάβου τὴν ἐπὶ τοῦ ὅρου τοῦ ἀρνῶνος, τὴν ἐν τῷ ἄκρῳ τοῦ ὅρου. [37]ἔφη τε βαλάκης πρὸς βιλάμην· ἄρ' οὐ τῷ πέμπειν ἔπεμψα πρὸς σὲ μετακαλέσασθαί σε; τοῦ χάριν οὐ πεπόρευσαι πρός με; ἄρ' ὄντως οὐχ ἕξω δοξάσαι σε; [38]καὶ εἶπε βιλάμης πρὸς βαλάκην· θεῶ ἀφῖγμαι πρὸς σὲ νῦν· ἄρ' ἔχω δύνασθαι διαλέγεσθαί τι; τὸν λόγον ὃν θείη ὁ θεὸς ἐν τῷ στόματί μου, κεῖνον διαλέξομαι. [39]τοίνυν ἀπῆλθε βιλεάμης ξὺν βαλάκῃ, καὶ ἀφίκοντο πόλει πλατειῶν. [40]ἔθυσε δὲ βαλάκης βοῦς καὶ πρόβατον καὶ ἔπεμψε τῷ βιλάμῃ τοῖς τ'

---

27. βιλεάμῳ c. cd. ed. **30.** ἀφότου] ἀφ' ὅτου cod. Cf. Exod. V, 23. Prol. I, 4, d. **34.** ἵστασαι cod., non ἵσταται ut ed. **37.** οὐ] οὐκ cod. et ed. Videlicet eum aoristum (ἐπόρευσας) in mente habuisse. **38.** βαλάκον c. cd. ed. itemque XXIII, 1. πρὸς σὲ νῦν· ἄρ' κτλ.] invito codice ed. sic: πρὸς σέ, νῦν ἄρ' κτλ. Cf. LXX.

ἄρχουσι τοῖς ξὺν αὐτῷ. [41] ἐτέλεσε δ' ἐν ἕῳ, καὶ ἔλαβε βαλάκης τὸν βιλάμην, ἀνήνεγκέ τέ ἑ τοῖς βωμοῖς τοῦ ἐφεστῶτος· τεθέαται δ' ἐκεῖθεν ἄκρον τοῦ λεώ. XXIII. [1] καὶ εἶπε βιλάμης πρὸς βαλάκην· δόμησαί μοι ὧδε ἑπτὰ θυτήρια καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ ταύρους ἑπτά τε κριούς. [2] ἐποίησεν οὖν βαλάκης καθάπερ διείλεκται βιλάμης, ἀνήνεγκέ τε βαλάκης καὶ βιλάμης ταῦρον καὶ κριὸν εἰς τὸ θυτήριον. [3] ἔφη δὲ βιλάμης τῷ βαλάκῃ· ἵστασο ἐπὶ τῆς ἀναφορᾶς σου, πορεύσομαί τε, τυχὸν συναντηθήσεται ὁ ὀντωτὴς εἰς ξυνάντησίν μοι· λόγον θ' ὃν δείξει μοι, καὶ ἀγγελῶ σοι. τοίνυν ἀπῆλθε μετεώρῳ. [4] συνήντησε δ' ὁ θεὸς πρὸς βιλάμην, ἔφη τε πρὸς αὐτόν· τὰ ἑπτὰ θυτήρια διέταξα, καὶ ἀνήνεγκα ταῦρον καὶ κριὸν ἐς τὸ θυτήριον. [5] ἔθηκε δ' ὁ ὀντωτὴς λόγον ἐν στόματι βιλάμου καὶ εἶπεν· ὑπέστρεψον πρὸς βαλάκην, τῇδέ τε διαλέξῃ. [6] τοίνυν ὑπέστρεψε πρὸς αὐτὸν, αὐτίκα θ' εἱστήκει ἐπὶ τῆς ἀναφορᾶς αὐτοῦ κεῖνος καὶ πάντες οἱ ἄρχοντες τοῦ μωάβου. [7] τοίνυν ἦρε τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπεν· ἀπ' ἀράμου ἤγαγέ με βαλάκης βασιλεὺς μωάβου, ἀπ' ὀρῶν ἀνατολῆς· δεῦρο κατάρασαί μοι τὸν ἰακῶβον, δεῦρό τε κακολόγησόν μοι τὸν ἰσραέλον. [8] τί βλασφημήσω τῷ μὴ βλασφημεῖν θεόν; τί τε κακολογήσω, οὐκ ἐκακολόγησεν ὁ ὀντωτής; [9] ἀπὸ γὰρ κρατὸς πετρῶν ὄψομαί ἑ καὶ ἀπὸ λόφων ἀθρήσω ἑ· θεῷ λεὼς μόνος οἰκήσει κἀν τοῖς ἔθνεσιν οὐ λογισθήσεται. [10] τίς ἐμέτρησε τὸν χοῦν ἰακώβου καὶ τὸν ἀριθμὸν, τὸν τετραγωνισμὸν τοῦ ἰσραέλου; τεθναίη ἡ ψυχή μου θάνατον εὐθέων, τελέσειέ τε τοὔσχατόν μου ὡς αὐτός. [11] ἔφη γοῦν βαλάκης πρὸς βιλάμην· τί ἐποίησάς μοι; βλασφημῆσαι τοὺς ἐχθρούς μου ἔλαβόν σε, καὶ θεῷ εὐλόγησας τῷ εὐλογεῖν. [12] ἀποκέκριται δὲ καὶ εἶπεν· ἆρ' οὐχ ὅπερ θείη ὁ ὀντωτὴς ἐν τῷ στόματί μου, αὐτὸ φυλάξω διαλέγεσθαι; [13] καὶ εἶπε πρὸς αὐτὸν βαλάκης· δεῦρο δὴ σὺν ἐμοὶ πρὸς τόπον ἕτερον, οὗ ὄψει αὐτὸν ἐκεῖθεν· πλὴν ἄκρον αὐτοῦ θεάσῃ, καὶ ὅλον οὐκ ὄψει· βλασφήμησον δ' αὐτόν μοι ἐκεῖθεν. [14] ἔλαβέ τέ ἑ εἰς ἀγρὸν ἀθρούντων ἐς κεφαλὴν λόφου, καὶ ἐδομή-

---

XXIII. 3. τυχὸν] τυχὴν rursus c. cd. ed. 4. ἐς cod., non εἰς ut ed. 6. εἱστήκει] ἱστήκει cod. et ed. Cf. Gen. XVIII, 2. Dan. VIII, 3 cet. 7. κακολόγησόν μοι] absque לִי text. Hebr. Cf. LXX. Prol. II, 2, i. 8. ουκ ἐκακολ.] supplendum ὃν, quod translator anxius omisit, quia אֲשֶׁר abest a textu Hebr. 10. τελέσειέ τε cod., non τελέσει τε ut ed.

σατο ἑπτὰ ϑυτήρια, καὶ ἀνήνεγκε ταῦρον καὶ κριὸν ἐν τῷ ϑυτηρίῳ. [15] καὶ εἶπε πρὸς βαλάκην· ἵστασο ὧδε ἐπὶ τῆς ἀναφορᾶς σου, κἀγὼ συναντηϑήσομαι ὧδε. [16] συνήντησε δ' ὁ ὀντωτὴς πρὸς βιλεάμην, ἔϑηκέ τε λόγον ἐν στόματί οἱ καὶ εἶπεν· ὑπόστρεψον πρὸς βαλάκην, τῇδέ τε διαλέξῃ. [17] τοίνυν ἀφίκετο πρὸς αὐτὸν, αὐτίκα τε κεῖνος ἵστατο ἐπὶ τῆς ἀναφορᾶς ἑαυτοῦ καὶ οἱ ἄρχοντες μωάβου σὺν αὐτῷ. καὶ ἔφη οἱ βαλάκης· τί διείλεκται ὁ ὀντωτής; [18] ἦρε δὲ τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπεν· ἔγειραι, βαλάκη, καὶ ἄκουσον, ἐνώτισαι τὰ ῥήματά μου, υἱὲ αὐτοῦ τοῦ σιπῶρος. [19] οὐκ ἀνὴρ ὁ ϑεὸς καὶ ψεύσεται, υἱεὺς ἀνϑρώπου καὶ μετανοήσεται· ἆρ' ἐκεῖνος ἔφη, καὶ οὐ ποιήσει; καὶ διείλεκται, καὶ οὐ κυρώσει αὐτό; [20] ϑεῶ εὐλογεῖν ἔλαβον, εὐλόγησέ τε καὶ οὐκ ἀποστρέψει αὐτό. [21] οὐκ ἠτένισε φαῦλον εἰς ἰακῶβον οὔτ' εἶδε κόπον ἐς ἰσραέλον· ὁ ὀντωτὴς ὁ ϑεὸς αὐτοῦ σὺν αὐτῷ καὶ ἀλαλαγμὸς βασιλέως ἐν αὐτῷ. [22] ϑεὸς ἐξάγει τούτους ἀπ' αἰγύπτου, ὡς κράτη μονοκέρωτος αὐτῷ· [23] οὐ γάρ ἐστι στοχαστὴς ἐν ἰακώβῳ οὔτε μάντις ἐν ἰσραέλῳ· κατὰ καιρὸν ῥηϑήσεται τῷ ἰακώβῳ τῷ τ' ἰσραέλῳ τί εἴργασται ὁ ϑεός. [24] ἰδοὺ λεὼς ὡς λέαινα ἐγερεῖται, καὶ ὡς λέων ἀρεῖται· οὐκ ἀνακλινεῖται μέχρις ἂν φάγοι ἅρπαγμα καὶ αἷμα πεφονευμένων πίοι. [25] τοίνυν ἔφη βαλάκης πρὸς βιλάμην· καὶ τῷ βλασφημεῖν οὐ βλασφημήσεις αὐτὸν καὶ τῷ εὐλογεῖν οὐκ εὐλογήσεις αὐτόν. [26] ἀποκέκριται δὲ βιλεάμης καὶ εἶπε πρὸς βαλάκην· ἆρ' οὐ διείλεγμαι πρὸς σὲ τῷ φάσκειν· πᾶν ὅπερ διαλέξοιτο ὁ ὀντωτής, ἐκεῖνο ποιήσω; [27] καὶ εἶπε βαλάκης πρὸς βιλάμην· δεῦρο δὴ λάβω σε πρὸς τόπον ἕτερον, ἴσως εὐϑυνεῖται ἐν ὄμμασι τοῦ ϑεοῦ καὶ καταρᾶσϑαι αὐτόν μοι ἐκεῖϑεν. [28] ἔλαβέ τε βαλάκης τὸν βιλάμην ἐς κεφαλὴν τοῦ πῶρος τὴν κεκυφυῖαν ἐπὶ πρόσωπον τῆς ἐρήμου. [29] ἔφη τε βιλάμης πρὸς βαλάκην· δόμησαί μοι ὧδε ἑπτὰ ϑυτήρια καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ ταύρους ἑπτά τε κριούς. [30] ἐποίησέ τε βαλάκης καϑάπερ εἴρηκε βιλάμης, ἀνήνεγκέ τε τὸν ταῦρον

---

15. συναντιϑήσομαι cod. et ed. Cf. v. 3. 18. ῥήματά μου] עֲדַי pro עָדַי? Vix hoc cum דְּבָרַי confudit. 19. μετανοήσεται cod., non μετανοήσει ut ed. 20. ἀποστρέψει] nonne ἀποστρέψω (אֲשִׁיבֶנָּה)? 23. στοχαστὴς cod., non στόχασις ut ed. ἰακόβῳ (bis) c. ed. ed. τῷ τ' cod. Ed. τ' om. 24. οὐκ cod., non οὐ ut ed. 25. βλασφημήσεις cod., non βλασφημήσει ut ed. et paullo inferius εὐλογήσεις, non εὐλογήσει 27. δὴ cod., non δὲ ut ed. σε] δὲ cod. et ed. 28. κεκυφυῖαν cod. Cf. Prol. I, 4, s.

XXIV. καὶ τὸν κριὸν εἰς τὸ ϑυτήριον. [1] εἶδεν οὖν βιλάμης ὅτι χρηστὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ τὸ εὐλογεῖν τὸν ἰσραέλον, καὶ οὐκ ἀπῆλϑε καϑὼς βολῇ ἐν βολῇ εἰς ξυνάντησιν τῶν στοχασμῶν, ἤγετο δὲ πρὸς τὴν ἔρημον τὸ πρόσωπον ἑαυτοῦ. [2] καὶ ἦρε βιλάμης τὼ ὄμματέ οἱ καὶ ἤϑρησε τὸν ἰσραέλον οἰκοῦντα εἰς τὰ σκῆπτρά οἱ· καὶ ὑπῆρξεν ἐπ᾽ αὐτοῦ πνεῦμα ϑεοῦ. [3] ἦρέ τε τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπε· φησὶ βιλάμης υἱεὺς αὐτοῦ τοῦ βεῶρος καὶ φησὶν ὁ ἀνὴρ ὁ πεφραγμένος τὸν ὀφϑαλμὸν, [4] φησὶν ὁ ἀκούων ῥήματα ϑεοῦ, ὃς ϑέαμα κραταιὸν ϑεᾶται, πίπτων καὶ ἀνακεκαλυμμένος τοὺς ὀφϑαλμούς· [5] ὡς ἠγάϑυναν αἱ σκηναί σου, ιακῶβε, τὰ οἰκήματά σου, ἰσραέλε· [6] ὡς χείμαρροι ἔκλιναν, ὡς παράδεισοι ἐπὶ ποταμοῦ· ὡς σκηνὰς ἔκλινεν ὁ ὀντωτής, ὡς κέδρους ἐφ᾽ ὕδατος. [7] ῥεύσει ὕδατα ἀπὸ τῶν πρόχων οἱ, τὸ δὲ σπέρμα οἱ ἐν ὕδασι πολλοῖς· καὶ ὑψωϑήσεται ὑπὲρ ἄγαγον ὁ βασιλεὺς αὐτοῦ, καὶ ἐπαρϑήσεται ἡ βασιλεία οἱ. [8] ϑεὸς ἐξάγει αὐτὸν ἀπ᾽ αἰγύπτου, ὡς κράτη μονοκέρωτος αὐτῷ· ἔδεται ἔϑνη ἐχϑρά οἱ, τά τ᾽ ὀστᾶ σφῶν ὀστομασήσει καὶ τὰ βέλη οἱ ϑραύσει. [9] ἔκαμψεν, ἀνακέκλιται ὡς λέων καὶ ὡς λέαινα· τίς ἐγερεῖ ἕ; οἱ εὐλογοῦντές σε, εὐλογητὸς, καὶ οἱ καταρώμενοί σοι, κατάρατος. [10] ὤργισταί ϑ᾽ ὁ ϑυμὸς βαλάκου πρὸς βιλάμην, ἐκρότησέ τε τὰς παλάμας ἑαυτοῦ· καὶ εἶπε βαλάκης πρὸς βιλάμην· βλασφημῆσαι τοὺς ἐχϑρούς μου μετεκαλεσάμην σε, ϑεῶ δὲ εὐλόγησας τῷ εὐλογεῖν τοδὶ τρισὶ βολαῖς· [11] νῦν οὖν ἀπόδρα σαυτῷ πρὸς τὸν τόπον σου. ἔφην· τῷ τιμᾶν τιμήσω σε, καὶ ϑεῶ ἐπέσχε σε ὁ ὀντωτὴς ἀπὸ τιμῶν. [12] ἔφη δὲ βιλάμης πρὸς βαλάκην· ἆρ᾽ οὐ καὶ πρὸς τοὺς ἀγγέλους σου οὓς ἔπεμψας πρός με διείλεγμαι τῷ φάσκειν· [13] εἰ δοίη μοι βαλάκης τὸ πλήρωμα τοῦ δόμου οἱ ἄργυρον καὶ χρυσὸν, οὐχ ἕξω παραβῆναι τὸ στόμα τοῦ ὀντωτοῦ ὡς ποιοίην χρηστὸν ἢ φαῦλον ἀπὸ καρδίας μου· ὃ διαλέξεται ὁ ὀντωτής, ἐκεῖνο διαλέξομαι. [14] νῦν οὖν ϑεῶ ἐγὼ ἄπειμι ἐς τὸν λεών μου· δεῦρο βουλεύσω σοι ἅττα ποιήσει ὁ λεὼς ὁδὶ τῷ λεῷ σου ἐν ὑστέρῳ τῶν ἡμερῶν.

XXIV. 1. τοῦ στοχασμοῦ c. cd. ed. ἤγετο] ἔϑετο (וַיָּשֶׁת)? 2. τὼ cod., non τὰ ut ed. 4. ϑεοῦ] τοῦ ϑεοῦ c. cd. ed. ϑέαμα] ϑεᾶται cod. et ed. Cf. v. 16. Gen. XV, 1. 6. ἔκλινεν] נָטָה (ut Sam.) pro נְטָעָ 8. ἔχϑρα οἱ ed., ἐχϑρά οἱ cod. Cf. Prol. I, 4, b. 11. ἐπέσχε] ἐπέγχε cod. et ed. Cf. Gen. XXX, 2. Eccl. II, 10.

[15] ἦρεν οὖν τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπε· φησὶ βιλάμης υἱεὺς αὐτοῦ τοῦ βεῶρος, φησί θ' ὁ ἀνὴρ ὁ πεφραγμένος τὸν ὀφθαλμόν, [16] φησὶν ὁ ἀκούων ῥήματα θεοῦ καὶ εἰδὼς γνῶσιν μεταρσίου· θέαν κραταιοῦ θεάσεται, πίπτει καὶ ἀνακεκαλυμμένος τὰ ὄμματα· [17] ὄψομαί ἑ, καὶ οὐ νῦν· θεάσομαί ἑ, καὶ οὐχ ἐγγύς. ἐπάτησεν ἀστὴρ ἐξ ἰακώβου, στήσεταί τε σκῆπτρον ἐξ ἰσραέλου καὶ θραύσει τὰς ἄκρας μωάβου τό τ' ἔδαφος πάντων τῶν υἱέων σέθου· [18] τελέσει τ' ἐδῶμος κλῆρος, τελέσει τε κλῆρος σεήρου ἐχθροί οἱ· καὶ ἰσραέλος ποιῶν ἰσχύν· [19] ἦρξε δ' ἐξ ἰακώβου καὶ ἀπώλεσεν ὑπόλοιπον ἀπ' ἄστεος. [20] εἶδέ τε τὸν ἀμαλέκην καὶ ἦρε τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπεν· ἀρχὴ ἐθνῶν ἀμαλέκης, τὸ δ' ἔσχατον αὐτοῦ μέχρις ἀπολλυμένου. [21] εἶδέ τε τὸν καίνιον καὶ ἦρε τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπε· στερρὰ ἡ καθέδρα σου, καὶ θὲς ἐν πέτρᾳ τὸν φωλεόν σου· [22] ἀλλά τε τελέσει ἀνάπτειν κάϊν, ἄχρις οὗ ἀσοῦρος ἀνδραποδίσοιτό σε. [23] καὶ ἦρε τὴν παραβολὴν ἑαυτοῦ καὶ εἶπεν· αἶ, τίς ζήσεται ἀπὸ τοῦ τιθέναι ἑ θεόν; [24] καὶ νῆες ἀπὸ χειρὸς κιττῶν, ἐταπείνωσαν δ' ἀσοῦρον, ἐταπείνωσάν τε ἔβερον· ἔτι τε κεῖνος ἀπόλλυται. [25] τοίνυν ἐγήγερται βιλάμης, ἀπῆλθέ τε καὶ ὑπέστρεψε τῷ τόπῳ οἱ· πρὸς δὲ καὶ βαλάκης ἀπῆλθε τῇ ὁδῷ ἑαυτοῦ.

XXV. [1] Ἐκαθέσθη τοιγαροῦν ἰσραέλος ἐν κυπαρίττοις. ἤρξατό θ' ὁ λεὼς πορνεύειν πρὸς τὰς θυγατέρας τοῦ μωάβου· [2] ἐκάλεσάν τε τὸν λεὼν ἐς τὰς θυσίας τῶν θεῶν αὐτῶν, καὶ βέβρωκεν ὁ λεὼς προσεκύνησέ τε τοῖς κείνων θεοῖς. [3] καὶ ξυνεπλάκη ἰσραέλος τῷ σεβάσματι τοῦ πεῶρος· ὤργισταί θ' ὁ θυμὸς τοῦ ὀντωτοῦ ἐς ἰσραέλον. [4] ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα· λάβε ξυμπάσας τὰς κεφαλὰς τοῦ λεὼ καὶ ἄρτησον σφᾶς τῷ ὀντωτῇ ἀντικρὺ τοῦ ἡλίου, καὶ στραφήσεται ἡ ὀργὴ τοῦ θυμοῦ τοῦ ὀντωτοῦ ἀπ' ἰσραέλου. [5] τοιγαροῦν ἔφη

---

15. τὸν ὀφθαλμὸν cod., non τοὺς ὀφθαλμοὺς ut ed. 17. ἔδαφος] קַרְקַר pro קָדְקֹד (cf. V, 17)? 20. εἶδέ τε cod., non εἶδέ σε ut ed. 21. τὸν φωλεόν cod., non τὴν φωλεάν ut ed. 23. αἶ] sic cod. Cf. XXI, 29. 24. καὶ νῆες] καὶ νῆες (non νέες ut ed.) καὶ ναῦς cod. Suspicor in autographo primo scriptum fuisse καὶ ναῦς, tum correctum καὶ νῆες. Cf. Prol. I, 2, f. ἔβρον c. cd. ed. κεῖνος] עֵבֶר om.

XXV. 1. ἐς κιπαρίττοις cod. et ed. Cf. Exod. XXV, 5. 10. 13 cet. 2. ἐκάλεσαν cod., non ἐκέλευσεν ut ed., neque ἐκέλεσαν ut apud Morellium legitur.

μωσεὺς πρὸς τοὺς κριτὰς τοῦ ἰσραέλου· διαχρήσασϑε ἕκαστος τοὺς ἄνδρας ἑαυτοῦ τοὺς ξυμπεπλεγμένους τῷ σεβάσματι τοῦ πεῶρος. [6] αὐτίκα δ' ἀνὴρ πρὸς τῶν υἱέων τοῦ ἰσραέλου ἀφικνεῖτο καὶ ἤγγισε πρὸς τὸν ἀδελφὸν ἑαυτοῦ τὴν μιδιανίτιν ἐν ὄμμασι μωσέως κἀν ὄμμασι παντὸς τοῦ ἀϑροίσματος τῶν υἱέων τοῦ ἰσραέλου· κεῖνοι δ' ἔκλαιον τῷ πυλῶνι τῆς σκηνῆς τοῦ ξυναγμοῦ. [7] τεϑέαται δὲ πινάξης υἱεὺς ἐλεαζάρου υἱέως ἀαρῶνος τοῦ ἱερέως, καὶ ἐγήγερται μέσοϑεν τοῦ ἀϑροίσματος, ἔλαβέ τ' ἄκοντα ἐν χειρί οἱ, [8] καὶ ἀφῖκται κατόπιν τοῦ ἀνδρὸς τοῦ ἰσραέλου πρὸς τὴν σκηνὴν καὶ κατήλασεν ἄμφω σφὼ, τὸν ἄνδρα τοῦ ἰσραέλου καὶ τὴν γυναῖκα πρὸς τῇ κύστει ταύτης· τοίνυν ἐπίσχηται ἡ πληγὴ ἄνωϑεν τῶν υἱέων τοῦ ἰσραέλου. [9] ὑπῆρξαν δ' οἱ τεϑνηκότες ἐν τῇ βολῇ τέτταρες καὶ εἴκοσι χιλιάδες.

(μερίς) [10] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [11] πινάξης υἱεὺς ἐλαζάρου υἱέως ἀαρῶνος τοῦ ἱερέως ἔστρεψε τὸν χόλον μου ἄνωϑεν τῶν υἱέων τοῦ ἰσραέλου, ἐπεὶ ζηλώσειεν αὐτὸς τὸν ζῆλόν μου μέσον αὐτῶν, καὶ οὐκ ὠλόϑρευσα τοὺς υἱέας ἰσραέλου ἐν τῷ ζήλῳ μου. [12] διὸ φάϑι· ϑεῶ ἐγὼ δίδωμί οἱ τὴν συνϑήκην μου εἰρήνην, [13] τελέσει τέ οἱ καὶ τῷ σπέρματί οἱ μετ' αὐτὸν συνϑήκη ἱερωσύνης αἰῶνος, ἀνϑῶνπερ ἐζήλωσε τῷ ϑεῷ οἱ καὶ παρῃτήσατο ὑπὲρ τῶν υἱέων τοῦ ἰσραέλου. [14] τοὔνομα δὲ τοῦ ἀνδρὸς τοῦ ἰσραέλου τοῦ πεπληγότος, ὃν ἔπληξε σὺν τῇ μιδιανίτιδι, ζιμερὶν, υἱεὺς ξαλοῦντος ἡγεμόνος τοῦ δόμου τοῦ πατρὸς τοῦ συμεωνίου· [15] τοὔνομα μέντοι τῆς γυναικὸς τῆς πεπληγυίας τῆς μιδιανίτιδος κωζεβὶν, ϑυγάτηρ σούρου· κεφαλὴ λαῶν τοῦ δόμου τοῦ πατρὸς μιδιᾶνος ἦν.

[16] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [17] στένου τοὺς μιδιανίους καὶ βαλεῖτε σφᾶς· [18] στενοῦσι γὰρ ἐκεῖνοι ὑμῖν ἐν τοῖς δόλοις σφῶν, οἷς ἐδολιεύσαντο ὑμῖν ἐπὶ τῷ χρήματι τοῦ πεῶρος κἀπὶ τῷ χρήματι τῆς κωζεβῖνος τῆς ϑυγατρὸς τοῦ ἡγεμόνος τοῦ

6. τὸν ἀδελφὸν] l. τοὺς ἀδελφοὺς (אֶחָיו). τὴν μιδιανίτιν (hoc accentu; cf. Ruth I, 22. II, 2 cet.) cod., non τὸν μιδ. ut ed. 7. ἐλααζάρου c. cd. ed. 8. ἐπίσχηται cod., non ἐπίσχεται ut ed. 13. ἀνϑῶνπερ] sic cod. Cf. Gen. XXII, 16. 18 cet. 14. ἔπληξε] הִכָּה pro הֻכָּה 15. κωξεβὶν c. cd. ed. κεφαλὴ] κεφαλῆς cod. et ed.

μιδιᾶνος, τῆς ἀδελφῆς τῆς πεπληγυίας ἐν τῇ ἡμέρᾳ τῆς βολῆς ἐπὶ τῷ χρήματι τοῦ πεῶρος. [19] ἐτέλεσε δὲ μετὰ τὴν βολήν,

[1] Καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα καὶ πρὸς ἐλαζάρην τὸν υἱὸν ἀαρῶνος τοῦ ἱερέως τῷ φάναι· [2] ἄρατε τὴν κεφαλὴν παντὸς τοῦ ἀθροίσματος τῶν υἱέων τοῦ ἰσραέλου ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω τοῦ δόμου τῶν πατέρων αὐτῶν, πάντ' ἐξιόντα στρατιᾷ ἐν τῷ ἰσραέλῳ. [3] διείλεκται τοίνυν μωσεὺς καὶ ἐλαζάρης ὁ ἱερεὺς αὐτοῖς ἐν τοῖς ἐρήμοις τοῦ μωάβου ἐπὶ ἰαρδένου ἱερεοῦς τῷ φάσκειν· [4] ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ· υἱεῖς δ' ἰσραέλου οἱ ἐξελθόντες ἀπὸ γῆς αἰγύπτου· [5] ῥεουβένης πρωτότοκος ἰσραέλου. υἱεῖς ῥεουβένου· ἀνῶχος, ἡ φρήτρα τοῦ ἀνωχίου, τῷ φαλοῦντι φρήτρα τοῦ φαλουντίου, [6] τῷ ἐσερῶνι φρήτρα τοῦ ἐσερωνίου, τῷ χαρμῖνι φρήτρα τοῦ χαρμινίου. [7] αὗται αἱ φρῆτραι τοῦ ῥεουβενίου· ἐτέλεσάν θ' οἱ ἐπεσκεμμένοι σφῶν τρεῖς καὶ τετταράκοντα χιλιάδες ἑπτακόσιοί τε καὶ τριάκοντα. [8] υἱεῖς δὲ φαλοῦντος· ἐλιάβης. [9] υἱεῖς δ' ἐλιάβου· νεμουέλος, δαθάν τε καὶ ἀβιράμης· κεῖνος δαθὰν καὶ ἀβιράμης παρακλήτορες τοῦ ἀθροίσματος, ὥπερ ἐθορυβησάτην κατὰ μωσέως καὶ κατ' ἀαρῶνος ἐν τῷ ἀθροίσματι τοῦ χοράου ἐπεὶ ἐθορύβησαν αὐτοὶ κατὰ τοῦ ὀντωτοῦ· [10] ἠνέῳξε δὲ ἡ γῆ τὸ στόμα ταύτης, κατέπιέ τε σφᾶς καὶ τὸν χόραον ἐν τῷ θνήσκειν τὸ ἄθροισμα, ἐπεὶ ἤσθιε τὸ πῦρ τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας· ἐτέλεσάν τε εἰς σημεῖον. [11] οἱ δ' υἱεῖς χοράου οὐ τεθνάσιν.

[12] Υἱεῖς συμεῶνος ἐς φρήτρας ἑαυτῶν· τῷ νεμουέλῳ φρήτρα τοῦ νεμουελίου, τῷ ἰαμῖνι φρήτρα τοῦ ἰαμινίου, τῷ ἰαχῖνι φρήτρα τοῦ ἰαχινίου, [13] τῷ ζεράῳ φρήτρα τοῦ ζεραΐτου, τῷ σαούλῳ φρήτρα τοῦ σαουλίτου. [14] αὗται αἱ φρῆτραι τοῦ συμεωνίου· δύο καὶ εἴκοσι χιλιάδες καὶ διακόσιοι.

[15] Υἱεῖς γάδου εἰς φρήτρας αὐτῶν· τῷ σεφῶνι φρήτρα τοῦ σεφωνίου, τῷ

---

18. τῆς ἀδελφῆς] aut excidit αὐτῶν (vel σφῶν), aut אחת (ita cod. Kenn. 84) legit pro אֲחֹתָם

XXVI. 9. χοράου] sic pro κοράχου (ut Gen. XXXVI, 5. 14 cet.) cod. Cf. v. 10 sq. XVI, 1 cet. 11. τεθνάσιν] hoc accentu utitur interpres. Cf. Gen. VII, 22. 12. ἰαχῖνι] ἀχῖνι cod. et ed. 13. ξεράῳ c. cd. ed. itemque ξεραΐτου pro ζερ.

ἀγῖνι φρήτρα τοῦ ἀγινίτου, τῷ σουνῖνι φρήτρα τοῦ σουνινίου, [16] τῷ ὠζενῖνι φρήτρα τοῦ ὠζενινίου, τῷ ἐρῖνι φρήτρα τοῦ ἐρινίτου, [17] τῷ ἀρώδιϊ φρήτρα τοῦ ἀρωδίτου, τῷ ἀρελῖνι φρήτρα τοῦ ἀρελίτου. [18] αὗται αἱ φρῆτραι τῶν υἱέων γάδου εἰς τοὺς ἐπεσκεμμένους σφῶν· τετταράκοντα χιλιάδες καὶ πεντακόσιοι.

[19] Υἱεῖς ἰεούδου· εἶρ καὶ ὠνάν· τέϑνηκε δ' εἶρ καὶ ὠνὰν ἐν γῇ κεναᾶνος. [20] ἐτέλεσαν δ' υἱεῖς ἰεούδου ἐς φρήτρας αὐτῶν· τῷ σελάῳ φρήτρα τοῦ σελανίου, τῷ περέσῳ φρήτρα τοῦ περεσίου, τῷ ζεράῳ φρήτρα τοῦ ζεραΐτου. [21] ἐτέλεσαν δ' υἱεῖς περέσου· τῷ ἑσερῶνι φρήτρα τοῦ ἑσερωνίου, τῷ ἀμούλῳ φρήτρα τοῦ ἀμουλίου. [22] αὗται αἱ φρῆτραι τοῦ ἰεούδου εἰς τοὺς ἐπεσκεμμένους σφῶν· ἓξ καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι.

[23] Υἱεῖς ἰσσαχάρου ἐς φρήτρας αὐτῶν· τολάος, φρήτρα τοῦ τολαΐτου, τῷ πουβάνῳ φρήτρα τοῦ πουβανίου· [24] τῷ ἰασούβῳ φρήτρα τοῦ ἰασουβίου, τῷ σιμερῶνι φρήτρα τοῦ σιμερωνίου. [25] αὗται αἱ φρῆτραι τοῦ ἰσσαχάρου εἰς ἐπεσκεμμένους σφῶν τέτταρας ἑξήκοντά τε χιλιάδας καὶ τριακοσίους. [26] Υἱεῖς ζεβουλούνου εἰς φρήτρας αὐτῶν· τῷ ξερέδῳ φρήτρα τοῦ ξερεδίου, τῷ ἐλῶνι φρήτρα τοῦ ἐλωνίου, τῷ οὐαλεέλῳ φρήτρα τοῦ οὐαλεελίου. [27] αὗται αἱ φρῆτραι τοῦ ζεβουλενίου εἰς ἐπεσκεμμένους σφῶν ἑξήκοντα χιλιάδας καὶ πεντακοσίους.

[28] Υἱεῖς ἰωξέφου ἐς φρήτρας αὐτῶν· μενασεὺς καὶ ἐφράϊμος. [29] υἱεῖς μενασέως· τῷ μαχίρῳ φρήτρα τοῦ μαχιρίτου, μαχῖρος δὲ ἐγέννησε τὸν γιλάδην· τῷ γιλάδῃ φρήτρα τοῦ γιλαδίτου. [30] οὗτοι υἱεῖς γιλάδου· ἠέζερος, φρήτρα τοῦ ἠεζερίτου, τῷ ἑλέκῳ φρήτρα τοῦ ἑλεκίτου. [31] καὶ ἀσριέλος, φρήτρα τοῦ ἀσεριελίτου, καὶ σέχεμος, φρήτρα τοῦ σεχεμίτου, [32] καὶ σεμιδάος, φρήτρα τοῦ σεμιδαΐτου, καὶ ἔφερος, φρήτρα τοῦ ἐφερίου· [33] σελαφεάδης δὲ ὁ υἱεὺς ἐφέρου οὐκ ἔσχεν υἱεῖς, ἀλλὰ ϑυγατέρας· ὄνομα δὲ τῶν ϑυγατέρων σαλφάδου· μααλὰ ἀννά τε, ἀσελὰ, μακὰ καὶ

---

15. ἀγῖνι (spir. len.) cod. (חַגִּי). Cf. Gen. XLVI, 16. 16. ὠξενῖνι c. cd. ed. ὠζενινίου] ζενινίου cod. 21 ἑσερῶνι cod. et paullo inferius ἀμούλῳ. Cf. Gen. XLVI, 9. 12. 26. οὐαλεέλῳ] sic reddit יַחְלְאֵל. Cf. Gen. XLVI, 14. 27. ζεβουλενίου] ita cod. (זְבוּלֹנִי). 31. σέχεμος] ἀσέχ. cod. et ed. 32. ἔφερος cod. Item v. sq. XXVII, 1 (חֵפֶר). 33. σαλφάδου] σελαφεάδου? Sed cf. XXVII, 1. 7. ἀννά — ἀσελὰ — μακὰ] omnia haec videntur corrupta. Rectius XXXVI, 11 νωὰ (נֹעָה) — ἀγλὰ (ἁγλὰ? חָגְלָה) — μιλκὰ (מִלְכָּה).

ϑυρσά. [34] αὗται αἱ φρῆτραι τοῦ μενασέως· ἐπεσκεμμένοι δ' αὐτοῦ δύο καὶ πεντήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

[35] Οὗτοι υἱεῖς ἐφραΐμου ἐς φρήτρας αὐτῶν· τῷ σουϑελάῳ φρήτρα τοῦ σουϑελαΐτου, τῷ βεχέρῳ φρήτρα τοῦ βεχερίου, τῷ ταᾶνι φρήτρα τοῦ ταανίου. [36] οὗτοι υἱοὶ σουϑαλάου· τῷ αἰρᾶνι φρήτρα τοῦ αἰρανίου. [37] αὗται φρῆτραι τῶν υἱέων ἐφραΐμου εἰς ἐπεσκεμμένους σφῶν δύο καὶ τριάκοντα χιλιάδας καὶ πεντακοσίους· οὗτοι υἱεῖς ἰωξέφου ἐς φρήτρας αὐτῶν.

[38] Υἱοὶ βινιαμῖνος ἐς φρήτρας αὐτῶν· τῷ βελάῳ φρήτρα τοῦ βελαΐτου, τῷ ἀσβέλῳ φρήτρα τοῦ ἀσβελίου, τῷ ἀηράμη φρήτρα τοῦ ἀηράμου, [39] τῷ σεφουφάμη φρήτρα τοῦ σεφουφαμίου, τῷ οὐφάμῳ φρήτρα τοῦ οὐφαμίου. [40] ὑπῆρξαν δ' υἱοὶ βελάου· ἄρδης καὶ νααμάν· φρῆτραι τοῦ ἀρδίου· τῷ νααμᾶνι φρήτρα τοῦ νααμίου. [41] οὗτοι υἱοὶ βινιαμῖνος ἐς φρήτρας αὐτῶν· ἐπεσκεμμένοι δ' αὐτῶν πέντε καὶ τετταράκοντα χιλιάδες καὶ ἑξακόσιοι.

[42] Οὗτοι υἱοὶ δανὸς ἐς φρήτρας αὐτῶν· τῷ σωάμῃ φρήτρα τοῦ σωαμίου. αὗται αἱ φρῆτραι δανὸς ἐς φρήτρας αὐτῶν. [43] πᾶσαι αἱ φρῆτραι τοῦ σουαμίου εἰς τοὺς ἐπεσκεμμένους αὐτῶν τέτταρας καὶ ἑξήκοντα χιλιάδας καὶ τετρακοσίους.

[44] Υἱεῖς ἀσέρου ἐς φρήτρας αὐτῶν· τῷ ἰμνάῳ φρήτρα τοῦ ἰμνάου, τῷ ἰσευῖνι φρήτρα τοῦ ἰσευινίου, τῷ βεριάῳ φρήτρα τοῦ βεριΐτου· [45] τοῖς υἱέσι βεριάου· τῷ ἕβερ φρήτρα τοῦ ἐβερίου, τῷ μαλχιέλῳ φρήτρα τοῦ μαλχιελίου· [46] τοὔνομα δὲ τῆς ϑυγατρὸς ἀσέρου ξάρα. [47] αὗται αἱ φρῆτραι τῶν υἱέων ἀσέρου εἰς ἐπεσκεμμένους αὐτῶν τρεῖς καὶ πεντήκοντα χιλιάδας καὶ τετρακοσίους.

[48] Υἱεῖς ναφεταλῖνος ἐς φρήτρας αὐτῶν· τῷ ἰασεέλῳ φρήτρα τοῦ ἰασεελίου, τῷ γουνῖνι φρήτρα τοῦ γουνινίου, [49] τῷ ἰασέρῳ φρήτρα τοῦ ἰασερίου, τῷ σιλάμῃ φρήτρα τοῦ σιλαμίου. [50] αὗται αἱ φρῆτραι τοῦ ναφεταλῖνος ἐς φρήτρας αὐτῶν· ἐπεσκεμμένοι δ' αὐτῶν πέντε καὶ τετταράκοντα χιλιάδες καὶ τετρακόσιοι.

---

37. φρῆτραι] φρή cod. 38. ἀηράμου] l. ἀηραμίου (אֲחִירָמִי). 39. οὐφάκῳ — οὐφακίου cod. 42. σωάμῃ — σωαμίου] l. σουάμῃ — σουαμίου. Cf. v. sq. 43. τέτταρες — χιλιάδες (ut ed.) corr. τέτταρας — χιλιάδας cod. 45. ἐβερίου (spir. len.) cod. At ibidem ipse ἕβερ (spir. asp.) habet. 48. ἰασεέλῳ cod., non ἰασέλῳ ut ed.

[51] οὗτοι οἱ ἐπεσκεμμένοι υἱεῖς ἰσραέλου· ἑξακόσιαι χιλιάδες καὶ χίλιοι ἑπτακόσιοι καὶ τριάκοντα.
[52] Διεϊλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [53] τούτοις μεριεῖς τὴν γῆν εἰς κληρονομίαν εἰς ἀριϑμὸν ὀνομάτων· [54] τῷ πολλῷ πληϑυνεῖς τὸν κλῆρον αὐτοῦ, τῷ ὀλίγῳ ὀλιγώσεις τὸν κλῆρον αὐτοῦ· ἑκάστῳ κατὰ τοὺς ἐπεσκεμμένους αὐτοῦ δοϑήσεται ὁ κλῆρος αὐτοῦ· [55] πλὴν ἐν κλήρῳ μερισϑήσεται ἡ γῆ, εἰς ὀνόματα σκήπτρων τῶν πατέρων αὐτῶν κληρώσονται· [56] ἐπὶ στόματος κλήρου μεριεῖς τὴν κληρονομίαν αὐτοῦ ἀνὰ πολὺν ἐς ὀλίγον.

[57] Οὗτοι δ' οἱ ἐπεσκεμμένοι τοῦ λευῖνος ἐς φρήτρας αὐτῶν· τῷ γερσῶνι φρήτρα τοῦ γερσωνίου, τῷ κεάϑῃ φρήτρα τοῦ κεαϑίου, τῷ μεραρῖνι φρήτρα τοῦ μεραρίου. [58] αὗται αἱ φρῆτραι λευῖνος· φρήτρα τοῦ λιβενίου, φρήτρα τοῦ ἑβρωνίου, φρήτρα τοῦ μαελίου, φρήτρα τοῦ μουσίου, φρήτρα τοῦ κερκίτου. κεάϑης δὲ ἐγέννησε τὸν ἀμεράμην. [59] τοὔνομα δὲ τῆς γυναικὸς ἀμεράμου ἰωσεβέδη, ϑυγάτηρ λευῖνος ἣν ἔτεκεν αὐτὴν τῷ λευῖνι ἐν αἰγύπτῳ· καὶ ἔτεκε τῷ ἀμεράμῃ τὸν ἀαρῶνα τόν τε μωσέα καὶ μεριάμην τὴν ἀδελφὴν αὐτῶν. [60] τέτεκται δὲ τῷ ἀαρῶνι ναδάβης καὶ ἀβιοῦς, ἐλαζάρης καὶ ἠϑαμάρης. [61] τέϑνηκε δὲ ναδάβης καὶ ἀβιοῦς ἐπεὶ προσηνέγκατον αὐτὼ πῦρ ἀλλότριον ἐνώπιον τοῦ ὀντωτοῦ. [62] ὑπῆρξαν δ' οἱ ἐπεσκεμμένοι σφῶν τρεῖς καὶ εἴκοσι χιλιάδες, πᾶν ἄρρεν ἀφ' υἱέως μηνὸς καὶ ἄνω· καὶ γὰρ οὐκ ἐπεσκέφϑησαν μέσον τῶν υἱέων τοῦ ἰσραέλου, ἐπεὶ οὐ δέδοται σφίσι κλῆρος μέσον τῶν υἱέων τοῦ ἰσραέλου. [63] οὗτοι οἱ ἐπεσκεμμένοι μωσέως καὶ ἐλαζάρου τοῦ ἱερέως, ὣ ἐπεσκεψάσϑην τοὺς υἱέας τοῦ ἰσραέλου ἐν τοῖς ἐρήμοις μωάβου ἐπὶ ἰαρδένου ἱερεοῦς. [64] κἀν τούτοις οὐχ ὑπῆρξεν ἀνὴρ ἀπὸ τῶν ἐπεσκεμμένων τοῦ μωσέως καὶ ἀαρῶνος τοῦ ἱερέως, ὣ ἐπεσκεψάσϑην τοὺς υἱέας τοῦ ἰσραέλου ἐν ἐρήμῳ ξιναΐνος. [65] ἔφη γὰρ ὁ ὀντωτὴς αὐτοῖς· τῷ ϑνήσκειν τεϑνήξονται ἐν τῇ ἐρήμῳ. καὶ οὐ περιλέλειπται ἀπ' αὐτῶν ἀνὴρ, εἰ μὴ καλέβης υἱεὺς ἰεφουνέως καὶ ἰωσούας υἱεὺς νούνου.

---

51. ἑξακόσιοι cod. et ed. 53. μεριεῖς] תְּחַלֵּק pro תְּחָלֵק. Item v. 56. 58. μαελίου] l. μαηλ. (cf. III, 33). κερκίτου] corruptum sine dubio est nomen; emendandum κορχίτου (קָרְחִי). 59. ἰωσεβέδη] ita pro ἰωχεβ. cod. Cf. Exod. VI, 20. μεριάμην cod., non μεριάνην ut ed. 61. αὐτὼ] αὐτῷ cod. et ed. 65. αὐτῶν] αὐτῆς cod. et ed.

[1] Ἤγγισαν δ' αἱ ϑυγατέρες σελοφάδου υἱέως ἑφέρου υἱέως γιλάδου υἱέως μαχίρου υἱέως μενασέως ἐς φρήτρας μενασέως υἱέως ἰωξέφου· ταῦτά τε τὰ ὀνόματα τῶν ϑυγατέρων αὐτοῦ· μαελὰ, νωὰ, ἀγελά τε, μιλεχά τε καὶ ϑιρσά· [2] καὶ ἔστησαν ἐνώπιον μωσέως κἀνώπιον ἐλαζάρου τοῦ ἱερέως κἀνώπιον .... παντός τε τοῦ ἀϑροίσματος ἐν πύλῃ τῆς σκηνῆς τοῦ ξυναγμοῦ τῷ φάσκειν· [3] ὁ πατὴρ ἡμῶν τέϑνηκεν ἐν τῇ ἐρήμῳ, κἀκεῖνος οὐχ ὑπῆρξε μέσον τοῦ ἀϑροίσματος τῶν ἀϑροισϑέντων κατὰ τοῦ ὀντωτοῦ ἐν τῇ ἀϑροίσει κοράχου· ὅτι ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ τέϑνηκεν, υἱεῖς τ' οὐχ ὑπῆρξαν αὐτῷ. [4] τοῦ χάριν ἐλαττωϑήσεται τοὔνομα τοῦ πατρὸς ἡμῶν μέσοϑεν τῆς φρήτρας αὐτοῦ ὅτι οὐκ ἔχει υἱόν; δὸς ἡμῖν κατάσχεσιν μέσον τῶν ἀδελφῶν τοῦ πατρὸς ἡμῶν. [5] προσήνεγκε δὲ μωσεὺς τὴν κρίσιν αὐτῶν ἐπίπροσϑεν τοῦ ὀντωτοῦ.

[6] Καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [7] εἰκότως αἱ ϑυγατέρες σελοφάδου διαλέγονται· τῷ διδόναι δώσεις αὐταῖς κατάσχεσιν κλήρου μέσον τῶν ἀδελφῶν τοῦ πατρὸς αὐτῶν, διαβιβάσεις τε τὴν κληρονομίαν τοῦ πατρὸς αὐτῶν αὐταῖς. [8] καὶ πρὸς τοὺς υἱεῖς ἰσραέλου διαλέξῃ τῷ φάσκειν· ἀνὴρ ἐπὰν ἀποϑάνοι υἱόν τ' οὐκ ἔχοι, τοίνυν διαβιβάσετε τὴν κληρονομίαν αὐτοῦ τῇ ϑυγατρί οἱ· [9] κἂν μὴ ἔχοι ϑυγατέρα, καὶ δώσετε τὸν κλῆρον αὐτοῦ τῷ ἀδελφῷ οἱ· [10] κἂν μὴ ἔχοι ἀδελφούς, καὶ δώσετε τὸν κλῆρον αὐτοῦ τοῖς ἀδελφοῖς τοῦ πατρὸς αὐτοῦ· [11] κἂν μὴ ὦσιν ἀδελφοὶ τῷ πατρί οἱ, τοιγαροῦν δώσετε τὴν κληρονομίαν αὐτοῦ τῇ σαρκί οἱ τῇ ἐγγὺς πρὸς αὐτὸν ἀπὸ τῆς φρήτρας αὐτοῦ, καὶ κληρώσεται ταύτην· τελείτω τε τοῖς υἱέσι τοῦ ἰσραέλου εἰς τύπον κρίσεως, καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ.

[12] Καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς μωσέα· ἀνάβα πρὸς τὸ ὄρος τῶν διαβάσεων τουτὶ, ϑέασαί τε τὴν γῆν ἣν ἔδωκα τοῖς υἱέσι τοῦ ἰσραέλου· [13] καὶ ὄψει ταύτην, καὶ συναχϑήσῃ πρὸς τὸν λεών σου καὶ σὺ, καϑάπερ συνῆκται ἀαρὼν ὁ ἀδελφός σου, [14] ὅτε ἀντήρατε

XXVII. 1. ἑφέρου (spir. len.) cod. ϑυγατέρων cod., non ϑυγατρῶν ut ed. μαελὰ — ἀγελά] cf. XXVI, 33. XXXVI, 11. μιλεχά] σμιλ. cod. 2. Post κἀνώπιον excidit τῶν ἡγεμόνων vel aliquid simile (הַנְּשִׂיאִם). 11. κληρώσετε cod. et ed. 13. τὸν λεών σου] עַמְּךָ (ita Sam., codd. Kenn. 9. 17. 69 al.) pro עַמֶּיךָ t. rec. Item LXX.

τῷ στόματί μου ἐν τῇ ἐρήμῳ σινὸς ἐν τῷ δικασμῷ τοῦ ἀϑροίσματος, ἁγιάσαι με ἐν τοῖς ὕδασιν ἐν ὄμμασιν αὐτῶν. ταῦτα τὰ ὕδατα τοῦ δικασμοῦ τῆς καδέσης τῆς ἐρήμου σινός.

[15] Διείλεκται δὲ μωσεὺς πρὸς τὸν ὀντωτὴν τῷ φάναι· [16] ἐπισκεψάσϑω ὁ ὀντωτὴς ὁ ϑεὸς τῶν πνευμάτων πάσης σαρκὸς ἄνδρα ἐπὶ τοῦ ἀϑροίσματος, [17] ὅς ἐξελεύσεται πρόσϑεν αὐτῶν ὅς τ' ἐλεύσεται πρόσϑεν αὐτῶν, ὅς τ' ἐξάξει σφᾶς καὶ ὃς ἄξει σφᾶς, καὶ μὴ τελεσάτω τὸ ἄϑροισμα τοῦ ὀντωτοῦ ὡς ποίμνιον, οἷς οὐκ ἔστι ποιμήν. [18] ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα· λάβε σαυτῷ ἰωσούαν τὸν υἱὸν νούνου, ἄνδρα ᾧπερ πνεῦμα ἐν αὐτῷ, ἐρείσεις τε χεῖρά σου ἐπ' αὐτοῦ, [19] στήσεις τε αὐτὸν πρόσϑεν ἐλαζάρου τοῦ ἱερέως κατέμπροσϑέν τε παντὸς τοῦ ἀϑροίσματος, κελεύσεις τέ οἱ ἐνώπιον σφῶν. [20] καὶ δώσεις ἀπὸ τῆς ἰσχύος σου ἐπ' αὐτοῦ, ἵνα ἀκούσωσι πᾶν τὸ ἄϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου. [21] τοιγαροῦν ἐνώπιον ἐλαζάρου τοῦ ἱερέως στήσεται καὶ πεύσεται αὐτοῦ ἐν κρίσει τῶν φωτισμῶν ἐνώπιον τοῦ ὀντωτοῦ· ἐπὶ στόματί οἱ ἐξελεύσονται κἀπὶ στόματί οἱ ἐλεύσονται, κεῖνος καὶ πάντες υἱεῖς ἰσραέλου σὺν αὐτῷ καὶ πᾶν τὸ ἄϑροισμα. [22] τοιγαροῦν ἐποίησε μωσεὺς καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ, καὶ ἔλαβε τὸν ἰωσούαν ἔστησέ τέ ἑ κατέμπροσϑεν ἐλαζάρου τοῦ ἱερέως κατέμπροσϑέν τε πάσης τῆς ἀϑροίσεως, [23] καὶ ἤρεισε τὼ χεῖρέ οἱ ἐπ' αὐτοῦ καὶ ἐκέλευσεν αὐτῷ καϑὰ διείλεκται ὁ ὀντωτὴς διὰ χειρὸς μωσέως.

XXVIII. [1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] κέλευσον τοῖς υἱέσι τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· τὴν προσφοράν μου, τὸν ἄρτον μου εἰς πυριφλέγματά μοι ὀδμὴν ἀναπαύματος φυλάξετε προσφέρειν μοι ἐν τῷ ὅρῳ οἱ. [3] φήσεις τε σφίσι· τουτὶ τὸ πυρίφλεγμα ὃ προσοίσετε τῷ ὀντωτῇ· προβάτω τέκνω ἔτους τελείω δύο τῇ ἡμέρᾳ, ἀναφορὰ διηνεκής· [4] τὸ πρόβατον τὸ ἓν ποιήσεις ἐν ἕῳ, καὶ τὸ πρόβατον τὸ δεύτερον ποιήσεις ἀνὰ τὴν ἑσπέραν.

---

14. ἁγίασαί με perperam cod. et ed. 17. ὅς τ' (2)] οἵ τ' cod. 19. αὐτὸν] ἑαυτὴν cod. et ed. κατέμπροσϑέν τε] κἀπέμπροσϑέν τε cod. et ed. Cf. v. 22. Lev. XXIII, 40. 22. ὁ ὀντωτὴς] ὁ ipsi addidimus.

XXVIII. 2. ἀναπαύματος] suff. om. (נִיחֹחִי). 3. προβάτῳ τέκνῳ — τελείῳ c. od. ed. 4. ἀνὰ τὴν ἑσπέραν (בֵּין הָעַרְבָּיִם)] cf. not. ad Exod. XXIX, 39.

[5] δέκατόν τε τοῦ μεδίμνου σεμιδάλεως εἰς μεῖλιγμα δεδευμένης ἐν ἐλαίῳ τετυπότι τετάρτῳ τοῦ ξέστου· [6] ἀναφορὰ διηνεκής, ἡ πεποιημένη ἐν ὄρει ξινάϊνος εἰς ὀδμὴν ἀναπαύματος πυρίφλεγμα τῷ ὀντωτῇ· [7] σπονδὴ δέ σί τέταρτον τοῦ ξέστου τῷ προβάτῳ τῷ ἑνί, ἐν τῷ ἁγίῳ σπένδειν σπονδὴν μεθυσμοῦ τῷ ὀντωτῇ. [8] πρόβατον δὲ θάτερον ποιήσεις μέσον τῆς ἑσπέρας· κατὰ τὸ μεῖλιγμα τῆς ἕω καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ ποιήσεις ἔμπυρον ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ.

[9] Ἐν δὲ τῇ ἡμέρᾳ τῆς καταπαύσεως δύο προβάτω τέκνω ἔτους τελείω, δύο τε δεκάτω σεμιδάλεως μεῖλιγμα δεδευμένης ἐν ἐλαίῳ, καὶ ἡ σπονδή οἱ, [10] ἀναφορὰ καταπαύσεως ἐν τῇ καταπαύσει αὐτοῦ ἐπ' ἀναφορᾷ τῇ διηνεκεῖ καὶ τῇ σπονδῇ ταύτης.

[11] Ἐν μέντοι ταῖς νεομηνίαις ὑμῶν προσοίσετε ἀναφορὰν τῷ ὀντωτῇ ταύρω τέκνω βουκολίου δύο κριόν θ' ἕνα, πρόβατα τέκνα ἔτους ἑπτὰ τέλεια, [12] τρία τε δέκατα σεμιδάλεως μεῖλιγμα ἀναδεδευμένον ἐν ἐλαίῳ τῷ ταύρῳ τῷ ἑνί, δύο τε δεκάτω σεμιδάλεως μεῖλιγμα τεταραγμένον ἐν ἐλαίῳ τῷ κριῷ τῷ ἑνί, [13] καὶ δέκατον τοῦ δεκάτου σεμιδάλεως μεῖλιγμα τεταραγμένον ἐν ἐλαίῳ τῷ προβάτῳ τῷ ἑνί, ἀναφορὰ ὀδμῆς ἀναπαύματος ἔμπυρον τῷ ὀντωτῇ· [14] σπονδαί τε σφῶν ἥμισυ τοῦ ξέστου τελέσει τῷ ταύρῳ καὶ τρίτον τοῦ ξέστου τῷ κριῷ, τέταρτόν τε τοῦ ξέστου τῷ προβάτῳ οἴνου· αὕτη ἡ ἀναφορὰ τοῦ μηνὸς ἐν μηνί οἱ τοῖς μησὶ τοῦ ἔτους. [15] τράγος τ' αἰγῶν εἷς εἰς ἁμαρτίαν τῷ ὀντωτῇ ἐπ' ἀναφορᾷ τῇ διηνεκεῖ ποιηθήσεται, καὶ ἡ σπονδή οἱ.

[16] Ἐν τῷ μηνὶ δὲ τῷ πρώτῳ ἐν τῇ τετταρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἅλμα τῷ ὀντωτῇ· [17] κἀν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τουτουΐ ἑορτή· ἑπτὰ ἡμέραις ἄζυμα βρωθήσεται. [18] ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ κλῆσις ἁγίου· ἥντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε. [19] προσοίσετε δ' ἔμπυρον ἀναφορὰν τῷ ὀντωτῇ, ταύρω υἱὼ βουκολίου δύο κριόν θ' ἕνα καὶ ἑπτὰ πρόβατα τέκνα ἔτους, τέλεια τελέσουσιν ὑμῖν· [20] τὸ δὲ μεῖλιγμα σφῶν σεμίδαλις τεταραγμένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ

---

8. πρόβατόν δε cod. Cf. not. ad Gen. XXIV, 37. 16. ἅλμα] ἄλμα cod. Cf. Exod. XII, 11. Prol I, 4, c. 17. τουτουΐ] τουτὶ cod. et ed. Cf. Deut. III, 28.

ταύρῳ δύο τε δεκάτω τῷ κριῷ ποιήσετε, [21] δέκατον δεκάτου ποιήσετε τῷ προβάτῳ τῷ ἑνὶ τοῖς ἑπτὰ προβάτοις· [22] τράγον ϑ' ἁμαρτίας ἕνα παραιτεῖσϑαι ὑπὲρ ὑμῶν, [23] ἄνευ τῶν ἀναφορῶν τῆς ἕω τῶν εἰς ἀναφορὰν τὴν διηνεχῆ· ποιήσετε τάδε. [24] κατατάδε ποιήσετε τῇ ἡμέρᾳ, ἑπτὰ ἡμέραις ἄρτος ἔμπυρος ὀδμῆς ἀναπαύματος τῷ ὀντωτῇ· ἐπὶ τῇ ἀναφορᾷ τῇ διηνεχεῖ ποιηϑήσεται, καὶ ἡ σπονδή οἱ. [25] ἐν δ' ἡμέρᾳ τῇ ἑβδόμῃ κλῆσις ἁγίου τελέσει ὑμῖν· ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε.

[26] Ἐν δὲ τῇ ἡμέρᾳ τῶν πρωτογόνων, ἐπὰν ἀναφέροιτε ὑμεῖς μείλιγμα καινὸν τῷ ὀντωτῇ ἐν ταῖς ἑβδομάσιν ὑμῶν, κλῆσις ἁγίου τελέσει ὑμῖν· ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε. [27] προσοίσετε δ' ἀναφορὰν εἰς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ ταύρω υἱὼ βουκολίου δύο, κριὸν ἕνα, ἑπτὰ πρόβατα τέκνα ἔτους· [28] τό τε μείλιγμα σφῶν σεμίδαλιν τεταραγμένην ἐν ἐλαίῳ, τρία δέκατα τῷ ταύρῳ τῷ ἑνί, δύο δεκάτω τῷ κριῷ τῷ ἑνί, [29] δέκατον δεκάτου τῷ προβάτῳ τῷ ἑνὶ τοῖς ἑπτὰ προβάτοις· [30] χίμαρος αἰγῶν εἷς παραιτεῖσϑαι ἐφ' ὑμῖν, [31] χωρὶς τῶν ἀναφορῶν τῶν διηνεχῶν· τό τε μείλιγμά οἱ ποιήσετε· τέλεια τελέσουσιν ὑμῖν, καὶ αἱ σπονδαὶ σφῶν.

XXIX. [1] Ἐν δὲ τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ πρώτῃ τοῦ μηνὸς κλῆσις ἁγία τελέσει ὑμῖν· ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε· ἡμέρα ἀλαλαγμοῦ τελέσει ὑμῖν. [2] ποιήσετε δὲ ἀναφορὰν εἰς ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ ταῦρον υἱὸν βουκολίου ἕνα, κριὸν ἕνα, πρόβατα τέκνα ἔτους ἑπτὰ τέλεια· [3] μείλιγμά τε σφῶν σεμίδαλις δεδευμένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ ταύρῳ, δύο δεκάτω τῷ κριῷ, [4] καὶ δέκατον ἓν τῷ προβάτῳ τῷ ἑνὶ τοῖς ἑπτὰ προβάτοις· [5] χίμαρόν τ' αἰγῶν ἕνα ἁμαρτίαν παραιτεῖσϑαι ὑπὲρ ὑμῶν, [6] πάρεξ τῆς ἀναφορᾶς τοῦ μηνὸς καὶ τοῦ μειλίγματος αὐτῆς, τῆς τ' ἀναφορᾶς τῆς διηνεχοῦς καὶ τοῦ μειλίγματος αὐτῆς· αἱ δὲ σπονδαὶ σφῶν κατὰ τὴν κρίσιν αὐτῶν εἰς ὀδμὴν ἀναπαύματος πυρίφλεκτον τῷ ὀντωτῇ.

---

21. ποιήσετε] quasi תַּעֲשׂוּ (ut v. 20) scriptum esset, non תַּעֲשֶׂה 22. τράγον] τὸ αἶρον corruptissime cod., neque aliter ed. 23. ἄνευ cod., non ἄνω ut ed. Cf. Mor. in Addend. et Emend. apud Amm., ubi vitiose ἄνεο scriptum est. τῶν ἀναφορῶν — τῶν] plur. pro sing. (לְעֹלַת). Item v. 31. Cf. XXIX, 6. 11 cet. 24. κατατάδε] sic cod. Cf. Lev. X, 19. 30. εἷς cod., non εἰς ut ed.

XXIX. 1. (κλῆσις) ἁγία] alibi ἁγίου. Cf. v. 7. 12. XXVIII, 18. 25 cet.

[7] Τῇ δεκάτῃ δὲ τοῦ μηνὸς τοῦ ἑβδόμου τουδὶ κλῆσις ἁγίου τελέσει ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· ἡντιναοῦν ἐργασίαν οὐ ποιήσετε. [8] προσοίσετε δ' ἀναφορὰν τῷ ὀντωτῇ ὀδμὴν ἀναπαύματος ταῦρον υἱὸν βουκολίου ἕνα, κριὸν ἕνα, πρόβατα τέκνα ἔτους ἑπτά, τέλεια τελέσουσιν ὑμῖν· [9] τὸ δὲ μείλιγμα σφῶν σεμίδαλις δεδευμένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ ταύρῳ, δύο δεκάτω τῷ κριῷ τῷ ἑνί, [10] δέκατον δεκάτου τῷ προβάτῳ τῷ ἑνὶ τοῖς ἑπτὰ προβάτοις· [11] χίμαρος αἰγῶν εἱς ἁμαρτία χωρὶς τῆς ἁμαρτίας τῆς παραιτήσεως καὶ τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ τε μειλίγματος αὐτῶν καὶ τῶν σπονδῶν αὐτῶν.

[12] Ἐν δὲ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου κλῆσις ἁγίου τελέσει ὑμῖν· ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε, ἑορτάσετε δ' ἑορτὴν τῷ ὀντωτῇ ἑπτὰ ἡμέραις. [13] καὶ προσοίσετε ἀναφορὰν ἔμπυρον ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ ταύρους υἱεῖς βουκολίου τρισκαίδεκα, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα, τέλεια τελέσουσι· [14] τὸ δὲ μείλιγμα σφῶν σεμίδαλις δεδευμένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ ταύρῳ τῷ ἑνὶ τοῖς τρισκαίδεκα ταύροις, δύο δεκάτω τῷ κριῷ τῷ ἑνὶ τοῖν δυοῖν κριοῖν, [15] δέκατόν τε δεκάτου τῷ προβάτῳ τῷ ἑνὶ τοῖς τετταρεσκαίδεκα προβάτοις· [16] χίμαρος αἰγῶν εἱς ἁμαρτία πάρεξ τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ μειλίγματος αὐτῆς καὶ τῆς σπονδῆς αὐτῆς.

[17] Ἐν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ταύρους υἱεῖς βουκολίου δυοκαίδεκα, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [18] τὸ δὲ μείλιγμα σφῶν αἵ τε σπονδαὶ σφῶν, τῶν ταύρων, τῶν κριῶν καὶ τῶν προβάτων εἰς τὸν ἀριθμὸν σφῶν κατὰ τὴν κρίσιν· [19] χίμαρός τ' αἰγῶν εἱς ἁμαρτία χωρὶς τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ τε μειλίγματος αὐτῆς καὶ τῶν σπονδῶν αὐτῆς.

[20] Ἐν δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ ταύρους ἕνδεκα, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [21] μείλιγμά τε σφῶν καὶ σπονδαὶ σφῶν, τῶν ταύρων, τῶν κριῶν καὶ τῶν προ-

---

11. αὐτῶν (1)] ita ed., nec egomet aliter legi. Mor. αὐτῆς, quod quidem secundum text. Hebr. (וּמִנְחָתָהּ, perpauci codd. וּמִנְחָתָם) scribendum erat. De confusione compendiorum ῶν et ῆς cf. Prol. I, 3, a. 14. δέκατα] δέκα cod. et ed. 15. τοῖς] τοῖς τε cod. et ed. 17—22. Omnia haec et Villoisonium et Morellium fugerunt. 19. τῶν σπονδῶν αὐτῆς] וְנִסְכֶּיהָ (ita Sam., pauci codd. Hebr. sine י) pro וְנִסְכֵּיהֶם. Item v. 28. Cf. v. 31.

βάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν· [22]χίμαρός ϑ' ἁμαρτίας εἷς ἐκτὸς τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ μειλίγματός τ' αὐτῆς καὶ τῆς σπονδῆς αὐτῆς. [23]'Εν δὲ τῇ ἡμέρᾳ τῇ τετάρτῃ ταύρους δέκα, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [24]τὸ μείλιγμα σφῶν αἵ τε σπονδαὶ σφῶν, τῶν ταύρων, τοῖν κριοῖν καὶ τῶν προβάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν· [25]χίμαρός τ' αἰγῶν εἷς ἁμαρτία πάρεξ τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ μειλίγματος αὐτῆς καὶ τῆς σπονδῆς αὐτῆς. [26]'Εν δὲ τῇ ἡμέρᾳ τῇ πέμπτῃ ταύρους ἐννέα, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [27]τὸ δὲ μείλιγμα σφῶν αἵ τε σπονδαὶ σφῶν, τῶν ταύρων, τοῖν κριοῖν καὶ τῶν προβάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν· [28]χίμαρός ϑ' ἁμαρτίας εἷς ἐκτὸς τῆς ἀναφορᾶς τῆς διηνεκοῦς τοῦ τε μειλίγματος αὐτῆς καὶ τῶν σπονδῶν αὐτῆς.

[29]'Εν δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ ταύρους ὀκτὼ, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [30]τὸ δὲ μείλιγμα σφῶν αἵ τε σπονδαὶ σφῶν, τῶν ταύρων, τοῖν κριοῖν καὶ τῶν προβάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν· [31]χίμαρός ϑ' ἁμαρτίας εἷς πάρεξ τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ μειλίγματος αὐτῆς καὶ τῶν σπονδῶν αὐτῆς. [32]'Εν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ταύρους ἑπτὰ, κριὼ δύο, πρόβατα τέκνα ἔτους τετταρεσκαίδεκα τέλεια· [33]τὸ μείλιγμα δ' αὐτῶν, αἱ σπονδαί τ' αὐτῶν, τῶν ταύρων, τοῖν κριοῖν καὶ τῶν προβάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν αὐτῶν· [34]χίμαρός ϑ' ἁμαρτίας εἷς ἐκτὸς τῆς ἀναφορᾶς τῆς διηνεκοῦς, τοῦ μειλίγματος αὐτῶν καὶ τῶν σπονδῶν αὐτῶν. [35]'Εν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ κωλύμη τελέσει ὑμῖν· ἡντιναοῦν ἐργασίαν ὑπηρεσίας οὐ ποιήσετε. [36]προσοίσετε δ' ἀναφορὰν ἔμπυρον ὀδμὴν ἀναπαύματος τῷ ὀντωτῇ ταῦρον ἕνα, κριὸν ἕνα, πρόβατα τέκνα ἔτους ἑπτὰ τέλεια· [37]τὸ μείλιγμα σφῶν αἵ τε σπονδαὶ σφῶν, τοῦ ταύρου, τοῦ κριοῦ καὶ τῶν προβάτων εἰς ἀριϑμὸν αὐτῶν κατὰ τὴν κρίσιν· [38]χίμαρός ϑ' ἁμαρτίας εἷς ἄνευ τῆς ἀναφορᾶς τῆς διηνεκοῦς τοῦ τε μειλίγματος αὐτῆς καὶ τῆς σπονδῆς αὐτῆς. [39]ταῦτα ποι-

---

24. αἵ τε cod. Ed. τε om. 27. σπονδαὶ σφῶν] σφῶν ipsi addidimus. 29. πρόβατα] πρόβατά τε cod. et ed. 34. τοῦ μειλ. αὐτῶν κ. τῶν σπονδῶν αὐτῶν] plur. pro sing. (מִנְחָתָהּ וְנִסְכָּהּ). Cf. not. ad v. 11.

ήσετε τῷ όντωτῇ έν ταῖς ἑορταῖς ὑμῶν · χωρὶς τῶν εὐχῶν ὑμῶν, τῶν ἐλευϑεριοτήτων ὑμῶν, εἰς ἀναφορὰς ὑμῶν εἴς τε μειλίγματα ὑμῶν καὶ εἰς σπονδὰς ὑμῶν καὶ εἰς εἰρηναῖα ὑμῶν. [1] εἶπε δὲ μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου κατὰ πάνϑ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. XXX.

[2] Διείλεκται δὲ μωσεὺς πρὸς τὰς κεφαλὰς τῶν σκήπτρων τῶν υἱέων τοῦ ἰσραέλου τῷ φάναι· οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτής· [3] ἀνὴρ ἐπὰν εὔξηται εὐχὴν τῷ ὀντωτῇ ἢ ὀμόσῃ ὅρκον τῷ δεσμεῖν δεσμὸν κατὰ τῆς ψυχῆς ἑαυτοῦ, οὐ βεβηλώσει τὸν λόγον ἑαυτοῦ· κατὰ πᾶν τὸ ἐξιὸν πρὸς τοῦ στόματος ἑαυτοῦ ποιήσει. [4] γυνή τ' ἐπὰν εὔξαιτο εὐχὴν τῷ ὀντωτῇ, πεδήσῃ τε πέδην ἐν τῷ δόμῳ τοῦ πατρὸς ἑαυτῆς ἐν νεότητι ἑαυτῆς, [5] ἀκούσῃ δ' ὁ πατὴρ αὐτῆς τὴν εὐχὴν αὐτῆς, πέδην ϑ' ἥνπερ ἔδησε κατὰ τῆς ψυχῆς ἑαυτῆς, σιγήσῃ δ' αὐτῇ ὁ ταύτης πατήρ, τοίνυν κυρωϑήσονται πᾶσαι αἱ εὐχαὶ ταύτης, καὶ πᾶς δεσμὸς ὃν ἐδέσμησε κατὰ τῆς ψυχῆς ἑαυτῆς βεβαιωϑήσεται. [6] εἰ δ' ἀντεῖπεν ὁ ταύτης πατὴρ αὐτῇ ἐν τῇ ἡμέρᾳ τοῦ ἀκοῦσαί ἑ, πᾶσαι αἱ εὐχαὶ ταύτης καὶ αἱ πέδαι ταύτης ἃς ἐνεπέδωσε κατὰ τῆς ψυχῆς ἑαυτῆς οὐ στήσονται· καὶ ὁ ὀντωτὴς ἱλάσεται ταύτῃ, καὶ γὰρ ἀντεῖπεν ὁ ταύτης πατὴρ αὐτῇ. [7] ἦν δὲ τῷ τελεῖν τελῇ ἀνδρί, καὶ αἱ εὐχαὶ ταύτης καϑ' ἑαυτῆς, ἢ φϑέγμα τῶν χειλῶν αὐτῆς ὅπερ ἐνεπέδωσε κατὰ τῆς ἑαυτῆς ψυχῆς, [8] ἀκούσῃ δ' ὁ ταύτης ἀνὴρ ἐν τῇ ἡμέρᾳ τοῦ ἀκοῦσαί ἑ, καὶ σιγήσῃ ταύτῃ, τοίνυν ἑστήξουσιν αἱ ταύτης εὐχαί, καὶ αἱ ἐμπεδώσεις αὐτῆς ἃς ἐνεπέδωσε κατὰ τῆς ψυχῆς ἑαυτῆς ἑστήξουσιν. [9] ἦν δ' ἐν ἡμέρᾳ τοῦ ἀκοῦσαι ὁ ταύτης ἀνὴρ ἀντεῖπε ταύτῃ, παύσῃ τε τὰς ταύτης εὐχὰς τὰς κατ' αὐτῆς καὶ τὸ φϑέγμα τῶν ταύτης χειλῶν ὅπερ ἔδησε κατὰ τῆς ψυχῆς ἑαυτῆς, καὶ ὁ ὀντωτὴς ἱλάσεται ταύτῃ. [10] εὐχὴ δὲ χήρας καὶ ἐκβεβλημένης, πᾶν ὅπερ ἐπέδησε κατὰ τῆς ψυχῆς ἑαυτῆς βεβαιωϑήσεται ἐπ' αὐτῆς. [11] εἰ δ' οἴκοι ἀνδρὸς ἑαυτῆς ηὔξατο, (μερίς)

39. μειλίγματα] μείλιγμα cod. et ed. εἰρηναῖα] εἰρηναίων cod. et ed.
XXX. 5. πέδην ϑ'] suff. om. (וֶאֱסָרָהּ). 7. τῷ (τελεῖν)] τοῦ cod. et ed. Cf. v. 13. 15 sq. Deut. XI, 13. XV, 5 cet. ἑαυτῆς (1) cod., non ἑαυτοῦ ut ed. 9. τὰς ταύτης εὐχὰς] נְדָרֶיהָ (ut Sam.) pro נִדְרָהּ. Item LXX. 10. χυχῆς cod. 11. οἴκοι] οἶκον cod. et ed. Cf. v. 17. ηὔξατο addidimus invito codice (נָדָרָה); εὔξηταί vix recte Amm. Cf. XXI, 2. Gen. XXVIII, 20.

ἢ ἐδέσμησε δεσμὸν κατὰ τῆς ψυχῆς ἑαυτῆς ἐν ὅρκῳ, [12] ἤκουσε δ' ὁ ἀνὴρ αὐτῆς καὶ ἐσίγησε ταύτῃ, οὐκ ἀντεῖπεν αὐτῇ, τοιγαροῦν βεβαιωϑήσονται πᾶσαι αἱ ταύτης εὐχαί, πᾶς τε δεσμὸς ὃν ἐδέσμησεν ἐπὶ τῆς ψυχῆς ἑαυτῆς κυρωϑήσεται. [13] κἂν τῷ παύειν παύσῃ ταύτας ὁ ταύτης ἀνὴρ ἐν τῇ ἡμέρᾳ τοῦ ἀκοῦσαί ἑ, ὁτιοῦν ἐξιὸν τὰ ταύτης χείλη εἰς εὐχὰς αὐτῆς εἴς τε δεσμὸν ψυχῆς αὐτῆς οὐ κυρωϑήσεται· ὁ ἀνὴρ αὐτῆς ἔπαυσε ταύτας, ὅ τ' ὀντουργὸς ἱλάσεται ταύτῃ. [14] πᾶσαν εὐχὴν πάντα ϑ' ὅρκον πέδην ὥστε ταπεινῶσαι ψυχήν, ὁ ἀνὴρ αὐτῆς κυρώσει αὐτὸν ὅ τ' ἀνὴρ αὐτῆς παύσει ταύτην· [15] ἣν δὲ τῷ σιγᾶν σιγήσῃ ταύτῃ ὁ ταύτης ἀνὴρ ἀφ' ἡμέρας ἐς ἡμέραν, τοιγαροῦν κυρώσει ξυμπάσας τὰς εὐχὰς αὐτῆς ἢ ξυμπάσας τὰς πέδας αὐτῆς τὰς κατ' αὐτῆς· ἐβεβαίωσε ταύτας, ἐπεὶ ἐσίγησεν αὐτῇ ἐν ἡμέρᾳ τοῦ ἀκοῦσαί ἑ· [16] ἣν δὲ τῷ παύειν παύσῃ ταύτας μετὰ τὸ ἀκοῦσαί ἑ, τοίνυν ἀρεῖ τοὔγκλημα ταύτης. [17] οὗτοι οἱ τύποι οὓς ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ μεταξὺ ἀνδρὸς ἐς γυναῖκά οἱ, μεταξὺ πατρὸς ἐς ϑυγατέρα οἱ ἐν τῇ νεότητι ταύτης οἴκοι τοῦ πατρὸς αὐτῆς.

XXXI. [1] Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] ἐκδίκησον τὴν ἐκδίκησιν τῶν υἱέων τοῦ ἰσραέλου πρὸς τῶν μαδιανίων, εἶτα συναχϑήσῃ πρὸς τὸν λεών σου. [3] διείλεκται δὲ μωσεὺς πρὸς τὸν λεὼν τῷ φάναι· ὁπλίσϑητε πρὸς ὑμῶν αὐτῶν ἄνδρες τῆς στρατιᾶς, τελέσουσί τε κατὰ μιδιᾶνος ὡς δοῖεν τὴν ἐκδίκησιν τοῦ ὀντωτοῦ ἐν τῷ μιδιᾶνι· [4] χιλίους τοῦ σκήπτρου χιλίους τοῦ σκήπτρου πάντων τῶν σκήπτρων τοῦ ἰσραέλου πέμψετε εἰς στρατιάν. [5] παραδοϑήσονται τοίνυν πρὸς τῶν χιλιάδων τοῦ ἰσραέλου χίλιοι τοῦ σκήπτρου, δυοκαίδεκα χιλιάδες ὁπλῖται στρατιᾶς. [6] ἔπεμψεν οὖν αὐτοὺς μωσεὺς χιλίους τοῦ σκήπτρου εἰς στρατιάν, αὐτοὺς καὶ τὸν πινάξην τὸν υἱὸν ἐλεαζάρου τοῦ ἱερέως εἰς στρατιάν· καὶ σκεύη τοῦ ἁγίου αἵ τε σάλπιγγες τοῦ ἀλαλαγμοῦ ἐν χειρί οἱ. [7] τοίνυν ἐστράτευσαν κατὰ μιδιᾶνος καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ, καὶ ἔκτειναν πᾶν ἄρρεν· [8] τούς τε βασιλεῖς μιδιᾶνος

---

12. ἤκουσε] ἢ ἤκουσε cod. et ed. 13. ταύτας] πάντας cod. et ed.
14. πέδην] nonne πέδης?

XXXI. 2. τὸν λεών σου] עַמְּךָ (ita permulti codd.) pro עַמֶּיךָ. Consentiunt LXX et Hieron.

διεχρήσαντο ἐπὶ τῶν πεφονευμένων αὐτῶν, τὸν ἐυῖνα τόν τε ῥεκάμην τόν τε σούρην τὸν τ' οὖρον καὶ τὸν ῥέβαον, τοὺς πέντε βασιλεῖς τοῦ μιδιᾶνος, καὶ βιλεάμην τὸν υἱὸν βεῶρος διεχειρίσαντο ἐν ξίφει. [9] καὶ ἠχμαλώτισαν οἱ υἱεῖς ἰσραέλου τὰς γυναῖκας τοῦ μιδιᾶνος καὶ τὴν νηπιότητα σφῶν, ξύμπασάν τε τὴν κτηνότητα σφῶν καὶ ξύμπαντα τὰ κτήματα σφῶν, ξύμπασάν τε τὴν δύναμιν σφῶν προὐνόμευσαν· [10] καὶ ξυμπάσας τὰς πόλεις αὐτῶν ἐν ταῖς καϑέδραις αὐτῶν καὶ ξύμπαντα τὰ μέγαρα σφῶν ἔπρησαν ἐν πυρί. [11] καὶ ἔλαβον ξύμπασαν τὴν λείαν ξύμπαν τε τὸ λῆμμα ἐν ἀνϑρώπῳ κἀν κτήνει, [12] καὶ ἤνεγκαν πρὸς μωσέα πρός ϑ' ἐλεαζάρην τὸν ἱερέα καὶ πρὸς τὸ ἄϑροισμα τῶν υἱέων τοῦ ἰσραέλου τὸν ἀνδραποδισμὸν, τό τε λῆμμα καὶ τὴν λείαν πρὸς τὸ στρατόπεδον πρὸς τοῖς ἐρήμοις τοῦ μωάβου τοῖς ἐπ' ἰαρδέγου ἱερεῶ. [13] Ἐξῆλϑον δὲ μωσεὺς ἐλεαζάρης ϑ' ὁ ἱερεὺς καὶ πάντες οἱ ἡγεμόνες τοῦ ἀϑροίσματος εἰς συνάντησιν αὐτοῖς πρὸς τὰ ϑύραϑεν τοῦ στρατοπέδου· [14] τεϑύμωται δὲ μωσεὺς ἐπὶ τοῖς ἐπεσκεμμένοις τῆς δυνάμεως, χιλιάρχοις καὶ ἑκατοντάρχοις τοῖς ἀφικνουμένοις ἀπὸ τῆς στρατιᾶς τοῦ πολέμου· [15] καὶ εἶπε πρὸς αὐτοὺς μωσεύς· ἐζωώσατε πᾶσαν ϑήλειαν; [16] ϑεῶ αὗται ἐτέλεσαν τοῖς υἱοῖς ἰσραέλου ἐν λόγῳ τοῦ βιλεάμου δοῦναι ὑπερβασίαν ἐν τῷ ὀντωτῇ ἐπὶ τῷ χρήματι τοῦ πεῶρος, ὑπῆρξέ ϑ' ἡ βολὴ ἐν τῷ ἀϑροίσματι τοῦ ὀντωτοῦ. [17] νῦν οὖν κτείνατε πᾶν ἄρρεν ἐν νηπιότητι, πᾶσάν τε γυναῖκα εἰδυῖαν ἄνδρα εἰς κοίτην ἄρρενος διαχρήσασϑε· [18] πᾶν δὲ τὸ νήπιον ἐν γυναιξὶν, ἅπερ οὐκ ἔγνωσαν κοίτην ἄρρενος, ζωώσατε ὑμῖν αὐτοῖς. [19] καὶ ὑμεῖς στρατοπεδεύσασϑε ϑύραϑεν τοῦ στρατοπέδου ἑπτὰ ἡμέραις· πᾶς κτείνων ψυχὴν πᾶς ϑ' ἁπτόμενος πεφονευμένου, ἁμαρτωϑήσεσϑε ἐν ἡμέρᾳ τῇ τρίτῃ κἀν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν· [20] πᾶν ϑ' ὕφασμα καὶ πᾶν σκεῦος δέρματος, πᾶν τ' ἔργον αἰγῶν καὶ πᾶν σκεῦος ξύλου ἁμαρτωϑήσεσϑε. [21] Καὶ εἶπεν ἐλεαζάρης ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς στρατιᾶς τοὺς ἀφικνουμένους εἰς τὴν παράταξιν· οὗτος ὁ τύπος τοῦ νόμου ὃν ἐκέλευσεν

8. τόν τ' οὖρον] exspectaveris τόν ϑ' οὖρον (וְאֶת־חוּר). Cf. Exod. XVII, 10. XXIV, 14 cet. 9. προὐνόμευσαν] προυνείμεσσαν corrupte cod. et ed. Cf. v. 32. 53. 17. εἰδυίαν cod. Cf. XXIII, 28. Prol. I, 4, c.

ὁ ὀντωτὴς τῷ μωσεῖ· [22] μόνον τὸν χρυσὸν τόν τ' ἄργυρον, τὸν χαλκὸν, τὸν σίδηρον, τὸν κασσίτερον καὶ τὸν μόλυβδον, [23] πᾶν χρῆμα ὅπερ ἔλθοι εἰς πῦρ διάξετε ἐν πυρὶ, καὶ καθαρθήσεται· μόνον ἐν ὕδατι ἐμμήνου ἁμαρτωθήσεται· πᾶν θ' ὅπερ οὐκ ἀφίκοιτο ἐς πῦρ διάξετε ἐν ὕδασι. [24] καὶ πλυνεῖτε τὰ ἱμάτια ὑμῶν ἐν ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρεῖσθε· μετὰ δὲ ταῦτα ἀφίξεσθε πρὸς τὸ στρατόπεδον. [25] Ἔφη θ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [26] ἆρον τὴν κεφαλὴν τοῦ λήμματος τῆς αἰχμαλωσίας ἐν τῷ ἀνθρώπῳ κἀν τῷ κτήνει, σὺ καὶ ἐλεαζάρης ὁ ἱερεὺς αἵ τε κεφαλαὶ τῶν πατέρων τοῦ ἀθροίσματος, [27] διελεῖς τε τὸ λῆμμα μέσον τῶν λαβόντων τὸν πόλεμον τῶν ἐξελθόντων εἰς στρατείαν καὶ μέσον παντὸς τοῦ ἀθροίσματος· [28] ὑψώσεις τε ἀρίθμημα τῷ ὀντωτῇ πρὸς τῶν ἀνδρῶν τοῦ πολέμου τῶν ἐξελθόντων εἰς τὴν στρατείαν, μίαν ψυχὴν ἀπὸ τῶν πενταχοσίων, ἀπὸ τοῦ ἀνθρώπου κἀπὸ τοῦ βουκολίου κἀπὸ τῶν ὄνων κἀπὸ τοῦ ποιμνίου· [29] ἀπὸ τοῦ ἡμισεύματος σφῶν λήψεσθε, δώσεις τε ἐλεαζάρῃ τῷ ἱερεῖ ὕψωμα τῷ ὀντωτῇ· [30] κἀπὸ τοῦ ἡμισεύματος τῶν υἱέων τοῦ ἰσραέλου λήψῃ ἓν λῆμμα πρὸς τῶν πεντήκοντα, ἀπὸ τοῦ ἀνθρώπου, ἀπὸ τοῦ βουκολίου, ἀπὸ τῶν ὄνων κἀπὸ τοῦ ποιμνίου, ἀπὸ παντὸς τοῦ κτήνους, δώσεις τ' αὐτὰ τοῖς λευινίοις τοῖς τηροῦσι τὴν τήρησιν τοῦ οἰκήματος τοῦ ὀντωτοῦ. [31] τοίνυν ἐποίησε μωσεὺς καὶ ἐλεαζάρης ὁ ἱερεὺς καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [32] καὶ ἐτέλεσε τὸ λῆμμα, περίττευμα τῆς προνομῆς ἣν προὐνόμευσαν ὁ λεὼς τῆς στρατιᾶς, πρόβατα ἑξακόσιαι χιλιάδες ἑβδομήκοντά τε χιλιάδες καὶ πέντε χιλιάδες, [33] βοῦς δὲ δύο καὶ ἑβδομήκοντα χιλιάδες [34] καὶ ὄνοι μία καὶ ἑξήκοντα χιλιάδες, [35] ψυχὴ δ' ἀνθρώπου, πρὸς τῶν γυναικῶν αἵπερ οὐκ ἔγνωσαν κοίτην ἄρρενος, πᾶσα ψυχὴ δύο καὶ τριάκοντα χιλιάδες. [36] ὑπῆρξεν οὖν τὸ ἡμίσευμα, τὸ μέρος τῶν ἐξελθόντων εἰς τὴν στρατείαν, ἀριθμὸς τῶν προβάτων τριακόσιαι χιλιάδες καὶ τριάκοντα χιλιάδες ἑπτά τε χιλιάδες καὶ πενταχόσια· [37] τοιγαροῦν ὑπῆρξε τὸ ἀρίθμημα τοῦ ὀντωτοῦ ἀπὸ τῶν προβάτων ἑξακόσια πέντε καὶ ἑβδομή-

22. κασσίτηρον cod. 27. στρατι[ὰν] corr. στρατείαν cod. 28. πενταχοσίων, non πενταχοσιῶν, cod. 32. προυνόμευσαν cod. Item v. 53. 36. μέρος] μέτρος cod. στρατείαν ex corr. (ut supra) cod. τριακόσιοι cod. et ed. 37. ἑξακόσιοι cod. et ed.

χοντα· [38] βοῦς δὲ ἓξ καὶ τριάκοντα χιλιάδες, τὸ δὲ ἀρίθμημα σφῶν τῷ ὀντωτῇ δύο καὶ ἑβδομήκοντα· [39] ὄνοι δὲ τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, ἀρίθμημα δ' αὐτῶν τῷ ὀντωτῇ εἷς καὶ ἑξήκοντα· [40] ψυχὴ δ' ἀνθρώπου ἑξκαίδεκα χιλιάδες, ἀρίθμημα δ' αὐτῶν τῷ ὀντωτῇ δύο καὶ τριάκοντα ψυχαί. [41] τοίνυν ἔδωκε μωσεὺς τὸ ἀρίθμημα τοῦ ὑψώματος τοῦ ὀντωτοῦ ἐλεαζάρῃ τῷ ἱερεῖ, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [42] πρὸς δὲ τοῦ ἡμισεύματος τῶν υἱέων τοῦ ἰσραέλου, ὅπερ ἡμίσευσε μωσεὺς ἀπὸ τῶν ἀνδρῶν τῶν στρατευσαμένων, [43] ὑπῆρξε γοῦν ἡμίσευμα τοῦ ἀθροίσματος ἀπὸ τῶν προβάτων τριακόσιαι χιλιάδες τριάκοντά τε χιλιάδες ἑπτὰ χιλιάδες καὶ πεντακόσια, [44] βοῦς δὲ ἓξ καὶ τριάκοντα χιλιάδες [45] καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, [46] ψυχὴ δ' ἀνθρώπου ἑξκαίδεκα χιλιάδες. [47] τοίνυν ἔλαβε μωσεὺς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱέων τοῦ ἰσραέλου τὸ κατισχημένον, ἓν ἀπὸ τῶν πεντήκοντα πρὸς τοῦ ἀνθρώπου καὶ πρὸς τοῦ κτήνους, καὶ ἔδωκεν αὐτὰ τοῖς λευινίοις τοῖς τηροῦσι τὴν τήρησιν τοῦ οἰκήματος τοῦ ὀντωτοῦ, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [48] ἤγγισαν οὖν πρὸς μωσέα οἱ ἐπεσκεμμένοι οἱ τῶν χιλιάδων τῆς στρατιᾶς χιλίαρχοι καὶ ἑκατόνταρχοι, [49] καὶ εἶπον πρὸς μωσέα· οἱ σοὶ οἰκέται ἦραν τὴν κεφαλὴν τῶν ἀνδρῶν τοῦ πολέμου τῶν ἐν τῇ χειρὶ ἡμῶν, καὶ οὐκ ἐπέσκεπται ἀπ' αὐτοῦ ἀνήρ· [50] προσοίσομεν οὖν τὴν προσφορὰν τοῦ ὀντωτοῦ ἕκαστος ὅπερ εὗρε, σκεῦος χρυσοῦ, ψέλλιον χειρίδα τε, δακτυλίους, ἐλλόβιον καὶ μητροπόρπην, ὡς παραιτησαίμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν ἐνώπιον τοῦ ὀντωτοῦ. [51] τοίνυν ἔλαβε μωσεὺς καὶ ἐλεαζάρης ὁ ἱερεὺς τὸν χρυσὸν ἀπ' αὐτῶν, πᾶν σκεῦος ἔργου· [52] καὶ ὑπῆρξε πᾶς ὁ χρυσὸς τῆς ὑψώσεως, ὃν ὕψωσαν τῷ ὀντωτῇ, ἑξκαίδεκα χιλιάδες ἑπτακόσιοι καὶ πεντήκοντα στατῆρες, πρὸς τῶν χιλιάρχων καὶ πρὸς τῶν ἑκατοντάρχων. [53] οἱ ἄνδρες τῆς στρατιᾶς προυνόμευσαν ἕκαστος ἑαυτῷ. [54] τοίνυν ἔλαβε μωσεὺς καὶ ἐλεαζάρης ὁ ἱερεὺς τὸν χρυσὸν ἀπὸ τῶν χιλιάρχων καὶ τῶν ἑκατοντάρχων, καὶ ἤνεγκαν αὐτὸν πρὸς τὴν σκηνὴν τοῦ ξυναγμοῦ, μνημόσυνον τοῖς υἱέσι τοῦ ἰσραέλου ἐνώπιον τοῦ ὀντωτοῦ.

---

40. ἑξκαίδεκα] sic scriptum est, non ἓξ καὶ δέκα ut ed. Item v. 46. 52. 50. δακτύλους cod. et ed. An voluit δακτύλιον (טַבַּעַת)? Cf. Gen. XLI, 42. Exod. XXXV, 22. 54. μνημόσυνον cod., non μνημοσύνην ut ed.

XXXII. [1] Κτῆμα δὲ πολὺ ὑπῆρξε τοῖς υἱέσι ῥεουβένου καὶ τοῖς υἱέσι γάδου, κραταιότατον· εἶδον οὖν τὴν γῆν ἰαζέρου τήν τε γῆν γιλεάδου, ϑεῶ τοίνυν ὁ τόπος τόπος κτήματος. [2] ἀφίκοντο γοῦν οἱ υἱεῖς γάδου καὶ οἱ υἱεῖς ῥεουβένου καὶ εἶπον πρὸς μωσέα πρός ϑ' ἐλεαζάρην τὸν ἱερέα καὶ πρὸς τοὺς ἡγεμόνας τοῦ ἀϑροίσματος τῷ φάναι· [3] ἀταραί, διβών τε καὶ ἰοζέρος, νιμερά τε καὶ ἐσβὼν καὶ ἐλαλέα, σεβάμης τε νεβώ τε καὶ βεὼν, [4] ἡ γῆ ἣν ἔπαισεν ὁ ὀντωτὴς ἐπίπροσϑεν τοῦ ἀϑροίσματος ἰσραέλου, γῆ κτήματός ἐστι, τοῖς δ' οἰκέταις σου κτῆμα. [5] Τοιγαροῦν εἶπον· εἴπερ εὑρήκαμεν χάριν ἐν ὄμμασί σοι, δοϑήτω ἡ γῆ αὕτη τοῖς σοῖς οἰκέταις εἰς κατάσχεσιν, μὴ διαβιβάσῃς ἡμᾶς τὸν ἰαρδένον. [6] ἔφη δὲ μωσεὺς τοῖς υἱέσι γάδου καὶ τοῖς υἱέσι ῥεουβένου· ἆρ' οἱ ἀδελφοὶ ὑμῶν ἐλεύσονται εἰς πόλεμον, καὶ ὑμεῖς καϑεδεῖσϑε ὧδε; [7] διατί τοίνυν ϑραύσετε τὴν καρδίαν τῶν υἱέων τοῦ ἰσραέλου ἀπὸ τοῦ διϊέναι πρὸς τὴν γῆν ἣν ἔδωκεν αὐτοῖς ὁ ὀντωτής; [8] τῇδε ἐποίησαν οἱ πατέρες ὑμῶν ἐπεὶ ἔπεμψα ἐγὼ σφᾶς ἀπὸ καδέσης βαρνέου ὡς ἴδοιεν τὴν γῆν, [9] καὶ ἀνέβησαν ἄχρι τοῦ χειμάρρου τοῦ βότρυος, ἐϑεάσαντό τε τὴν γῆν, καὶ ἔϑραυσαν τὴν καρδίαν τῶν υἱέων ἰσραέλου ὡς μὴ ἀφίκοιντο πρὸς τὴν γῆν ἣν ἔδωκε σφίσιν ὁ ὀντωτής· [10] ὤργισται δ' ὁ ϑυμὸς τοῦ ὀντωτοῦ ἐν τῇ ἡμέρᾳ κείνῃ καὶ ὤμοσε τῷ φάναι· [11] εἰ ϑεάσοιντο οἱ ἄνδρες οἱ ἀναβάντες ἀπ' αἰγύπτου ἀφ' υἱέως εἰκοσαετοῦς καὶ ἄνω τὴν γῆν ἣν ὤμοσα τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ, ἐπεὶ οὐ πεπλήρωνται κατόπιν μου, [12] χωρὶς καλέβου υἱέως ἰεφουνέως τοῦ κενιζίου καὶ ἰωσούου τοῦ υἱέως νούνου, ὅτι πεπλήρωνται κατόπιν τοῦ ὀντωτοῦ· [13] τοίνυν ὤργισται ὁ ϑυμὸς τοῦ ὀντωτοῦ ἐν τῷ ἰσραέλῳ καὶ ἐκίνησε σφᾶς ἐν τῇ ἐρήμῳ τετταράκοντα ἔτεσιν, ἄχρις τοῦ τελευτῆσαι πᾶσαν τὴν γενεὰν τὴν ποιήσασαν τὸ πονηρὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ. [14] ϑεῶ τοίνυν ἐγήγερϑε ἀντὶ τῶν πατέρων ὑμῶν πληϑὶς ἀνδρῶν ἁμαρτωλῶν, ὡς προσϑείητε ἔτι ἐπὶ τῇ ὀργῇ τοῦ ϑυμοῦ τοῦ ὀντωτοῦ πρὸς τὸν ἰσραέλον· [15] ἀποστραφήσεσϑε

XXXII. 3. ἰοζέρος] codicis scripturam servavimus. Cf. v. 1. ἐλαλέα c. cd. ed. Cf. v. 37 ἐλεαλή (אֶלְעָלֵה). 5. δοϑήτω cod., non δοϑέτω ut ed. 11. οὐ πεπλήρωνται] οὐ in codice omissum ipsi addidimus. 12. κενιξίου c. cd. ed. 14. πληϑὶς] nonne πληϑύς?

γὰρ ἀπὸ τῶν κατόπιν αὐτοῦ, προσθήσει τε ἔτι παριέναι αὐτὸν ἐν τῇ ἐρήμῳ, καὶ φθερεῖτε πάντα τὸν λεὼν τουτονί.

[16] Τοιγαροῦν ἤγγισαν πρὸς αὐτὸν καὶ εἶπον· σηκοὺς ποιμνίου δομησόμεθα τῷ κτήματι ἡμῶν ὧδὶ, πόλεις τε τῷ νηπίῳ ἡμῶν· [17] ἡμεῖς δ' ὁπλιούμεθα ταχεῖς ἐπίπροσθεν τῶν υἱέων τοῦ ἰσραέλου, ἄχρις ἂν εἴπερ ἀγάγοιμεν σφᾶς πρὸς τὸν τόπον αὐτῶν· καθεδεῖται δὲ τὸ νήπιον ἡμῶν ἐν ταῖς πόλεσι τοῦ ὀχυρώματος ἀπὸ τῶν ἐφέδρων τῆς γῆς. [18] οὐ στραφησόμεθα πρὸς τὰς οἰκίας ἡμῶν ἄχρι τοῦ κληρώσασθαι τοὺς υἱέας τοῦ ἰσραέλου ἕκαστον τὴν κληρονομίαν αὐτοῦ· [19] οὐ γὰρ κληρωσόμεθα ξὺν αὐτοῖς πέραθεν τοῦ ἰαρδένου καὶ ἐπέκεινα, καὶ γὰρ ἀφῖκται ἡ κληρονομία ἡμῶν πέραθεν τοῦ ἰαρδένου πρὸς ἀνατολάς.

[20] Ἔφη δὲ πρὸς αὐτοὺς μωσεύς· εἴπερ ποιήσαιτε τὸ πρᾶγμα τουτὶ, εἴπερ ὁπλισθείητε πρόσθεν τοῦ ὀντωτοῦ εἰς πόλεμον, [21] καὶ διαβαίη ὑμῖν πᾶς ὁπλίτης τὸν ἰαρδένον πρόσθεν τοῦ ὀντωτοῦ μέχρι τοῦ ἀποκληρῶσαί ἑ τοὺς ἐχθροὺς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ [22] καὶ ὑποταγείη ἡ γῆ ἐνώπιον τοῦ ὀντωτοῦ, μεταταῦτα δὲ ὑποστρέψαιτε, καὶ τελέσετε ἀθῷοι ἀπὸ τοῦ ὀντωτοῦ κἀπὸ τοῦ ἰσραέλου· τοιγαροῦν τελέσει ἡ γῆ ἡδὶ ὑμῖν εἰς κατάσχεσιν ἐνώπιον τοῦ ὀντωτοῦ· [23] εἰ δὲ μὴ ποιήσαιτε τῇδε, αὐτίκα ἡμάρτετε τῷ ὀντωτῇ, καὶ γνῶτε τὴν ἁμαρτίαν ὑμῶν ἥπερ εὑρήσει ὑμᾶς. [24] δομήσασθε ἑαυτοῖς πόλεις τῷ νηπίῳ ὑμῶν σηκούς τε τῷ ποιμνίῳ ὑμῶν, καὶ τὸ ἐξιὸν ἀπὸ τοῦ στόματος ὑμῶν ποιήσετε. [25] τοίνυν εἶπον οἱ υἱεῖς γάδου καὶ οἱ υἱεῖς ῥεουβένου πρὸς μωσέα τῷ φάναι· οἱ οἰκέται σου ποιήσουσι καθάπερ ὁ δεσπότης μου κελεύει· [26] τὸ νήπιον ἡμῶν, αἱ γυναῖκες ἡμῶν, τὸ κτῆμα ἡμῶν πᾶν τε τὸ κτῆνος ἡμῶν τελέσουσιν ἐκεῖ ἐν ταῖς πόλεσι τοῦ γιλάδου· [27] καὶ οἱ οἰκέται σου διελεύσονται, πᾶς ὁπλίτης στρατιᾶς, πρόσθεν τοῦ ὀντωτοῦ εἰς πόλεμον, καθάπερ ὁ δεσπότης μου δια-

---

16. ἡμῶν (1)] ὑμῶν cod. et ed. 17. ἡμεῖς cod., non ὑμεῖς ut ed. ἀπὸ] add. προσώπου (מִפְּנֵי). 19. ἡ κληρονομία ἡμῶν] אֵלֵינוּ om. uti cod. Kenn. 80. 20. ὁπλισθείητε cod., non ὁπλισθοίητε ut ed. 22. ὑποταγεῖ cod. et ed. Cf. v. 29. μεταταῦτα] sic cod. Cf. Gen. VI, 4 etc. 24. ἐξιὸν cod., non δεξιὸν ut ed. 24 sq. Perperam et repugnante ipso codice ed. sic distinguit: ποιήσετε τοίνυν. (25) εἶπον κτλ.

λέγεται. [28] τοίνυν ἐκέλευσε σφίσι μωσεὺς, ἐλεαζάρῃ τῷ ἱερεῖ ἰωσούᾳ τε τῷ υἱεῖ νούνου καὶ ταῖς κεφαλαῖς τῶν πατέρων τῶν σκήπτρων τῶν υἱέων τοῦ ἰσραέλου, [29] καὶ εἶπε μωσεὺς πρὸς αὐτούς· εἰ διαβαῖεν οἱ υἱεῖς γάδου καὶ οἱ υἱεῖς ῥεουβένου σὺν ὑμῖν τὸν ἰαρδένον, πᾶς ὁπλίτης εἰς τὸν πόλεμον πρόσθεν τοῦ ὀντωτοῦ, καὶ ὑποταγείη ἡ γῆ ἐνώπιον ὑμῶν, τοίνυν δώσετε σφίσι τὴν γῆν τοῦ γιλάδου εἰς κατάσχεσιν· [30] εἰ δὲ μὴ διαβαῖεν ὁπλῖται σὺν ὑμῖν, τοίνυν κατασχεθήσονται μέσον ὑμῶν ἐν γῇ κεναᾶνος. [31] ἀποκέκρινται δ' οἱ υἱεῖς γάδου καὶ οἱ υἱεῖς ῥεουβένου τῷ φάναι· ἅττα διείλεκται ὁ ὀντωτὴς πρὸς τοὺς οἰκέτας σου, τῇδε ποιήσομεν· [32] ἡμεῖς διαβησόμεθα ὁπλῖται πρόσθεν τοῦ ὀντωτοῦ γῇ κεναᾶνος, παρ' ἡμῖν δ' ἡ κατάσχεσις τῆς κληρονομίας ἡμῶν πέραθεν τοῦ ἰαρδένου. [33] τοίνυν ἔδωκε σφίσι μωσεὺς, τοῖς υἱέσι γάδου τοῖς θ' υἱέσι ῥεουβένου καὶ τῷ ἡμίσει τοῦ σκήπτρου μενασέως υἱέως ἰωξέφου, τὴν βασιλείαν ξιῶνος τοῦ βασιλέως τοῦ ἐμορίου καὶ τὴν βασιλείαν ὤγου τοῦ βασιλέως τοῦ βασᾶνος, τὴν γῆν εἰς τὰς πόλεις αὐτῶν ἐν τοῖς ὅροις τῶν πόλεων τῆς γῆς κύκλῳ. [34] τοιγαροῦν ἐδομήσαντο οἱ υἱεῖς γάδου τὸν διβῶνα τάς τ' ἀταρὰς καὶ τὸν ἀροέρον, [35] τάς τ' ἀταρὰς σοφᾶνος καὶ τὸν ἰαζέρην τόν τ' ἐγεβεάνον, [36] τόν τε δόμον νιμεράου καὶ τὸν δέμον ἀρᾶνος, πόλεις ὀχυρώματος καὶ σηκῶν ποιμνίου. [37] υἱεῖς δὲ ῥεουβένου ἐδομήσαντο τὸν ἐσβῶνα τήν θ' ἐλεαλὴν τάς τε κεριαθὰς, [38] τήν τε νεβῶ, τόν τ' ἄρχοντα τοῦ χώρου, κυκλώματα ὀνόματος, καὶ τὴν σιβεμάν· ἐκάλεσαν δ' ἐν ὀνόμασι τὰ ὀνόματα τῶν πόλεων ἃς ἐδομήσαντο. [39] ἀπῆλθον δ' οἱ υἱεῖς μαχίρου υἱέως μενασέως γιλάδηνδε καὶ κατέσχον αὐτὴν, ἀπεκλήρωσέ τε τὸν ἐμόριον τὸν ἐν αὐτῇ. [40] καὶ ἔδωκε μωσεὺς τὴν γιλάδην τῷ μαχίρῳ τῷ υἱεῖ τοῦ μενασέως, καὶ ἐκαθέσθη ἐν αὐτῇ. [41] ἰαείρης δὲ υἱεὺς μενασέως ἀπῆλθε καὶ ἀνέσχε τὰς κώμας αὐτῶν, ἐκάλεσε δ' αὐτὰς κώμας ἰαείρου. [42] νοβάος δὲ ἀπῆλθε καὶ συνέλαβε τὴν κενάθην καὶ τὰς θυγατέρας αὐτῆς, ἐκάλεσέ τ' αὐτὴν νοβάον ἐν τῷ ὀνόματί οἱ.

---

29. εἰς τὸν πόλεμον cod. Ed. τὸν om. 30. ὁπλίται cod. Item v. 32. 32. πέραθεν cod., non πρόσθεν ut ed. 33. (εἰς τὰς πόλεις) αὐτῶν] l. αὐτῆς (לְעָרֶיהָ). Cf. Prol. I, 3, a. 35. ἐγεβεάνον] ita (non ἐγεβέανον ut ed.) vix recte cod. (יָגְבְּהָה). Correxerim ἰωγεβ. (cf. XXXIV, 22) vel ἰγεβ. (cf. XXXIII, 33 sq.). 41. ἀνέσχε] l. κατέσχε (יִלְכֹּד; cf. v. 39) vel συνέσχε (cf. XXI, 32. Deut. II, 34 sq. cet.).

XXXIII. (μερίς)

[1] Αὗται αἱ μετάρσεις τῶν υἱέων τοῦ ἰσραέλου αἷς ἐξῆλθον ἀπὸ γῆς αἰγύπτου εἰς στρατιὰς αὐτῶν διὰ μωσέως καὶ ἀαρῶνος. [2] ἔγραψε δὲ μωσεὺς τὰς ἐξελεύσεις αὐτῶν εἰς μετάρσεις αὐτῶν ἐπὶ στόματι τοῦ ὀντωτοῦ· τοίνυν αὗται αἱ μετάρσεις αὐτῶν εἰς ἐξελεύσεις αὐτῶν. [3] μετῆραν οὖν ἀπὸ ῥαμεξέξου ἐν μηνὶ τῷ πρώτῳ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, ἀπὸ τῆς ὑστεραίας τοῦ ἁγιάσματος ἐξῆλθον οἱ υἱεῖς ἰσραέλου ἐν χειρὶ μετεώρῳ ἐπ' ὄμμασι πάσης αἰγύπτου· [4] οἱ δ' αἰγύπτιοι ἔθαπτον ἅπερ ἔπαισεν ὁ ὀντωτὴς ἐν αὐτοῖς, πᾶν πρωτόγονον, κἀν τοῖς θεοῖς σφῶν ἐποίησεν ὁ ὀντωτὴς κρίσεις. [5] μετῆραν οὖν οἱ υἱεῖς ἰσραέλου ἀπὸ ῥαμεξέξου καὶ ἐστρατοπεδεύσαντο ἐν καλύβαις· [6] μετῆραν δ' ἀπὸ καλυβῶν καὶ ἐστρατοπεδεύσαντο ἐν αἰθάμῳ τῷ ἐν ἄκρῳ τῆς ἐρήμου· [7] μετῆραν δ' ἀπ' αἰθάμου, καὶ ἐστράφη ἐπὶ τοῦ στόματος τῶν ἡρῶν τοῦ ἐπὶ τοῦ προσώπου τοῦ ἄρχοντος ἄρκτων, καὶ ἐστρατοπεδεύσαντο ἔμπροσθεν μιγδώλου. [8] μετῆραν δ' ἀπὸ προσώπου τῶν ἡρῶν καὶ ἐδιέβησαν μέσον τῆς θαλάττης εἰς τὴν ἔρημον· καὶ ἀπῆλθον ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ αἰθάμου, καὶ ἐστρατοπεδεύσαντο ἐν μαρᾷ· [9] μετῆραν δ' ἀπὸ μαρᾶς καὶ ἀφίκοντο ἐλοῦσδε· ἐν δὲ τοῖς ἐλοῖς δυοκαίδεκα πηγαὶ ὕδατος ἑβδομήκοντά τε φοίνικες· καὶ ἐστρατοπεδεύσαντο ἐκεῖ. [10] μετῆραν δ' ἀπὸ ἐλῶν καὶ ἐστρατοπεδεύσαντο ἐπὶ θαλάττης φύκους· [11] ἀπῆραν δ' ἀπὸ θαλάττης φύκους καὶ ἐστρατοπεδεύσαντο ἐν τῇ ἐρήμῳ ξινός· [12] μετῆραν δ' ἀπ' ἐρήμου ξινὸς καὶ ἐστρατοπεδεύσαντο ἐν δοφεκᾷ. [13] μετῆραν δ' ἀπὸ δοφεκᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ἀλούσῃ· [14] μετῆραν δ' ἀφ' ἀλούσης καὶ ἐστρατοπεδεύσαντο ἐν ῥεφιδοῖς· οὐχ ὑπῆρξε δ' ἐκεῖ ὕδωρ τῷ λεῷ πιεῖν. [15] μετῆραν δ' ἀπὸ ῥεφιδῶν καὶ ἐστρατοπεδεύσαντο ἐν ἐρήμῳ ξινάϊνος· [16] μετῆραν δ' ἀπ' ἐρήμου ξινάϊνος καὶ ἐστρατοπεδεύσαντο ἐν τύμβοις τῆς ἐφέσεως· [17] μετῆραν δ' ἀπὸ τύμβων τῆς ἐφέσεως καὶ ἐστρατοπεδεύσαντο ἐν αὐλαῖς· [18] μετῆραν δ' ἀπ' αὐλῶν καὶ ἐστρατοπεδεύσαντο ἐν ῥιθμᾷ· [19] μετῆραν δ' ἀπὸ ῥιθμᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ῥόᾳ παράσου· [20] μετῆραν δ' ἀπὸ ῥόας παράσου καὶ ἐστρατοπεδεύσαντο ἐν λιβενᾷ· [21] μετῆραν δ' ἀπὸ λιβενᾶς καὶ ἐστρατοπε-

---

XXX. 3. ἁγιάσματος] l. ἅλματος (הַפֶּסַח). **Cf. Exod. XII, 27. 43 cet.** 8. ἐδιέβησαν] **codicis scripturam servavimus. Cf. Deut. II, 8.** 9. τοῖς **cod., non** ταῖς **ut ed.**

δεύσαντο ἐν ῥεξᾷ· [22] μετῆραν δ' ἀπὸ ῥεξᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν κεαλεθᾷ· [23] μετῆραν δ' ἀπὸ κεαλεθᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ὄρει σαφάρου· [24] μετῆραν δ' ἀπ' ὄρους σαφάρου καὶ ἐστρατοπεδεύσαντο ἐν ἀραδᾷ· [25] μετῆραν δ' ἀφ' ἀραδᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν μακελαῖς· [26] μετῆραν δ' ἀπὸ μακελῶν καὶ ἐστρατοπεδεύσαντο ἐν ταάθῳ· [27] μετῆραν δ' ἀπὸ ταάθου καὶ ἐστρατοπεδεύσαντο ἐν θάρᾳ· [28] μετῆραν δ' ἀπὸ θάρας καὶ ἐστρατοπεδεύσαντο ἐν μιθεκᾷ· [29] μετῆραν δ' ἀπὸ μιθεκᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ἀσμονᾷ· [30] μετῆραν δ' ἀφ' ἀσμονᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν μοξεραῖς· [31] μετῆραν δ' ἀπὸ μοξερῶν καὶ ἐστρατοπεδεύσαντο ἐν υἱέσι ἰακᾶνος· [32] μετῆραν δ' ἀφ' υἱέων ἰακᾶνος καὶ ἐστρατοπεδεύσαντο ἐν ὥρῳ τοῦ γαδεγάδου· [33] μετῆραν δ' ἀφ' ὥρου τοῦ γαδεγάδου καὶ ἐστρατοπεδεύσαντο ἐν ἰτεβαθᾷ· [34] μετῆραν δ' ἀπ' ἰτεβαθᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ἑβρωνᾷ· [35] μετῆραν δ' ἀπ' ἑβρωνᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν ἐσιῶνι γεβέρου· [36] μετῆραν δ' ἀπ' ἐσιῶνος γεβέρου καὶ ἐστρατοπεδεύσαντο ἐν ἐρήμῳ σινὸς, αὕτη καδέση· [37] μετῆραν δ' ἀπὸ καδέσης καὶ ἐστρατοπεδεύσαντο ἐν ὥρῳ τῷ ὄρει ἐν ἄκρῳ τῆς γῆς ἐδώμου. [38] ἀνέβη δ' ἀαρὼν ὁ ἱερεὺς πρὸς ὧρον τὸ ὄρος ἐπὶ στόματι τοῦ ὀντωτοῦ, καὶ τέθνηκεν ἐκεῖ ἐν ἔτει τῷ τετταρακοστῷ τοῦ ἐξελθεῖν τοὺς υἱεῖς ἰσραέλου ἐκ γῆς αἰγύπτου ἐν τῷ μηνὶ τῷ πέμπτῳ ἐν τῇ πρώτῃ τοῦ μηνός· [39] ἀαρὼν δὲ υἱεὺς τριῶν εἴκοσί τε καὶ ἑκατὸν ἐτῶν ὅτε ἀπέθανεν αὐτὸς ἐν ὥρῳ τῷ ὄρει. [40] Ἤκουσε δ' ὁ κεναάνιος βασιλεὺς ἀράδης· κεῖνος δὲ καθῆστο ἐν νότῳ ἐν γῇ κεναᾶνος ἐπεὶ ἀφικνοῦντο οἱ υἱεῖς ἰσραέλου. [41] μετῆραν δ' ἀπ' ὥρου τοῦ ὄρους καὶ ἐστρατοπεδεύσαντο ἐν σαλμονᾷ· [42] μετῆραν δ' ἀπὸ σαλμονᾶς καὶ ἐστρατοπεδεύσαντο ἐν φουνῶνι· [43] μετῆραν δ' ἀπὸ φουνῶνος καὶ ἐστρατοπεδεύσαντο ἐν ὠβαῖς· [44] μετῆραν δ' ἀπ' ὠβῶν καὶ ἐστρατοπεδεύσαντο ἐν οἱοῖς τῶν διαβάντων εἰς ὅρον μωάβου· [45] ἀπῆραν δ' ἀπ' οἱῶν καὶ ἐστρατοπεδεύσαντο ἐν διβῶνι γάδου· [46] μετῆραν δ' ἀπὸ διβῶνος γάδου καὶ ἐστρατοπεδεύσαντο

---

22. κεαλεθᾷ] codicis scriptura non satis perspicua; fort. κεαλαθᾷ (ut ed.) legendum. 32. γαδεγάδου] sic, non γιδ. (הַגִּדְגָּד), cod. itemque v. sq. 33. ἰτεβαθᾷ] יָטְבָתָה. Cf. not. ad XXXII, 35. 39. ἐτῶν cod., non ἔτους ut ed. ὅτε cod., non ὅταν 43. ὠβαῖς] ἐβαῖς cod., et v. sq. ἐβῶν pro ὠβῶν (אֹבֹת). Cf. not. ad XXI, 10.

ἐν ἀλμῶνι διβλαϑάουσδε· [47] μετῆραν δ' ἀπ' ἀλμῶνος διβλαϑάουσδε καὶ ἐστρατοπεδεύσαντο ἐν ὄρεσι τῶν διελϑόντων ἀντικρὺ νεβοῦς· [48] μετῆραν δ' ἀπ' ὀρῶν τῶν διελϑόντων καὶ ἐστρατοπεδεύσαντο ἐν τοῖς ἐρήμοις μωάβου ἐπ' ἰαρδένου ἱερεοῖ· [49] ἐστρατοπεδεύσαντο τοίνυν ἐπὶ τοῦ ἰαρδένου ἀπ' οἴκου τῶν φρούδων ἄχρι τοῦ πεδίου τῶν κυπαρίττων ἐν τοῖς ἐρήμοις μωάβου.

[50] Διείλεχται δ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τοῖς ἐρήμοις μωάβου ἐπὶ ἰαρδένου ἱερεοῖ τῷ φάναι· [51] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ὅτι ὑμεῖς διαβαίνετε τὸν ἰαρδένην πρὸς γῆν κεναᾶνος, [52] καὶ ἀποκληρώσετε πάντας τοὺς κατοικοῦντας τὴν γῆν ἀπὸ προσώπου ὑμῶν, καὶ ἀπολεῖτε πάντα τὰ ϑεάματα αὐτῶν, ξυμπάσας τε τὰς εἰκόνας τῶν ἀναστημάτων αὐτῶν ὀλέσετε, ξύμπαντάς τε τοὺς βωμοὺς αὐτῶν ὀλοϑρεύσετε· [53] κληρονομήσετε δὲ τὴν γῆν καὶ καϑεδεῖσϑε ἐν αὐτῇ, καὶ γὰρ ὑμῖν ἔδωκα τὴν γῆν ὡς κληρώσαισϑε ταύτην. [54] κληρονομήσετε γοῦν τὴν γῆν ἐν κλήρῳ ἐς τὰς φρήτρας ὑμῶν, τῷ πολλῷ πληϑυνεῖτε τὴν κληρονομίαν αὐτοῦ, τῷ δ' ὀλίγῳ ὀλιγώσεις τὴν κληρονομίαν αὐτοῦ· εἰς ὅπερ ἐξελεύσεταί οἱ ἐκεῖσε ὁ κλῆρος, ἐκείνῳ τελέσει· ἐς τὰ σκῆπτρα τῶν πατέρων ὑμῶν κληρώσεσϑε. [55] ἢν δὲ μὴ ἀποκληρώσῃ τοὺς καϑέδρους τῆς γῆς ἀπὸ προσώπου ὑμῶν, τελέσει τοίνυν ὃ περιλείψετε ἀπ' αὐτῶν εἰς σκόλοπας ἐν ὄμμασιν ὑμῖν καὶ εἰς ἀκάνϑας ἐν τοῖς πλαγίοις ὑμῶν, ϑλίψουσί ϑ' ὑμᾶς ἐπὶ τῆς γῆς ἧς ὑμεῖς καϑέζεσϑε ἐν αὐτῇ· [56] τελέσει τε καϑάπερ εἴκασα ποιῆσαι σφίσι ποιήσω ὑμῖν.

XXXIV.

[1] Διείλεχταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [2] κέλευσον τοῖς υἱέσι τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ὅτι ὑμεῖς ἀφικνεῖσϑε πρὸς τὴν γῆν τοῦ κεναᾶνος, αὕτη ἡ γῆ ἣ πεσεῖται ὑμῖν εἰς κληρονομίαν, ἡ γῆ κεναᾶνος εἰς ὅρους αὐτῆς. [3] τελέσει ϑ' ὑμῖν τὸ κλίμα τοῦ νότου ἀπὸ τῆς ἐρήμου σινὸς ἐπὶ χερσὶ τοῦ ἐδώμου, καὶ

---

48. ἱερεοῖ cod. At v. 50 ipse ἱερ. habet. Cf. XXII, 1. XXVI, 3. 63 cet. 49. φούδων cod. et ed. Legendum fort. φρουδῶν. Cf. XXI, 20. Deut. I, 1 cet. κιπαρίττων cod. Cf. XXV, 1. Deut. X, 3 cet. 51. ἰαρδένον c. cd. ed. 52. ἀπεκληρώσετε cod. et ed. ἀναστημάτων] suspiceris מַסֵּכוֹת eum cum מַצֵּבוֹת confudisse. Cf. Exod. XXXII, 4. 8. Lev. XIX, 4. Deut. VII, 5. IX, 12. 16 cet. 55. ἀποκληρώσῃ] l. ἀποκληρώσητε (תּוֹרִישׁוּ). τοὺς καϑέδρας cod. et ed. Cf. Gen. XIX, 25. Exod. XII, 45 cet. ϑλίψεσι cod. et ed.

τελέσει ὑμῖν ὅρος νότου ἀπὸ τοῦ ἄκρου τῆς ϑαλάττης τοῦ ἁλὸς ἐς ἀνατολάς· [4]κυκλώσεται δ' ὑμῖν ὁ ὅρος ἀπ' ἀνατολῶν ἐς τὰ ἄνω σκορπίων καὶ διελεύσεται ἵναδε, τελέσουσί ϑ' αἱ ἐξελεύσεις αὐτοῦ ἀπὸ νότου εἰς καδέσην βαρνέου, καὶ ἐξελεύσεται ἐς αὐλὴν ἀδάρου καὶ διελεύσεται ἀσμῶναδε· [5]καὶ κυκλώσεται ὁ ὅρος ἀπ' ἀσμῶνος ἐς χειμάρρουν αἰγύπτου, τελέσουσί ϑ' αἱ ἐξελεύσεις αὐτοῦ εἰς ϑάλατταν. [6]ὅρος τῆς ϑαλάττης, τελέσει τοίνυν ὑμῖν ἡ ϑάλαττα ἡ μεγάλη, ὅρος ϑ' οὗτος τελέσει ὑμῖν ὅρος ϑαλάττης. [7]οὗτος τελέσει ὑμῖν ὅρος ἄρκτων· ἀπὸ ϑαλάττης τῆς μεγάλης ὁριεῖσϑε ὑμῖν ὥρον τὸ ὅρος· [8]ἀπ' ὥρου τοῦ ὅρους ὁριεῖσϑε τῷ ἔρχεσϑαι εἰς ἀμάϑην, τελέσουσί ϑ' αἱ ἐξελεύσεις τοῦ ὅρου σεδάδηνδε· [9]καὶ ἐξελεύσεται ὁ ὅρος ζιφρῶναδε, τελέσουσί ϑ' αἱ ἐξελεύσεις αὐτοῦ ἡ αὐλὴ τοῦ αἰνᾶνος· ὅδ' ὑπάρξει ὑμῖν ὅρος ἄρκτων. [10]ὁριεῖσϑέ ϑ' ἑαυτοῖς εἰς ὅρον ἀνατολάσδε ἀπ' αὐλῆς αἰνᾶνος σεφάμηνδε· [11]κατελεύσεται δ' ὁ ὅρος ἀπὸ σεφάμης τῆς ῥιβλᾶς ἀπ' ἀνατολῶν εἰς ἄϊν, καὶ κατελεύσεται ὁ ὅρος καὶ τύψει ἐπ' ὤμου τῆς ϑαλάττης κινερέϑης πρὸς ἀνατολάς· [12]κατελεύσεταί ϑ' ὁ ὅρος ἰαρδένηνδε, καὶ τελέσουσιν αἱ ἐξελεύσεις αὐτοῦ ϑάλαττα τοῦ ἁλός. αὕτη τελέσει ὑμῖν ἡ γῆ εἰς ὅρους αὐτῆς κύκλῳ. [13]τοίνυν ἐκέλευσε μωσεὺς τοῖς υἱέσιν ἰσραέλου τῷ φάναι· αὕτη ἡ γῆ ἣν κληρώσεσϑε ταύτην ἐν κλήρῳ, ἣν ἐκέλευσεν ὁ ὀντωτὴς δοῦναι τοῖς ἐννέα σκήπτροις καὶ τῷ ἡμίσει σκήπτρῳ· [14]καὶ γὰρ ἔλαβον τὸ σκῆπτρον τῶν υἱέων τοῦ ῥεουβενίου ἐς οἶκον πατέρων αὐτῶν, τό τε σκῆπτρον τῶν υἱέων τοῦ γαδίου ἐς οἶκον πατέρων αὐτῶν καὶ τὸ ἥμισυ τοῦ σκήπτρου τοῦ μενασέως ἔλαβον τὴν κληρονομίαν αὐτῶν· [15]τὼ δύο σκήπτρω καὶ τὸ ἥμισυ τοῦ σκήπτρου ἔλαβον τὴν κληρονομίαν αὐτῶν πέραϑεν τοῦ ἰαρδένου ἱερεοῖ πρὸς ἀρχὰς ἀνατολάσδε.

[16]Διείλεκταί ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [17]ταυτὶ τὰ ὀνόματα τῶν ἀνδρῶν οἳ κληροδοτήσουσιν ὑμῖν τὴν γῆν· ἐλεαζάρης ὁ ἱερεὺς ἰωσούας ϑ' υἱεὺς νούνου· [18]καὶ ἡγεμόνα ἕνα ἡγεμόνα

XXXIV. 4. ἵναδε (non ἵνα δὲ ut ed.)] quasi עֵנָה scriptum esset, non צִנָה. Cf. LXX (εννακ, A σεεννακ). αὐλὴν] αὐτὴν cod. et ed. 7. ὥρον cod. Cf. XXXIII, 38 sq. Recte ipse cod. v. sq. ὥρου 8. τῷ ἔρχεσϑαι] καὶ ἴσχεσϑαι (non ἴσχεσιν ut ed.) corrupte cod. (לְבֹא). Cf. Gen. XV, 12. XLVIII, 7 cet. 12. αὐτῆς] αὐτῶν cod. et ed. 13. ἐκληρώσεσϑε cod. et ed. τοῖς (2)] τοῦ cod. 15. πέραϑεν cod., non πρόσϑεν ut ed.

ἕνα ἀπὸ σκήπτρου λήψεσθε ὡς κληρώσαιεν τὴν γῆν. [19] ταῦτα δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν· τοῦ σκήπτρου ἰεουδάου, καλέβης υἱεὺς ἰεφουνέως· [20] τοῦ δὲ σκήπτρου τῶν υἱέων συμεῶνος, σεμουέλος υἱεὺς ἀμιούδου· [21] τοῦ σκήπτρου βινιαμῖνος, ἐλιδάδης υἱεὺς κιξελῶνος· [22] τοῦ δὲ σκήπτρου τῶν υἱέων δανὸς, ἡγεμὼν βουκὶν υἱεὺς ἰωγλῖνος· [23] τοῖν υἱοῖν ἰωξέφου· τοῦ σκήπτρου τῶν υἱέων μενασέως, ἡγεμὼν ἀνιέλος υἱεὺς ἐφώδου· [24] τοῦ δὲ σκήπτρου τῶν υἱέων ἐφραΐμου, ἡγεμὼν κεμουέλος υἱεὺς σιφετᾶνος· [25] τοῦ δὲ σκήπτρου τῶν υἱέων ζεβουλούνου, ἡγεμὼν ἐλισαφὰν υἱεὺς παρνάχου· [26] τοῦ δὲ σκήπτρου τῶν υἱέων ἰσσαχάρου, ἡγεμὼν παλετιέλος υἱεὺς ἀζᾶνος· [27] τοῦ δὲ σκήπτρου τῶν υἱέων ἀσέρου, ἡγεμὼν ἀηούδης υἱεὺς σελομῖνος· [28] τοῦ δὲ σκήπτρου τῶν υἱέων ναφεταλῖνος, ἡγεμὼν πεδαέλος υἱεὺς ἀμιούδου. [29] οὗτοι οὓς ἐκέλευσεν ὁ ὀντωτὴς κληρῶσαι τοὺς υἱεῖς ἰσραέλου ἐν γῇ κεναᾶνος.

XXXV. [1] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τοῖς ἐρήμοις μωάβου ἐπὶ ἰαρδένου ἱερεοῖ τῷ φάναι· [2] κέλευσον τοῖς υἱέσι ἰσραέλου, καὶ δώσουσι τοῖς λευινίοις ἀπὸ τοῦ κλήρου τῆς κατασχέσεως αὐτῶν πόλεις ὡς καθέζοιντο, καὶ ἐκβολὴν τῶν πόλεων κύκλῳ σφῶν δώσετε τοῖς λευινίοις· [3] τελέσουσί θ' αἱ πόλεις σφίσιν ὥστε καθέζεσθαι, καὶ ἐκβολαὶ σφῶν τελέσουσι τῷ κτήνει σφῶν τῇ τε περιουσίᾳ σφῶν παντί τε τῷ ζώῳ σφῶν. [4] αἱ δ' ἐκβολαὶ τῶν πόλεων ἃς δώσετε τοῖς λευινίοις ἀπὸ τοῦ τείχους τῆς πόλεως καὶ ἔξω, χίλιοι πήχεις κύκλῳ· [5] μετρήσετε δ' ἔξωθεν τῆς πόλεως τὸ κλίμα τὸ πρὸς ἀνατολὰς δισχιλίους ἐν πήχει, τό τε κλίμα τοῦ νότου δισχιλίους ἐν πήχει, τὸ δὲ κλίμα τῆς θαλάττης δισχιλίους ἐν πήχει, καὶ τὸ κλίμα τῶν ἄρκτων δισχιλίους ἐν πήχει· ἡ δὲ πόλις μέσον. τοδὶ τελέσει σφίσιν ἐκβολαὶ τῶν πόλεων. [6] καὶ τὰς πόλεις ἃς δώσετε τοῖς λευινίοις, τὰς ἓξ πόλεις τοῦ συναγμοῦ ἃς δώσετε φεύγειν ἐκεῖσε τὸν φονέα, καὶ ἐπ' αὐταῖς δώσετε τετταράκοντα καὶ δύο πόλεις· [7] πᾶσαι αἱ πόλεις ἃς δώσετε τοῖς λευινίοις, τετταράκοντα καὶ ὀκτὼ πόλεις, ταύτας καὶ τὰς ἐκβολὰς αὐτῶν. [8] τὰς δὲ πόλεις ἃς δώσετε πρὸς τῆς κατασχέσεως τῶν υἱέων τοῦ ἰσραέλου,

---

20. ἀσμιούδου cod. et ed. Cf. v. 28. I, 10 cet. 23. ἀνιέλος cod., non ἀγιέλος ut ed. 27. ἀηούδης cod., non ἀκούδης.

XXXV. 1. ἱερεοῖ cod. Cf. XXXIII, 48. 4. χίλιαι cod. et ed. Cf. Gen. VI, 15 etc. 6. φεύγειν cod., non φαγεῖν (l. φυγεῖν) ut ed.

πρὸς τοῦ πολλοῦ πληϑυνεῖτε, πρὸς τοῦ ὀλίγου δὲ ὀλιγώσετε· ἕκαστος κατὰ τὸν κλῆρον ἑαυτοῦ ὃν κληρώσονται δώσει πρὸς τῶν πόλεων ἑαυτοῦ τοῖς λευινίοις.

[9] Διείλεκται δ' ὁ ὀντωτὴς πρὸς μωσέα τῷ φάναι· [10] διείλεξο πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου φήσεις τε πρὸς αὐτούς· ὅτι ὑμεῖς διαβαίνετε τὸν ἰαρδένην εἰς γῆν κεναᾶνος, [11] καὶ πολιεῖτε ὑμῖν αὐτοῖς πόλεις· πόλεις ξυναγμοῦ τελέσουσιν ὑμῖν, φευξεῖται δ' ἐκεῖσε φονεὺς παίων ψυχὴν ἐν λήϑῃ. [12] τελέσουσί ϑ' ὑμῖν αἱ πόλεις εἰς ξυναγμὸν ἀπὸ τοῦ λυτρουμένου, καὶ οὐ τεϑνήξεται ὁ φονεύς, ἄχρι τοῦ στῆναί ἑ πρόσϑεν τοῦ ἀϑροίσματος εἰς κρίσιν. [13] αἱ δὲ πόλεις ἃς δώσετε, πόλεις ξυναγμοῦ τελέσουσιν ὑμῖν· [14] τὰς τρεῖς πόλεις δώσετε πέραϑεν τοῦ ἰαρδένου, τὰς δὲ τρεῖς πόλεις δώσετε ἐν γῇ κεναᾶνος· πόλεις συνάξεως τελέσουσι· [15] τοῖς υἱέσι τοῦ ἰσραέλου τῷ τε μετοίκῳ καὶ τῷ καϑέδρῳ μέσον ὑμῶν τελέσουσιν αἱ ἓξ πόλεις αἰδὶ εἰς σύναξιν, ὥστε φυγεῖν ἐκεῖσε πάντα παίοντα ψυχὴν ἐν λήϑῃ. [16] εἰ μέντοι ἐν ὀργάνῳ σιδήρου ἔπαισέν ἑ, καὶ τέϑνηκε, φονεύς ἐστι· τῷ ϑνήσκειν τεϑανατώσϑω ὁ φονεύς. [17] εἰ δ' ἐν λίϑῳ χειρὸς ᾧ ἀποϑάνοι ἐν αὐτῷ ἔπαισεν αὐτόν, καὶ τέϑνηκε, φονεύς ἐστι· τῷ ϑνήσκειν τεϑανατώσϑω ὁ φονεύς· [18] ἢ ἐν ὀργάνῳ ξύλου χειρὸς ᾧ τεϑναίη ἐν αὐτῷ ἔβαλεν αὐτόν, καὶ τέϑνηκε, φονεύς ἐστι· τῷ ϑνήσκειν τεϑανατώσϑω ὁ φονεύς. [19] ὁ λυτρούμενος τὸ αἷμα, κεῖνος ϑανατώσει τὸν φονέα· ἐπὰν συναντήσειεν αὐτῷ ἐκεῖνος, ϑανατώσει αὐτόν. [20] εἰ δ' ἐν μίσει ὤσειεν αὐτὸν ἢ ῥίψειε κατ' αὐτοῦ ἐν προϑέσει, καὶ τέϑνηκεν, [21] ἢ ἐν ἔχϑρᾳ ἔπληξεν αὐτὸν ἐν χειρί οἱ, καὶ τέϑνηκε, τῷ ϑνήσκειν τεϑανατώσϑω ὁ πλήξας, φονεύς ἐστιν· ὁ λυτρούμενος τὸ αἷμα ϑανατώσει τὸν φονέα ἐν τῷ συναντῆσαί ἑ αὐτῷ. [22] εἰ δ' ἐν αἰφνιδίῳ, ἐν οὐκ ἔχϑρᾳ ὦσεν αὐτὸν ἢ ἔρριψε κατ' αὐτοῦ ὁτιοῦν σκεῦος ἐν οὐ προϑέσει, [23] ἢ ἐν ὁτῳοῦν λίϑῳ ᾧ τεϑναίη ἐν αὐτῷ ἐν τῷ μὴ ὁρᾶν, ἔρριψέ τ' ἐπ' αὐτοῦ, καὶ τέϑνηκε, κεῖνός τ' οὐκ ἐχϑρὸς αὐτῷ οὔτε ζητῶν τὸ κακὸν αὐτῷ· [24] τοίνυν κρινοῦσι τὸ ἄϑροισμα μέσον τοῦ πλήξαν-

---

10. ἰαρδένον c. cd. ed. 13. πόλεις (2)] excidit ἓξ (שֵׁשׁ־עָרֵי). ὑμῖν] ἡμῖν cod. 15. μέσον ὑμῶν] בְּתוֹכְכֶם (ut cod. Kenn. 129) pro בְּתוֹכָם. Item LXX. 18. ᾧ cod., non ᾧτε ut ed. 20. ῥίψει cod. et ed. 23. ἐν τῷ μὴ ὁρᾶν] ἐν τῷ addidimus invito codice (בְּלֹא רְאוֹת). An voluit μὴ ὁρῶν?

τος καὶ μέσον τοῦ λυτρουμένου τὸ αἷμα ἐπὶ ταῖς κρίσεσι ταυταισί. [25]καὶ ἀπαλλάξουσι τὸ ἄϑροισμα τὸν φονέα ἀπὸ τῆς χειρὸς τοῦ λυτρουμένου τὸ αἷμα, στρέψουσί τ' αὐτὸν τὸ ἄϑροισμα πρὸς πόλιν τῆς συνάξεως ᾗ ἔφυγεν ἐκεῖσε, καὶ καϑεδεῖται ἐκεῖ μέχρι τοῦ τεϑνάναι τὸν ἱερέα τὸν μέγαν, ὃν ἔχρισεν αὐτὸν ἐν τῷ μύρῳ τῷ ἁγίῳ. [26]κἂν τῷ ἐξιέναι ἐξέλϑῃ ὁ φονεὺς τὸν ὅρον τῆς πόλεως τῆς συνάξεως αὐτοῦ ᾗ φευξεῖται ἐκεῖσε, [27]καὶ εὕρῃ αὐτὸν ὁ λυτρούμενος τὸ αἷμα ἔξωϑεν τοῦ ὅρου τῆς πόλεως τῆς συνάξεως αὐτοῦ, φονεύσῃ δ' ὁ λυτρούμενος τὸ αἷμα τὸν φονέα, ἥκιστά οἱ αἷμα· [28]ἐν γὰρ τῇ πόλει τῆς συνάξεως αὐτοῦ καϑεδεῖται μέχρι τοῦ τεϑνάναι τὸν ἱερέα τὸν μέγαν, μετὰ δὲ τὸ τεϑνάναι τὸν ἱερέα τὸν μέγαν στραφήσεται ὁ φονεὺς πρὸς τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ. [29]τελέσουσί τε ταῦτα ὑμῖν εἰς τύπον κρίσεως ταῖς γενεαῖς ὑμῶν ἐν πάσαις ταῖς καϑέδραις ὑμῶν· [30]πᾶς πλήττων ψυχήν, εἰς στόμα μαρτύρων φονεύσει τὸν φονέα, μάρτυς δ' εἷς οὐκ ἀποκρινεῖται εἰς ψυχὴν ὡς τεϑναίῃ· [31]οὔτε λήψεσϑε συγγνωμόνημα ψυχῆς φονέως ὅς ἐστιν ὑπόδικος τῷ τεϑνάναι· τῷ ϑνήσκειν γὰρ ϑανατούσϑω· [32]καὶ οὐ λήψεσϑε συγγνωμόνημα ὡς φύγοι πρὸς τὴν πόλιν τῆς συνάξεως αὐτοῦ, ὡς ὑποστρέψειε καϑέζεσϑαι ἐν τῇ γῇ μέχρι τοῦ τεϑνάναι τὸν ἱερέα· [33]οὐδ' ὑποκρινεῖτε τὴν γῆν ᾗπέρ ἐστε ἐν αὐτῇ· τὸ γὰρ αἷμα κεῖνο ὑποκρινεῖ τὴν γῆν, τῇ τε γῇ οὐ συγγνωσϑήσεται εἰς τὸ αἷμα ὃ κέχυται ἐν αὐτῇ, εἰ μὴ ἐν τῷ αἵματι τοῦ χέαντος αὐτό· [34]τοίνυν οὐ μιανεῖτε τὴν γῆν ᾗπερ ὑμεῖς καϑέζεσϑε ἐν αὐτῇ, ᾗπερ ἐγὼ κατοικῶ μέσον αὐτῆς· ἐγὼ γὰρ ὁ ὀντωτὴς κατοικῶ μέσον τῶν υἱέων τοῦ ἰσραέλου.

XXXVI. [1]Ἤγγισαν δ' αἱ κεφαλαὶ τῶν πατέρων τῆς φρήτρας τῶν υἱέων τοῦ γιλάδου τοῦ υἱέως μεχίρου τοῦ υἱέως μενασέως ἀπὸ τῶν φρητρῶν τῶν υἱέων ἰωξέφου, διειλεγμένοι τ' εἰσὶν ἐνώπιον μωσέως καὶ ἐνώπιον τῶν ἡγεμόνων τῶν κεφαλῶν τῶν πατέρων τῶν υἱέων τοῦ ἰσραέλου, [2]καὶ εἶπον· δέσποτά μου, ἐκέλευσεν ὁ ὀντωτὴς δοῦναι τὴν γῆν ἐν κληρονομίᾳ ἐν κλήρῳ τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ ὁ

---

25. συνάξεως] suff. om. (מִקְלָטוֹ). Cf. v. sq. ἐκεῖσε] ἐκεῖ cod. et ed. τῷ ἁγίῳ cod., non τοῦ ἁγίου ut ed. 26. φευξεῖτε (non φευξεῖσϑε ut ed.) cod. 32. αὐτοῦ cod., non ἑαυτοῦ 33. ᾗπερ ἐστὶν cod. et ed.

XXXVI. 1. μεχίρου] legendum μαχίρου (מָכִיר). Cf. Gen. L, 23 etc. τῶν κεφαλῶν] τῆς κεφαλῆς cod. et ed.

δεσπότης μου κεκέλευσται ἐν τῷ ὀντωτῇ δοῦναι τὴν κληρονομίαν τοῦ σελαφεάδου τοῦ ἀδελφοῦ ἡμῶν ταῖς ϑυγατράσιν αὐτοῦ· [3] τελέσουσιν οὖν ἑνὶ πρὸς τῶν υἱέων τῶν σκήπτρων τῶν υἱέων τοῦ ἰσραέλου εἰς γυναῖκας, ἐλαττωϑήσεται τοίνυν ὁ κλῆρος αὐτῶν ἀπὸ τοῦ κλήρου τῶν πατέρων ἡμῶν καὶ προστεϑήσεται ἐπὶ τῷ κλήρῳ τοῦ σκήπτρου ᾧ τελέσουσιν αὐτοῖς, κἀπὸ τοῦ λάχους τοῦ κλήρου ἡμῶν ἐλαττωϑήσεται. [4] καὶ εἴπερ τελέσειε τὸ κέρας τοῖς υἱέσι τοῦ ἰσραέλου, καὶ προστεϑήσεται ὁ κλῆρος σφῶν ἐπὶ τῷ κλήρῳ τοῦ σκήπτρου ᾧ τελέσουσιν αὐτοῖς, κἀπὸ τοῦ κλήρου τοῦ σκήπτρου τῶν πατέρων ἡμῶν ἀφαιρεϑήσεται ἡ κληρονομία σφῶν. [5] ἐκέλευσεν οὖν μωσεὺς τοῖς υἱέσι τοῦ ἰσραέλου ἐπὶ στόματι τοῦ ὀντωτοῦ τῷ φάναι· τῇδε τὸ σκῆπτρον τῶν υἱέων ἰωξέφου διαλέγονται· [6] οὗτος ὁ λόγος ὃν ἐκέλευσεν ὁ ὀντωτὴς ταῖς ϑυγατράσι σελαφεάδου τῷ φάναι· τῷ χρηστῷ ἐν ὄμμασιν αὐτῶν τελέσουσιν εἰς γυναῖκας, πλὴν τῇ φρήτρᾳ τοῦ σκήπτρου τοῦ πατρὸς αὐτῶν τελέσουσιν ἐς γυναῖκας· [7] καὶ οὐ περιελεύσεται ἡ κληρονομία τῶν υἱέων ἰσραέλου ἀπὸ σκήπτρου πρὸς σκῆπτρον, ἕκαστος γὰρ εἰς τὴν κληρονομίαν τοῦ σκήπτρου τῶν πατέρων αὐτοῦ κολληϑήσονται οἱ υἱεῖς ἰσραέλου. [8] πᾶσα δὲ ϑυγάτηρ κληρονομοῦσα κλῆρον πρὸς τῶν σκήπτρων τῶν υἱέων ἰσραέλου, ἑνὶ πρὸς τῆς φρήτρας τοῦ σκήπτρου τοῦ πατρὸς αὐτῆς τελέσει εἰς γυναῖκα, ὡς ἂν κληρῷντο οἱ υἱεῖς ἰσραέλου ἕκαστος τὸν κλῆρον τῶν πατέρων αὐτοῦ· [9] καὶ οὐ περιελεύσεται ὁ κλῆρος ἀπὸ σκήπτρου εἰς σκῆπτρον ἕτερον, ἕκαστος γὰρ ἐν τῷ κλήρῳ οἱ κολληϑήσονται τῶν σκήπτρων τῶν υἱέων ἰσραέλου. [10] καϑάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ, τῇδε ἐποίησαν αἱ ϑυγατέρες σελαφεάδου· [11] καὶ ὑπῆρξαν μααλά, τιρεσὰ καὶ ἀγλά, μιλκά τε καὶ νωὰ αἱ ϑυγατέρες σελαφεάδου τοῖς υἱέσι τῶν πατρώων αὐτῶν εἰς γυναῖκας· [12] ἀπὸ τῶν φρητρῶν τῶν υἱέων μενασέως υἱέως ἰωξέφου ὑπῆρξαν εἰς γυναῖκας, ὑπῆρξέ ϑ' ὁ κλῆρος αὐτῶν ἐπὶ τοῦ σκήπτρου τῆς φρήτρας τοῦ πατρὸς αὐτῶν. [13] ταῦτα τὰ κελεύσματα καὶ αἱ κρίσεις ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς διὰ χειρὸς μωσέως πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου ἐν τοῖς ἐρήμοις μωάβου ἐπὶ ἰαρδένου ἱερσοῖ.

---

8. κληρῷντο] codicis scripturam servavimus. Cf. Gen. VI, 19 sq. IX, 14 cet. 11. ἀγλὰ (חָגְלָה)] cf. XXVI, 33. XXVII, 1. πάτρων cod., πατέρων ed. Cf. Lev. X, 4. 13. ἱεριοῖ cod. Cf. XXII, 1. XXXI, 12 cet.

Οὗτοι οἱ λόγοι οὓς διείλεκται μωσεὺς πρὸς πάντα τὸν ἰσραέλον ἐν τῷ πέραν τοῦ ἰαρδένου ἐν τῇ ἐρήμῳ ἐν τῇ φρούδῃ ἀντικρὺ φύκους ἀνὰ παρᾶνα καὶ ἀνὰ τόφελον λαβᾶνά τε καὶ αὐλὰς καὶ ἱκανοῦ χρυσοῦ, [2] τῇ ἑνδεκάτῃ ἡμέρᾳ ἀφ' ὡρέβου ὁδῷ ὄρους σεήρου μέχρι καδέσης τοῦ βαρνέου. [3] τοίνυν ἐτέλεσεν ἐν τετταρακοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ μηνὶ ἐν τῇ πρώτῃ τοῦ μηνὸς, διείλεκται μωσεὺς πρὸς τοὺς υἱεῖς ἰσραέλου κατὰ πάνθ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς αὐτῷ πρὸς αὐτούς, [4] μετὰ τὸ βαλεῖν αὐτὸν ξιῶνα τὸν βασιλέα τοῦ ἐμορίου ὃς καθῆστο ἐν ἑσεβῶνι καὶ ὦγον τὸν βασιλέα τοῦ βασᾶνος ὅσπερ καθῆστο ἐν ἀσταραῖς ἐν ἐδραιῖνι· [5] ἐν τῷ πέραν τοῦ ἰαρδένου ἐν γῇ μωάβου βεβούληται μωσεὺς ἑρμηνεῦσαι τὸν νόμον τουτονὶ τῷ φάναι· [6] ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν διείλεκται πρὸς ἡμᾶς ἐν ὡρέβῃ τῷ φάναι· πολὺ ὑμῖν τὸ καθῆσθαι ἐν τῷ ὄρει τῳδί· [7] κλίνατε καὶ ἀπάρατε ὑμῖν, ἄφιχθέ τε εἰς ὄρος τοῦ ἐμορίου καὶ πρὸς πάντα τὰ γειτονοῦντά οἱ ἐν τῇ ἐρήμῳ, ἐν τῷ ὄρει κἀν τῇ ταπεινῇ κἀν τῷ νότῳ κἀν τῇ ἀκτῇ τῆς θαλάττης, τὴν γῆν τοῦ κεναανίου καὶ τὸν λεβανῶνα, μέχρι τοῦ ποταμοῦ τοῦ μεγάλου τοῦ ποταμοῦ περάθου. [8] θεῶ ἔδωκα ἐπίπροσθεν ὑμῶν τὴν γῆν, ἄφιχθε καὶ κεκλήρωσθε τὴν γῆν ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν ὑμῶν ἀβράμῃ, ἰσάκῃ καὶ ἰακώβῳ, δοῦναι σφίσι καὶ τῷ σπέρματι σφῶν μετ' αὐτούς. [9] ἔφην τε πρὸς ὑμᾶς ἐν τῷ καιρῷ κείνῳ τῷ φάναι· οὐ δυνήσομαι μόνος μοι αἴρειν ὑμᾶς· [10] ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ἐπλήθυνεν ὑμᾶς, αὐτίκα θ' ὑμεῖς τήμερον ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ τῷ πλήθει· [11] ὁ ὀντωτὴς ὁ θεὸς τῶν

I. 1. αὐλὰς] αὐτὰς cod. et ed. 4. ἐνεδραιῖνι cod. Cf. III, 1. Num. XXI, 33. 5. τουτονὶ] vix aliter cod., non τουτουΐ ut relatum erat Ammonio. Ed. τούτον (sic). 6. ὠσέβῃ cod. et ed., et paullo inferius ἡμῖν pro ὑμῖν 7. ἀπάρατε cod., non ἀπάρετε ut ed. περάθου cod., non περάθεν 8. ἀβράμῃ] l. ἀβραάμῃ καὶ τῷ σπέρματι] καὶ ipsi addidimus.

πατέρων ὑμῶν προστίθησιν ἐφ' ὑμῖν ὥσπερ ὑμεῖς χιλιάκις, εὐλογήσειέ θ' ὑμᾶς καθάπερ διείλεκται ὑμῖν. [12] πῶς εἴδω μόνος ἐγὼ τὸν μόχθον ὑμῶν, τὸν φόρτον ὑμῶν καὶ τὴν δίκην ὑμῶν; [13] δότε ὑμῖν αὐτοῖς ἄνδρας σοφοὺς συνετούς τε καὶ ἐγνωσμένους τοῖς σκήπτροις ὑμῶν, θήσω τ' αὐτοὺς εἰς κεφαλὰς ὑμῶν. [14] ἀποκέκρισθε δέ μοι καὶ ἔφητε· χρηστὸς ὁ λόγος ὃν διείλεξαι ποιῆσαι. [15] τοίνυν ἔλαβον τὰς κεφαλὰς τῶν σκήπτρων ὑμῶν, ἄνδρας σοφοὺς ἐγνωσμένους τε, καὶ ἔδωκα σφᾶς κεφαλὰς ἐφ' ὑμῶν, χιλιάρχους ἑκατοντάρχους τε καὶ πεντηκοντάρχους δεκάρχους τε καὶ πράκτορας τῶν σκήπτρων ὑμῶν. [16] ἐκέλευσα τοίνυν τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ κείνῳ τῷ φάναι· τῷ ἀκούειν μεταξὺ τῶν ἀδελφῶν ὑμῶν καὶ κρινεῖτε δικαιοσύνην ἀν' ἄνδρα κἀνὰ τὸν ἀδελφὸν κἀνὰ τὸν μέτοικον αὐτοῦ· [17] οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει, ὡς τοῦ μικροῦ τῇδε τοῦ μεγάλου ἀκούσεσθε· οὐ δείσετε ἀπὸ προσώπου ἀνδρός, ἡ γὰρ κρίσις τοῦ θεοῦ ἐστι· τὸν δὲ λόγον ὃς σκληρυνεῖ ἀφ' ὑμῶν προσοίσετε πρός με, καὶ πεύσομαι αὐτόν. [18] ἐκέλευσά θ' ὑμῖν ἐν τῷ καιρῷ κείνῳ πάντας τοὺς λόγους οὓς ποιήσετε. [19] μετήραμεν οὖν ἀφ' ὠρέβου καὶ ἐπορεύθημεν ξύμπασαν τὴν ἔρημον τὴν μεγάλην καὶ φοβερὰν ἐκείνην ἣν τεθέασθε, ὁδὸν ὄρους τοῦ ἐμορίου, καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν ἡμῖν, ἀφίγμεθά τε μέχρι καδέσης βαρνέου. [20] καὶ εἶπον πρὸς ὑμᾶς· ἀφίκεσθε μέχρις ὄρους τοῦ ἐμορίου, ὅπερ ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν δίδωσιν ὑμῖν· [21] θεῶ δέδωκεν ὁ ὀντωτὴς ὁ θεός σου ἐνώπιόν σου τὴν γῆν· ἀνάβαινε κληροῦ, καθάπερ εἴρηκεν ὁ ὀντωτὴς ὁ θεὸς τῶν πατέρων σου σοί· μὴ φοβοῦ μηδὲ δειλία. [22] τοίνυν ἠγγίσατε πρός με πάντες ὑμεῖς καὶ ἔφητε· πέμψωμεν ἄνδρας πρόσθεν ἡμῶν, καὶ ἐρευνήσουσιν ἡμῖν τὴν γῆν, στρέψουσί θ' ἡμῖν λόγον, τὴν ὁδὸν ἥπερ ἀναβησόμεθα ἐν αὐτῇ, τάς τε πόλεις ἃς ἐλευσόμεθα πρὸς αὐτάς. [23] ἠγάθυνε δ' ἐν ὄμμασί μοι ὁ λόγος, ἔλαβόν τ' ἀφ' ἡμῶν δυοκαίδεκα ἄνδρας, ἄνδρα ἕνα τοῦ σκήπτρου. [24] ἔκλιναν δὲ καὶ ἀνέβησαν εἰς τὸ ὄρος καὶ ἀφίκοντο μέχρι χειμάρρου τοῦ βότρυος,

---

12. εἴδω] ita corrupte pro αἴρω vel ἀρῶ (אֶשָּׂא; cf. XXXII, 40) cod. Cf. v. 9. 14. ἔφητε] cf. Gen. XLIII, 29. Item v. 22. 27. 39. 41. 16. ἀδελφὸν] excidit αὐτοῦ (אָחִיו). 20. ὑμῖν] ἡμῖν (לָנוּ)? 21. κληρῶ cod., κληρῷ ed. Cf. II, 24. 31. σου σοί, non σού σοι, cod. Cf. VI, 3. VII, 12 cet. μηδὲ] μὴ δὲ cod. 23. ἡμῶν] l. ὑμῶν (מִכֶּם). Item v. 26 (אֱלֹהֵיכֶם).

κατεσκόπησάν τ' αὐτήν· [25] καὶ ἔλαβον ἐν χειρὶ σφῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς καὶ κατήνεγκαν πρὸς ἡμᾶς, ἔστρεψάν τε πρὸς ἡμᾶς λόγον καὶ εἶπον· χρηστὴ ἡ γῆ ἣν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. [26] οὔκουν ἠθελήσατε ἀναβῆναι, ἀντήρατε δὲ τῷ στόματι τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν· [27] ἐγογγύσατε ἐν ταῖς σκηναῖς ὑμῶν καὶ ἔφητε· ἐν μίσει τοῦ ὀντωτοῦ πρὸς ἡμᾶς ἐξήγαγεν ἡμᾶς ἀπὸ γῆς αἰγύπτου, δοῦναι ἡμᾶς ἐν χειρὶ τοῦ ἐμορίου ὡς φθείροι ἡμᾶς. [28] ποῖ ἡμεῖς ἀναβαίνομεν; οἱ ἀδελφοὶ ἡμῶν παρέλυσαν τὴν καρδίαν ἡμῶν τῷ φάσκειν· λεὼς μέγας καὶ ὑψηλότερος ἡμῶν, πόλεις μεγάλαι καὶ ὀχυραὶ ἐς τοὺς οὐρανούς, ἔτι τε υἱεῖς ἀνακείων εἴδομεν ἐκεῖ. [29] καὶ εἶπον πρὸς ὑμᾶς· οὐ πτοηθήσεσθε οὔτε δείσετε ἀπ' αὐτῶν· [30] ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ὁ πορευόμενος πρόσθεν ὑμῶν, ἐκεῖνος πολεμήσει ὑμῖν κατὰ πάνθ' ἅπερ ἐποίησε σὺν ὑμῖν ἐν αἰγύπτῳ ἐν ὄμμασιν ὑμῖν, [31] κἀν τῇ ἐρήμῳ ἣν τεθέασαι, ᾗ ἦρέ σε ὁ ὀντωτὴς ὁ θεός σου καθάπερ ἄροι ἀνὴρ τὸν υἱὸν αὐτοῦ, ἐν πάσῃ τῇ ὁδῷ ᾗ πεπόρευσθε μέχρι τοῦ ἐλθεῖν ὑμᾶς μέχρι τοῦ τόπου τουδί. [32] κἀν τῷ λόγῳ τῳδὶ οὐκ ἐπιστεύετε ἐν τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν, [33] τῷ πορευομένῳ πρόσθεν ὑμῶν ἐν τῇ ὁδῷ ἐρευνῆσαι ὑμῖν τόπον στρατοπεδεύσεσθαι ὑμᾶς, ἐν πυρὶ νύκτωρ ὥσθ' ὁρᾶν ὑμᾶς ἐν τῇ ὁδῷ ᾗ πορεύοισθε ἐν αὐτῇ, κἀν νεφέλῃ ἡμέρας· [34] ἐπύθετο δ' ὁ ὀντωτὴς ξύμπαντας τοὺς λόγους ὑμῶν, ἐχολώθη τε καὶ ὤμοσε τῷ φάναι· [35] εἰ θεάσοιτο ἀνὴρ πρὸς τῶν ἀνδρῶν τουτωνὶ τῆς γενεᾶς τῆς κακῆς τησδὶ τὴν γῆν τὴν χρηστὴν ἣν ὤμοσα δοῦναι τοῖς πατράσιν αὐτῶν, [36] χωρὶς καλέβου υἱέως ἰεφουνέως· ἐκεῖνος ὄψεται ταύτην, ἐκείνῳ τε δώσω τὴν γῆν ἣν ἐπάτησεν ἐν αὐτῇ καὶ τοῖς υἱέσιν αὐτοῦ, ἀνθῶν πέπλησται κατόπιν τοῦ ὀντωτοῦ. [37] ἔτι τε εἰς ἐμὲ ὤργισται ὁ ὀντωτὴς χάριν ὑμῶν τῷ φάναι· καὶ σὺ οὐκ ἀφίξῃ ἐκεῖσε· [38] ἰεωσούας υἱεὺς νούνου ὁ ἑστὼς ἐνώπιόν σου, ἐκεῖνος ἀφίξεται ἐκεῖσε· αὐτὸν κατίσχυσον, αὐτὸς γὰρ κληρώσει αὐτὴν τῷ ἰσραέλῳ. [39] τό τε νήπιον ὑμῶν ὃ ἔφητε· εἰς

---

31. ἦρέ σε] ἦρε δὲ cod. et ed. Cf. Prol. I, 3, a. πεπόρευθε cod. et ed. 33. ἐρανῆσαι cod. Emendationem Amm. praeivit. στρατοπεδεύσεσθαι cod., non στρατοπεδεύσεως ut ed. 34. ξύμπαντας] כֹּל (ita cod. Kenn. 152 a pr.) pro קוֹל ἐχολόθη cod. 35. πρὸς τῶν ἀνδρῶν] מֵאֲנָשִׁים pro בָּאֲנָשִׁים τησδὶ] τηδὶ cod. τοῖς πατράσιν αὐτῶν] לַאֲבֹתֵיהֶם (ita cod. Kenn. 225) pro לַאֲבֹתֵיכֶם. Item LXX. 36. δόσω c. cd. ed. ἀνθῶν] cf. Gen. XXII, 16. 18.

περιφρόνημα τελέσει, καὶ οἱ υἱεῖς ὑμῶν οἳ οὐκ ἔγνωσαν τήμερον χρηστὸν καὶ φαῦλον, αὐτοὶ ἀφίξονται ἐκεῖσε, κείνοις τε δώσω ταύτην καὶ αὐτοὶ κληρώσονται ταύτην· [40] ὑμεῖς δὲ κλίνατε ἑαυτοῖς καὶ μετάρατε πρὸς τὴν ἔρημον ὁδὸν θαλάττης φύκους. [41] ἀποκέκρισθε δὲ καὶ ἔφητε πρός με· ἡμάρτομεν τῷ ὀντωτῇ ἡμεῖς· ἀναβησόμεθα καὶ πολεμήσομεν κατὰ πάνθ' ἅπερ ἐκέλευσεν ἡμῖν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν. καὶ ἐζώσασθε ἕκαστος τὰ σκεύη τοῦ πολέμου οἱ καὶ ἐσπεύσατε ἀναβῆναι πρὸς τὸ ὄρος. [42] ἔφη θ' ὁ ὀντωτὴς πρός με· φάθι σφίσιν· οὐκ ἀναβήσεσθε οὔτε πολεμήσετε, ἐπεὶ οὐκ εἰμὶ μέσον ὑμῶν, καὶ οὐ παισθήσεσθε ἐνώπιον τῶν ἐχθρῶν ὑμῶν. [43] διείλεγμαι δὲ πρὸς ὑμᾶς, καὶ οὐκ ἠκούσατε· καὶ ἀντήρατε τῷ στόματι τοῦ ὀντωτοῦ καὶ ἠκρατεύσασθε καὶ ἀνέβητε πρὸς τὸ ὄρος. [44] ἐξῆλθε δ' ὁ ἐμόριος ὁ καθεζόμενος ἐν τῷ ὄρει κείνῳ εἰς ξυνάντησιν ὑμῖν, ἐδίωξάν θ' ὑμᾶς καθάπερ ποιήσαιεν αἱ μέλιτται, καὶ ἐπέτριψαν ὑμᾶς ἐν σεήρῳ μέχρις ἁρμάνδε. [45] τοίνυν ὑπεστρέψατε καὶ ἐκλαύσατε ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ οὐκ ἐπύθετο ὁ ὀντωτὴς τὴν φωνὴν ὑμῶν οὔτ' ὠτοθέτησε πρὸς ὑμᾶς. [46] ἐκαθέσθητε δ' ἐν καδέσῃ ἡμέραις πολλαῖς, κατὰ τὰς ἡμέρας αἷς ἐκαθέσθητε.

II. [1] τοίνυν ἐκλίναμεν καὶ μετήραμεν πρὸς ἔρημον ὁδὸν θαλάττης φύκους, καθὰ διείλεκται ὁ ὀντωτὴς πρός με, καὶ ἐκυκλώσαμεν τὸ ὄρος σεήρου ἡμέραις πολλαῖς.

[2] Ἔφη δ' ὁ ὀντωτὴς πρός με τῷ εἰπεῖν· [3] πολὺ ὑμῖν τὸ κυκλοῦν τὸ ὄρος τοδί, ἐκνεύσατε ἑαυτοῖς πρὸς ἄρκτους· [4] τῷ τε λεῷ κέλευσον τῷ φάναι· ὑμεῖς διαβαίνετε ἐν τῷ ὅρῳ τῶν ἀδελφῶν ὑμῶν τῶν υἱέων ἐσαύου τῶν καθεζομένων ἐν σεήρῳ· δείσουσιν οὖν ἀφ' ὑμῶν, καὶ σωθήσεσθε λίαν. [5] μὴ συνάψητε ἐν αὐτοῖς· οὐ γὰρ δώσω ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν ἄχρι πατήματος πέλματος ποδός, κλῆρον γὰρ τῷ ἐσαύῃ δέδωκα τὸ ὄρος σεήρου. [6] βρῶμα ὠνήσεσθε πρὸς αὐτῶν ἐν ἀργύρῳ καὶ ἔδεσθε, πρὸς δὲ καὶ ὕδωρ ὠνήσεσθε πρὸς αὐτῶν ἐν ἀργύρῳ καὶ πίεσθε. [7] ὁ γὰρ ὀντωτὴς ὁ θεός σου εὐλόγησέ σε ἐν παντὶ ἔργῳ χειρῶν σου· ἔγνω τὸ πορεύ-

---

39. εἰς περιφρόνημα] לָבִיז (ita duo codd. Sam.) pro לָבַז. Cf. Num. XIV, 31. κληρώονται cod. 40. ἑαυτοῖς] ἐν αὐτοῖς cod. et ed. Cf. II, 3. 13.

II. 4. ἐσαύου cod. Item v. 22. Cf. Prol. I, 2, i. 5. τέλματος cod. et ed. 6. ἔδεσθε, πρὸς δὲ] ἔσεσθε πρὸς σὲ cod. et ed. αὐτῶν (2)] αὐτὸν cod.

εσθαί σε τὴν ἔρημον τὴν μεγάλην τηνδί· τοδὶ τεσσαράκοντα ἔτη ὁ ὀντωτὴς ὁ θεός σου ξὺν σοί, οὐκ ἐδέησας πράγματος. [8] διέβημεν οὖν ἀπὸ τῶν ἀδελφῶν ἡμῶν τῶν υἱέων ἐσαύου τῶν καθεζομένων ἐν σεήρῳ, ἀπὸ τῆς ὁδοῦ τῆς ἐρήμου, ἀπὸ αἰλάθης κἀπ' αἰσιῶνος γεβέρου.

Καὶ ἐξενεύσαμεν καὶ ἐδιέβημεν ὁδῷ ἐρήμου μωάβου. [9] ἔφη δ' ὁ ὀντωτὴς πρός με· μὴ στένου τὸν μωάβην μήτε συνάψῃς ἐν αὐτοῖς πόλεμον· οὐ γὰρ δώσω σοι πρὸς τῆς γῆς αὐτοῦ κλῆρον, ἐπεὶ τοῖς υἱέσι λώτου ἔδωκα τὴν ἄρην κλῆρον. [10] οἱ αἰμοὶ πρότερον ἐκαθέσθησαν ἐν αὐτῇ, λεὼς μέγας πολύς τε καὶ ὑψηλὸς ὡς οἱ ἀνάκειοι· [11] γίγαντες λογισθήσονται ἔτι κεῖνοι ὡς οἱ ἀνάκειοι, οἱ δὲ μωαβῖται καλοῖεν αὐτοὺς αἰμούς. [12] ἐν δὲ σεήρῳ ἐκαθέσθησαν οἱ ὡροὶ πρότερον, οἱ δ' υἱεῖς ἐσαύου ἀπελάσαιεν σφᾶς καὶ ὀλοθρεύσαιεν σφᾶς ἀφ' ἑαυτῶν, ἐκαθέσθησάν τ' ἀντ' αὐτῶν· καθάπερ ἐποίησεν ἰσραέλος τῇ γῇ τοῦ κλήρου οἱ ἣν ἔδωκεν ὁ ὀντωτὴς σφίσι. [13] νῦν ἐγέρθητε καὶ περαιώθητε ἑαυτοῖς τὸν χειμάρρουν ζαρέδου. τοίνυν ἐπεραιώθημεν τὸν χειμάρρουν ζαρέδου. [14] αἱ δ' ἡμέραι αἷς ἀπήλθομεν ἀπὸ καδέσης βαρνέου μέχρις ὅτου πεπεραιώμεθα τὸν χειμάρρουν ζαρέδου τριάκοντα καὶ ὀκτὼ ἔτη, μέχρι τοῦ τελευτῆσαι πᾶσαν τὴν γενεὰν τῶν ἀνδρῶν τοῦ πολέμου μέσοθεν τοῦ στρατοπέδου, καθάπερ ὤμοσεν ὁ ὀντωτὴς αὐτοῖς· [15] ἔτι τε χεὶρ τοῦ ὀντωτοῦ ὑπῆρξεν ἐν αὐτοῖς ξυντρίβειν αὐτοὺς μέσον τοῦ στρατοπέδου, μέχρι τοῦ τελευτῆσαι σφᾶς. [16] ἐτέλεσεν οὖν ἐπεὶ ἐτετελευτήκεισαν πάντες οἱ ἄνδρες τοῦ πολέμου ὡς τεθναῖεν μέσοθεν τοῦ λεώ·

[17] Διείλεκται τοίνυν ὁ ὀντωτὴς πρός με τῷ φάναι· [18] σὺ διαβαίνεις τήμερον τὸν ὅρον τοῦ μωάβου τὴν ἄρην, [19] ἐγγιεῖς τ' ἀντικρὺ τῶν υἱέων ἀμῶνος· μὴ στενώσῃς αὐτοὺς μήτε συναφθῇς ἐν αὐτοῖς· οὐ γὰρ δώσω πρὸς τῆς γῆς τῶν υἱέων ἀμῶνος σοὶ κλῆρον, τοῖς γὰρ υἱέσι λώτου δέδωκα ταύτην κλῆρον. [20] γῆ γιγάντων λογισθήσεται ἔτι αὕτη. γίγαντες ἐκαθέσθησαν ἐν αὐτῇ πρότερον, οἱ δ' ἀμώνιοι καλοῖεν σφᾶς ζαμεζουμούς· [21] λεὼς μέγας πολύς τε καὶ ὑψηλὸς ὡς οἱ ἀνάκειοι, καὶ ὤλεσε σφᾶς ὁ ὀντωτὴς ἀπ' αὐτῶν, ἀπήλασάν τ' αὐτοὺς

8. διέβημεν cod., non διέβαμεν ut ed. αἰσιῶνος (עֶצְיֹן)] cf. Num. XXXIII, 35 sq. ἐδιέβημεν] sic cod. Cf. Num. XXXIII, 8. 11. αὐτοὺς] αὐτὰς cod. et ed. 15. μέσον] l. μέσοθεν (מִקֶּרֶב) ut v. 14. 16. 16. ἐτελευτήκεισαν cod. et ed. 21. ὡς οἱ ἀνάκειοι] οἱ ἀνάμειοι cod. et ed. Cf. v. 10 sq.

καὶ ἐκαθέσθησαν ἀντ' αὐτῶν· [22]καθάπερ ἐποίησε τοῖς υἱέσιν ἐσαύου τοῖς καθεζομένοις ἐν σεήρῳ, ὃς ὤλεσε τὸν ὥριον ἀπ' αὐτῶν, ἀπήλασάν τε σφᾶς καὶ ἐκαθέσθησαν ἀντ' αὐτῶν ἄχρι τῆς ἡμέρας ταυτησί· [23]καὶ τοὺς αὐοὺς τοὺς καθεζομένους ἐν αὐλαῖς ἄχρις ἀζᾶς, καπτώριοι οἱ ἐξελθόντες ἀπὸ καφετώρου ὤλεσαν αὐτοὺς καὶ ἐκαθέσθησαν ἀντ' αὐτῶν. [24]ἐγήγερθε μετάρατε καὶ πεπεραίωσθε τὸν χειμάρρουν ἀρνῶνος· θεῶ δέδωκα ἐν χειρί σοι ξιῶνα τὸν βασιλέα ἐσεβῶνος, τὸν ἐμόριον καὶ τὴν γῆν αὐτοῦ· ἄρξαι κληροῦ καὶ σύναψον ἐν αὐτῷ πόλεμον. [25]τῇ ἡμέρᾳ τηδὶ ἄρξομαι διδόναι τὸ δέος σου καὶ τὸν φόβον σου ἐπὶ τοῦ προσώπου τῶν λεῶν ὑπὸ πᾶσι τοῖς οὐρανοῖς, οἵπερ ἀκούσονται τὴν ἀκοήν σου καὶ κλονηθήσονται καὶ ἀσθενήσουσιν ἀπὸ προσώπου σου. [26]τοίνυν ἔπεμψα ἀγγέλους ἀπ' ἐρήμου τῶν ἀνατολῶν πρὸς ξιῶνα τὸν βασιλέα ἐσβῶνος, λόγους εἰρήνης τῷ φάναι· [27]διελεύσομαι ἐν τῇ γῇ σου· ἐν ὁδῷ ἐν ὁδῷ πορεύσομαι, οὐκ ἀποστήσομαι δεξιὰν καὶ ἀριστεράν· [28]βρῶμα ἐν ἀργύρῳ πράσεις μοι καὶ ἔδομαι, καὶ ὕδωρ ἐν ἀργύρῳ δώσεις μοι καὶ πίομαι· μόνον διελεύσομαι ἐν ποσί μου, [29]καθάπερ ἐποίησάν μοι οἱ υἱεῖς ἐσαύου οἱ καθεζόμενοι ἐν σεήρῳ καὶ οἱ μωαβῖται οἱ καθεζόμενοι ἐν ἄρῃ, μέχρις ἂν διαβῶ τὸν ἰαρδένην πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν. [30]οὐκ ἠθέλησε δὲ ξιὼν ὁ βασιλεὺς ἐσβῶνος διαβιβάσαι ἡμᾶς ἐν αὐτῷ, καὶ γὰρ ἐσκλήρυνεν ὁ ὀντωτὴς ὁ θεός σου τὸ πνεῦμα αὐτοῦ καὶ ἐκράτυνε τὴν καρδίαν αὐτοῦ, ὡς δοίη αὐτὸν ἐν χειρί σοι ὡς τῇ ἡμέρᾳ τηδί.

[31]Καὶ εἶπεν ὁ ὀντωτὴς πρός με· θεῶ ἦργμαι διδόναι ἐνώπιόν σου τὸν ξιῶνα καὶ τὴν γῆν αὐτοῦ· ἄρξαι κληροῦ, ὡς κληρῷο τὴν γῆν αὐτοῦ. [32]τοιγαροῦν ἐξῆλθε ξιὼν εἰς ξυνάντησιν ἡμῖν, ἐκεῖνος καὶ πᾶς ὁ λεὼς αὐτοῦ εἰς πόλεμον ἰασάνδε. [33]ἔδωκε δ' αὐτὸν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν πρόσθεν ἡμῶν, ἐπαίσαμέν τ' αὐτὸν τούς θ' υἱέας αὐτοῦ καὶ ξύμπαντα τὸν λεὼν αὐτοῦ· [34]συνέσχομέν τε πάσας τὰς πόλεις αὐτοῦ ἐν τῷ καιρῷ κείνῳ καὶ ὠλοθρεύσαμεν ξύμπασαν πόλιν θνητῶν, τάς τε γυναῖκας καὶ τὸ νήπιον, οὐ περιελείπομεν περίλειμμα· [35]μόνον τὸ κτῆνος ἐληϊσάμεθα ἡμῖν, τήν τε

---

23. καπτώριοι cod. (cf. Gen. X, 14), non καφετώριοι ut ed. καφετώρου] καφετῶ corrupte cod. et ed. (כַּפְתֹּר). 26. εἰς τῷ φάναι cod. et ed. Cf. v. 4. 17 cet. 31. κληρῷο] scripturam codicis non mutavimus. Cf. Num. XXXVI, 8 etc. 32. ἰασάνδε cod., non ἰασαύδε ut ed.

λείαν τῶν πόλεων ἃς συνέσχομεν. [36] ἀπ' ἀροέρου τῆς ἐπὶ τοῦ χείλους τοῦ χειμάρρου ἀρνῶνος καὶ τῆς πόλεως τῆς ἐν τῷ χειμάρρῳ καὶ μέχρι γιλάδου οὐχ ὑπῆρξεν ἄστυ ὅπερ ἐστήρικται ἀφ' ἡμῶν· ξύμπαντα ἔδωκεν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν πρόσθεν ἡμῶν· [37] πλὴν πρὸς τὴν γῆν τῶν υἱέων ἀμῶνος οὐκ ἤγγισας, πᾶσαν τὴν χεῖρα τοῦ χειμάρρου ἰαβόκου καὶ τὰς πόλεις τοῦ ὅρους, πάντα θ' ἅπερ ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν. [1] ἐξνεύσαμεν δὲ καὶ ἀνέβημεν **III.** ὁδὸν τοῦ βασᾶνος· ἐξῆλθε δ' ὦγος ὁ βασιλεὺς τοῦ βασᾶνος εἰς ξυνάντησιν ἡμῖν, ἐκεῖνος καὶ πᾶς ὁ λεὼς αὐτοῦ, εἰς πόλεμον εἰς ἐδραιῖνα. [2] τοίνυν εἶπεν ὁ ὀντωτὴς πρός με· μὴ δείσῃς αὐτὸν, ἐν γὰρ χειρί σοι δέδωκά ε ξύμπαντά τε τὸν λεὼν αὐτοῦ καὶ τὴν γῆν αὐτοῦ· ποιήσεις οὖν αὐτῷ καθάπερ ἐποίησας τῷ ξιῶνι τῷ βασιλεῖ τοῦ ἐμορίου, ὃς καθῆστο ἐν ἐσεβῶνι. [3] καὶ ἔδωκεν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν ἐν χειρὶ ἡμῖν ἔτι ὦγον τὸν βασιλέα τοῦ βασᾶνος ξύμπαντά τε τὸν λεὼν αὐτοῦ, καὶ ἐβάλομεν αὐτὸν ἄχρι τοῦ μὴ περιλελεῖφθαί οἱ περίλειμμα. [4] συνέσχομέν τε ξυμπάσας τὰς πόλεις αὐτοῦ ἐν τῷ καιρῷ κείνῳ· οὐχ ὑπῆρξεν ἄστυ ὅπερ οὐκ ἐλάβομεν ἀπ' αὐτῶν· ἑξήκοντα πόλεις, πᾶς σχοῖνος τοῦ ἀργόβου, ἡ βασιλεία ὦγου ἐν τῷ βασᾶνι· [5] πᾶσαι αὗται πόλεις ὀχυραὶ τείχους ὑψηλοῦ, πυλῶν καὶ μοχλοῦ· μόναι ἀπ' ἄστεων τοῦ ἀτειχίστου πολλῶν ἄγαν. [6] ὠλέσαμεν οὖν αὐτοὺς καθάπερ ἐποιήσαμεν τῷ ξιῶνι τῷ βασιλεῖ ἐσεβῶνος, τῷ ἀπολλύναι πᾶν ἄστυ θνητῶν, τὰς γυναῖκας καὶ τὸ νήπιον· [7] πᾶν δὲ τὸ κτῆνος καὶ τὴν λείαν τῶν πόλεων ἐληϊσάμεθα ἑαυτοῖς. [8] ἐλάβομεν δ' ἐν τῷ καιρῷ κείνῳ τὴν γῆν ἀπὸ χειρὸς τοῖν δυοῖν βασιλέοιν τοῦ ἐμορίου τοῦ ἐν τῷ πέραν τοῦ ἰαρδένου, ἀπὸ χειμάρρου ἀρνῶνος ἄχρις ὅρους ἑρμῶνος. [9] οἱ σιδώνιοι καλοῖεν τὸν ἑρμῶνα σιριῶνα, ὁ δ' ἐμόριος καλοῖεν αὐτὸν σενίρην. [10] πᾶσαι αἱ πόλεις τοῦ πεδίου, πᾶς θ' ὁ γιλάδης καὶ πᾶς ὁ βασὰν μέχρι ξαλεχᾶς καὶ ἐδραιῖνος, πόλεις τῆς βασιλείας ὦγου ἐν τῷ βασᾶνι· [11] ὅτι μόνος ὦγος ὁ βασιλεὺς τοῦ βασᾶνος περιλέλειπται πρὸς τοῦ περιττοῦ τῶν γιγάντων. θεῶ ἡ κλίνη οἱ κλίνη σιδήρου· ἆρ' οὐκ

---

36. ὑπῆρξεν] ὑπῆρξον cod. et ed.

III. 3. περιλελεῖφθαι cod., non περιλειφθεῖναι ut ed. 5. ἄστεων] sic cod., non ἀστέων ut ed. Cf. Gen. XXXV, 5. 6. ἐσβῶνος c. cd. ed. At ita alibi (cf. e. c. II, 26. 30) scriptum est. 9. σιριῶνα] διριῶνα cod. Cf. Prol. I, 3, a. 10. ἠδραϊῖνος cod. Cf. v. 1 etc.

ἔστιν ἐν ῥαβάϑη τῶν υἱέων ἀμῶνος; ἐννέα πήχεων τὸ μῆκος αὐτῆς καὶ τεττάρων πήχεων τὸ εὖρος αὐτῆς ἐν πήχει ἀνδρός. [12] τήν τε γῆν ταύτην ἐκληρωσάμεϑα ἐν τῷ καιρῷ κείνῳ, ἀπ' ἀροήρου μέχρι τοῦ χειμάρρου ἀρνῶνος καὶ τὸ ἥμισυ τοῦ ὄρους τοῦ γιλάδου, καὶ τὰς πόλεις αὐτοῦ ἔδωκα τῷ ῥεουβενίῳ καὶ τῷ γαδίῳ. [13] τὸ δὲ περίλοιπον τοῦ γιλάδου καὶ πάντα τὸν βασᾶνα, τὴν βασιλείαν ὤγου, ἔδωκα τῷ ἡμίσει τοῦ σκήπτρου τοῦ μενασέως, πᾶσαν τὴν σχοῖνον τοῦ ἀργόβου παντὸς τοῦ βασᾶνος· ἐκείνη κληϑήσεται γῆ γιγάντων. [14] ἰαείρης υἱεὺς μενασέως ἔλαβε ξύμπασαν τὴν σχοῖνον ἀργόβου μέχρις ὅρου τοῦ γεσουρίου καὶ τοῦ μααχαϑίου, κέκληκέ τ' αὐτὴν ἐπὶ τῷ ὀνόματί οἱ, τὸν βασᾶνα, κώμας ἰαείρου μέχρι τῆς ἡμέρας ταυτησί. [15] τῷ δὲ μαχείρῳ δέδωκα τὸν γιλάδην. [16] τῷ δὲ ῥεουβενίῳ καὶ τῷ γαδίῳ δέδωκα ἀπὸ τοῦ γιλάδου καὶ μέχρι χειμάρρου ἀρνῶνος, μέσον τοῦ χειμάρρου καὶ τοῦ ὅρου μέχρι τ' ἰαβόκου τοῦ χειμάρρου, τοῦ ὅρου τῶν υἱέων ἀμῶνος· [17] ἡ δ' ἔρημος καὶ ὁ ἰαρδένης καὶ ὁ ὅρος ἀπὸ κινερέϑης καὶ μέχρι ϑαλάττης τῆς ἐρήμου καὶ ϑαλάττης τοῦ ἁλός, ὑπὸ ἀσδώϑῳ τοῦ λόφου πρὸς ἀνατολάς. [18] ἐκέλευσα δ' ὑμῖν ἐν τῷ καιρῷ κείνῳ τῷ φάναι· ὁ ὀντωτὴς ϑεὸς ὑμῶν δίδωσιν ὑμῖν τὴν γῆν ταυτηνὶ ὥστε κληρώσασϑαι ταύτην· ὁπλῖται διαβήσεσϑε πρόσϑεν τῶν ἀδελφῶν ὑμῶν τῶν υἱέων ἰσραέλου πάντες υἱεῖς δυνάμεως· [19] μόνον αἱ γυναῖκες ὑμῶν τό τε νήπιον ὑμῶν καὶ τὸ κτῆμα ὑμῶν, οἶδ' ὅτι κτῆμα πολὺ ὑμῖν, καϑεδοῦνται ἐν ταῖς πόλεσιν ὑμῶν ἃς ἔδωκα ὑμῖν· [20] ἄχρις ἂν καταπαύσειεν ὁ ὀντωτὴς τοῖς ἀδελφοῖς ὑμῶν ὡς ὑμῖν, κληρώσαιντό τε καὶ αὐτοὶ τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ ϑεὸς ὑμῶν δίδωσιν αὐτοῖς ἐν τοῖς πέραν τοῦ ἰαρδένου, καὶ καϑέζοισϑε ἕκαστος τῷ κλήρῳ ἑαυτοῦ ὃν ἔδωκα ὑμῖν. [21] τῷ τ' ἰωσούᾳ ἐκέλευσα τῷ καιρῷ κείνῳ τῷ φάναι· οἱ ὀφϑαλμοί σου οἱ ὁρῶντες ξύμπανϑ' ἅπερ ἐποίησεν ὁ ὀντωτὴς ὁ ϑεὸς ὑμῶν τοῖν δυοῖν βασιλέοιν τούτοιν· τῇδε ποιήσει ὁ ὀντωτὴς πάσαις ταῖς βασιλείαις αἷς σὺ διέρχῃ ἐκεῖσε· [22] μὴ δείσητε σφᾶς· ὁ γὰρ ὀντωτὴς ὁ ϑεὸς ὑμῶν, ἐκεῖνος ὁ πολεμῶν ὑμῖν.

---

11. αὐτῆς] αὐτῶν (bis) cod. et ed. 12. μέχρι τοῦ χειμάρρου] עַד־נַחַל (ita cod. Kenn. 69) pro אֲשֶׁר־עַל־נַחַל t. rec. 14. ˊκέκλεκε cod. et ed. 16. ῥεουβένῳ cod. et ed. Cf. v. 12. 17. καὶ ϑαλάττης] l. τῆς ϑαλ. (יָם). 18. ὑμῶν (2)] ὑμῖν cod. 20. καὶ καϑέζοισϑε] וִישַׁבְתֶּם pro וִישַׁבְתֶּם. 22. δείσητε] δείσῃς τε cod. et ed.

[23] Ἱκέτευσα τοίνυν πρὸς τὸν ὀντωτὴν ἐν τῷ καιρῷ κείνῳ (μερίς) τῷ φάναι· [24] δέσποτά μου ὀντωτά, σὺ ἦρξαι δεικνύναι τῷ δούλῳ σου τὸ μέγεθός σου καὶ τὴν χεῖρά σου τὴν κραταιάν· ἧπερ τίς θεὸς ἐν οὐρανοῖς κἂν τῇ γῇ ὃς ποιήσει κατὰ τὰ ἔργα σου καὶ κατὰ τὴν κραταιότητά σου; [25] διελευσοίμην δὴ καὶ θεασοίμην τὴν γῆν τὴν χρηστὴν τὴν ἐν τῷ πέραν τοῦ ἰαρδένου, τὸ ὄρος τὸ χρηστὸν τουτὶ καὶ τὸν λεβανῶνα. [26] κεχόλωται δ' ὁ ὀντωτὴς εἰς ἐμὲ χάριν ὑμῶν, καὶ οὐκ ἤκουσε πρός με· τοίνυν εἶπεν ὁ ὀντωτὴς πρός με· πολύ σοι, μὴ προσθῇς διαλέγεσθαι πρός με ἔτι ἐν τῷ λόγῳ τῳδί. [27] ἀνάβα τὴν κεφαλὴν τοῦ λόφου, ἆρόν τε τὼ ὀφθαλμώ σου πρὸς θάλατταν πρός τ' ἄρκτους, πρὸς νότον τε καὶ ἀνατολάς, θέασαί τ' ἐν ὀφθαλμοῖν σοι· οὐ γὰρ περαιωθήσῃ τὸν ἰαρδένην τουτονί. [28] κέλευσον δὲ τῷ ἰεωσούᾳ, κράτυνόν τ' αὐτὸν καὶ κατίσχυσον αὐτόν· αὐτὸς γὰρ διαβήσεται πρόσθεν τοῦ λεὼ τουτουΐ καὶ αὐτὸς κληρώσει σφίσι τὴν γῆν ἣν ὄψει. [29] τοίνυν ἐκαθέσθημεν ἐν τῇ φάραγγι ἀντικρὺ δόμου πεῶρος.

IV. [1] Νῦν οὖν, ἰσραέλε, ἀκρόασαι πρὸς τοὺς τύπους καὶ πρὸς τὰς κρίσεις ἃς ἐγὼ διδάσκω ὑμᾶς ποιεῖν, ὡς ἂν ζώητε καὶ ἀφίκοισθε καὶ κληρώσαισθε τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεὸς τῶν ὑμετέρων πατέρων δίδωσιν ὑμῖν. [2] οὐ προσθήσετε ἐπὶ τῷ λόγῳ ᾧ ἐγὼ κελεύω ὑμῖν οὔτ' ἀφελεῖτε ἀπ' αὐτοῦ, τηρεῖν τὰς ἐντολὰς τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ἃς ἐγὼ κελεύω ὑμῖν. [3] τὰ ὄμματα ὑμῶν τὰ ὁρῶντα ἅπερ ἐποίησεν ὁ ὀντωτὴς ἐν τῷ δεσπότῃ πεῶρος· πάντα γὰρ ἄνδρα ὃς ἐπέσπετο τῷ δεσπότῃ πεῶρος, ὤλεσεν ἐκεῖνον ὁ ὀντωτὴς ὁ θεός σου μέσοθέν σου· [4] ὑμεῖς δ' οἱ κολλώμενοι ἐν τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν, ζῆτε πάντες ὑμεῖς τήμερον. [5] ἄθρει ἔμαθον ὑμᾶς τύπους καὶ κρίσεις καθάπερ ἐκέλευσέ μοι ὁ ὀντωτὴς ὁ θεός μου, ποιεῖν οὕτω μέσον τῆς γῆς ᾗ ὑμεῖς ἀφικνεῖσθε ἐκεῖσε κληροῦσθαι ταύτην· [6] τηρήσετε τοίνυν καὶ ποιήσετε, ἐπεὶ αὕτη ἐστὶν ἡ σοφία ὑμῶν ἥ τε σύνεσις ὑμῶν ἐν ὄμμασι τῶν λεῶν, οἳ πεύσονται ξύμπαντας τοὺς τύπους τουτουσί. φήσουσιν οὖν· μόνον λεὼς σοφὸς καὶ συνετὸς τὸ ἔθνος τὸ μέγα τουτί. [7] τί γὰρ ἔθνος μέγα ᾧπερ

---

26. κεχόλλαται cod. et ed. Cf. Prov. XXVI, 17. Cant. I, 6. προσθῇς cod., non πρόσθεν ut ed. 27. ἄρκτους] ἄριστα cod. et ed. (cf. Gen. XIII, 14). An legendum ἀριστερὰ (שְׂמֹאל = septemtrio)? Cf. Prol. II, 4, b.

IV. 2. προσθήσετε cod., non προσθήσεσθε ut ed.

οἱ ϑεοὶ ἐγγίζουσι πρὸς αὐτὸ, ὡς ὁ ὀντωτὴς ὁ ϑεὸς ἡμῶν ἐν πᾶσι τοῖς βοῶσιν ὑμῶν πρὸς αὐτόν; [8] τί τ' ἔϑνος μέγα ὅπερ ἔχει τύπους καὶ κρίσεις δικαίας κατὰ πάντα τὸν νόμον τουτονὶ ὃν ἐγὼ δίδωμι κατέμπροσϑεν ὑμῶν τήμερον; [9] πλὴν φύλαξαι σαυτῷ, φύλαξόν τε τὴν ψυχήν σου λίαν, μήπως ἐπιλάϑῃ τῶν πραγμάτων ἃ ἤϑρησαν οἱ ὀφϑαλμοί σου, καὶ μήπως ἐκλείψωσιν ἀπὸ τῆς καρδίας σου πάσαις ταῖς ἡμέραις τῆς ζωῆς σου· γνωριεῖς δὲ τοῖς υἱέσι σου τοῖς ϑ' υἱέσι τῶν υἱέων σου [10] τὴν ἡμέραν ᾗ ἔστητε ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ἐν ὠρέβῳ, ἐν τῷ λέγειν τὸν ὀντωτὴν πρός με· ἐκκλησίασόν μοι τὸν λεὼν καὶ ἀκουτιῶ σφᾶς τοὺς λόγους μου, οὓς μαϑήσονται εἰς τὸ δεδιέναι με πάσαις ταῖς ἡμέραις αἷς αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, τούς ϑ' υἱεῖς αὐτῶν διδάξουσιν. [11] ἠγγίσατε τοίνυν καὶ ἔστητε ὑπὸ τῷ ὄρει· τὸ δ' ὄρος ἧπτεν ἐν πυρὶ μέχρι καρδίας τῶν οὐρανῶν, σκότει, νέφει καὶ ζόφῳ. [12] διείλεκται δ' ὁ ὀντωτὴς πρὸς ὑμᾶς ἀπὸ μέσου τοῦ πυρός. φωνὴν λόγων ὑμεῖς ἠκούετε, σχῆμα δ' οὐκ ἐϑεᾶσϑε χωρὶς τῆς φωνῆς· [13] ἤγγειλεν οὖν ὑμῖν τὴν συνϑήκην αὐτοῦ ἣν ἐκέλευσεν ὑμῖν ὥστε ποιεῖν, τοὺς δέκα λόγους, ἔγραψέ τ' αὐτοὺς ἐπὶ δυοῖν πλακοῖν λίϑων. [14] ἐμοί τ' ἐκέλευσεν ὁ ὀντωτὴς ἐν τῷ καιρῷ κείνῳ διδάξαι ὑμᾶς τύπους καὶ κρίσεις, ὡς ποιοῖτε ὑμεῖς αὐτοὺς ἐν τῇ γῇ ἤπερ ὑμεῖς διαβαίνετε ἐκεῖσε ὡς κληρῷσϑε ταύτην, [15] καὶ φυλάττοισϑε λίαν ταῖς ψυχαῖς ὑμῶν· οὐ γὰρ τεϑέασϑε ἥντιναοῦν μορφὴν ἐν ἡμέρᾳ ᾗ διείλεκται ὁ ὀντωτὴς πρὸς ὑμᾶς ἐν ὠρέβῃ μέσοϑεν τοῦ πυρός· [16] μήποτε φϑείρητε καὶ ποιήσητε ἑαυτοῖς λάξευμα, σχῆμα ἡστινοσοῦν μορφῆς, δόμημα ἄρρενος ἢ ϑηλείας, [17] δόμημα οὑτινοσοῦν κτήνους τῶν ἐν τῇ γῇ, δόμημα οὑτινοσοῦν ὄρνιϑος πτέρυγος ὃς πέτοιτο ἐν οὐρανοῖς, [18] δόμημα οὑτινοσοῦν ἕρποντος ἐν τῇ γῇ, δόμημα οὑτινοσοῦν ἰχϑύος τῶν ἐν τοῖς ὕδασι κάτωϑεν τῆς γῆς· [19] καὶ μήπως ἄρῃς τὰ ὄμματά σου πρὸς τοὺς οὐρανοὺς καὶ ϑεάσῃ τὸν ἥλιον τήν τε σελήνην καὶ τοὺς ἀστέρας, πᾶσαν τὴν στρατιὰν τῶν οὐρανῶν, καὶ συνωσϑῇς, προσκυνήσῃς τ'

---

7. ὑμῶν] l. ἡμῶν (קְרֹאֵנוּ). 8. τί τ' cod., non τί ϑ' ut ed. 9. ἐπιλάϑητε c. cd. ed. et paullo post οὓς pro ἃ καρδίας μου cod. et ed. γνωριεῖς δὲ] suff. om. (וְהוֹדַעְתָּם). 10. ἔστητε] עֲמַדְתֶּם pro עָמַדְתָּ. Item LXX. 13. αὐτοὺς] αὐτὰς cod. 14. κληρῷσϑε] cf. II, 31. 16. ποιήσετε c. cd. ed. σχῆμα cod., non χεῦμα ut ed.

αὐτὰ καὶ λατρεύσῃς αὐτοῖς, ἅπερ ἐμέρισεν ὁ ὀντωτὴς ὁ θεός σου αὐτὰ πᾶσι τοῖς λαοῖς ὑπὸ πᾶσι τοῖς οὐρανοῖς. [20] ὑμᾶς δ' ἔλαβεν ὁ ὀντωτὴς ἐξήνεγκέ θ' ὑμᾶς ἀπὸ τῆς χώνης τοῦ σιδήρου, ἀπὸ τῆς αἰγύπτου, ὥστ' εἶναί οἱ εἰς λεὼν κλήρου κατὰ τὴν ἡμέραν τηνδί. [21] ὁ δ' ὀντωτὴς τεθύμωται εἰς ἐμὲ ἐπὶ τοῖς πράγμασιν ὑμῶν, ὤμοσέ τε μὴ διαβῆναί με τὸν ἰαρδένην μήτ' ἀφικέσθαι πρὸς τὴν γῆν τὴν χρηστὴν ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι κλῆρον. [22] ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ τῃδὶ, οὐ περαιοῦμαι τὸν ἰαρδένην· ὑμεῖς δὲ περαιοῦσθε, κληρώσεσθέ τε τὴν γῆν τὴν χρηστὴν τηνδί. [23] φυλάξασθε ἑαυτοῖς μήπως ἐπιλάθησθε τῆς συνθήκης τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ἣν ἔτεμε ξὺν ὑμῖν, καὶ ποιήσητε ἑαυτοῖς ξόανον, σχῆμα οὑτινοσοῦν ὧν ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ θεός σου· [24] καὶ γὰρ ὁ ὀντωτὴς ὁ θεός σου πῦρ βιβρῶσκόν ἐστι, θεὸς ζηλωτής.

° [25] Ἐπὰν γεννήσῃς υἱέας, υἱέας θ' υἱῶν, καὶ παλαιωθῆτε ἐν τῇ γῇ, φθείρητέ τε καὶ ποιήσητε ξόανον, σχῆμα οὑτινοσοῦν, καὶ ποιήσητε τὸ πονηρὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ὥστ' ὀργίσαι ἕ, [26] ἐμαρτυράμην ἐν ὑμῖν τήμερον τοὺς οὐρανοὺς καὶ τὴν γῆν ὅτι τῷ ἀπολέσθαι ἀπολεῖσθε τάχος ἄνωθεν τῆς γῆς ἥπερ ὑμεῖς περαιοῦσθε τὸν ἰαρδένην ἐκεῖσε ὡς κληρώσαισθε ταύτην· οὐ μηκυνεῖτε ἡμέρας ἐπ' αὐτῆς, ἐπεὶ τῷ οἴχεσθαι οἰχήσεσθε. [27] σκεδάσει θ' ὁ ὀντωτὴς ὑμᾶς εἰς τὰ ἔθνη, καὶ περιλειφθήσεσθε θνητοὶ ἀριθμοῦ ἐν τοῖς ἔθνεσιν οἷς ἡγήσεται ὁ ὀντωτὴς ὑμῖν ἐκεῖσε· [28] καὶ λατρεύσετε ἐκεῖ θεοῖς, ἔργῳ χειρῶν ἀνθρώπου ξύλου καὶ λίθου, οἵπερ οὐχ ὄψονται οὔτ' ἀκούσονται οὔτ' ἔδονται οὔτ' ὀσφρανοῦνται. [29] ζητήσετε δ' ἐκεῖθεν τὸν ὀντωτὴν τὸν θεόν σου, εὑρήσεις θ' ὅταν ζητήσῃς αὐτὸν ἐν ὅλῃ καρδίᾳ σου κἂν ὅλῃ τῇ ψυχῇ σου. [30] ἐν τῷ στενῷ σου, καὶ εὑρήσουσί σε πάντες οἱ λόγοι οὗτοι ἐν ἐσχάτῳ τῶν ἡμερῶν, στραφήσῃ τε μέχρι τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου καὶ ὑπακούσῃ τῇ φωνῇ οἱ· [31] θεὸς γὰρ ἐλεήμων ὁ ὀντωτὴς ὁ θεός σου, οὐ παρήσει σε οὔτε φθερεῖ σε οὔτ' ἐπιλήσεται τῆς

23. φυλάξεσθε c. cd. ed. ἔτεμε] ἔτεκε cod. et ed. Cf. V, 2 sq. VII, 2. Gen. XV, 18 cet. ποιήσετε cod. et ed. Cf. v. 16. 25. γενήσης (sic) cod., non γενήσεις ut ed. υἱῶν cod., non υἱέων τοῦ θεοῦ ὑμῶν] אֱלֹהֵיכֶם (ita Sam.) pro אֱלֹהֶיךָ. Item LXX. 29. τ' ὅταν cod. et ed. Fort. ita ipse auctor, pro ὅταν primo scripturus εἰ (ἐὰν) vel ἐπεὶ (כִּי).

ξυνθήκης τῶν πατέρων σου ἣν ὤμοσε σφίσιν. [32] ἐπεὶ ζήτησον δὴ εἰς τὰς ἡμέρας τὰς προτέρας τὰς ὑπαρξάσας πρὸ σοῦ, ἀπὸ τῆς ἡμέρας ᾗ ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ τῆς γῆς, ἀπό τε τοῦ ἄκρου τοῦ οὐρανοῦ καὶ μέχρι τοῦ ἄκρου τοῦ οὐρανοῦ, ἆρ' ἐγένετο κατὰ τὸν λόγον τὸν μέγαν τουτονὶ ἢ ἆρ' ἤκουσται κατ' αὐτόν; [33] ἆρ' ἐπύθετο λεὼς φωνὴν θεοῦ διαλεγομένου μέσοθεν τοῦ πυρὸς, καθάπερ ἐπύθου σὺ, καὶ ἔζησεν; [34] ἢ ἆρ' ἐπειράσατο θεὸς ἐλθεῖν ὡς λάβοι ἑαυτῷ ἔθνος μέσοθεν ἔθνους ἐν σημείοις, ἐν τέρασι κἀν παραδόξοις, ἐν πολέμῳ τε κἀν χειρὶ κραταιᾷ κἀν βραχίονι κεκλιμένῳ καὶ ἐν δείμασι μεγάλοις, κατὰ πάνθ' ἅπερ ἐποίησεν ὑμῖν ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ἐν αἰγύπτῳ ἐν ὄμμασί σοι; [35] σὺ ἆρα τεθέασαι γνῶναι ὅτι ὁ ὀντωτής ἐστιν ὁ θεὸς, ἥκιστ' ἔτι χωρὶς αὐτοῦ; [36] πρὸς τῶν οὐρανῶν ἠκούτισέ σε τὴν φωνὴν αὐτοῦ ὡς παιδεύσειέ σε, κἀπὶ τῆς γῆς ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα, τούς τε λόγους αὐτοῦ ἐπύθου μέσοθεν τοῦ πυρός· [37] ἀνθῶν τ' ἐφίλησε τοὺς πατέρας σου καὶ εἵλετο ἐν τῷ σπέρματί οἱ μετ' αὐτὸν, ἐξήνεγκέ σε εἰς πρόσωπον αὐτοῦ ἐν ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ ἀπ' αἰγύπτου, [38] ὡς ὀλέσειεν ἔθνη μεγάλα καὶ κραταιότερα σοῦ ἀπὸ προσώπου σου, ὡς ἀγάγοι σε δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονομίαν ὡς τῇ ἡμέρᾳ τηδί· [39] εἴσῃ τοίνυν τήμερον στρέψεις τε πρὸς τὴν καρδίαν σου ὅτι ὁ ὀντωτής ἐστιν ὁ θεὸς ἐν οὐρανοῖς ἄνωθεν κἀπὶ τῆς γῆς κάτωθεν, ἥκιστ' ἔτι· [40] τηρήσεις τε τοὺς τύπους αὐτοῦ, τὰ κελεύσματα αὐτοῦ ἅπερ ἐγὼ κελεύω σοι τήμερον, ὅπερ ἀγαθυνεῖ σοι καὶ τοῖς υἱέσι σου μετὰ σὲ, ἵνα τε μηκύνῃς ἡμέρας ἐπὶ τῆς γῆς ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι πάσαις ταῖς ἡμέραις.

[41] Τότε διέστειλε μωσεὺς τρεῖς πόλεις ἐν τῷ πέραν τοῦ ἰαρδένου πρὸς ἀνατολὰς ἡλίου, [42] φεύγειν ἐκεῖσε τὸν φονέα ὃς φονεύσειε τὸν ἑταῖρον ἑαυτοῦ ἐν ἀγνοίᾳ, καίτοι κεῖνος οὐκ ἐμίσει αὐτὸν ἀπὸ χθὲς τριημέρῳ· φεύξεται γοῦν πρὸς μίαν ἀπὸ τῶν πόλεων τοῦ θεοῦ, καὶ ζήσεται· [43] τὸν βεσέρην ἐν τῇ ἐρήμῳ ἐν τῇ γῇ τοῦ πεδίου τοῦ ῥεουβενίου, τάς τε ῥαμὰς ἐν τῷ γιλάδῃ τοῦ γαδίου,

---

37. ἀνθῶν] sic cod. Cf. Gen. XXII, 16. 18 cet. 38. κραταιότερά σου (ut ed.) corr. κραταιότερα σοῦ cod. 42. φευγεῖν c. cd. ed. ἐμίσει] ἐρίσει cod. et ed. (שָׂנֵא). Cf. XIX, 4. 6. 11. 43. γιλάδῃ] γιθάδῃ (non γιθάδι ut ed.) cod. Cf. III, 12. XXXIV, 1 cet.

καὶ τὸν γιλᾶνα ἐν βασᾶνι τοῦ μενασείου. [44]οὗτός ϑ' ὁ νόμος ὃν ἔϑηκε μωσεὺς ἐνώπιον τῶν υἱέων τοῦ ἰσραέλου· [45]αὗται αἱ μαρτυρίαι, οἱ τύποι τε καὶ κρίσεις ἃς διείλεκται μωσεὺς πρὸς τοὺς υἱέας τοῦ ἰσραέλου ἐν τῷ ἐξιέναι σφᾶς ἀπ' αἰγύπτου, [46]ἐν τῷ πέραν τοῦ ἰαρδένου ἐν τῇ φάραγγι ἀντικρὺ τοῦ δόμου πεῶρος, ἐν γῇ ξιῶνος βασιλέως τοῦ ἐμορίου ὃς καϑῆστο ἐν ἐσβῶνι, ὃν ἔβαλε μωσεὺς καὶ οἱ υἱεῖς ἰσραέλου ἐν τῷ ἐξιέναι σφᾶς ἀπ' αἰγύπτου· [47]καὶ ἐκληρώσαντο τὴν γῆν αὐτοῦ καὶ τὴν γῆν ὤγου τοῦ βασιλέως βασᾶνος, τοῖν δυοῖν βασιλέοιν τοῦ ἐμορίου τοῖν ἐν τῷ πέραν τοῦ ἰαρδένου πρὸς ἀνατολὰς ἡλίου, [48]ἀπ' ἀροέρου τοῦ ἐπὶ τοῦ χείλους τοῦ χειμάρρου ἀρνῶνος καὶ μέχρις ὄρους σιῶνος, ὅ ἐστιν ἑρμών, [49]πᾶσάν τε τὴν ἔρημον πέραϑεν τοῦ ἰαρδένου πρὸς ἀνατολὰς καὶ μέχρι τῆς ϑαλάττης τῆς ἐρήμου ὑπὸ ἀσδώτῳ τοῦ λόφου.

V. [1]Ἐβόησε δὲ μωσεὺς πρὸς πάντα τὸν ἰσραέλον ἔφη τε πρὸς αὐτούς· πυϑοῦ, ἰσραέλε, τὰς τυπώσεις καὶ τὰς κρίσεις ἃς ἐγὼ διαλέγομαι ἐν ὠσὶν ὑμῶν σήμερον· μαϑήσεσϑε γοῦν αὐτὰς καὶ τηρήσετε ποιεῖν αὐτάς. [2]ὁ ὀντωτὴς ὁ ϑεὸς ἡμῶν ἔτεμε σὺν ἡμῖν ξυνϑήκην ἐν ὠρέβῃ· [3]οὐ σὺν τοῖς πατράσιν ἡμῶν ἔτεμεν ὁ ὀντωτὴς τὴν συνϑήκην ταύτην· ξὺν ἡμῖν γάρ, ἡμεῖς οὗτοι ὧδε, τήμερον ἅπαντες ἡμεῖς ζῶμεν. [4]προσώπῳ εἰς πρόσωπον διείλεκται ὁ ὀντωτὴς ξὺν ὑμῖν ἐν τῷ ὄρει μέσοϑεν τοῦ πυρός· [5]ἐγὼ ἑστήκειν μεταξὺ τοῦ ὀντωτοῦ καὶ μεταξὺ ὑμῶν ἐν τῷ καιρῷ κείνῳ ὡς ἀγγέλοιμι ὑμῖν τὸν λόγον τοῦ ὀντωτοῦ, πεφόβησϑε γὰρ ἀπὸ προσώπου τοῦ πυρὸς καὶ οὐκ ἀνέβητε εἰς τὸ ὄρος, τῷ φάναι·

[6]Ἐγὼ ὁ ὀντωτὴς ϑεός σου ὃς ἐξήνεγκά σε ἀπὸ γῆς αἰγύπτου ἀπ' οἴκου οἰκετῶν. [7]οὐχ ὑπάρξουσί σοι ϑεοὶ ἕτεροι ἐπὶ τοῦ προσώπου μου. [8]οὐ ποιήσεις σαυτῷ λάξευμα, ὁτιοῦν σχῆμα ὅπερ ἐν τῷ οὐρανῷ ἄνωϑεν καὶ ὅπερ ἐν τῇ γῇ κάτωϑεν καὶ ὅπερ ἐν τοῖς ὕδασι κάτωϑεν τῆς γῆς· [9]οὐ προσκυνήσεις αὐτὰ οὐδὲ λατρεύσεις σφίσιν· ἐγὼ γὰρ ὁ ὀντωτὴς ὁ ϑεός σου ϑεὸς ζηλωτής, ἐπισκεπτόμενος ἔγκλημα πατέρων ἐφ' υἱέων ἐπὶ τριττευόντων κἀπὶ τεταρτευόντων τῶν μισούντων με, [10]ποιῶν τ' ἔλεον ἐς χιλιάδας τοῖς φιλοῦσί με καὶ τοῖς τηροῦσι τὰ κελεύσματά μου.

γιλᾶνα] exspectaveris γολᾶνα vel γωλᾶνα (גּוֹלָן).

V. 2. ὑμῶν corr. ἡμῶν cod. 9. μισούντων cod., non μισευόντων ut ed.

[11]Οὐκ ἀρεῖς τοὔνομα τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου εἰς τὸ ψεῦδος· οὐ γὰρ ἀϑωώσει ὁ ὀντωτὴς τὸν ἀροῦντα τοὔνομα αὐτοῦ εἰς τὸ ψεῦδος.
[12]Τήρει τὴν ἡμέραν τῆς καταπαύσεως ὡς ἁγιάζοις αὐτὴν καϑάπερ ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ ϑεός σου· [13]ἓξ ἡμέραις ὑπηρετήσῃ καὶ ποιήσεις πάσας τὰς ἐργασίας σου, [14]ἡμέρα δὲ ἡ ἑβδόμη παῦλα τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου· οὐ ποιήσεις ἥντιναοῦν ἐργασίαν σὺ καὶ ὁ υἱεύς σου ἥ τε ϑυγάτηρ σου καὶ ὁ δοῦλός σου καὶ ἡ ϑεραπαινίς σου, ὅ τε βοῦς σου καὶ ὁ ὄνος σου καὶ ὁτιοῦν κτῆνός σου, καὶ ὁ μέτοικός σου ὁ ἐν ταῖς πύλαις σου, ἵνα ἀφεϑῇ ὁ οἰκέτης σου καὶ ἡ ϑεράπαινά σου ὡς σύ· [15]μνησϑήσῃ ϑ' ὅτι οἰκέτης ὑπῆρξας ἐν γῇ αἰγύπτου, καὶ ἐξήνεγκέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἐκεῖϑεν ἐν χειρὶ κραταιᾷ κἀν βραχίονι κεκλιμένῳ· διόπερ ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ ϑεός σου ποιεῖν τὴν ἡμέραν τῆς καταπαύσεως. [16]Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου καϑάπερ ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ ϑεός σου, ἵνα μηκύνωσιν αἱ ἡμέραι σου καὶ ἵνα ἀγαϑύνῃ σοι ἐπὶ τῆς γῆς ἣν ὁ ὀντωτὴς ὁ ϑεός σου δίδωσί σοι. [17]Οὐ φονεύσεις, Οὔτε μοιχεύσεις, Οὔτε κλέψεις,
°Οὔτ' ἀποκρινῇ τῷ ἑταίρῳ σου μαρτυρίαν ψεύδους,
[18]Οὔτ' ἐπιϑυμήσεις τῆς γυναικὸς τοῦ ἑταίρου σου,
°Οὔτ' ὀρεχϑήσῃ τοῦ δόμου τοῦ ἑταίρου σου, τοῦ ἀγροῦ οἱ τοῦ τ' οἰκέτου οἱ καὶ τῆς οἰκέτιδος αὐτοῦ, τοῦ βοὸς αὐτοῦ τοῦ τ' ὄνου αὐτοῦ καὶ οὑτινοσοῦν τῶν τοῦ ἑταίρου σου.

[19]Τοὺς λόγους τούτους διείλεκται ὁ ὀντωτὴς πρὸς πᾶσαν τὴν ἐκκλησίαν ὑμῶν ἐν τῷ ὄρει μέσοϑεν τοῦ πυρὸς, τῆς νεφέλης καὶ τοῦ γνόφου φωνῇ μεγάλῃ, καὶ οὐ προσέϑηκεν· ἔγραψε δ' αὐτοὺς ἐπὶ δυοῖν πλακοῖν λίϑων, ἔδωκέ τ' αὐτοὺς πρός με. [20]τοίνυν ὑπῆρξε κατὰ τὸ ἀκούειν ὑμᾶς τῆς φωνῆς μέσοϑεν τοῦ σκότους, καὶ τὸ ὄρος ἧπτεν ἐν πυρὶ, προσηγγίσατε δὲ πρός με πᾶσαι

---

12. Τηρεῖ c. cd. ed. ἐκέλευσε σοι (sic) cod., non ἐκέλευσεν ut ed. **13.** ἡμέραις cod., non ἡμέρας **14.** παύλα cod. Cf. Prol. I, 4, c. **17.** Οὐ litera initiali rubra ornatum est. In sequentibus οὔτε — οὔτε compendium quo ου exprimi solet, atramento scriptum, postea minio inductum est, itemque in οὔτ' initio v. 18, non ita in οὔτ' ante ἀποκρινῇ nec in οὔτ' ante ὀρεχϑήσῃ, quae circulo signavimus. Cf. Exod. XX, 13 sqq. (ubi similiter se res habet), Prol. II, 1, a.

αἱ κεφαλαὶ τῶν σκήπτρων ὑμῶν καὶ οἱ γέροντες ὑμῶν [21] καὶ ἔφητε· αὐτίκα ἔδειξεν ἡμῖν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν τὴν δόξαν αὐτοῦ καὶ τὸ μέγεθος αὐτοῦ, τήν τε φωνὴν αὐτοῦ πεπύσμεθα μέσοθεν τοῦ πυρός· τῇ ἡμέρᾳ τῃδὶ τεθεάμεθα ὅτι διαλεχθείη θεὸς πρὸς τὸν ἄνθρωπον καὶ ζῶντα. [22] νῦν οὖν, τοῦ χάριν τεθνηξόμεθα; ἐπεὶ ἔδεται ἡμᾶς τὸ πῦρ τὸ μέγα τοδί· εἰ προστιθείημεν ἡμεῖς πυνθάνεσθαι τὴν φωνὴν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν ἔτι, καὶ τεθνηξόμεθα. [23] τίς γὰρ ἡτισοῦν σάρξ ἥτις ἐπύθετο φωνὴν θεοῦ ζωῆς διαλεγομένου μέσοθεν τοῦ πυρὸς ὡς ἡμεῖς, καὶ ἔζησεν; [24] ἔγγισον σὺ πυθοῦ τε ξύμπανθ' ἅπερ ἐρεῖ ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν, σύ τε διαλέξῃ πρὸς ἡμᾶς πάνθ' ἅπερ διαλεχθείη ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν πρὸς σέ, καὶ ἀκουσόμεθα καὶ ποιήσομεν. [25] ἐπύθετο δ' ὁ ὀντωτὴς τὴν φωνὴν τῶν λόγων ὑμῶν ἐπεὶ διαλέγοισθε ὑμεῖς πρός με, καὶ εἶπεν ὁ ὀντωτὴς πρός με· ἐπυθόμην τὴν φωνὴν τῶν λόγων τοῦ λεὼ τουδί, οἳ διειλεγμένοι εἰσὶ πρὸς σέ· ἠγάθυναν ἅπερ εἰσὶ διειλεγμένοι. [26] τίς δοίη καὶ τελοίη ἡ καρδία σφῶν ἥδε σφίσι, δεδιέναι με καὶ φυλάττειν ξύμπαντα τὰ κελεύσματά μου πάσαις ταῖς ἡμέραις, ἵν' ἀγαθύνῃ σφίσι καὶ τοῖς υἱέσι σφῶν ἐς αἰῶνα; [27] ἄπιθι φάθι σφίσι· στράφητε ὑμῖν ἐς τὰς σκηνὰς ὑμῶν. [28] σὺ δ' ἐνταυθοῖ στῆθι σὺν ἐμοί, καὶ διαλέξομαι πρὸς σὲ πᾶν τὸ κέλευσμα τούς τε τύπους καὶ τὰς κρίσεις ἃς διδάξεις αὐτούς, καὶ ποιήσουσιν ἐν τῇ γῇ ἣν ἐγὼ δίδωμι σφίσιν ὡς κληρώσαιντο ταύτην. [29] καὶ τηρήσετε ποιεῖν καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ὑμῖν· οὐκ ἀποστήσεσθε δεξιὰ καὶ ἀριστερά· [30] ἐν πάσῃ τῇ ὁδῷ ἣν ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ὑμῖν πορεύσεσθε, ὡς ἂν ζώητε καὶ χρηστὸν ἔχητε, μηκύνητέ θ' ἡμέρας ἐν τῇ γῇ ἣν κληρώσεσθε. VI. [1] τοδὶ δὲ τὸ κέλευσμα, οἱ τύποι καὶ αἱ κρίσεις ἃς ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν διδάξαι ὑμᾶς, ποιεῖν ἐν τῇ γῇ ἥπερ ὑμεῖς διαβαίνετε ἐκεῖσε ὡς κληρώσαισθε ταύτην· [2] ὡς φοβοῖο τὸν ὀντωτὴν τὸν θεόν σου, ὥστε φυλάττειν ξύμπαντας τοὺς τύπους αὐτοῦ καὶ τὰ κελεύσματα αὐτοῦ ἅπερ ἐγὼ κελεύω σοι, σὺ καὶ ὁ υἱεύς σου καὶ ὁ υἱεὺς τοῦ υἱέως σου πάσαις ταῖς ἡμέραις τῆς ζωῆς σου, καὶ ὡς μηκύνοιεν αἱ

---

21. ἔφητε] sic cod. Cf. Gen. XLII, 31. XLIII, 29. Num. XIV, 31 cet.
25. ἠγάθυναν ἅπερ] כל־ om. Item undecim codd. Kenn.
VI. 2. σὺ καὶ ὁ υἱεύς σου cod. Ed. om. καὶ ὁ υἱεύς σου

ἡμέραι σου. [3] τοίνυν ἀκούσεις, ἰσραέλε, καὶ τηρήσεις ποιεῖν ἅττα-περ ἀγαθύνοι σοι καὶ οἷς πληθυνεῖτε σφόδρα, καθάπερ εἴρηκεν ὁ ὀντωτὴς ὁ θεὸς τῶν πατέρων σου σοί· γῆ ῥεομένη γάλακτι καὶ μέλιτι.

[4] Ἄκουε, ἰσραέλε, ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν, ὁ ὀντωτὴς εἷς· [5] φιλήσεις οὖν τὸν ὀντωτὴν τὸν θεόν σου ἐν πάσῃ καρδίᾳ σου κἀν πάσῃ ψυχῇ σου κἀν πάσῃ σφοδρότητί σου. [6] τελέσουσί θ' οἱ λόγοι οὗτοι, οὓς ἐγὼ κελεύω σοι τήμερον, ἐπὶ τῆς καρδίας σου· [7] κατερεῖς τ' αὐτοὺς τῷ υἱεῖ σου, διαλέξῃ τ' ἐν αὐτοῖς ἐν τῷ καθέζεσθαί σε οἴκοι σοι κἀν τῷ βαδίζειν σε ἐν τῇ ὁδῷ κἀν τῷ ἀνακεκλίσθαι σε κἀν τῷ ἐγείρεσθαί σε· [8] δήσεις τ' αὐτοὺς εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ τελέσουσιν εἰς προμετωπίδια ἀνὰ τὼ ὀφθαλμώ σου· [9] γράψεις τ' αὐτοὺς ἐπὶ τῶν παραστάδων τοῦ οἴκου σου κἀν ταῖς πύλαις σου. [10] Τελέσει τ' ἐπὰν ἀγάγοι σε ὁ ὀντωτὴς ὁ θεός σου πρὸς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου, τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ, δοῦναί σοι πόλεις μεγάλας καὶ χρηστὰς ἃς οὐκ ἐδομήσω, [11] δόμους τε πλήρεις πάσης χρηστότητος οὓς οὐκ ἔπλησας, λάκκους τε λελαξευμένους οὓς οὐκ ἐλάξευσας, ἀμπελῶνας καὶ ἐλαίας ἃς οὐκ ἐφύτευσας, φάγοις τε καὶ κορεσθείης· [12] πεφύλαξο σαυτῷ μήπως ἐπιλάθῃ τοῦ ὀντωτοῦ ὃς ἐξήνεγκέ σε ἀπὸ γῆς αἰγύπτου, ἀπ' οἴκου οἰκετῶν. [13] τὸν ὀντωτὴν τὸν θεόν σου δείσεις, αὐτῷ λατρεύσεις κἀν τῷ ὀνόματι αὐτοῦ ὀμόσῃ. [14] οὐκ ἀπελεύσεσθε κατόπιν θεῶν ἑτέρων ἀπὸ τῶν θεῶν τῶν λεῶν τῶν κύκλῳ ὑμῶν· [15] θεὸς γὰρ ζηλωτὴς ὁ ὀντωτὴς ὁ θεός σου ἐν μέσῳ σου· μήποτ' ὀργισθῇ ὁ θυμὸς τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἐν σοὶ καὶ ὀλέσῃ σε ἀπὸ τοῦ προσώπου τῆς γῆς. [16] Οὐ πειράσεσθε τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν, καθάπερ ἐπειράσασθε ἐν τῇ πείρᾳ. [17] τῷ τηρεῖν τηρήσετε τὰ κελεύσματα τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν, τάς τε μαρτυρίας αὐτοῦ καὶ τοὺς τύπους αὐτοῦ οὓς ἐκέλευσέ σοι· [18] ποιήσεις τε τὸ εὐθὲς καὶ τὸ χρηστὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ, ἵνα ἀγαθύνῃ σοι καὶ ἀφίκῃ καὶ κληρώσῃ τὴν γῆν τὴν χρηστὴν

---

7. τῷ υἱεῖ σου] לְבִנְךָ pro לְבָנֶיךָ (καθέζεσθαί) σε] τε cod. et ed. βαδίζειν σε] σε omissum in codice (et ed.) ipsi addidimus. Cf. XI, 19. 10. ἰσάκῃ cod., non ἰσάκῳ ut ed. Aliter Gen. XVII, 19 etc. 16. ἡμῶν] exspectaveris ὑμῶν (אֱלֹהֵיכֶם). Cf. v. sq.

ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσι σου, [19] ὡς ἀπελπίσειε ξύμπαντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου, καθάπερ διείλεκται ὁ ὀντωτής.

[20] Πεύσεται γάρ σου ὁ υἱεύς σου αὔριον τῷ φάσκειν· τί αἱ μαρτυρίαι καὶ οἱ τύποι καὶ αἱ κρίσεις ἃς ἐκέλευσεν ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν ὑμῖν; [21] φήσεις οὖν τῷ υἱεῖ σου· οἰκέται ὑπήρξαμεν τῷ παρεῶνι ἐν αἰγύπτῳ, καὶ ἐξήνεγκεν ἡμᾶς ὁ ὀντωτὴς ἀπ' αἰγύπτου ἐν χειρὶ κραταιᾷ· [22] καὶ ἔδωκεν ὁ ὀντωτὴς σημεῖα καὶ παράδοξα μεγάλα καὶ πονηρὰ ἐν αἰγύπτῳ εἰς παρεῶνα καὶ εἰς πάντα τὸν δόμον αὐτοῦ ἐν ὄμμασιν ἡμῖν, [23] ἡμᾶς τ' ἐξήνεγκεν ἐκεῖθεν, ἵνα ἀγάγῃ ἡμᾶς ὡς δοίη ἡμῖν τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν· [24] ἐκέλευσέ θ' ἡμῖν ὁ ὀντωτὴς ποιεῖν ξύμπαντας τοὺς τύπους τούτους, δεδιέναι τὸν ὀντωτὴν τὸν θεὸν ἡμῶν εἰς χρηστὸν ἡμῖν πάσαις ταῖς ἡμέραις τοῦ ζῆν ἡμᾶς ὡς τῇ ἡμέρᾳ ταύτῃ. [25] δικαιοσύνη θ' ὑπάρξει ἡμῖν ὅτι τηρήσομεν ποιεῖν ξύμπαν τὸ κέλευσμα τοδὶ πρόσθεν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν, καθάπερ ἐκέλευσεν ἡμῖν.

VII. [1] Ἐπὰν ἀγάγοι σε ὁ ὀντωτὴς ὁ θεός σου πρὸς τὴν γῆν ἣ σὺ ἀφικνῇ ἐκεῖσε ὡς κληρῷο ταύτην, ἀφέλοιτό τε ἔθνη πολλὰ ἀπὸ προσώπου σου, τὸν ἥτιον τόν τε γιργάσιον καὶ τὸν ἐμόριον τόν τε κεναάνιον καὶ τὸν περέζιον τόν θ' ἠυαῖον καὶ τὸν ἰεβούξιον, ἑπτὰ ἔθνη πλείω καὶ κραταιότερα σοῦ, [2] δοίη τ' αὐτοὺς ὁ ὀντωτὴς ὁ θεός σου πρόσθεν σου, βάλοις τ' αὐτούς, τῷ ἐξολοθρεύειν ἐξολοθρεύσεις αὐτούς· οὐ τεμεῖς αὐτοῖς συνθήκην οὔτ' οἰκτειρεῖς αὐτούς, [3] οὔτε κηδευθήσῃ ἐν αὐτοῖς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱεῖ οἱ, τήν τε θυγατέρα οἱ οὐ λήψῃ τῷ υἱεῖ σου· [4] καὶ γὰρ ἐκκλινεῖ τὸν υἱόν σου πρὸς τῶν κατόπιν μου, λατρεύσουσί τε θεοῖς ἑτέροις· ὀργιεῖται δ' ὁ θυμὸς τοῦ ὀντωτοῦ ἐν ὑμῖν καὶ ὀλοθρεύσει σε τάχος. [5] ἀλλὰ τῇδε ποιήσετε σφίσι· τὰ θυτήρια σφῶν καθελεῖτε τά τ' ἀναστήματα σφῶν ξυντρίψετε, τά τ' ἄλση

---

19. ἀπελπίσειε] vox sine dubio corrupta. Legendum vel ἀπελάσειε vel ἀπώσειε (לַהֲדֹף). Cf. IX, 4. Num. XXXV, 20. 22. Prov. X, 3. 22. πάντας τοὺς δόμους c. cd. ed. 24. τοῦ ζῆν ἡμᾶς] לְחָיֹתֵנוּ (cf. Ez. XXXIII, 12. Jos. V, 8) pro לְחַיֹּתֵנוּ. Cf. Gen. VII, 3.

VII. 1. κληρῷο] cf. II, 31. Num. XXXVI, 8. ἀφέλοι τότε cod. et. ed. περέξιον cod. Cf. Gen. XIII, 7. XV, 20 cet. 2. βάλοις cod., non βαλεῖς ut ed. συνθήκας c. cd. ed. οἰκτειρεῖς] codicis scripturam retinuimus. Cf. XIII, 9. XXX, 3. 5. τηδὲ c. cd. ed.

σφῶν κατατεμεῖτε καὶ τὰ ξόανα σφῶν πρήσετε ἐν πυρί· [6]λεὼς γὰρ ἅγιος σὺ τῷ ὀντωτῇ τῷ ϑεῷ σου, ἐν σοὶ εἵλετο ὁ ὀντωτὴς ὁ ϑεός σου ὡς εἴης αὐτῷ εἰς λεὼν σφετερισμοῦ ὑπὲρ πάντας τοὺς λεὼς τοὺς ἐπὶ τοῦ προσώπου τῆς γῆς. [7]οὐκ ἐκ τοῦ πλήϑους ὑμῶν ὑπὲρ πάντας τοὺς λεὼς ἱμείρατο ὁ ὀντωτὴς ἐν ὑμῖν εἵλετό τ' ἐν ὑμῖν· ὑμεῖς γὰρ ὁ ἥττων ἁπάντων τῶν λεῶν· [8]ἀπὸ γὰρ τοῦ ἀγαπᾶν τὸν ὀντωτὴν ὑμᾶς κἀπὸ τοῦ φυλάττειν αὐτὸν τὸν ὅρκον ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν, ἐξήνεγκεν ὁ ὀντωτὴς ὑμᾶς ἐν χειρὶ κραταιᾷ καὶ ἐλυτρώσατό σε ἐξ οἴκου δούλων, ἀπὸ χειρὸς παρεῶνος τοῦ βασιλέως αἰγύπτου. [9]τοίνυν εἴσῃ ὅτι ὁ ὀντωτὴς ὁ ϑεός σου κεῖνος ὁ ϑεός, ὁ ϑεὸς ὁ ἀληϑὴς ὁ τηρῶν τὴν συνϑήκην καὶ τὸν ἔλεον τοῖς φιλοῦσιν αὐτὸν καὶ τοῖς τηροῦσι τὰς κελεύσεις αὐτοῦ ἐς χιλίαν γενεάν, [10]ἀποτιννύς τε τοῖς μισοῦσιν αὐτὸν πρὸς πρόσωπον αὐτοῦ ὡς ὀλέσειεν αὐτόν· οὐκ ἀναβαλεῖται τῷ μισοῦντί ἑ, πρὸς πρόσωπον αὐτοῦ ἀποτίσει αὐτῷ. [11]τηρήσεις οὖν τὸ κέλευσμα τούς τε τύπους καὶ τὰς κρίσεις ἃς ἐγὼ κελεύω σοι τήμερον ποιεῖν αὐτάς.

(μερίς) [12]Τελέσει δ' ἀνϑῶν ἀκούσεσϑε τὰς κρίσεις ταύτας καὶ φυλάξετε καὶ ποιήσετε ταύτας, φυλάξει γοῦν ὁ ὀντωτὴς ὁ ϑεός σου σοὶ τὴν συνϑήκην καὶ τὸν ἔλεον ὃν ὤμοσε τοῖς πατράσι σου· [13]ἐφίλησέ τέ σε, εὐλογήσει τέ σε πληϑυνεῖ τέ σε, καὶ εὐλογήσει καρπὸν κοιλίας σου καὶ καρπὸν γῆς σου, σῖτόν σου καὶ γλεῦκός σου καὶ ἔλαιόν σου, ἄφεσιν τῶν πορτίων σου καὶ τῶν οἴων τοῦ ποιμνίου σου ἐπὶ τῆς γῆς ἣν ὤμοσε τοῖς πατράσι σου δοῦναί σοι. [14]εὐλογημένος τελέσεις ὑπὲρ πάντας τοὺς λεώς· οὐχ ὑπάρξει ἐν σοὶ ἄγονος καὶ στεῖρα κἀν τῷ κτήνει σου· [15]ἀφελεῖται δ' ὁ ὀντωτὴς ἀπὸ σοῦ πᾶσαν νόσον πᾶν τε τὸ ἄλγος αἰγύπτου, τὰ κακὰ ἅπερ ἔγνως, οὐ ϑήσει ταῦτα ἐν σοί, ϑήσει δ' αὐτὰ ἐν πᾶσι τοῖς μισοῦσί σε. [16]ἔδῃ τε πάντας τοὺς λεὼς οὓς ὁ ὀντωτὴς ὁ ϑεός σου δίδωσί σοι· οὐ φείσεται ὁ ὀφϑαλμός σου ἐπ' αὐτοῖς οὔτε λατρεύσεις τοῖς ϑεοῖς αὐτῶν, ὅτι παγίς ἐστί σοι.

---

9. γεννεὰν cod. Cf. Gen. VI, 9. XV, 16 cet. 10. ἀναβαλλεῖται cod. et ed. Cf. Exod. XXII, 28 etc. 12. ἀνϑῶν] cf. IV, 37. 13. ἔλαιον] ἔλεον cod. et ed. 14. ἔν σοι c. cd. ed. Cf. Prol. I, 4, b. 15. ϑήσει (2)] δώσει (וּנְתָנָם)? Cf. v. 23 sq. 16. παγὶς ἔστι σοι cod.

[17] Ἐπὰν φαίης ἐν τῇ καρδίᾳ σου· πλείω τὰ ἔϑνη ταῦτα ἐμοῦ, πῶς δυνήσομαι ἀποκληρῶσαι ταῦτα; [18] οὐ δείσεις ἀπ' αὐτῶν· τῷ μιμνήσκεσϑαι μεμνήσῃ ἅπερ ἐποίησεν ὁ ὀντωτὴς ὁ ϑεός σου τῷ παρεῶνι πάσῃ τε τῇ αἰγύπτῳ, [19] τὰ σημεῖα τὰ μεγάλα ἃ τεϑέανται τὰ ὄμματά σου, τὰ τέρατά τε καὶ τὰ παράδοξα, τὴν χεῖρά τε τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν κεκλιμένον ᾧ ἐξήνεγκέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου· τῇδε ποιήσει ὁ ὀντωτὴς ὁ ϑεός σου πᾶσι τοῖς λαοῖς οὓς σὺ δέδιας ἀπὸ προσώπου σφῶν. [20] ἔτι τε τὸν σφῆκα πέμψει ὁ ὀντωτὴς ὁ ϑεός σου εἰς αὐτοὺς, ἄχρι τοῦ ἀπολέσϑαι τοὺς περιλοίπους καὶ τοὺς κεκρυμμένους ἀπὸ προσώπου σου· [21] οὐ δειλιάσεις ἀπὸ προσώπου σφῶν, ὁ γὰρ ὀντωτὴς ὁ ϑεός σου ἐν μέσῳ σου, ϑεὸς μέγας καὶ φοβερός. [22] ἐξαρεῖ τε ὁ ὀντωτὴς ὁ ϑεός σου τὰ ἔϑνη ταῦτα ἀπὸ προσώπου σου ὀλίγῳ ὀλίγῳ· οὐχ ἕξεις φϑεῖραι ταῦτα ταχέως, μὴ πληϑύνῃς κατὰ σαυτοῦ τὸ ζῶον τοῦ ἀγροῦ, [23] δώσει τ' αὐτοὺς ὁ ὀντωτὴς ὁ ϑεός σου ἐνώπιόν σου, ϑορυβήσει τ' αὐτοὺς ϑορύβῳ μεγάλῳ μέχρι τοῦ ὀλοϑρεῦσαι σφᾶς· [24] δώσει τε τοὺς βασιλεῖς αὐτῶν ἐν χερσί σοι, καὶ ἀπολεῖς τοὔνομα σφῶν κάτωϑεν τῶν οὐρανῶν· οὐ στήσεται ἀνὴρ εἰς πρόσωπόν σου μέχρι τοῦ ὀλοϑρεῦσαί σε σφᾶς. [25] τὰ ξόανα τῶν ϑεῶν αὐτῶν καύσετε ἐν πυρί· οὐχ ἱμερῇ ἀργύρου καὶ χρυσοῦ ἐπ' αὐτῶν καὶ λήψῃ σαυτῷ, μήπως παγιδευϑῇς ἐν αὐτῷ· μύσος γὰρ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου τυγχάνει· [26] οὔκουν οἴσεις βδέλυγμα πρὸς τὸν δόμον σου, καὶ τελέσεις ἀνάϑημα ὡς αὐτό· τῷ μυσάττεσϑαι μυσάξῃ αὐτὸν καὶ τῷ βδελύττεσϑαι βδελύξῃ αὐτόν· ἀνάϑημα γάρ ἐστι.

VIII. [1] Πᾶν τὸ κέλευσμα ὅπερ ἐγὼ κελεύω σοι τήμερον τηρήσετε ποιεῖν, ὡς ἂν ζώητε καὶ πληϑύνητε καὶ ἀφίκοισϑε καὶ κληρώσαισϑε τὴν γῆν ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν ὑμῶν. [2] μεμνήσῃ τε ξυμπάσης τῆς ὁδοῦ ἧπερ ἐπόρευσέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου τοδὶ τετταράκοντα ἔτεσιν ἐν τῇ ἐρήμῳ, ὥστε ταπεινῶσαί σε, ὡς πειράσαιτό σου ὡς γνοίη ἅτταπερ ἐν τῇ καρδίᾳ σου· ἆρα τηρήσεις τὰ

17. φαίην cod. πολλὰ πλείω cod. et ed. At πολλὰ sine dubio ab ipso auctore reprobatum erat. Cf. Prol. I, 2, f. 20. (ἔτι) τε] σε cod. et ed. περλοίπους cod. Cf. XIX, 20. Lev. XXVI, 36. κεκρυμμένους] κεκλιμμένους (non κεκλιμένους ut ed.) cod. Cf. Gen. IV, 14. XXXI, 49. 22. πληϑύνῃς] תַּרְבֶּה (cf. Num. XXVI, 54) pro תִּרְבֶּה 23. ὀλοϑρεῦσαι] l. ὠλοϑρεῦσϑαι ut XII, 30. 24. ἐν χερσί μοι cod. et ed.

κελεύσματά οἱ εἴτε μή. [3] τοίνυν ἐταπείνωσέ σε καὶ ἐλίμωσέ σε, ἐσίτισέ τέ σε τὸν μᾶνα ὃν οὐκ ἔγνως οὔτ' ἔγνωσαν οἱ πατέρες σου, ὡς γνωρίσειέ σοι ὅτι οὐκ ἐπὶ τῷ ἄρτῳ μόνῳ οἱ ζήσεται ὁ ἄνθρωπος· ἐπὶ γὰρ παντὶ ἐκβλήματι στόματος τοῦ ὀντωτοῦ ζήσεται ὁ ἄνθρωπος. [4] ἡ ἀναβολή σου οὐ πεπαλαίωται ἄνωθέν σου, ὅ τε πούς σου οὐ πεφύραται τοδὶ τετταράκοντα ἔτεσιν. [5] ἔγνως οὖν σὺν τῇ καρδίᾳ σου ὅτι καθάπερ παιδεύοι ἄνθρωπος τὸν υἱὸν ἑαυτοῦ, ὁ ὀντωτὴς ὁ θεός σου παιδεύει σε. [6] τηρήσεις τοίνυν τὰ κελεύσματα τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, ὡς πορεύοιο ἐν ταῖς ὁδοῖς αὐτοῦ καὶ ὡς φοβοῖο αὐτόν· [7] καὶ γὰρ ὁ ὀντωτὴς ὁ θεός σου ἄγει σε πρὸς γῆν χρηστὴν, γῆν χειμάρρων ὑδάτων, πηγῶν καὶ ἀβύσσων ἐξιόντων ἐν τῇ κοιλάδι κἀν τῷ ὄρει· [8] γῆν πυροῦ, κριθῆς τε καὶ ἀμπέλου, συκῆς τε καὶ ῥοιᾶς· γῆν ἐλαίας ἐλαίου καὶ μέλιτος· [9] γῆν ἧπερ οὐκ ἐν πτωχείᾳ ἔδῃ ἐν ταύτῃ ἄρτον, οὐ δεήσει ὁτιοῦν ἐν αὐτῇ· γῆν ἧπερ οἱ λίθοι ταύτης σίδηρος, κἀπὸ τῶν ταύτης ὀρῶν λαξεύσεις χαλκόν· [10] ἔδῃ τοίνυν καὶ κορεσθήσῃ, καὶ εὐλογήσεις τὸν ὀντωτὴν τὸν θεόν σου ἐπὶ τῆς γῆς τῆς χρηστῆς ἣν ἔδωκέ σοι. [11] πεφύλαξο σαυτῷ μήπως ἐπιλάθῃ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, ὥστε μὴ τηρεῖν τὰ κελεύσματά οἱ τάς τε κρίσεις αὐτοῦ καὶ τοὺς τύπους αὐτοῦ οὕσπερ ἐγὼ κελεύω σοι τήμερον· [12] μήπως φάγῃς καὶ κορεσθῇς, δόμους τε χρηστοὺς δομήσῃ καὶ καθεσθῇς, [13] βουκόλιόν τέ σου καὶ ποίμνιόν σου πληθύνωσιν, ἄργυρός τε καὶ χρυσὸς πληθύνῃ σοι, καὶ πάνθ' ἅπερ ἔχεις πληθύνωσι, [14] καὶ ὑψωθῇ ἡ καρδία σου καὶ ἐπιλάθῃ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δούλων· [15] τοῦ πορεύσαντός σε ἐν ἐρήμῳ τῇ μεγάλῃ καὶ φοβερᾷ, ὄφει πρηστῆρι, σκορπίῳ τε καὶ διψάδι, ᾗ οὐκ ἔστιν ὕδωρ· τοῦ ἐξενέγκαντός σοι ὕδωρ ἐκ πέτρας τῆς ἀποτόμου· [16] τοῦ σιτίσαντός σε μᾶνα ἐν τῇ ἐρήμῳ, ὃν οὐκ ἔγνωσαν οἱ πατέρες σου, ὡς ταπεινώσειέ σε καὶ ὡς πειρασθείη σου, ὥστ' εὖ ποιῆσαί σε ἐν ἐσχάτῳ σου· [17] καὶ φῇς ἐν τῇ καρδίᾳ σου· ἡ ἰσχύς μου καὶ τὸ σθένος

VIII. 3. οὔτ' cod., non οὔτε ut ed. 4. ποῦς e. cd. ed. 5. παιδεύοι] cave corrigas παιδεύει. Cf. Prol. II, 2, c. 9. οὐ δεήσει ὁτιοῦν] ita reponendum duximus pro cod. οὐ δήσει ὅτι (non ὅ, τι ut Mor. ait) νῦν. Cf. II, 7. Gen. XVIII, 28. Exod. XVI, 18. An voluit δεήσεις (תֶּחְסַר)? 11. οὕσπερ] ἅσπερ cod. et ed. Vix ἅπερ legendum. Cf. X, 13. XI, 32 cet.

τῆς χειρός μου ἐποίησέ μοι τὴν δύναμιν τηνδί. [18]μεμνήσῃ δὲ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, ὅτι ἐκεῖνος ὁ διδούς σοι ἰσχὺν ποιεῖν δύναμιν, ὥστε κυρῶσαι τὴν συνθήκην αὐτοῦ ἣν ὤμοσε τοῖς πατράσι σου ὡς τῇ ἡμέρᾳ ταύτῃ.

[19]Τελέσει τοίνυν εἰ τῷ ἐπιλανθάνεσθαι ἐπιλάθοιο τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου καὶ πορευθείης κατόπιν θεῶν ἑτέρων, λατρεύσειάς τ' αὐτοῖς καὶ προσκυνήσειας αὐτούς· ἐμαρτυράμην ἐν ὑμῖν τήμερον ὅτι τῷ ἀπόλλυσθαι ἀπολεῖσθε· [20]ὡς τὰ ἔθνη ἅπερ ὁ ὀντωτὴς ἀπόλλυσιν ἀπὸ προσώπου ὑμῶν, τῇδε ἀπολεῖσθε, ἀνθῶν οὐχ ὑπακούσεσθε τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν.

IX. [1]Ἄκουσον, ἰσραέλε· σὺ περαιοῖ τήμερον τὸν ἰαρδένην ἀφικέσθαι ὡς κληρῷο ἔθνη μεγάλα καὶ κραταιότερα σοῦ, πόλεις μεγάλας καὶ ὀχυρὰς ἐν τοῖς οὐρανοῖς, [2]λαὸν μέγαν καὶ ὑψηλὸν, τοὺς υἱεῖς τῶν γιγάντων οὓς σὺ οἶσθα καὶ σὺ ἤκουσας· τίς στήσεται ἐνώπιον τῶν υἱέων τοῦ ἀνάκου; [3]εἴσῃ γοῦν τήμερον ὅτι ὁ ὀντωτὴς ὁ θεός σου, κεῖνος ὁ διϊὼν πρόσθεν σου, πῦρ βιβρῶσκον· ἐκεῖνος ὀλέσει σφᾶς κἀκεῖνος κατακάμψει σφᾶς πρόσθεν σου· τοίνυν ἀποκληρώσετε σφᾶς καὶ ἀπολεῖτε σφᾶς τάχος, καθάπερ διείλεκται ὁ ὀντωτής σοι. [4]μὴ φῇς ἐν τῇ καρδίᾳ σου, ἐπὰν ὠθοίη ὁ ὀντωτὴς ὁ θεός σου σφᾶς ἀπέμπροσθέν σου, τῷ φάσκειν· ἐν τῇ δικαιοσύνῃ μου ἤγαγέ με ὁ ὀντωτὴς κληροῦσθαι τὴν γῆν ταυτηνί, κἀν τῇ ἀσεβείᾳ τῶν ἔθνῶν τουτωνὶ ὁ ὀντωτὴς ἀποκληροῖ αὐτὰ ἀπὸ προσώπου μου. [5]οὐκ ἐν τῇ δικαιοσύνῃ σου κἀν τῷ εὐθεῖ τῆς καρδίας σου σὺ ἀφικνῇ κληροῦσθαι τὴν γῆν αὐτῶν, ὅτι ἐν τῇ ἀσεβείᾳ τῶν ἔθνῶν τουτωνὶ ὁ ὀντωτὴς ὁ θεός σου ἀποκληροῖ αὐτὰ ἀπέμπροσθέν σου, καὶ ὥστε βεβαιῶσαι τὸν λόγον ὃν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσι σου, τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ. [6]τοιγαροῦν εἴσῃ ὅτι οὐκ ἐν τῇ δικαιοσύνῃ σου ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι τὴν γῆν τὴν χρηστὴν ταύτην ὡς κληρῷο ταύτην· λεὼς γὰρ σκληρὸς τὸν αὐχένα τελεῖς. [7]μέμνησο, μὴ ἐπιλανθάνου ἅπερ

19. πορευθείη cod. et ed. 20. ἀνθῶν] sic cod. Cf. VII, 12.

IX. 1. κληρῷο] cf. Num. XXXVI, 8. Item v. 6. κραταιότερά σου (ut ed.) corr. κραταιότερα σοῦ cod. Cf. IV, 38. 2. στήσετε cod. Emendationem Amm. praeivit. 3. ἀποκληρώσετε σφ. κ. ἀπολεῖτε σφ.] plur. pro sing. (וְהוֹרַשְׁתָּם וְהַאֲבַדְתָּם). 4. αὐτὰ] αὐτὴν cod. et ed. Cf. v. sq. 5. ἰσάκῳ c. ed. ed.

ἐχόλωσας τὸν ὀντωτὴν τὸν ϑεόν σου ἐν τῇ ἐρήμῳ· ἀπὸ τῆς ἡμέρας ἧς ἐξῆλϑες ἀπὸ γῆς αἰγύπτου μέχρι τοῦ ἀφικέσϑαι ὑμᾶς ἄχρι τοῦ τόπου τουδί, ἀνταίροντες ὑπήρξατε σὺν τῷ ὀντωτῇ. [8] κἀν ὠρέβῳ ἐχολώσατε τὸν ὀντωτὴν, τεϑύμωταί ϑ' ὁ ὀντωτὴς ἐν ὑμῖν ὥστ' ἀπολλύναι ὑμᾶς, [9] ἐν τῷ ἀνιέναι με εἰς τὸ ὄρος λαβεῖν πλάκας τῶν λίϑων, πλάσμα τῆς ξυνϑήκης ἣν ἔτεμεν ὁ ϑεὸς ξὺν ὑμῖν· ἐκαϑέσϑην τ' ἐν τῷ ὄρει τετταράκοντα ἡμέραις καὶ τετταράκοντα νυξὶν, ἄρτον οὐκ ἐδήδοκα καὶ ὕδωρ οὐκ ἔπιον. [10] ἔδωκέ ϑ' ὁ ὀντωτὴς πρός με τὰ δύο πλάκε τῶν λίϑων γεγραμμένα ἐν δακτύλῳ ϑεοῦ, κἀν ἐκείναιν κατὰ πάντας τοὺς λόγους οὓς διείλεκται ὁ ὀντωτὴς ξὺν ὑμῖν ἐν τῷ ὄρει μέσοϑεν τοῦ πυρὸς ἐν τῇ ἡμέρᾳ τῆς ἐκκλησίας· [11] ὑπῆρξε δ' ἀπ' ἄκρου τῶν τετταράκοντα ἡμερῶν καὶ τῶν τετταράκοντα νυκτῶν ἔδωκεν ὁ ὀντωτὴς πρός με τὰ δύο πλάκε τῶν λίϑων, πλάκε τῆς συνϑήκης· [12] ἔφη ϑ' ὁ ὀντωτὴς πρός με· ἔγειραι κατάβα σπεῦσον ἐντεῦϑεν, καὶ γὰρ ἔφϑειρεν ὁ λεώς σου ὃν ἐξήγαγες ἀπ' αἰγύπτου· ἀπέστησαν τάχος ἀπὸ τῆς ὁδοῦ ἧς ἐκέλευσας αὐτοῖς, ἐποίησαν ἑαυτοῖς χώνευμα. [13] καὶ εἶπεν ὁ ὀντωτὴς πρός με τῷ φάναι· τεϑέαμαι τὸν λεὼν τουτονί, καὶ ϑεῶ λεὼς σκληραύχην ἐστί· [14] χαύνου ἀπ' ἐμοῦ, καὶ ὀλοϑρεύσω σφᾶς, ἀπαλείψω τε τοὔνομα σφῶν κάτωϑεν τῶν οὐρανῶν, ποιήσω τε σὲ εἰς ἔϑνος κραταιότερον καὶ πλέον αὐτοῦ. [15] ἀπέκλινα δὲ καὶ κατέβην ἀπὸ τοῦ ὄρους, καὶ τὸ ὄρος ἐκαίετο ἐν πυρί, τὰ δὲ δύο πλάκε τῆς συνϑήκης ἐν ταῖν δυοῖν χειροῖν μου. [16] ἤϑρησα δὲ, καὶ αὐτίκα ἡμάρτετε τῷ ὀντωτῇ τῷ ϑεῷ ὑμῶν, ἐποιήσατε ἑαυτοῖς μόσχον χωνεύματος· ἀπέστητε τάχος ἀπὸ τῆς ὁδοῦ ἧς ἐκέλευσεν ὁ ὀντωτὴς ὑμῖν· [17] ἐδραξάμην δὲ τοῖν δυοῖν πλακοῖν, ἔρριψά τ' αὐτὰ πρὸς ταῖν δυοῖν χειροῖν μου ξυνέτριψά τ' αὐτὰ ἐν ὄμμασιν ὑμῖν. [18] ἐρρίπτημαί τ' ἐνώπιον τοῦ ὀντωτοῦ καϑὰ πρότερον τετταράκοντα ἡμέραις τετταράκοντά τε νυξὶν, ἄρτον οὐ βέβρωκα καὶ ὕδωρ οὐκ ἔπιον, ἐπὶ πάσῃ τῇ ἁμαρτίᾳ ὑμῶν ἧπερ ἡμάρτετε, ὡς ποιοῖτε τὸ πονηρὸν ἐν ὄμμασι τοῦ ὀν-

---

7. ἀνταίροντο cod. Veram lectionem jam Amm. restituit. 8. ὠρέβῳ cod. et ed. Cf. IV, 10. V, 2 cet. 9. πλάσμα] l. πλάκας (ut supra). Cf. v. 11 etc. (לוּחֹת). 10. κἀν (ἐκείναιν)] l. κἀπ' (וַעֲלֵיהֶם). 14. ἀπ' ἐμνοῦ cod. 15. χειροῖν, non χεροῖν, cod. Item v. 17. 17. ὑμῖν cod., non ὑμῶν ut ed. 18. πρότερον cod., non προτέραις

τωτοῦ ὡς ὀργίζοιτέ ἑ· [19] καὶ γὰρ πεφόβημαι ἀπὸ προσώπου τοῦ θυμοῦ τοῦ χόλου ᾧ ὤργισται ὁ ὀντωτὴς ἐφ' ὑμῶν ὡς ὀλοθρεύσειεν ὑμᾶς· ἤκουσε δ' ὁ ὀντωτὴς πρός με ἔτι ἐν τῇ βολῇ κείνῃ. [20] εἴς τε τὸν ἀαρῶνα τεθύμωται ὁ ὀντωτὴς ἄγαν ὡς ὀλοθρεύσειεν αὐτόν· ηὖγμαι τοίνυν ἔτι ὑπὲρ ἀαρῶνος ἐν τῷ καιρῷ κείνῳ. [21] τήν θ' ἁμαρτίαν ὑμῶν ἣν ἐποιήσατε, τὸν μόσχον, ἔλαβον ἔκαυσά τ' αὐτὸν ἐν πυρί, ἔθλασά τ' αὐτὸν τῷ ἀλῆσαι χρηστῶς ἄχρι τοῦ λεπτοῦ εἰς χῶμα, καὶ ἔρριψα τὸ χῶμά οἱ πρὸς τὸν χειμάρρουν τὸν κατιόντα πρὸς τοῦ ὄρους. [22] κἀν τῇ ἀφῇ κἀν τῇ πείρᾳ κἀν τοῖς τύμβοις τοῦ ἱμέρου ὀργίζοντες ἐτύχετε τὸν ὀντωτήν. [23] κἀν τῷ πέμπειν τὸν ὀντωτὴν ὑμᾶς ἀπὸ καδέσης βαρνέου τῷ φάσκειν· ἀνάβητε καὶ κληροῦσθε τὴν γῆν ἣν ἔδωκα ὑμῖν, ἀντήρατέ τε τῷ στόματι τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν, καὶ οὐκ ἐπιστεύσατέ οἱ οὔτε ὑπηκούσατε τῇ φωνῇ οἱ· [24] ἀνταίροντες ἐτελέσατε παρὰ τῷ ὀντωτῇ ἀφ' ἡμέρας τοῦ γνῶναί με ὑμᾶς. [25] ἐρρίπτημαι τοίνυν ἐνώπιον τοῦ ὀντωτοῦ ταῖς τετταράκοντα ἡμέραις καὶ ταῖς τετταράκοντα νυξὶν αἷς ἐρρίπτημαι, καὶ γὰρ εἶπεν ὁ ὀντωτὴς ὡς ὀλοθρεύσειεν ὑμᾶς· [26] ἱκέτευσα τοιγαροῦν πρὸς τὸν ὀντωτὴν καὶ εἶπον· δέσποτά μου ὀντωτά, μὴ φθείρεις τὸν λεών σου καὶ τὸν κλῆρόν σου ὃν ἐλυτρώσω ἐν μεγέθει σου, ὃν ἐξήνεγκας ἀπ' αἰγύπτου ἐν χειρὶ κραταιᾷ· [27] μνήσθητι τῶν οἰκετῶν σου, τοῦ ἀβραάμου, τοῦ ἰσάκου καὶ τοῦ ἰακώβου, μὴ ἀπονεύσῃς πρὸς τὸ σκληρὸν τοῦ λεὼ τουδί, πρός τε τὸ ἀσεβὲς αὐτοῦ καὶ πρὸς τὴν ἁμαρτίαν αὐτοῦ· [28] μήποτε φαῖεν ἡ γῆ ἧπερ ἐξήνεγκας ἡμᾶς ἐκεῖθεν· ἀπὸ τοῦ μὴ δύνασθαι τὸν ὀντωτὴν ἀγαγεῖν σφᾶς πρὸς τὴν γῆν ἣν διείλεκται σφίσιν, ἀπό τε τοῦ μισεῖν αὐτὸν αὐτοὺς ἐξήνεγκεν αὐτοὺς ὡς θανατώσειε σφᾶς ἐν τῇ ἐρήμῳ. [29] αὐτὸς δὲ λεὼς σὸς κλῆρός τε σός, ὃν ἐξήνεγκας ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ κἀν τῷ βραχίονί σου τῷ κεκλιμένῳ.

[1] Ἐν τῷ καιρῷ κείνῳ ἔφη ὁ ὀντωτὴς πρός με· λάξευσον σαυτῷ δύο πλάκε λίθων κατὰ τὰ προτέρα, καὶ ἀνάβα πρός με πρὸς τὸ X.

ὀργίζειτε cod. et ed. Cf. XXXI, 29. 20. ηὖμαι cod. (cf. Dan. IX, 4). Recte jam ed. 21. ἀλῆσαι, non ἀλέσαι, cod. 22. ὀργίζοντος c. ed. ed. 25. ἡμᾶς corr. ὑμᾶς cod. 26. φθείροις] φθείρῃς (cf. v. sq.)? 27. τῶν οἰκετῶν cod., non τοῦ οἰκετοῦ (sic) ut ed. 29. αὐτὸς] exspectaveris αὐτοὶ (הֵם). Cf. v. 28.

X. 1. προτέρα cod., non πρότερα ut ed. Item v. 3.

ὄρος, ποιήσεις τε σαυτῷ χηλὸν ξύλου· [2]γράψω τ' ἐπὶ τοῖν πλακοῖν τοὺς λόγους οὕσπερ ὑπῆρξαν ἐπὶ ταῖν πλακοῖν ταῖν προτέραιν ἃ συνέτριψας, θήσεις τ' αὐτὰ ἐν τῇ χηλῷ. [3]τοίνυν ἐποίησα χηλὸν ξύλων κυπαρίττων, ἐλάξευσά τε δύο πλάκε λίθων κατὰ τὰ προτέρα, καὶ ἀνέβην ἐς τὸ ὄρος, τά τε δύο πλάκε ἐν τῇ χειρί μου. [4]καὶ ἔγραψεν ἐπὶ ταῖν πλακοῖν κατὰ τὸ γράμμα τὸ πρῶτον, τοὺς δέκα λόγους οὓς διείλεκται ὁ ὀντωτὴς πρὸς ὑμᾶς ἐν τῷ ὄρει μέσοθεν τοῦ πυρὸς ἐν τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ἔδωκέ τ' αὐτὰ ὁ ὀντωτὴς πρός με. [5]καὶ ἐξένευσα καὶ κατέβην ἀπὸ τοῦ ὄρους, ἔθηκά τε τὰ πλάκε ἐν τῇ χηλῷ ἣν ἐποίησα, καὶ ὑπηρξάτην ἐκεῖ καθάπερ ἐκέλευσέ μοι ὁ ὀντωτής. [6]οἱ δ' υἱεῖς ἰσραέλου μετῆραν ἀπὸ τῶν φρεάτων τῶν υἱέων ἰακᾶνος μοξεράνδε· ἐκεῖ τέθνηκεν ἀαρὼν καὶ τέθαπται ἐκεῖ, ἱερατεύσατο δ' ἐλεαζάρης ὁ υἱεὺς αὐτοῦ ἀντ' αὐτοῦ. [7]ἐκεῖθεν δὲ μετῆραν εἰς γουδεγουδάην, ἀπὸ δὲ γουδεγουδάης ἰατεβάθηνδε, γῆν χειμάρρων ὑδάτων. [8]ἐν τῷ καιρῷ κείνῳ διέστειλεν ὁ ὀντωτὴς τὸ σκῆπτρον τοῦ λευῖνος αἴρειν τὴν χηλὸν τῆς συνθήκης τοῦ ὀντωτοῦ, ὡς ἑστήκοι πρόσθεν τοῦ ὀντωτοῦ, ὑπηρετεῖσθαί οἱ καὶ εὐλογεῖν ἐν τῷ ὀνόματι αὐτοῦ μέχρι τῆς ἡμέρας ταυτησί. [9]διόπερ οὐχ ὑπῆρξε τῷ λευῖνι μερὶς καὶ κλῆρος ξὺν τοῖς ἀδελφοῖς αὐτοῦ· ὁ ὀντωτής ἐστι κλῆρος αὐτοῦ, καθάπερ διείλεκται ὁ ὀντωτὴς ὁ θεός σου ἐμοί. [10]κἀγὼ ἔστην ἐν τῷ ὄρει καθὼς ταῖς ἡμέραις ταῖς προτέραις, τετταράκοντα ἡμέραις τετταράκοντά τε νυξί, καὶ ἤκουσεν ὁ ὀντωτὴς πρός με ἔτι ἐν τῇ βολῇ κείνῃ· οὐκ ἠθέλησεν ὁ ὀντωτὴς φθεῖραί σε. [11]ἔφη δ' ὁ ὀντωτὴς πρός με· ἔγειρε βάδιζε εἰς μέταρσιν πρόσθεν τοῦ λεώ, καὶ ἀφίξονται καὶ κληρώσονται τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι σφίσι.

[12]Νῦν οὖν, ἰσραέλε, τί ὁ ὀντωτὴς ὁ θεός σου ζητεῖ παρὰ σοῦ, ὅτι μὴ δεδιέναι τὸν ὀντωτὴν τὸν θεόν σου, βαδίζειν ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, φιλεῖν τ' αὐτόν, λατρεύειν τε τῷ ὀντωτῇ τῷ θεῷ σου ἐν πάσῃ καρδίᾳ σου κἀν πάσῃ ψυχῇ σου, [13]τηρεῖν τὰ κελεύσματα τοῦ ὀντωτοῦ καὶ τοὺς τύπους αὐτοῦ οὓς ἐγὼ κελεύω

---

2. τοῖν, non ταῖν, cod. At paullo inferius bis ταῖν exhibet. οὕσπερ, non οἵπερ, cod. 7. γουδεγουδάης] γουδεγουδήης cod., non γουδεγουδηήεως ut ed. 8. αἴρην cod. 9. ἐμοί] לִי (ita cod. Ross. 16 a pr.) pro לוֹ

σοι τήμερον εἰς χρηστόν σοι; [14] θεῶ, τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου οἱ οὐρανοὶ καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν, ἥ τε γῆ καὶ πάντα τὰ ἐν αὐτῇ· [15] πλὴν τῶν πατέρων σου ἱμείρατο ὁ ὀντωτὴς ὡς ἀγαπώη σφᾶς, εἵλετό τε τὸ σπέρμα σφῶν μετὰ σφᾶς, ὑμᾶς ὑπὲρ πάντας τοὺς λεὼς ὡς τῇ ἡμέρᾳ τηδί. [16] τεμεῖτε τοίνυν τὴν περίσσειαν τῆς καρδίας ὑμῶν, καὶ τὸν αὐχένα ὑμῶν οὐ σκληρυνεῖτε ἔτι· [17] ὁ γὰρ ὀντωτὴς ὁ θεὸς ὑμῶν, ἐκεῖνος θεὸς τῶν θεῶν δεσπότης τε τῶν δεσποτῶν, ὁ θεὸς ὁ μέγας, ὁ κραταιὸς καὶ ὁ φοβερὸς, ὃς οὐκ ἀρεῖ πρόσωπον οὔτε δωροδοκήσει, [18] ποιῶν κρίσιν ὀρφανοῦ καὶ χήρας, φιλῶν τε μέτοικον δοῦναί οἱ ἄρτον καὶ περιβόλαιον. [19] φιλήσετε τοίνυν τὸν μέτοικον, μέτοικοι γὰρ ὑπήρξατε ἐν γῇ αἰγύπτου. [20] τὸν ὀντωτὴν τὸν θεόν σου δείσεις, αὐτῷ λατρεύσεις, ἐν ἐκείνῳ τε κεκολλήσῃ, κἀν τῷ ὀνόματι αὐτοῦ ὀμόσεις· [21] ἐκεῖνος αἰνός σου κἀκεῖνος θεός σου, ὃς ἐποίησε σὺν σοὶ τὰ μεγάλα καὶ τὰ φοβερὰ ταῦτα ἅπερ ἑωράκασιν οἱ ὀφθαλμοί σου. [22] ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου αἴγυπτόνδε, καὶ νῦν ἔθηκέ σε ὁ ὀντωτὴς ὁ θεός σου ὡς τοὺς ἀστέρας τῶν οὐρανῶν εἰς πλῆθος. [1] ἀγαπήσεις οὖν τὸν ὀντωτὴν τὸν θεόν **XI.** σου, τηρήσεις τε τὸ τήρημά οἱ τούς τε τύπους αὐτοῦ τάς τε κρίσεις αὐτοῦ καὶ τὰ κελεύσματα αὐτοῦ πάσαις ταῖς ἡμέραις. [2] εἴσεσθέ τε τήμερον ὅτι οὐ τοὺς υἱεῖς ὑμῶν, οἵπερ οὐκ ἔγνωσαν καὶ οἵπερ οὐκ εἶδον τὴν παίδευσιν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν, τὸ μέγεθος αὐτοῦ, τὴν χεῖρα αὐτοῦ τὴν κραταιὰν, τὸν βραχίονά τ' αὐτοῦ τὸν κεκλιμένον, [3] καὶ τὰ τέρατα αὐτοῦ καὶ τὰ ἔργα αὐτοῦ ἅπερ ἐποίησε ἐν μέσῳ τῆς αἰγύπτου τῷ παρεῶνι τῷ βασιλεῖ αἰγύπτου πάσῃ τε τῇ γῇ αὐτοῦ, [4] καὶ ἅπερ ἐποίησε τῇ δυνάμει τῆς αἰγύπτου, τοῖς ἵπποις αὐτῆς καὶ τῷ ὀχήματι ταύτης, οἷς ἐπλημμύρισε τὰ ὕδατα τῆς θαλάττης τοῦ φύκους ἐπὶ τοῦ προσώπου σφῶν ἐν τῷ διώκειν σφᾶς κατόπιν ὑμῶν, ὤλεσέ τ' αὐτοὺς ὁ ὀντωτὴς ἄχρι τῆς ἡμέρας ταυτησί, [5] καὶ ἅπερ ἐποίησεν ὑμῖν ἐν τῇ ἐρήμῳ μέχρι τοῦ ἐλθεῖν ὑμᾶς ἄχρι τοῦ τόπου τουτουΐ, [6] καὶ ἅπερ ἐποίησε τῷ δαθᾶνι καὶ τῷ ἀβιράμῃ τοῖς

---

15. ἀγαπώη (sic) cod., non ἀγαπόη ut ed. 16. περίσσειαν, non περισσείαν, cod. Cf. Gen. XLIX, 3. Prol. I, 4, c.

XI. 3. τῆς αἰγύπτου] γῆς αἰγ. cod. et ed. 4. ἐπλημμύρισε] ἐπλημμυρίσω cod. et ed.

υἱέσιν ἐλιάβου τοῦ υἱέως ῥεουβένου, οἷς ἔχανεν ἡ γῆ τὸ στόμα ταύτης καὶ κατέπιε σφᾶς τάς τ' οἰκίας αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πᾶν τὸ ἑστὼς τὸ ἐν τοῖς ποσὶν αὐτῶν ἐν μέσῳ παντὸς ἰσραέλου· [7] τὰ γὰρ ὄμματα ὑμῶν τὰ ὁρῶντα ξύμπαν τὸ ἔργον τοῦ ὀντωτοῦ τὸ μέγα ὅπερ ἐποίησε. [8] καὶ τηρήσετε ξύμπαν τὸ κέλευσμα ὅπερ ἐγὼ κελεύω σοι τήμερον, ὡς κραταιοῖσθε καὶ ἀφίκοισθε καὶ κληρώσαισθε τὴν γῆν ἥπερ ὑμεῖς διαβαίνετε ἐκεῖσε κληρώσασθαι ταύτην, [9] καὶ ὡς μηκύνοιτε ἡμέρας ἐπὶ τῆς γῆς ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν ὑμῶν δοῦναι σφίσι καὶ τῷ σπέρματι σφῶν, γῆν ῥεουμένην γάλακτι καὶ μέλιτι.

[10] Καὶ γὰρ ἡ γῆ ἧ σὺ ἔρχῃ ἐκεῖσε κληροῦσθαι ταύτην, οὐχ ὡς ἡ γῆ αἰγύπτου ἐστὶν ἥπερ ἐξήλθετε ἐκεῖθεν, ἧ σπερεῖς τὸ σπέρμα σου καὶ ἀρδεύσεις ἐν τῷ ποδί σου ὡς παράδεισον τοῦ λαχάνου· [11] ἀλλ' ἡ γῆ ἧ ὑμεῖς διαβαίνετε ἐκεῖσε ὡς κληρῶσθε ταύτην, γῆ ὀρῶν καὶ κοιλάδων· τῷ ὄμβρῳ τοῦ οὐρανοῦ πίεται ὕδωρ· [12] γῆ ἣν ὁ ὀντωτὴς ὁ θεός σου ζητεῖ ταύτην· συνεχῶς οἱ ὀφθαλμοὶ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἐν αὐτῇ, ἀπ' ἀρχῆς τοῦ ἔτους καὶ ἄχρις ἐσχάτου τοῦ ἔτους.

[13] Τελέσει τε ἢν τῷ ἀκούειν ἀκούσητε πρὸς τὰ κελεύσματά μου ἅπερ ἐγὼ κελεύω ὑμῖν τήμερον, ὥστε φιλεῖν τὸν ὀντωτὴν τὸν θεὸν ὑμῶν λατρεύειν τ' αὐτῷ ἐν πάσῃ καρδίᾳ ὑμῶν κἀν πάσῃ ψυχῇ ὑμῶν, [14] δώσω τε τὸν ὄμβρον τῆς γῆς ὑμῶν ἐν καιρῷ οἱ, πρώϊμον καὶ ὄψιμον, συνάξεις τε τὸν σῖτόν σου τό τε γλεῦκός σου καὶ τὸ ἔλαιόν σου· [15] δώσω τε χλόην ἐν τῷ ἀγρῷ σου τῷ κτήνει σου, καὶ ἔδῃ καὶ κορεσθήσῃ. [16] πεφύλαχθε ἑαυτοῖς μήπως ἀπατηθῇ ἡ καρδία ὑμῶν, καὶ ἀποστῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτούς· [17] ὀργισθῇ δ' ὁ θυμὸς τοῦ ὀντωτοῦ ἐν ὑμῖν, κωλύσῃ τε τοὺς οὐρανοὺς καὶ οὐχ ὑπάρξῃ ὄμβρος ἥ τε γῆ οὐ δῷ τὴν φορὰν ἑαυτῆς, καὶ ἀπόλησθε ταχέως ἄνωθεν τῆς γῆς τῆς χρηστῆς ἣν ὁ ὀντωτὴς δίδωσιν ὑμῖν. [18] θήσετε τοίνυν τοὺς λόγους μου τούτους ἐπὶ τῆς καρδίας ὑμῶν κἀπὶ τῶν ψυχῶν ὑμῶν, δήσετέ τ' αὐτοὺς εἰς σημεῖον ἐπὶ τῆς χειρὸς

---

6. ἑστὼς, non ἑστὸς, cod. Cf. not. ad Gen. VII, 4. 8. ταύτην cod., non ταύτας ut ed. 9. ῥεουμένην, non ῥεομ. (ut alibi), cod. 10. σπέρμα σου cod. Ed. σου om. 12. τοῦ θεοῦ σου cod. Ed. σου om. 16. προσκυνήσετε c. ed. ed. 17. ὑπάρξει cod. et ed.

ὑμῶν, τελέσουσί τ' εἰς προμετωπίδα ἀνὰ τοὺς ὀφθαλμοὺς ὑμῶν· [19]καὶ διδάξετε σφᾶς τοὺς υἱεῖς ὑμῶν, ὡς διαλέγοισθε ἐν αὐτοῖς ἐν τῷ καθέζεσθαί σε οἴκοι σοι κἀν τῷ βαδίζειν σε ἐν τῇ ὁδῷ, ἔν τε τῷ ἀνακεκλίσθαι σε κἀν τῷ ἐγείρεσθαί σε· [20]καὶ γράψετε αὐτοὺς ἐπὶ τῶν παραστάδων τῆς οἰκίας σου κἀν ταῖς πύλαις σου· [21]ὡς ἂν πληθύνοιεν αἱ ἡμέραι ὑμῶν καὶ αἱ ἡμέραι τῶν υἱέων ὑμῶν ἐπὶ τῆς γῆς ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν ὑμῶν δοῦναι σφίσι, κατὰ τὰς ἡμέρας τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.

[22]Ἢν γὰρ τῷ τηρεῖν τηρήσητε ξύμπαν τὸ κελευσμα τόδε ὅπερ ἐγὼ κελεύω ὑμῖν ποιεῖν, ὡς ἀγαπῴητε τὸν ὀντωτὴν τὸν θεὸν ὑμῶν, ὡς βαδίζοιτε ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ κολλῷσθε ἐν αὐτῷ, [23]ἀποκληρώσει θ' ὁ ὀντωτὴς ξύμπαντα τὰ ἔθνη ταῦτα πρόσθεν ὑμῶν, καὶ κληρώσεσθε ἔθνη μείζονα καὶ κραταιότερα ὑμῶν. [24]πᾶς ὁ τόπος ᾧ πατήσειε τὸ πέλμα τοῦ ποδὸς ὑμῶν ἐν αὐτῷ, ὑμῖν ὑπάρξει· ἀπὸ τῆς ἐρήμου καὶ τοῦ λεβανῶνος, ἀπὸ τοῦ ποταμοῦ, τοῦ ποταμοῦ περάτου, καὶ μέχρι τῆς θαλάττης τῆς τελευταίας τελέσει ὁ ὅρος ὑμῶν. [25]οὐ στήσεται ἀνὴρ εἰς πρόσωπον ὑμῖν· τὸν δεῖμον ὑμῶν καὶ τὸν φόβον ὑμῶν δώσει ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ἐπὶ προσώπου πάσης τῆς γῆς ᾗ πατήσετε ἐν αὐτῇ, καθάπερ διείλεκται ὑμῖν.

[26]Ἄθρει ἐγὼ δίδωμι ἐπίπροσθεν ὑμῶν σήμερον εὐλογίαν καὶ κατάραν· [27]τὴν εὐλογίαν, οἷς ἀκούσεσθε πρὸς τὸ κέλευσμα τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ὅπερ ἐγὼ κελεύω ὑμῖν σήμερον· [28]τὴν δὲ κατάραν, ἣν μὴ ἀκούσητε πρὸς τὰ κελεύσματα τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν καὶ ἀποστῆτε ἀπὸ τῆς ὁδοῦ ἧς ἐγὼ κελεύω ὑμῖν σήμερον, ὥστ' ἀπιέναι κατόπιν θεῶν ἑτέρων οὓς οὐκ ἔγνωτε. (*μερίς*)

[29]Τελέσει δ' ἐπὰν ἀγάγοι σε ὁ ὀντωτὴς ὁ θεός σου πρὸς τὴν γῆν ἥ σὺ ἀφικνῇ ἐκεῖσε ὡς κληρῷο ταύτην, δώσεις τε τὴν εὐλογίαν ἐπὶ τοῦ ὄρους γεριζῖνος καὶ τὴν κατάραν ἐπὶ τοῦ ὄρους αἰβάλου.

---

18. προμετωπίδα (cf. Exod. XIII, 16) cod., non προμετωπίδια ut ed. At sic VI, 8 cod. 20. κἀν cod., non καὶ ut ed. 22. τηρήσετε c. cd. ed. ποιεῖν] suff. om (לַעֲשֹׂתָהּ). 23. μείζωνα cod. et ed. Cf. Gen. XXVII, 15. 42 cet. 25. δεῖμον, non δειμὸν, cod. Cf. Exod. XV, 16. 27. τὸ κέλευσμα] מִצְוַת pro מִצְוֹת. Cf. v. sq. 29. κληρῷο] cf. IX, 1. Gen. VI, 19 sq. Item XII, 1 et saepe.

[30] ἄρ' οὐ ταῦτα ἐν τῷ πέραν τοῦ ἰαρδένου κατόπιν τῆς ὁδοῦ πρὸς τοῦ δύνειν τοῦ ἡλίου ἐν τῇ γῇ τοῦ κεναανίου τοῦ καθεζομένου ἐν τῇ ἐρήμῳ ἀντικρὺ τοῦ γιλεγάλου παρὰ ταῖς δρυσὶ τοῦ μορέως; [31] ὑμεῖς γὰρ περαιοῦσθε τὸν ἰαρδένην, ὡς ἀφίκοισθε κληροῦσθαι τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν· κληρώσεσθε τοίνυν αὐτὴν καθεδεῖσθέ τ' ἐν αὐτῇ. [32] τηρήσετε γοῦν ποιεῖν ξύμπαντας τοὺς τύπους καὶ τὰς κρίσεις ἃς ἐγὼ δίδωμι πρόσθεν ὑμῶν σήμερον.

XII. [1] οὗτοι οἱ τύποι καὶ αἱ κρίσεις ἃς τηρήσετε ποιεῖν ἐν τῇ γῇ, ἣν ἔδωκεν ὁ ὀντωτὴς ὁ θεὸς τῶν πατέρων σου σοὶ ὡς κληρῷο ταύτην πάσαις ταῖς ἡμέραις αἷς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς. [2] τῷ ἀπολλύναι ἀπολεῖτε ξύμπαντας τοὺς τόπους οἷς ἐλάτρευσαν ἐκεῖ τὰ ἔθνη, ἅπερ ὑμεῖς ἀποκληροῦτε αὐτά, τοῖς θεοῖς αὐτῶν ἐπὶ τῶν ὀρῶν τῶν ὑψηλῶν κἀπὶ τῶν λόφων καὶ ὑπὸ παντὶ ξύλῳ πίονι· [3] καθελεῖτε δὲ τὰ θυτήρια σφῶν καὶ συντρίψετε τὰ ἐγέρματα σφῶν, τά τ' ἄλση σφῶν καύσετε ἐν πυρὶ καὶ τὰ λαξεύματα τῶν θεῶν αὐτῶν κατατεμεῖτε, καὶ ἀπολεῖτε τοὔνομα σφῶν ἀπὸ τοῦ τόπου κείνου. [4] οὐ ποιήσετε τῇδε τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν· [5] ἀλλὰ πρὸς τῷ τόπῳ ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ἀπὸ πάντων τῶν σκήπτρων ὡς θείη τοὔνομά οἱ ἐκεῖ, εἰς τὸ κατοικεῖν αὐτὸν ζητήσετε καὶ ἀφίξῃ ἐκεῖσε· [6] καὶ στήσετε ἐκεῖσε τὰς ἀναφορὰς ὑμῶν καὶ τὰς θυσίας ὑμῶν, τούς τε δεκατισμοὺς ὑμῶν καὶ τὴν ὕψωσιν τῆς χειρὸς ὑμῶν, τάς τ' εὐχὰς ὑμῶν καὶ τὰς ἐλευθεριότητας ὑμῶν, καὶ τὰ πρωτόγονα τοῦ βουκολίου ὑμῶν καὶ τοῦ ποιμνίου ὑμῶν· [7] ἔδεσθέ τ' ἐκεῖ πρόσθεν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν, καὶ εὐφρανθήσεσθε ἐν πάσῃ πέμψει τῆς χειρὸς ὑμῶν, ὑμεῖς καὶ οἱ οἶκοι ὑμῶν, οἷς εὐλόγησέ σε ὁ ὀντωτὴς ὁ θεός σου. [8] οὐ ποιήσετε κατὰ πάνθ' ἅπερ ἡμεῖς ποιοῦμεν ὧδε τήμερον, ἕκαστος πᾶν τὸ εὐθὲς ἐν ὄμμασί οἱ· [9] οὐ γὰρ ἀφίκεσθε μέχρι τουνῦν πρὸς τὴν ἀνάπαυσιν καὶ πρὸς τὸν κλῆρον ὃν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι. [10] περαιωθήσεσθε δὲ τὸν ἰαρδένην, ὡς καθεδεῖσθε ἐν τῇ γῇ ἥπερ ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν κληροῖ ὑμᾶς, ἀναπαύσει θ' ὑμῖν ἀπὸ πάντων τῶν ἐχθρῶν ὑμῶν κύκλοθεν, καὶ καθεδεῖσθε θαρρούντως·

---

30. πρὸς τοῦ δύνειν (δώειν cod., δύειν ed. Cf. XVI, 6. Gen. XV, 12. 17 cet.)] מִפּוֹא (cf. Gen. XXIV, 62) pro מְבוֹא.

XII. 5. σκήπτρων] excidit ὑμῶν (שִׁבְטֵיכֶם). 6. στήσετε] l. οἴσετε (וַהֲבֵאתֶם) ut v. 11. 9. μέχρι τουνῦν] sic cod. Cf. Exod. IX, 18. Prol. I, 4, d. 10. ὡς καθεδεῖσθε] l. καὶ καθ. (וִישַׁבְתֶּם) ut paullo inferius.

[11]τελέσει ϑ' ὁ χῶρος ᾧπερ ἑλεῖται ὁ όντωτὴς ὁ ϑεὸς ὑμῶν ἐν αὐτῷ, κατοικεῖν τοὔνομά οἱ ἐκεῖ, ἐκεῖσε οἴσετε ξύμπανϑ' ἅπερ ἐγὼ κελεύω ὑμῖν, τὰς ἀναφορὰς ὑμῶν τάς τε ϑυσίας ὑμῶν, τοὺς δεκατισμοὺς ὑμῶν καὶ τὴν ὕψωσιν τῆς χειρὸς ὑμῶν, καὶ πᾶν ἐξαίρετον τῶν εὐχῶν ὑμῶν ἅς εὔξεσϑε τῷ ὀντωτῇ· [12]χαιρήσετε τοίνυν ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ ὑμῶν, ὑμεῖς οἵ ϑ' υἱεῖς ὑμῶν καὶ αἱ ϑυγατέρες ὑμῶν, οἵ τε ϑεράποντες ὑμῶν καὶ αἱ ϑεραπαινίδες ὑμῶν, καὶ ὁ λευὶς ὁ ἐν ταῖς πύλαις ὑμῶν, οὐ γὰρ ἔχει μερίδα καὶ κλῆρον σὺν ὑμῖν. [13]τετήρησο σαυτῷ μήποτ' ἀναφέρῃς τὰς ἀναφοράς σου ἐν παντὶ τόπῳ ὃν ϑεάσαιο· [14]ἀλλ' ἐν τῷ τόπῳ ὃν ἑλεῖται ὁ ὀντωτὴς ἐν ἑνὶ τῶν σκήπτρων σου, ἐκεῖ ἀνοίσεις τὰς ἀναφοράς σου κἀκεῖ ποιήσεις πάνϑ' ἅπερ ἐγὼ κελεύω σοι. [15]μόνον ἐν πάσῃ ἐφέσει τῆς ψυχῆς σου ϑύσεις, ἔδῃ τε κρέας κατὰ τὴν εὐλογίαν τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ὃς ἔδωκέ σοι, ἐν πάσαις ταῖς πύλαις σου· ὁ μιαρὸς καὶ ὁ καϑαρὸς ἔδεται αὐτὸ, καϑάπερ δορκάδα καὶ καϑάπερ ἔλαφον· [16]μόνον τὸ αἷμα οὐκ ἔδεσϑε, ἐπὶ τῆς γῆς χεεῖς αὐτὸ ὡς ὕδωρ. [17]οὐχ ἕξεις ἐσϑίειν ἐν ταῖς πύλαις σου δεκατισμὸν σίτου σου καὶ γλεύκους σου καὶ ἐλαίου σου, πρωτόγονά τε βουκολίου σου καὶ ποιμνίου σου, καὶ ἁσπεροῦν εὐχάς σου ἅς εὔξῃ, καὶ ἐλευϑεριότητάς σου καὶ ὕψωσιν χειρός σου. [18]ἀλλ' ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ἔδῃ αὐτὸν, ἐν τῷ χώρῳ ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ ϑεός σου ἐν αὐτῷ, σὺ καὶ ὁ υἱεύς σου καὶ ἡ ϑυγάτηρ σου, ὅ τ' οἰκέτης σου καὶ ἡ οἰκέτις σου, καὶ ὁ λευὶν ὁ ἐν ταῖς πύλαις σου· χαιρήσεις οὖν ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ἐν πάσῃ πέμψει χειρός σου. [19]τετήρησο σαυτῷ μήποτε παρῇς τὸν λευῖνα πάσαις ταῖς ἡμέραις σου ἐπὶ τῆς γῆς σου.

[20]Ἐπὰν πλατύνοι ὁ ὀντωτὴς ὁ ϑεός σου τὸν ὅρον σου καϑάπερ διείλεκταί σοι, καὶ φῇς· ἔδομαι κρέας· ὅτι ἔφεσις τῇ ψυχῇ σου φαγεῖν κρέας· ἐν πάσῃ ἐφέσει τῆς ψυχῆς σου ἔδῃ κρέας. [21]ἐπὰν μηκύνοι ἀπὸ σοῦ ὁ χῶρος ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ ϑεός σου ϑεῖναι τοὔνομά οἱ ἐκεῖ, ϑύσεις τ' ἀπὸ τοῦ βουκολίου σου κἀπὸ τοῦ ποιμνίου σου ὅπερ ἔδωκεν ὁ ὀντωτής σοι, καϑάπερ ἐκέλευσά σοι, καὶ ἔδῃ ἐν ταῖς πύλαις σου ἐν πάσῃ ἐφέσει τῆς ψυχῆς σου·

---

17. προτόγονα c. cd. ed. 18. αὐτὸν, non αὐτὸ, cod. λευὶν (cf. Num. XVIII, 23)] alibi λευὶς (cf. v. 12. XIV, 27. 29. XVI, 11 cet.). 20. ἔφεσις] תַּאֲוָה pro תְּאַוֶּה.

[22] πλὴν καθάπερ βρωθείη ἡ δορκὰς καὶ ἡ ἔλαφος, τῇδε ἔδῃ αὐτό· ὁ μιαρὸς καὶ ὁ καθαρὸς ἅμα ἔδεται αὐτό. [23] μόνον κράτυναι μὴ φαγεῖν τὸ αἷμα, τὸ γὰρ αἷμά ἐστιν ἡ ψυχή· τοίνυν οὐκ ἔδῃ τὴν ψυχὴν σὺν τῷ κρέατι· [24] οὐκ ἔδῃ αὐτὸ, ἐπὶ τῆς γῆς χεεῖς αὐτὸ ὥσπερ ὕδωρ· [25] οὐκ ἔδῃ αὐτὸ, ὡς ἀγαθύνειέ σοι καὶ τοῖς υἱέσι σου μετὰ σὲ, ὅτι ποιήσεις τὸ εὐθὲς ἐν ὄμμασι τοῦ ὀντωτοῦ. [26] πλὴν τὰ ἅγιά σου ἃ τελοῖέν σοι καὶ τὰς εὐχάς σου ἀρεῖς, καὶ ἐλεύσῃ πρὸς τὸν χῶρον ὃν ἐλεῖται ὁ ὀντωτής· [27] ποιήσεις τε τὰς ἀναφοράς σου, τὸ κρέας καὶ τὸ αἷμα ἐπὶ τοῦ θυτηρίου τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, τό θ' αἷμα τοῦ θύματός σου χεεῖς ἐπὶ τοῦ θυτηρίου τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, καὶ τὸ κρέας ἔδῃ. [28] τήρησον καὶ πυθοῦ ξύμπαντας τοὺς λόγους τούτους οὓς ἐγὼ κελεύω σοι, ὡς ἀγαθύνειέ σοι καὶ τοῖς υἱέσι σου μετὰ σὲ μέχρις αἰῶνος, ὅτι ποιήσεις τὸ χρηστὸν καὶ τὸ εὐθὲς ἐν ὄμμασι τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου.

[29] Ἐπὰν ὀλοθρεύσειεν ὁ ὀντωτὴς ὁ θεός σου τὰ ἔθνη, οἷς σὺ ἀφικνῇ ἐκεῖσε ἀποκληροῦν αὐτὰ ἀπὸ προσώπου σου, καὶ ἀποκληρώσειας αὐτὰ καὶ καθεσθείης ἐν τῇ γῇ σφῶν, [30] τετήρησο σαυτῷ μήπως παγιδευθῇς κατόπιν αὐτῶν μετὰ τὸ ὠλοθρεῦσθαι ταῦτα ἀπὸ προσώπου σου, μήπως τε ζητήσῃς εἰς τοὺς θεοὺς αὐτῶν τῷ φάσκειν· πῶς ποτε λατρεύοιεν τὰ ἔθνη ταδὶ τοῖς θεοῖς αὐτῶν, καὶ ποιήσω τῇδε κἀγώ. [31] οὐ ποιήσεις τῇδε τῷ ὀντωτῇ τῷ θεῷ σου· πᾶν γὰρ βδέλυγμα τοῦ ὀντωτοῦ ὅπερ μισεῖ ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ γὰρ ἔτι τοὺς υἱεῖς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν καύσαιεν ἐν πυρὶ τοῖς θεοῖς αὐτῶν. XIII. [1] ξύμπαντα τὸν λόγον ὃν ἐγὼ κελεύω ὑμῖν, αὐτὸν τηρήσετε ποιεῖν· οὐ προσθήσεις ἐπ' αὐτῷ οὔτ' ἀφελεῖς ἀπ' αὐτοῦ.

[2] Ἐπὰν ἐγερθείη ἐν μέσῳ σου προφήτης ἢ ὀνειρώττων ὄνειρον, δοίη τε πρὸς σὲ σημεῖον ἢ παράδοξον, [3] ἔλθοι τε τὸ σημεῖον καὶ τὸ παράδοξον ὅπερ διείλεκται πρὸς σὲ τῷ φάσκειν· ἀπέλθωμεν κατόπιν θεῶν ἑτέρων, οὓς οὐκ ἴστε σφᾶς, καὶ λατρεύσωμεν αὐτοῖς· [4] οὐκ ἀκούσῃ πρὸς τοὺς λόγους τοῦ προφήτου κείνου ἢ πρὸς τὸν

---

23. ἔδῃ cod., non ἔδεται ut ed. Cf. Morell. Bibl. Manuscr. p. 13. κρέατι] sic pro κρέαι cod. 26. τελοῖ ἐν σοὶ cod. et ed. 27. τοῦ θύματος] sing. pro plur. (זְבָחֶיךָ). χεεῖς] תִּשְׁפֹּךְ (cf. v. 16. 24) pro יִשָּׁפֵךְ. Item LXX. 30. ὠλοθρεῦθαι (sic) cod., non ὠλωθρ. ut ed. ζητήσεις (ut ed.) corr. ζητήσῃς cod. 31. καύσειεν cod. et ed. Si malis καύσοιεν, nihil obstat.

XIII. 3. ἴστε] plur. pro sing. (יְדַעְתֶּם). Item LXX.

ὀνειρώττοντα τὸν ὄνειρον ἐκεῖνον· πειράζει γὰρ ὁ ὀντωτὴς ὁ θεὸς ὑμῶν ὑμᾶς ὡς γνοίη ἄρα τυγχάνετε φιλοῦντες τὸν ὀντωτὴν τὸν θεὸν ὑμῶν ἐν πάσῃ καρδίᾳ ὑμῶν κἀν πάσῃ ψυχῇ ὑμῶν. [5] κατόπιν τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν ἀπελεύσεσθε, κεῖνόν τε δείσετε καὶ τὰ κελεύσματά οἱ τηρήσετε καὶ τῇ φωνῇ οἱ ὑπακούσεσθε, κείνῳ τε λατρεύσετε καὶ ἐν ἐκείνῳ κολληθήσεσθε. [6] ὁ δὲ προφήτης ἐκεῖνος ἢ ὁ ὀνειρώττων τὸν ὄνειρον ἐκεῖνον τεθανατώσθω· καὶ γὰρ διείλεκται παράβασιν κατὰ τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν τοῦ ἐξαγαγόντος ὑμᾶς ἐκ γῆς αἰγύπτου καὶ τοῦ λυτρουμένου σε ἐξ οἴκου δούλων· ὡς ἀπώσειέ σε ἀπὸ τῆς τρίβου ἣν ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ θεός σου βαδίζειν ἐν αὐτῇ· ἐκτεμεῖς τε τὸν πονηρὸν ἐκ μέσου σου. [7] Ἐπὰν ἀπατήσειέ σε ἀδελφός σου ὁ υἱεὺς τῆς μητρός σου, ἢ υἱεύς σου ἢ θυγάτηρ σου, ἢ γυνὴ τοῦ κόλπου σου, ἢ ἑταῖρός σου ὅς ἐστι καταθύμιός σοι, κρύβδην τῷ φάσκειν· ἀπίωμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ ἔγνως σὺ καὶ οἱ πατέρες σου, [8] πρὸς τῶν θεῶν τῶν λεῶν τῶν κύκλῳ ὑμῶν, τῶν ἐγγιζόντων πρὸς σὲ ἢ τῶν πόρρω τελούντων ἀπὸ σοῦ, ἀπ' ἄκρου τῆς γῆς καὶ μέχρις ἄκρου τῆς γῆς· [9] οὐ βουλήσῃ οἱ οὔτ' ἀκούσεις πρὸς αὐτὸν, οὔτε φείσεται τὸ ὄμμα σου ἐπ' αὐτοῦ, οὔτ' οἰκτειρεῖς οὔτε καλύψεις ἐπ' αὐτοῦ· [10] τῷ γὰρ ἀναιρεῖν ἀνελεῖς αὐτόν· ἡ χείρ σου τελέσει ἐν αὐτῷ πρῶτον θανατῶσαί ἑ, καὶ ἡ χεὶρ παντὸς τοῦ λεὼ ὕστερον· [11] λεύσεις τ' αὐτὸν ἐν λίθοις, καὶ τεθνήξεται· καὶ γὰρ ἐζήτησεν ἀπῶσαί σε ἄνωθεν τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου οἰκετῶν. [12] πᾶς τ' ἰσραέλος ἀκούσονται καὶ δείσουσι, καὶ οὐ προσθήσουσι ποιεῖν κατὰ τὸν λόγον τὸν πονηρὸν τουτονὶ ἐν μέσῳ σου. [13] Ἐπὰν ἀκούσῃς ἐν μιᾷ τῶν πόλεών σου ἃς ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι καθέζεσθαι ἐκεῖ, τῷ φάσκειν· [14] ἐξῆλθον ἄνδρες υἱεῖς φαυλότητος μέσοθέν σου καὶ ὦσαν τοὺς καθέδρους τῆς πόλεως σφῶν τῷ φάναι· ἀπέλθωμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ ἔγνωτε, [15] ζητήσῃς τε καὶ ἐρευνήσῃς καὶ ἔρῃ καλῶς, καὶ θεῷ ἀλήθεια καθέστηκεν ὁ λόγος, πέπρακται τὸ μύσος τοδὶ ἐν μέσῳ σου· [16] βάλον βαλλεῖς τοὺς

---

8. θεῶν] λεῶν cod. Recte jam. ed. 9. ἐπ' (1) cod., non ἀπ' ut ed. οἰκτείρεις c. cd. ed. Cf. VII, 2. XXX, 3. 10. ἀνελεῖς] ἀνερεῖς cod. et ed. 15. κατέστηκε c. cd. ed. 16. βάλον βαλλεῖς] codicis scripturam mutare non ausus sum. Legendum fort. βάλε βαλεῖς (הַכֵּה תַכֶּה).

καϑέδρους τῆς πόλεως ἐκείνης στόματι τοῦ ξίφους, ὀλόϑρευσον αὐτὴν ξύμπαντά ϑ' ἅπερ ἐν αὐτῇ καὶ τὸ κτῆνος αὐτῆς ἐν στόματι μαχαίρας· [17] ξύμπασάν τε τὴν λείαν αὐτῆς συναϑροίσεις πρὸς τὸ μέσον τῆς πλατείας, πρήσεις τ' ἐν πυρὶ τὴν πόλιν καὶ ξύμπασαν τὴν λείαν αὐτῆς ὁλόκληρον τῷ ὀντωτῇ τῷ ϑεῷ σου· τελέσει τε ἔρημος αἰῶνος, οὐ δομηϑήσεται ἔτι. [18] οὔτε κολληϑήσεται ἐν τῇ χειρί σου ὁτιοῦν πρὸς τοῦ ἀναϑήματος, ὡς ἂν ἀποστρέψειεν ὁ ὀντωτὴς ἀπὸ τῆς ὀργῆς τοῦ ϑυμοῦ οἱ, δοίη τέ σοι ἐλέους οἰκτεῖραι τέ σε καὶ πληϑύναι σε καϑάπερ ὤμοσε τοῖς πατράσι σου· [19] ἀκούσῃ γὰρ ἐν φωνῇ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου, φυλάττειν ξύμπαντα τὰ κελεύσματά οἱ ἅπερ ἐγὼ κελεύω σοι τήμερον, ποιεῖν τὸ εὐϑὲς ἐν ὄμμασιν ὀντωτοῦ τοῦ ϑεοῦ σου.

XIV. [1] Υἱεῖς τελεῖτε τῷ ὀντωτῇ τῷ ϑεῷ ὑμῶν· οὐκ ἀμυχϑήσεσϑε οὔτε ϑήσετε φαλάκραν μέσον τῶν ὀφϑαλμῶν ὑμῶν τῷ τεϑνηκότι· [2] λεὼς γὰρ ἅγιος εἶ τῷ ὀντωτῇ τῷ ϑεῷ σου, κἀν σοὶ εἵλετο ὁ ὀντωτὴς ὡς εἴης αὐτῷ εἰς λεὼν σφετερισμοῦ πρὸς πάντων τῶν λεῶν τῶν ἐπὶ τοῦ προσώπου τῆς γῆς.

[3] Οὐκ ἔδῃ ὁτιοῦν μύσος. [4] τοῦτο τὸ κτῆνος ὅπερ ἔδεσϑε· βοῦς, ἀρνὸς προβάτων καὶ ἔριφος αἰγῶν, [5] ἔλαφος, δορκάς τε καὶ αἶξ ἀγρία, τράγος, μονόκερως καὶ ἀγριόβους, ζυράμφιον· [6] πᾶν τε κτῆνος ὁπλοῦν ὁπλὴν καὶ διχηλοῦν χηλὴν δυοῖν ὁπλαῖν, ἀνάγον μηρυκημὸν ἐν τῷ κτήνει, ταῦτα ἔδεσϑε. [7] μόνον τόδε οὐκ ἔδεσϑε πρὸς τῶν ἀναφερόντων τὸν μηρυκημὸν καὶ τῶν ὁπλούντων τὴν ὁπλὴν τὴν διχηλοῦσαν· τὴν κάμηλον τόν τε λαγωὸν καὶ τὸν ἐχῖνον· ἀναφέρουσι γὰρ μηρυκημὸν ταῦτα, ὁπλὴν δὲ οὐκ ὤπλωσαν· μιαρὰ ταῦτα ὑμῖν· [8] καὶ τὸν χοῖρον, ὅτι ὁπλοῖ ὁπλὴν ἐκεῖνος, καὶ οὐ μηρυκᾶται, μιαρός ἐστιν ὑμῖν· πρὸς τοῦ κρέως αὐτῶν οὐκ ἔδεσϑε καὶ τοῦ νεκροῦ σφῶν οὐχ ἅψεσϑε.

[9] Τοδὶ ἔδεσϑε πρὸς πάντων τῶν ἐν τοῖς ὕδασι· πᾶν

---

16. ἐκείνοις cod. et ed. 17. τῆς πλατείας] suff. om. (רְחֹבָהּ). Item cod. Kenn. 9 (רחב). αἰῶνος] στοζῶνι corruptissime cod., τῷ αἰῶνι ed. An voluit ἐς αἰῶνα? Utique mirandum quomodo ex αἰῶνος (ita alibi vertit עוֹלָם; cf. XV, 17. XXXIII, 15. 27 cet.) vel ex τῷ αἰῶνι vel ex ἐς αἰῶνα gigni potuerit istud monstrum.

XIV. 5. ζυράμφιος c. cd. ed. Cf. Prol. II, 3, B, c. 6. ὁπλοῦν cod., non ὁπλ. ut ed. Cf. Prol. I, 4, c. Item vv. sqq. 7. δ' οὐκ c. cd. ed. ὤπλωσαν] sic cod., non ὁπλοῦσι ut ed. 8. οὐχ (ἔδεσϑε) c. cd. ed.

ὅπερ ἔχει πτερύγιον καὶ λεπίδα ἔδεσθε. [10] πᾶν δ' ὅπερ οὐκ ἔχει πτερύγιον καὶ λεπίδα οὐκ ἔδεσθε, μιαρόν ἐστιν ὑμῖν.

° [11] Πάντα ὄρνιν καθαρὸν ἔδεσθε. [12] ὁδὶ δ' ὅνπερ οὐκ ἔδεσθε πρὸς αὐτῶν· ὁ ἀετὸς ὅ τ' ἁλιάετος καὶ ὁ γύψ, [13] καὶ ἡ ἴβις ἥ τε κίττα καὶ ὁ κολιὸς ἐς εἶδος αὐτοῦ, [14] πᾶς τε κόραξ ἐς εἶδος αὐτοῦ, [15] ὅ τε στρουθοκάμηλος καὶ ἡ γλαύξ, ὅ τε ἰκτὶν καὶ ὁ ἱέραξ ἐς εἶδος αὐτοῦ, [16] ὁ πελεκὰν καὶ ὁ ἐφιάλτης καὶ ἡ χελιδὼν, [17] καὶ ὁ κύκνος καὶ ἡ κορώνη καὶ ὁ λάρος, [18] καὶ ὁ ἐρωδιὸς καὶ ἡ θυμώτρια ἐς εἶδος αὐτῆς, καὶ ἡ ἀγριαλεκτορὶς καὶ ἡ νυκτερίς· [19] ὁτιοῦν θ' ἑρπετὸν τοῦ πτηνοῦ μιαρόν ἐστιν ὑμῖν, οὐ βρωθήσονται. [20] πᾶν πτηνὸν καθαρὸν ἔδεσθε. [21] οὐκ ἔδεσθε ὁτιοῦν νεκρόν· τῷ παροίκῳ τῷ ἐν ταῖς πύλαις σου δώσεις αὐτὸ, καὶ ἔδεται αὐτὸ, ἢ πράσον τῷ ἀλλοτρίῳ· λεὼς γὰρ ἅγιος εἶ τῷ ὀντωτῇ τῷ θεῷ σου. οὐ μιστυλεῖς ἔριφον ἐν γάλακτι μητρὸς αὐτοῦ.

° [22] Τῷ δεκατίζειν δεκατιεῖς ξύμπασαν πρόσοδον σπόρου σου τοῦ ἐξιόντος τὸν ἀγρὸν ἔτει ἔτει, [23] φαγῇ τ' ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἐν τῷ χώρῳ ὃν ἑλεῖται ὡς οἰκοίη τοὔνομά οἱ ἐκεῖ· τὸν δεκατισμὸν τοῦ σίτου σου, τοῦ γλεύκους σου τοῦ τ' ἐλαίου σου, καὶ τὰ πρωτόγονα τοῦ βουκολίου σου καὶ τοῦ ποιμνίου σου, ἵνα μάθῃς δεδιέναι τὸν ὀντωτὴν τὸν θεόν σου πάσαις ταῖς ἡμέραις. [24] ἐπὰν δὲ πλεονάσῃ ὑπὲρ σὲ ἡ ὁδὸς ἐπεὶ οὐχ ἕξεις αἴρειν αὐτὸν, ὅτι πόρρω τελέσει ἀπὸ σοῦ ὁ χῶρος ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ θεός σου θεῖναι τοὔνομά οἱ ἐκεῖ, ὅτι εὐλογήσει σε ὁ ὀντωτὴς ὁ θεός σου· [25] δώσεις τοίνυν ἐν ἀργύρῳ, δήσεις τε τὸν ἄργυρον ἐν χειρί σοι καὶ ἀπελεύσῃ πρὸς τὸν χῶρον ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ θεός σου ἐν αὐτῷ, [26] δώσεις τε τὸν ἄργυρον εἰς πᾶν οὗπερ ἱμερεῖται ἡ ψυχή σου, εἰς βοῦν εἴς τε πρόβατον, καὶ εἰς οἶνον εἴς τε συρμαίαν, καὶ εἰς πᾶν ὅπερ ζητήσει σε ἡ ψυχή σου· καὶ ἔδῃ ἐκεῖ ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, χαρήσῃ τε σὺ καὶ ὁ οἶκός σου, [27] καὶ ὁ λευὶς ὁ ἐν ταῖς πύλαις σου· οὐ παρήσεις αὐτὸν, ἐπεὶ οὐκ ἔχει μερίδα καὶ κλῆρον ξὺν σοί.

[28] Ἀπ' ἄκρου τριῶν ἐτῶν ἐξοίσεις ξύμπαντα τὸν δεκατισμὸν τῆς εἰσφορᾶς σου ἐν τῷ ἔτει ἐκείνῳ, θήσεις τ' ἐν ταῖς πύλαις σου, [29] καὶ ἀφίξεται ὁ λευίς, ἐπεὶ οὐκ ἔχει μερίδα καὶ

---

13. ἴβις, non ἶβις, cod. Cf. Lev. XI, 14. 21. μιστυλλεῖς cod. et ed. Cf. XVI, 7. Exod. XXIII, 19 cet. 23. φαγῇ] codicis scripturam servavimus. Cf. XXIII, 25. XXVII, 7. 29. οὐχ ἔχει cod. et ed.

κλῆρον ξὺν σοί, ὅ τ' ἔπηλυς καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα, οἱ ἐν ταῖς πύλαις σου, φάγονταί τε καὶ κορεσθήσονται, ὡς εὐλογήσειέ σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν παντὶ ἔργῳ χειρός σου ὃ ποιοίης.

XV. [1] Ἀπ' ἄκρου ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν. [2] οὗτος δ' ὁ λόγος τῆς ἀφέσεως· τὸ ἀφεῖναι πάντα ἄρχοντα δανείου τὴν χεῖρά οἱ, ὃς δανείσειεν εἰς τὸν ἑταῖρον αὐτοῦ· οὐκ ἀναγκάσει πρὸς τὸν ἑταῖρον αὐτοῦ καὶ τὸν ἀδελφὸν αὐτοῦ· ἐκάλεσε γὰρ ἄφεσιν τῷ ὀντωτῇ. [3] τὸν ἀλλότριον συνελάσεις, ὃ δ' εἴη σοι τῷ ἀδελφῷ σου ἀφήσει τὼ χεῖρέ σου· [4] πλὴν ὅτι οὐ τελέσει ἐν σοὶ πτωχός, ὅτι τῷ εὐλογεῖν εὐλογήσει σε ὁ ὀντωτὴς ἐν τῇ γῇ ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι κλῆρον ὡς κληρῴο ταύτην. [5] πλὴν εἰ τῷ ἀκούειν ὑπακούσειας τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, τηρεῖν ὡς ποιοίης ξύμπαν τὸ κέλευσμα τοδὶ ὅπερ ἐγὼ κελεύω σοι τήμερον· [6] ὁ γὰρ ὀντωτὴς ὁ θεός σου εὐλόγησέ σε καθάπερ διείλεκταί σοι, δανείσεις τε ἔθνεσι πολλοῖς, σὺ δ' οὐ δανείσῃ· καὶ ἄρξεις ἐν ἔθνεσι πολλοῖς, ἐν σοὶ δὲ οὐκ ἄρξουσιν. [7] Ἐπὰν τελέσειεν ἐν σοὶ πτωχὸς ἀφ' ἑνὸς ἀδελφοῦ σου ἐν μιᾷ τῶν πυλῶν σου ἐν τῇ γῇ σου ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι, οὐ κρατυνεῖς τὴν καρδίαν σου οὔτε κλείσεις τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ πτωχοῦ· [8] τῷ γὰρ ἀνοίγειν ἀνοίξεις τὴν χεῖρά σου κείνῳ, τῷ τε δανείζειν δανείσεις αὐτῷ τὸ ἀποχρῶν τῷ ἐλλείμματί οἱ ὅπερ ἔλλειψεν ἐκείνῳ. [9] τετήρησο σαυτῷ μήπως τελέσῃ λόγος παρὰ τῇ καρδίᾳ σου φαῦλος τῷ φάσκειν· ἤγγικε τὸ ἔτος τὸ ἕβδομον, τὸ ἔτος τῆς ἀφέσεως· κακὸν δὲ τοῖς ὀφθαλμοῖς σου ἐν τῷ ἀδελφῷ σου τῷ πτωχῷ καὶ οὐ δώσεις αὐτῷ, βοήσῃ δὲ κατὰ σοῦ πρὸς τὸν ὀντωτήν, καὶ τελέσει ἐν σοὶ ἁμαρτία· [10] τῷ διδόναι δώσεις ἐκείνῳ, ... ἐν τῷ διδόναι σε κείνῳ· διὰ γὰρ τὸ χρῆμα τοδὶ εὐλογήσει σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν παντὶ ἔργῳ σου κἀν πάσῃ πέμψει χειρός σου. [11] καὶ γὰρ οὐ παύσει ὁ πτωχὸς

XV. 2. πρὸς τὸν ἑταῖρον] quasi אֶל־רֵעֵהוּ scriptum esset, non אֶת־רֵ׳ 3. ἀλλώτριον c. cd. ed. ἀφήσει] post ει erasum ς ut videtur. Fort. legendum ἀφήσεις τῇ χειρί σου. An voluit ἀφήσετον (cf. Prol. II, 2, b)? 4. κληρῷο] cf. IX, 1. 7. ἀδελφοῦ (1)] אָחִיךָ pro אַחֶיךָ; nisi vero librarii mendum est pro ἀδελφῶν 8. ἐλλείματι cod. Cf. Prov. XXI, 5. 10. Librarii culpa, qui in linea supplenda (cf. Prol. I, 2, b) lapsus est, alia praetermissa (וְלֹא־יֵרַע לְבָבְךָ), alia bis scripta sunt (διὰ γὰρ τὸ χρῆμα: semel in textu post ἐκείνῳ, iterum in margine post κείνῳ).

μέσοθεν τῆς γῆς· διόπερ ἐγὼ κελεύω σοι τῷ φάσκειν· τῷ ἀνοίγειν ἀνοίξεις τὰς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητί σου καὶ τῷ πτωχῷ σου ἐν τῇ γῇ σου. [12] Ἐπὰν πραθείη σοι ὁ ἀδελφός σου ὁ ὑβραῖος ἢ ἡ ὑβραία, δουλεύσει τέ σοι ἓξ ἔτεσι, κἀν τῷ ἔτει τῷ ἑβδόμῳ πέμψεις αὐτὸν ἐλεύθερον ἀπὸ τῶν μετὰ σοῦ. [13] ἐπὰν δὲ πέμποις αὐτὸν ἐλεύθερον ἀπὸ τῶν μετὰ σοῦ, οὐ πέμψεις αὐτὸν κενόν· [14] τῷ περιτιθέναι περιθήσεις αὐτῷ πρὸς τοῦ ποιμνίου σου, πρός τε τῆς ἅλω σου καὶ πρὸς τῆς ληνοῦ σου· οἷς εὐλόγησέ σε ὁ ὀντωτὴς ὁ θεός σου δώσεις αὐτῷ. [15] μεμνήσῃ θ' ὅτι δοῦλος ὑπῆρξας ἐν τῇ γῇ τῆς αἰγύπτου, ηὔξησε δέ σε ὁ ὀντωτὴς ὁ θεός σου· διόπερ ἐγὼ κελεύω σοι τὸν λόγον τοῦτον σήμερον. [16] τελέσει τ' ἐπὰν φαίη πρὸς σέ· οὐκ ἐξελεύσομαι ἀπὸ τῶν σὺν σοί· καὶ γὰρ ἐφίλησέ σε καὶ τὸν οἶκόν σου, χρηστὸν γὰρ ἔσχε ξὺν σοί· [17] λήψῃ τε τὴν περόνην καὶ δώσεις ἐν τῷ ὠτί οἱ κἀν τῇ θύρᾳ, καὶ τελέσει σοι δοῦλος αἰῶνος· ἔτι τε τῇ οἰκέτιδί σου ποιήσεις τῇδε. [18] οὐ σκληρυνεῖ ἐν ὄμμασί σοι ἐπὰν ἀποπέμποις αὐτὸν ἐλεύθερον πρὸς τῶν ξὺν σοί· διπλοῦν γὰρ μισθὸν μισθοῦ ἐδούλευσέ σοι, ἓξ ἔτεσιν· εὐλογήσει τέ σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν πᾶσιν ἅπερ ποιήσεις.

[19] Πᾶν τὸ πρωτότοκον ὃ γεννηθείη ἐν τῷ βουκολίῳ σου κἀν τῷ ποιμνίῳ σου, τὸ ἄρρεν ἁγιάσεις τῷ ὀντωτῇ τῷ θεῷ σου· οὐκ ἐργάσῃ ἐν τῷ πρωτοτόκῳ βοός σου, οὔτε κερεῖς πρωτότοκον ποιμνίου σου· [20] ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἔδῃ αὐτὸ ἔτους ἐς ἔτος ἐν τῷ χώρῳ ὃν ἕλοιτο ὁ ὀντωτής, σὺ καὶ ὁ οἶκός σου. [21] ἢν μέντοι τελέσῃ ἐν αὐτῷ μῶμος, χωλὸν ἢ τυφλὸν, ὁτιοῦν μώμημα κακὸν, οὐ θύσεις αὐτὸ τῷ ὀντωτῇ τῷ θεῷ σου· [22] ἐν ταῖς πύλαις σου φαγῇ αὐτὸ, ὁ μιαρὸς καὶ ὁ καθαρὸς ἅμα ὡς δορκάδα καὶ ὡς ἔλαφον· [23] μόνον τὸ αἷμά οἱ οὐκ ἔδῃ, ἐπὶ τῆς γῆς χεεῖς αὐτὸ ὥσπερ ὕδωρ.

---

11. τὰς χεῖράς σου] plur. pro sing. (יָדְךָ). Item LXX. Cf. v. 8. 12. ἡβραῖος et ἡβραία (non ἑβρ. ut ed.) cod. Cf. Gen. XXXIX, 14. 17. XLI, 12 cet. 15. ηὔξησε] וַיְפְרְךָ pro וַיִּפְדְּךָ. Cf. Gen. I, 22. 16. ἐξελεύσωμαι c. cd. ed. 18. ἐν ὄμμασί σοι] בְּעֵינֶיךָ pro בְעֵינֶךָ cum multis codd. et edd. μισθοῦ] l. μισθωτοῦ vel μισθαρνοῦ (שָׂכִיר). Cf. Exod. XXII, 14. Lev. XIX, 13. τέ σε] τέ σοι cod. et ed. 22. φαγῇ] sic cod., nisi quod illud ι ipsi subscripsimus. Cf. XIV, 23.

XVI. [1] Τήρησον τὸν μῆνα τῆς φυταλίας, καὶ ποιήσεις τὸ ἅλμα τῷ ὀντωτῇ τῷ Θεῷ σου· ἐν γὰρ τῷ μηνὶ τῆς φυταλίας ἐξήγαγέ σε ὁ ὀντωτὴς ὁ Θεός σου ἀπ' αἰγύπτου νύκτωρ. [2] Θύσεις οὖν ἅλμα τῷ ὀντωτῇ τῷ Θεῷ σου, πρόβατα καὶ βοῦς, ἐν τῷ χώρῳ ὃν ἐλεῖται ὁ ὀντωτὴς κατοικεῖν τοὔνομά οἱ ἐκεῖ. [3] οὐκ ἔδῃ ἐπ' αὐτῷ ζυμωτόν· ἑπτὰ ἡμέραις ἔδῃ ἐπ' αὐτῷ ἄζυμα, ἄρτον ταλαιπωρίας, ἐν γὰρ ἐπειγωλῇ ἐξῆλϑες ἀπὸ γῆς αἰγύπτου, ὡς μιμνήσκοιο τῆς ἡμέρας τοῦ ἐξελϑεῖν σε ἐκ γῆς αἰγύπτου πάσαις ταῖς ἡμέραις τῆς ζωῆς σου. [4] οὔτ' ὀφϑήσεταί σοι ζύμη ἐν ὁτῳοῦν ὅρῳ σου ἑπτὰ ἡμέραις, οὔτε μενεῖ πρὸς τοῦ κρέως ὃ ἱερεύσεις ἐν ἑσπέρᾳ ἐς ἡμέραν τὴν πρώτην ἐς τὴν ἕω. [5] οὐχ ἕξεις ἱερεύειν τὸ ἅλμα ἐν μιᾷ τῶν πυλῶν σου ἃς ὁ ὀντωτὴς ὁ Θεός σου δίδωσί σοι· [6] εἰ μὴ πρὸς τῷ τόπῳ ὃν ἐλεῖται ὁ ὀντωτὴς ὁ Θεός σου ὡς οἰκοίη τοὔνομά οἱ ἐκεῖ, Θύσεις τὸ ἅλμα ἐν τῇ ἑσπέρᾳ κατὰ τὸ δύνειν τὸν ἥλιον, καιρῷ τοῦ ἐξιέναι σε πρὸς αἰγύπτου· [7] μιστυλεῖς οὖν καὶ ἔδῃ ἐν τῷ τόπῳ ὃν ἐλεῖται ὁ ὀντωτὴς ὁ Θεός σου ἐν αὐτῷ· ἐκκλινεῖς δ' ἐν τῇ ἕῳ καὶ ἀπελεύσῃ ἐς τὰς σκηνάς σου. [8] ἓξ ἡμέραις ἔδῃ ἄζυμα, ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κωλύμη τῷ ὀντωτῇ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐργασίαν. [9] Ἑπτὰ ἑβδομάδας ἀριϑμήσεις σαυτῷ· ἀπὸ τοῦ ἄρχεσϑαι δρεπάνης ἐν τῷ ἀναστήματι ἄρξῃ ἀριϑμεῖν ἑπτὰ ἑβδομάδας, [10] ποιήσεις Θ' ἑορτὴν ἑβδομάδων τῷ ὀντωτῇ τῷ Θεῷ σου δασμὸν ἐλευϑεριότητος χειρός σου, ὃν δώσεις καϑάπερ εὐλογήσει σε ὁ ὀντωτὴς ὁ Θεός σου· [11] χαιρήσεις τ' ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ Θεοῦ σου, σὺ ὅ Θ' υἱεύς σου καὶ ἡ Θυγάτηρ σου, ὅ τ' οἰκέτης σου καὶ ἡ οἰκέτις σου, ὅ τε λευὶς ὁ ἐν ταῖς πύλαις σου καὶ ὁ ἔπηλυς, ὅ τ' ὀρφανὸς καὶ ἡ χήρα ἡ ἐν μέσῳ σου, ἐν τῷ τόπῳ ᾧ ἐλεῖται ὁ ὀντωτὴς ὁ Θεός σου κατοικεῖν τοὔνομά οἱ ἐκεῖ· [12] μεμνήσῃ Θ' ὅτι δοῦλος ὑπῆρξας ἐν αἰγύπτῳ, τηρήσεις τε καὶ ποιήσεις τοὺς τύπους τουτουσί.

[13] Τὴν ἑορτὴν τῶν καλυβῶν ποιήσεις σαυτῷ ἑπτὰ ἡμέραις, ἐν τῷ συναγαγεῖν σε πρὸς τῆς ἅλω σου καὶ πρὸς τῆς ληνοῦ σου· [14] τοί-

---

XVI. 1. φυταλίας, non φυταλιᾶς, (bis) cod. Cf. Prol. I, 4, c. **2.** τοὔνομά οἱ (3) ἐκεῖ κτλ. ed. Sed ipse cod. punctum praebet post ἐκεῖ. Cf. v. 6. 11 cet. **6.** ἄλμα cod. At supra ipse ἅλμα habuit. Cf. Prol. l. c. **7.** ἀπελεύσῃ] ἀπελάσῃ cod. et ed. Cf. XIV, 25. XXVI, 2 cet. **9.** σαύτῷ hic et saepius c. cd. ed.

νυν ἡσθήσῃ ἐν τῇ ἑορτῇ σου, σύ ὅ θ' υἱεύς σου καὶ ἡ θυγάτηρ σου, ὅ τ' οἰκέτης σου καὶ ἡ οἰκέτις σου, ὅ τε λευΐς καὶ ὁ μέτοικος, ὅ τ' ὀρφανὸς καὶ ἡ χήρα ἡ ἐν ταῖς πύλαις σου· [15] ἑπτὰ ἡμέραις ἑορτάσεις τῷ ὀντωτῇ τῷ θεῷ σου ἐν τῷ χώρῳ ὃν ἐλεῖται ὁ ὀντωτής· εὐλογήσει γάρ σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν πάσῃ προσόδῳ σου κἀν παντὶ ἔργῳ χειρῶν σου, τελέσεις τε μόνον ἡδόμενος. [16] τρὶς ἐν τῷ ἔτει φανεῖται πᾶσα ἡ ἀρρενότης σου τῷ προσώπῳ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἐν τῷ τόπῳ ὃν ἐλεῖται, ἐν τῇ ἑορτῇ τῶν ἀζύμων ἔν τε τῇ ἑορτῇ τῶν ἑβδομάδων κἀν τῇ ἑορτῇ τῶν καλυβῶν· οὐ μέντοι ὀφθήσεται τῷ προσώπῳ τοῦ ὀντωτοῦ κενός, [17] ἕκαστος κατὰ δῶρον τῆς χειρὸς αὐτοῦ, κατὰ τὴν εὐλογίαν τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἣν ἔδωκέ σοι.

[18] Κριτὰς καὶ πράκτορας δώσεις σαυτῷ ἐν πάσαις ταῖς πύλαις σου ἃς ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι ἐς τὰ σκῆπτρά σου, κρινοῦσί τε τὸν λεὼν κρίσιν δικαιοσύνης. [19] οὐ κλινεῖς κρίσιν, οὐκ ἐπιγνώσῃ πρόσωπον οὔτε δωροδοκήσεις· τὸ γὰρ δῶρον τυφλώσειεν ὀφθαλμοὺς σοφῶν σκολιώσει τε λόγους δικαίων. [20] δικαιοσύνην δικαιοσύνην διώξῃ, ἵνα ζῇς καὶ κληρώσῃ τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι. (μερίς)

[21] Οὐ φυτεύσεις σαυτῷ δένδρον οὑτινοσοῦν ξύλου παρὰ τῷ θυτηρίῳ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ὅπερ ποιήσεις σαυτῷ, [22] οὔτ' ἐγερεῖς σαυτῷ ἀνάστημα, ὅπερ ἐμίσησεν ὁ ὀντωτὴς ὁ θεός σου.

XVII.

[1] Οὐχ ἱερεύσεις τῷ ὀντωτῇ τῷ θεῷ σου βοῦν καὶ πρόβατον ὅπερ τελοίη ἐν αὐτῷ μῶμος οὑτινοσοῦν πράγματος πονηροῦ· βδέλυγμα γὰρ τῷ ὀντωτῇ τῷ θεῷ σου τελεῖ.

[2] Ἐπὰν εὑρεθείη ἐν μέσῳ σου ἐν μιᾷ τῶν πυλῶν σου, ἃς ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι, ἀνὴρ ἢ γυνὴ ὃς ποιήσειε τὸ πονηρὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, ὥστε παραβῆναι τὴν συνθήκην αὐτοῦ· [3] πεπόρευται δὲ καὶ ἐλάτρευσε θεοῖς ἑτέροις, προσεκύνησέ τ' αὐτούς, τόν θ' ἥλιον ἢ τὴν σελήνην ἢ ἡντιναοῦν στρατιὰν τῶν οὐρανῶν ἣν οὐκ ἐκέλευσα, [4] ἀγγελθείη δέ σοι καὶ

15. ἡδόμενος] sic ipse cod., non ἡ δόμος ut relatum erat Ammonio. 16. ἐν τῇ ἑορτῇ τῶν ἀζύμων] ἔν τε τῇ ἑορτῇ τῶν ἀζύμων invito codice addidit ed. 19. τυφλώσειεν] sic cod. (יְעַוֵּר). Fort. paullo inferius legendum σκολιώσειέ (τε). Cf. Prol. II, 2, c.

XVII. 1. ὅπερ, non ᾧπερ, cod. Cf. v. 8. 15. XVI, 7 cet.

ἀκούσειας, ζητήσειάς τε χρηστῶς, καὶ ϑεῶ ἀλήϑεια καϑέστηκε τὸ χρῆμα, πέπρακται τὸ μύσος τουτὶ ἐν τῷ ἰσραέλῳ· [5] ἐξάξεις τε τὸν ἄνδρα κεῖνον ἢ τὴν γυναῖκα κείνην, οἳ ἐποίησαν τὸ χρῆμα τὸ πονηρὸν τουτὶ, πρὸς τὰς πύλας σου, τὸν ἄνδρα ἢ τὴν γυναῖκα, καὶ λεύσεις αὐτοὺς ἐν λίϑοις, καὶ τεϑνήξονται. [6] ἐπὶ στόματι δυοῖν μαρτύροιν ἢ τριῶν μαρτύρων ϑανατούσϑω ὁ ϑνήσκων, μὴ ϑανατούσϑω ἐπὶ στόματι μάρτυρος ἑνός. [7] ἡ χεὶρ τῶν μαρτύρων τελέσει ἐν αὐτῷ πρῶτον ὡς ϑανατώσειεν αὐτὸν, ἡ δὲ χεὶρ παντὸς τοῦ λεὼ ὕστερον· ἐκτεμεῖς τε τὸ πονηρὸν ἐκ μέσου σου.

° [8] Ἐπὰν ϑαυμαστωϑείη πρὸς σοῦ λόγος τῆς κρίσεως ἀν' αἷμα ἐς αἷμα, ἀνὰ δίκην ἐς δίκην κἀν' ἀφὴν ἐς ἀφὴν, λόγοι δικασιῶν ἐν ταῖς πύλαις σου, τοίνυν ἐγερϑήσῃ καὶ ἀναβήσῃ πρὸς τὸν χῶρον ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ ϑεός σου ἐν αὐτῷ, [9] καὶ ἀφίξῃ πρὸς τοὺς ἱερεῖς τοὺς λευιικίους καὶ πρὸς τὸν κριτὴν ὃς τελέσει ἐν ταῖς ἡμέραις ἐκείναις, ζητήσεις τε, καὶ ἀγγελοῦσί σοι τὸν λόγον τῆς κρίσεως· [10] ποιήσεις τ' ἐπὶ στόματι τοῦ λόγου ὃν ἀγγελοῦσί σοι πρὸς τοῦ τόπου κείνου ὃν ἑλεῖται ὁ ὀντωτὴς, τηρήσεις τε ποιεῖν κατὰ πάνϑ' ἅπερ διδάξουσί σε· [11] ἐπὶ στόματι τοῦ νόμου ὃν διδάξουσί σε κἀπὶ τῇ κρίσει, ὅπερ ἐροῦσί σοι ποιήσεις· οὐκ ἀποστήσῃ πρὸς τοῦ λόγου ὃν ἀγγελοῦσί σοι δεξιὰ καὶ ἀριστερά. [12] ὁ δ' ἀνὴρ ὃς ποιήσει ἐν ἀκρασίᾳ, μὴ ὑπακούειν τῷ ἱερεῖ τῷ ἑστῶτι λατρεύειν ἐκεῖ τῷ ὀντωτῇ τῷ ϑεῷ σου, ἢ τῷ κριτῇ, τεϑνήξεταί ϑ' ὁ ἀνὴρ ἐκεῖνος, ἐκτεμεῖς τε τὸ πονηρὸν ἐξ ἰσραέλου· [13] πᾶς ϑ' ὁ λεὼς ἀκούσεται καὶ φοβηϑήσεται, καὶ οὐκ ἀκρατευϑήσονται ἔτι.

[14] Ἐπὰν ἀφίκοιο πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ ϑεός σου παρέχει σοι, κληρώσαιό τ' αὐτὴν καϑεσϑείης τ' ἐν αὐτῇ καὶ φαίης· ϑῶ ἐπ' ἐμαυτοῦ βασιλέα καϑὼς πάντα τὰ ἔϑνη τὰ κύκλῳ μου· [15] τῷ ϑεῖναι ϑήσεις ἐπὶ σαυτοῦ βασιλέα ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ ϑεός σου ἐν αὐτῷ· μέσοϑεν τῶν ἀδελφῶν σου ϑήσεις ἐπὶ σαυτοῦ βασιλέα, οὐχ ἕξεις δοῦναι ἐπὶ σαυτοῦ ἄνϑρωπον ἀλλότριον ὃς οὐκ ἀδελφός σού ἐστι. [16] πλὴν οὐ πληϑυνεῖ ἑαυτῷ ἵππους, οὔτ'

---

7. τὸ πονηρὸν] cf. XIX, 19 (τὸν πον.), XXII, 21 sq. 8. ἀν' αἷμα ἐς αἷμα cod. Ed. ἐς αἷμα om. 11. ὅπερ] fort. legendum ἥνπερ 12. ἐκτεμεῖς] ἐξ μεῖς cod. Cf. v. 7. Correctio fuisse videtur in autographo (pro ἐξαρεῖς? cf. XIX, 13. 19), qua se expedire non potuit librarius. Cf. Prol. I, 2, e. f. 3, b. 13. οὐ κρατευϑήσονται cod. et ed. Cf. I, 43. XVIII, 20. 14. ϑῶ cod., non ϑεῶ ut ed.

ἀποστρέψαι τὸν λεὼν αἴγυπτόνδε, ἵνα πληθύνῃ ἵππον· καίτοι ὁ ὀντωτὴς ἔφη ὑμῖν· οὐ προσθήσετε ὑποστρέφειν ἐν τῇ ὁδῷ ταύτῃ ἔτι. [17] οὔτε πληθυνεῖ ἑαυτῷ γυναῖκας οὔτ' ἐκκλινεῖ τὴν καρδίαν ἑαυτοῦ, ἄργυρόν τε καὶ χρυσὸν οὐ πληθυνεῖ ἑαυτῷ λίαν. [18] τελέσει τε κατὰ τὸ καθέζεσθαί ἑ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, γράψει θ' ἑαυτῷ τὸ δευτέρωμα τοῦ νόμου τουτουΐ ἐπὶ βιβλίου ἀπέμπροσθεν τῶν ἱερέων τῶν λευινίων, [19] τελέσει τε παρ' αὐτῷ καὶ ἀναγνώσεται ἐν αὐτῷ πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ, ὡς ἂν μάθοι δεδιέναι τὸν ὀντωτὴν τὸν θεὸν αὐτοῦ, ὡς φυλάττοι ξύμπαντας τοὺς λόγους τοῦ νόμου τουτουΐ καὶ τοὺς τύπους τουτουσὶ ποιεῖν αὐτούς· [20] ὥστε μὴ ὑψοῦσθαι τὴν καρδίαν αὐτοῦ ὑπὲρ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ὥστε μὴ ἀφίστασθαι ἀπὸ τοῦ κελεύσματος δεξιὰ καὶ ἀριστερά, ἵνα μηκύνῃ ἡμέρας ἐπὶ τῆς βασιλείας αὐτοῦ, κεῖνος υἱεῖς τ' αὐτοῦ μέσον τοῦ ἰσραέλου.

XVIII. [1] Οὐ τελέσει τοῖς ἱερεῦσι τοῖς λευινίοις, παντὶ τῷ σκήπτρῳ τοῦ λευῖνος, μερὶς καὶ κλῆρος ξὺν ἰσραέλῳ· τὰ ἔμπυρα τοῦ ὀντωτοῦ καὶ τὸν κλῆρον αὐτοῦ ἔδονται. [2] κλῆρος δ' οὐκ ἔσται οἱ μέσον τῶν ἀδελφῶν αὐτοῦ· ὁ ὀντωτής ἐστι κλῆρος αὐτοῦ, καθάπερ διείλεκταί οἱ. [3] Ἠδὶ δὲ τελέσει κρίσις τῶν ἱερέων πρὸς τοῦ λεὼ, ἀπὸ τῶν θυομένων τὸ θύμα· εἴτε βοῦν εἴτε ἀρνίον, δώσει τοίνυν τῷ ἱερεῖ τὸν βραχίονα τάς τε σιαγόνας καὶ τὸ ἔνυστρον· [4] ἀρχὴν πυροῦ σου, γλεύκους σου καὶ ἐλαίου σου, καὶ ἀρχὴν κουρᾶς ποιμνίου σου δώσεις αὐτῷ· [5] ἐν αὐτῷ γὰρ εἵλετο ὁ ὀντωτὴς ὁ θεός σου ὑπὲρ πάντα τὰ σκῆπτρά σου, ἑστάναι ὑπηρετεῖσθαι ἐν ὀνόματι τοῦ ὀντωτοῦ αὐτὸν καὶ τοὺς υἱέας αὐτοῦ πάσαις ταῖς ἡμέραις. [6] Ἐπὰν δ' ἀφίκοιτο ὁ λευὶς ἀπὸ μιᾶς τῶν πυλῶν σου, πρὸς παντὸς ἰσραέλου ὅπου τυγχάνει παροικῶν ἐκεῖ, καὶ ἀφίκοιτο ἐν πάσῃ ἐφέσει τῆς ψυχῆς αὐτοῦ τρὸς τὸν χῶρον ὃν ἑλεῖται ὁ ὀντωτής, [7] ὑπηρετήσειέ τε ἐν ὀνόματι τοῦ ὀντωτοῦ τοῦ θεοῦ οἱ ὡς πάντες οἱ ἀδελφοί οἱ, οἱ λευίνιοι οἱ ἑστῶτες ἐκεῖ ἐνώπιον τοῦ ὀντωτοῦ· [8] μερίδα ὡς μερίδα ἔδονται, μόνον ἐπὶ τῶν πράσεων αὐτοῦ ἐπὶ τῶν πατέρων.

---

16. ὑποστρέψειν c. cd. ed. 19. τουτουσὶ] τουτουΐ cod. et ed.

XVIII. 3. θύμα, non θῦμα, cod. Cf. Prol. I, 4, c. 5. ἑστᾶναι cod. Cf. Num. XVI, 9. Dan. I, 4 cet. ὑπηρεῖσθαι cod. et ed. 6. ὅπου cod., non ὅπερ ut ed. 8. μερίδα (2)] μερίση (σ factum ex δ) cod., non μερίδῃ ut indicatum erat Ammonio.

°[9] Ἐπὰν σὺ ἀφίκοιο πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ Θεός σου παρέχει σοι, οὐ μαϑήσῃ ποιεῖν κατὰ τὰ μύση τῶν ἐϑνῶν ἐκείνων. [10] οὐχ εὑρεϑήσεται ἐν σοὶ διάγων τὸν υἱὸν αὐτοῦ καὶ τὴν ϑυγατέρα ἑαυτοῦ ἐν πυρί, μαντεύων μαντείας, χρησμῳδῶν καὶ ἐπᾴδων καὶ γοητεύων, [11] φαρμακεύων τε φαρμακείαν καὶ ζητῶν, ἐγγαστρίμυϑος, γνώστης τε καὶ ζητῶν πρὸς τοὺς νεκρούς· [12] βδέλυγμα γὰρ ὀντωτοῦ πᾶς ποιῶν ταῦτα, καὶ χάριν τῶν μυσῶν τούτων ὁ ὀντωτὴς ὁ Θεός σου ἀποκληροῖ σφᾶς ἀπὸ προσώπου σου. [13] τέλειος τελέσεις παρὰ τῷ ὀντωτῇ τῷ Θεῷ σου. [14] Τὰ γὰρ ἔϑνη ταῦτα ἅπερ σὺ ἀποκληροῖς αὐτά, πρὸς τοὺς χρηματιστὰς καὶ πρὸς τοὺς μάντεις ἀκούσονται· σοὶ δ' οὐχ οὕτως ἔδωκέ σοι ὁ ὀντωτὴς ὁ Θεός σου. [15] προφήτην μέσοϑέν σου πρὸς τῶν ἀδελφῶν σου κατ' ἐμὲ ἐγερεῖ σοι ὁ ὀντωτὴς ὁ Θεός σου, πρὸς ἐκεῖνον ἀκούσεσϑε. [16] κατὰ πάνϑ' ἅπερ ἤρησας πρὸς τοῦ ὀντωτοῦ τοῦ Θεοῦ σου ἐν ὠρέβῃ ἐν τῇ ἡμέρᾳ τῆς ἐκκλησίας τῷ φάναι· οὐ προσϑήσω ἀκούειν τὴν φωνὴν τοῦ ὀντωτοῦ τοῦ Θεοῦ μου, καὶ τὸ πῦρ τὸ μέγα τουτὶ οὐχ ὄψομαι ἔτι, καὶ οὐ τεϑνήξομαι· [17] ἔφη ϑ' ὁ ὀντωτὴς πρός με· ἠγάϑυναν ἅπερ διειλεγμένοι εἰσί· [18] προφήτην ἐγερῶ σφίσι μέσοϑεν τῶν ἀδελφῶν αὐτῶν κατὰ σέ, δώσω τε τοὺς λόγους μου ἐν στόματί οἱ, καὶ διαλέξεται πρὸς αὐτοὺς ξύμπανϑ' ἅπερ κελεύσω οἱ· [19] τελέσει δ' ὁ ἀνὴρ ὃς οὐκ ἀκούσεται πρὸς τοὺς λόγους μου οὓς διαλέξεται ἐν τῷ ὀνόματί μου, ἐγὼ ζητήσω πρὸς τῶν πάρ' αὐτῷ. [20] ὅμως ὁ προφήτης ὃς ἀκρατεύσεται διαλέγεσϑαι λόγον ἐν ὀνόματί μου ὃν οὐκ ἐκέλευσά οἱ διαλέγεσϑαι, καὶ ὃς διαλέξοιτο ἐν ὀνόματι Θεῶν ἑτέρων, τεϑνήξεται τοίνυν ὁ προφήτης ἐκεῖνος. [21] ἐπὰν δὲ φαίῃς ἐν τῇ καρδίᾳ σου· πῶς εἰσόμεϑα τὸν λόγον ὃν οὐ διείλεκται αὐτὸν ὁ ὀντωτής; [22] ὅπερ διαλέξοιτο ὁ προφήτης ἐν ὀνόματι τοῦ ὀντωτοῦ, οὐ τελέσει μέντοι ὁ λόγος οὔτ' ἐλεύσεται· κεῖνος ὁ λόγος ὃν οὐ διείλεκται αὐτὸν ὁ ὀντωτής· ἐν ἀκρασίᾳ διείλεκται αὐτὸν ὁ προφήτης, οὐ πτήξεις ἀπ' αὐτοῦ.

XIX. [1] Ἐπὰν ὀλέσειεν ὁ ὀντωτὴς ὁ Θεός σου τὰ ἔϑνη ὧνπερ ὁ ὀντωτὴς ὁ Θεός σου δίδωσί σοι τὴν γῆν αὐτῶν, κληρώσαιό τ'

---

11. (ζητῶν) ἐγγαστρίμυϑον? 12. ὀντωτοῦ] ὀντωτῇ c. cod. ed. 14. σοὶ] σὺ nescio quo jure Amm. substituerit. 16. ἤρησας] immo ᾔτησας (הִשְׁאַלְתָּ). Cf. Prov. XXX, 7. Eccl. II, 10. 17. διελεγμένοι c. cd. ed. 19. δ' ὁ ἀνὴρ cod. Ed. ὁ om. 20. διαλέξαιτο c. cd. ed. 22. ὃν οὐ] οὐ ipsi addidimus. Cf. v. 21.

αὐτὴν καὶ καϑεσϑείης ἐν ταῖς πόλεσιν αὐτῶν κἀν τοῖς οἴκοις αὐτῶν· [2] τρεῖς πόλεις ἀφοριεῖς σαυτῷ μέσον τῆς γῆς σου ἣν ὁ ὀντωτὴς ὁ ϑεός σου δίδωσί σοι ὡς κληρῷο ταύτην· [3] ἑτοιμάσεις σαυτοῦ τὴν ὁδὸν καὶ τριττεύσεις τὸν ὅρον τῆς γῆς σου ἣν κληρώσει σοι ὁ ὀντωτὴς ὁ ϑεός σου, τελέσει τε φεύγειν ἐκεῖσε πάντα φονέα. [4] οὗτος δ' ὁ λόγος τοῦ φονέως ὃς φεύξεται ἐκεῖσε καὶ ζήσεται· ὃς βαλεῖ τὸν ἑταῖρον ἑαυτοῦ ἐν ἀγνοίᾳ, καίτοι κεῖνος οὐκ ἐμίσει αὐτὸν ἀπὸ χϑὲς πρότριτα· [5] καὶ ὃς ἐλεύσεται σὺν τῷ ἑταίρῳ οἱ ἐν τῷ δρυμῷ κόπτειν ξύλα, καὶ ὠσϑήσεται ἡ χεὶρ αὐτοῦ ἐν τῇ ἀξίνῃ τέμνειν τὸ ξύλον, ἐξαρϑήσεται δὲ ὁ σίδηρος ἀπὸ τοῦ ξύλου καὶ εὑρήσει τὸν ἑταῖρον αὐτοῦ, καὶ ϑανεῖται· ἐκεῖνος φεύξεται πρὸς μίαν τῶν πόλεων τούτων καὶ ζήσεται· [6] μήποτε καταδιώξειεν ὁ ῥύστης τοῦ αἵματος κατόπιν τοῦ φονέως, ὅτι ϑερμανϑείη ἡ καρδία οἱ, φϑάσειέ τ' αὐτὸν ὅτι πλεονάσει ἡ ὁδὸς, βάλοι τ' ἐκεῖνον τὴν ψυχήν· καίτοι κείνῳ οὐκ ἔστι κρίσις ϑανάτου, οὐ γὰρ μισῶν τυγχάνει αὐτὸν ἀπὸ χϑὲς πρότριτα. [7] διόπερ ἐγὼ κελεύω σὸι τῷ φάσκειν· τρεῖς πόλεις ἀφοριεῖς σαυτῷ. [8] ἣν δὲ πλατύνῃ ὁ ὀντωτὴς ὁ ϑεός σου τὸν ὅρον σου καϑάπερ ὤμοσε τοῖς πατράσι σου, καὶ δῷ σοι ξύμπασαν τὴν γῆν ἣν διείλεκται δοῦναι τοῖς πατράσι σου, [9] ἐπεὶ τηρήσεις ξύμπασαν τὴν κέλευσιν ταύτην ποιεῖν αὐτὴν, ἣν ἐγὼ κελεύω σοι τήμερον, ὡς ἀγαποίης τὸν ὀντωτὴν τὸν ϑεόν σου καὶ πορεύοιο ἐν ταῖς ὁδοῖς αὐτοῦ πάσαις ταῖς ἡμέραις· προσϑήσεις τε σαυτῷ ἔτι τρεῖς πόλεις πρὸς ταῖς τρισὶ ταύταις· [10] καὶ οὐ χεϑήσεται αἷμα ἀϑῷον μέσον τῆς γῆς σου ἣν ὁ ὀντωτὴς ὁ ϑεός σου παρέχει σοι κλῆρον, τελέσει τ' ἐπὶ σοῦ αἵματα.

[11] Ἐπὰν δὲ τελέσειεν ἀνὴρ μισῶν τὸν ἑταῖρον ἑαυτοῦ, καὶ ἐνεδρεύσειεν αὐτῷ ἐγερϑείη τε κατ' αὐτοῦ καὶ βάλοι αὐτὸν τὴν ψυχὴν, καὶ τεϑναίη, φεύξοιτο δὲ πρὸς μίαν τῶν πόλεων τοῦ ϑεοῦ· [12] πέμψουσί τε οἱ γέροντες τῆς πόλεως αὐτοῦ καὶ λήψονται αὐτὸν ἐκεῖϑεν, δώσουσί τ' αὐτὸν ἐν χειρὶ τοῦ ῥύστου τοῦ αἵματος, καὶ τεϑνήξεται· [13] οὐ φείσεται ὁ ὀφϑαλμός σου ἐπ' αὐτοῦ· ἐξαρεῖς δὲ τὸ αἷμα τὸ ἀϑῷον ἀπ' Ἰσραέλου, χρηστόν τέ σοι.

XIX. 1. αὐτὴν] l. αὐτὰ (וִירִשְׁתָּם). καϑεσϑείη cod. et ed. 2. κληρῷο] cf. IX, 1. 3. σαυτῷ (לְךָ)? 4. ἀποχϑὲς cod. Item v. 6. Cf. IV, 42. 5. ὡσϑήσεσαι c. cd. ed. 6. ῥυστὴς c. cd. ed. Item v. 12 ῥυστοῦ pro ῥύστου 11. τοῦ ϑεοῦ] ita etiam IV, 42 הָאֵל reddidit. Cf. Sam. (האלה).

[14] Οὐκ ὀπισθοθετήσεις ὅρον ἑταίρου σου ὃν ὡρίσαντο οἱ πρότεροι ἐν τῇ κληρονομίᾳ σου, ἣν κληρώσῃ ἐν τῇ γῇ ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι κληροῦσθαι ταύτην.

[15] Οὐκ ἐγερεῖται μάρτυς εἷς ἐν ἀνδρὶ ἐν ὁτῳοῦν ἐγκλήματι ἡστινοσοῦν ἁμαρτίας, ἐν ὁτῳοῦν ἁμαρτήματι ὃ ἁμάρτοι· ἐπὶ στόματι δυοῖν μαρτύροιν ἢ ἐπὶ στόματι τριῶν μαρτύρων στήσεται λόγος. [16] ἐπὰν ἐγερθείη μάρτυς ἄδικος ἐν ἀνδρὶ ἀποκρίνασθαί οἱ ἐν αὐτῷ παράβασιν, [17] στήσονται τοίνυν ἄμφω τὼ ἄνδρε ὣ ἔχοιτον τὴν δίκην, ἐνώπιον τοῦ ὀντωτοῦ πρόσθεν τῶν ἱερέων καὶ τῶν κριτῶν οἳ τελέσουσιν ἐν ταῖς ἡμέραις ἐκείναις, [18] ζητήσουσί θ' οἱ κριταὶ καλῶς, ἰδοὺ γοῦν μάρτυς ψεύδους ἐμαρτύρησε, ψεῦδος ἀποκέκριται ἐν τῷ ἀδελφῷ οἱ· [19] ποιήσετε τοίνυν αὐτῷ καθάπερ ἐλογίσατο ποιῆσαι τῷ ἀδελφῷ οἱ, ἐξαρεῖς τε τὸν πονηρὸν ἐκ μέσου σου· [20] οἱ δὲ περίλοιποι ἀκούσονται καὶ πτήξουσιν, οὔτε προσθήσουσι ποιῆσαι ἔτι κατὰ τὸ χρῆμα τὸ πονηρὸν τουτὶ ἐν μέσῳ σου· [21] οὔτε φείσεται ὁ ὀφθαλμός σου ψυχῆς ἐν ψυχῇ, ὀφθαλμοῦ ἐν ὀφθαλμῷ, ὀδόντος ἐν ὀδόντι, χειρὸς ἐν χειρί, ποδὸς ἐν ποδί.

XX. [1] Ἐπὰν ἐξέλθοις εἰς πόλεμον κατὰ τῶν ἐχθρῶν σου καὶ ἴδοις ἵππον καὶ ὄχημα, λαὸν πλείω σοῦ, οὐ δείσεις ἀπ' αὐτῶν· ὁ γὰρ ὀντωτὴς ὁ θεός σου ξὺν σοί, ὁ ἀναγαγών σε ἐκ γῆς αἰγύπτου. [2] τελέσει τε κατὰ τὸ ἐγγίζειν ὑμᾶς πρὸς τὸν πόλεμον, ἐγγιεῖ θ' ὁ ἱερεὺς καὶ διαλέξεται πρὸς τὸν λεών, [3] ἐρεῖ τε πρὸς αὐτούς· ἄκουσον, ἰσραέλ· ὑμεῖς ἐγγίζετε τήμερον εἰς πόλεμον κατὰ τῶν ἐχθρῶν ὑμῶν· μὴ ἀπαλυνέσθω ἡ καρδία ὑμῶν, μὴ φοβεῖσθε καὶ μὴ ἐπείγεσθε καὶ μὴ τρέμετε ἀπὸ προσώπου σφῶν· [4] ὁ γὰρ ὀντωτὴς ὁ θεὸς ὑμῶν ὁ βαδίζων σὺν ὑμῖν πολεμεῖν ὑμῖν μετὰ τῶν ἐχθρῶν ὑμῶν εἰς τὸ σώζειν ὑμᾶς. [5] φήσουσί θ' οἱ κελευσταὶ πρὸς τὸν λεὼν τῷ φάναι· τίς ὁ ἀνὴρ ὃς ἐδείματο οἶκον καινόν, οὐ μὴν ἐνεκαίνισεν αὐτόν;

---

14. ὀπισθοτεθήσεις c. cd. ed. Cf. XXVII, 17. 15. ἡστινοσοῦν] εἱς τινοσοῦν cod. et ed. 16. ἀποκρίνασθαί οἱ] οἱ videtur expungendum (לַעֲנוֹת). Fort. in autographo ita ante correctionem scriptum erat, postea pro οἱ positum ἐν αὐτῷ (בּוֹ). Cf. Prol. I, 2, e. f. g. 17. ἔχοιτον, non ἐχοίτην, cod. Cf. Gen. II, 25. Exod. I, 18 cet. 18. γοῦν] γνῶ cod. et ed. ψεύδους] ους factum ex ος ἐμαρτύρησε] הֵעִיד (cf. Gen. XLIII, 3) pro הֵעַד? 21. ὀδόντος cod., non ὀδόντας ut ed.

XX. 1. τῶν ἐχθρῶν σου] אֹיְבֶיךָ (ita Sam. et plurimi edd. Hebr.) pro אֹיְבֶךָ. Item LXX. 4. μετὰ] nonne κατὰ? 5. Post καινὸν erasum videtur καὶ. Cf. Prol. l. c.

βαδιζέτω καὶ ὑποστρεφέτω εἰς τὸν οἶκον ἑαυτοῦ, μήπως ἀποθάνη ἐν τῷ πολέμῳ καὶ ἀνὴρ ἕτερος ἐγκαινίσῃ αὐτόν. [6] τίς θ' ὁ ἀνὴρ ὃς ἐφύτευσεν ἀμπελῶνα καὶ οὐκ ἐβεβήλωσεν αὐτόν; ἀπίτω καὶ στραφήτω εἰς τὸν οἶκον αὐτοῦ, μήπως ἀποθάνη ἐν τῷ πολέμῳ καὶ ἀνὴρ ἕτερος βεβηλώσῃ αὐτόν. [7] τίς θ' ὁ ἀνὴρ ὃς ἐμνηστεύσατο γυναῖκα καὶ οὐκ ἔλαβε ταύτην; ἀπίτω καὶ ὑποστρεφέτω οἴκαδ' ἑαυτοῦ, μήποτ' ἀποθάνη ἐν τῷ πολέμῳ καὶ ἀνὴρ ἕτερος λάβῃ ταύτην. [8] προσθήσουσί θ' οἱ πράκτορες διαλέγεσθαι πρὸς τὸν λεὼν ἐροῦσί τε· τίς ὁ ἀνὴρ ὁ δεδιὼς καὶ ἁπαλὸς τὴν καρδίαν; ἀπίτω καὶ ὑποστρεφέτω οἴκαδέ οἱ, καὶ οὐ παραλύσει τὴν καρδίαν τῶν ἀδελφῶν ἑαυτοῦ κατὰ τὴν καρδίαν ἑαυτοῦ. [9] τελέσει τε κατὰ τὸ τελευτᾶν τοὺς πράκτορας διαλεγομένους πρὸς τὸν λεών, ἐπισκέψονταί θ' οἱ στρατηγοὶ ἐν κεφαλῇ τὸν λεών.

[10] Ἐπὰν ἐγγίσειας πρὸς πόλιν ὡς πολεμοίης κατ' αὐτῆς, βοήσεις οὖν πρὸς αὐτὴν εἰς εἰρήνην· [11] τελέσει τ' εἴπερ εἰρήνην ἀποκρίνοιτό σοι καὶ ἀναπετάσειέ σοι, τελέσει τοίνυν πᾶς ὁ λεὼς ὁ εὑρισκόμενος ἐν αὐτῇ τελέσουσί σοι εἰς φόρον καὶ δουλεύσουσί σοι· [12] εἰ δ' οὐκ εἰρηνεύσειε ξὺν σοί, ποιήσει δὲ ξὺν σοὶ πόλεμον, στενώσεις τοίνυν κατ' αὐτῆς, [13] δώσει τ' αὐτὴν ὁ ὀντωτὴς ὁ θεός σου ἐν χειρί σοι, καὶ βαλεῖς ξύμπασαν τὴν ἀρρενότητα ταύτης στόματι ξίφους· [14] μόνον τὰς γυναῖκας καὶ τὸ νήπιον καὶ τὸ κτῆνος, πᾶν θ' ὅπερ τελέσειεν ἐν τῇ πόλει, πᾶσαν λείαν ληΐσῃ σαυτῷ, καὶ ἔδῃ τὴν λείαν τῶν ἐχθρῶν σου ἣν ἔδωκεν ὁ ὀντωτὴς ὁ θεός σου σοί. [15] τῇδε ποιήσεις πάσαις ταῖς πόλεσι ταῖς πόρρω οὔσαις ἀπὸ σοῦ λίαν, ταῖς οὐκ ἀπὸ τῶν πόλεων τῶν ἐθνῶν τούτων ἐνταῦθα· [16] μόνον ἀπὸ τῶν πόλεων τῶν λεῶν τούτων, ἃς ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι κλῆρον, οὐ ζωώσεις ἡντιναοῦν πνοήν· [17] τῷ γὰρ ὀλοθρεύειν ὀλοθρεύσεις αὐτούς, τὸν ἡταῖον τόν τ' ἐμόριον, τὸν κεναανίτην τόν τε περεζαῖον, τὸν ἡυαῖον καὶ τὸν ἰεβουξίτην, καθάπερ ἐκέλευσέ σοι ὁ ὀντωτὴς ὁ θεός σου· [18] ἵνα μὴ διδάξωσιν ὑμᾶς ποιεῖν κατὰ πάντα τὰ μύση σφῶν ἅπερ ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ ἁμάρτητε τῷ ὀντωτῇ τῷ θεῷ ὑμῶν.

---

5. τὸν οἶκον cod. Ed. τὸν om. ἀποθάνοι c. ed. ed. 7. οἴκαδε αὐτοῦ c. ed. ed. 10. αὐτὴν cod., non αὐτοὺς ut ed. 17. ἡταῖον cod. Cf. VII, 1. Num. XIII, 29. περεξαῖον (sic) cod., non περιξ. ut ed. Cf. Gen. XIII, 7. XV, 20 cet. ἡναῖον (sic) cod., non εὐαῖον ut ed. Cf. VII, 1. ἐκέλευσέ σοι] ἐκέλευσε γὰρ cod. et ed.

[19] Ἐπὰν στενώσειας πρὸς πόλιν ἡμέραις πολλαῖς, ὡς πολεμοίης κατ' αὐτῆς ὥστε συσχεῖν αὐτήν, οὐ φθερεῖς τὸ ξύλον αὐτῆς τῷ ἐλᾶν κατ' αὐτῆς πέλεκυν· ἀπ' ἐκείνου γὰρ ἔδῃ, κεῖνο γοῦν οὐ τεμεῖς· ἐπεὶ ἆρ' ἄνθρωπος τὸ ξύλον τοῦ ἀγροῦ ὡς ἀφίκοιτο ἀπὸ προσώπου σου εἰς τὴν πολιορκίαν; [20] μόνον ξύλον ὅπερ εἴσῃ ὅτι οὐ ξύλον βρώματός ἐστιν, αὐτὸ φθερεῖς, τεμεῖς τε καὶ δομήσῃ πολιόρκημα κατὰ τῆς πόλεως ἥπερ τυγχάνει ποιοῦσα ξὺν σοὶ πόλεμον, ἄχρι τοῦ δεσπόσαι ταύτης.

XXI. [1] Ἐπὰν εὑρεθείη πεφονευμένος ἐν τῇ γῇ ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι ὡς κληρῷο ταύτην, πεπτωκὼς ἐν τῷ ἀγρῷ, μὴ ἐγνωσμένου τίς ἔπληξεν αὐτόν· [2] τοίνυν ἐξελεύσονται γέροντές σου καὶ κριταί σου καὶ μετρήσουσι πρὸς τὰς πόλεις τὰς κύκλῳ τοῦ πεφονευμένου· [3] τελέσει δ' ἡ πόλις ἡ ἐγγίζουσα πρὸς τὸν πεφονευμένον, λήψονται οἱ γέροντες τῆς πόλεως ἐκείνης δάμαλιν βουκολίου ἥπερ οὐχ ὑπηρετήθη ἐν αὐτῇ, ἥτις οὐχ εἵλκυσεν ἐν ζυγῷ, [4] κατάξουσί δ' οἱ γέροντες τῆς πόλεως ἐκείνης τὴν δάμαλιν εἰς χειμάρρουν κραταιόν, ᾧπερ οὐκ ἐργασθήσεται ἐν αὐτῷ οὔτε σπαρήσεται, τραχηλιοῦσί τ' ἐκεῖ τὴν δάμαλιν ἐν τῷ χειμάρρῳ· [5] πλησιάσουσι δ' οἱ ἱερεῖς οἱ υἱεῖς τοῦ λευῖνος, ἐν ἐκείνοις γὰρ εἵλετο ὁ ὀντωτὴς ὁ θεός σου ὑπηρετεῖν αὐτῷ καὶ εὐλογεῖν ἐν ὀνόματι τοῦ ὀντωτοῦ, κἀπὶ τῷ στόματι σφῶν τελέσει πᾶσα δικασία πᾶσά θ' ἀφή· [6] πάντες δ' οἱ γέροντες τῆς πόλεως ἐκείνης οἱ ἐγγίζοντες πρὸς τὸν πεφονευμένον νίψουσι τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς δαμάλεως τῆς τετραχηλισμένης ἐν τῷ χειμάρρῳ, [7] καὶ ἀποκρινοῦνται καὶ ἐροῦσιν· αἱ χεῖρες ἡμῶν οὐκ ἔχεαν τὸ αἷμα τουτὶ καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐ τεθέανται· [8] σύγγνωθι τῷ λεῷ σου τῷ ἰσραέλῳ ὃν ἐρρύσω, ὀντωτά, καὶ μὴ δῷς αἷμα ἀθῷον μέσον τοῦ λεώ σου τοῦ ἰσραέλου. καὶ συγγνωσθήσεται σφίσι τὸ αἷμα. [9] σύ τ' ἐξαρεῖς τὸ αἷμα τὸ ἀθῷον μέσοθέν σου, ἐπεὶ ποιήσεις τὸ εὐθὲς ἐν ὄμμασι τοῦ ὀντωτοῦ.

(μερίς) [10] Ἐπὰν ἐξέλθοις εἰς πόλεμον κατὰ τῶν ἐχθρῶν σου, δοίη τ' αὐτὸν ὁ ὀντωτὴς ὁ θεός σου ἐν χερσί σοι, σκυλεύσειάς τε

---

19. αὐτῆς (1)] αὐτῶν cod. αὐτὴν cod., non αὐτοὺς ut ed. κατ' αὐτὸ?
XXI. 1. κληρῷο] sic cod. Cf. IX, 1. πέπτωκα (non „πεπτωκ cum litura syllabae finalis" ut relatum erat Ammonio) cod. 3. καὶ λήψ. c. cd. ed. εἵλκυσεν cod., non ἧλκ. ut ed. 4. ἐργαθήσεται cod. et ed. 5. ἀφῇ cod. 8. ἐρρύσω, non εἰρύσω, cod.

τὰ σκύλα οἱ· [11]ἴδοις δ' ἐν τῇ σκυλεύσει γυναῖκα εὐειδῆ καὶ ἐπιθυμήσειας αὐτῆς λάβοις τ' αὐτὴν εἰς γυναῖκα, [12]τοίνυν ἄξεις αὐτὴν πρὸς τὰ μέσον τοῦ οἴκου σου, καὶ ξυρεῖ τὴν κεφαλὴν ἑαυτῆς ποιήσει τε τοὺς ὄνυχας ἑαυτῆς, [13]καὶ ἀφελεῖται τὴν ἀναβολὴν τῆς σκυλεύσεως ἄνωθεν ἑαυτῆς, καθεδεῖταί τ' οἴκοι σοι καὶ κλαύσεται τὸν πατέρα ἑαυτῆς καὶ τὴν μητέρα ἑαυτῆς μηνὸς ἡμέραις· μετὰ δὲ ταῦτα ἐλεύσῃ πρὸς αὐτὴν καὶ δεσπόσεις ταύτης, τελέσει τέ σοι εἰς γυναῖκα. [14]τελέσει δ' εἴπερ οὐκ ἠθέλησας ἐς αὐτήν, πέμψεις οὖν αὐτὴν ἐς ψυχὴν αὐτῆς· τῷ δ' ἀπεμπολεῖν οὐκ ἀπεμπολήσεις αὐτὴν ἐν ἀργύρῳ· οὐχ ὑπηρετηθήσῃ ἐν αὐτῇ, ἀνθῶν ἐταπείνωσας ταύτην. [15]Ἐπὰν τελέσοιτον ἀνδρὶ δύο γυναῖκε, ἡ μία πεφιλημένη καὶ ἡ ἑτέρα μεμισημένη, τέξοιτον δέ οἱ υἱέας ἡ πεφιλημένη καὶ ἡ μεμισημένη, τελέσει θ' ὁ υἱεὺς ὁ πρωτότοκος τῆς μεμισημένης· [16]ὑπάρξει τοίνυν ἐν τῇ ἡμέρᾳ τοῦ κληροῦν αὐτὸν τοὺς υἱέας αὐτοῦ τοὺς ὑπάρξαντας αὐτῷ, οὐχ ἕξει πρωτοτοκίσαι τὸν υἱὸν τῆς πεφιλημένης ἐπὶ προσώπου τοῦ υἱέως τῆς μεμισημένης τοῦ πρωτοτόκου· [17]τὸν γὰρ πρωτότοκον υἱὸν τῆς μεμισημένης ἐπιγνώσεται δοῦναί οἱ στόμα δυοῖν ἐν παντὶ ὅπερ εὑρεθείη αὐτῷ, καὶ γὰρ ἐκεῖνος ἀρχὴ τῆς ἰσχύος αὐτοῦ, κείνῳ κρίσις τῆς πρωτοτοκίας. [18]Ἐπὰν τελέσειεν ἀνδρὶ υἱεὺς παραβάτης ἀντάρτης τε, οὐχ ὑπακούων αὐτὸς τῇ φωνῇ τοῦ πατρὸς αὐτοῦ καὶ τῇ φωνῇ τῆς μητρὸς αὐτοῦ, παιδεύοιτον δ' αὐτὸν καὶ οὐχ ὑπακούοι σφοῖν, [19]ἐπιλήψαιτον τοίνυν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἐξάξοιτον αὐτὸν πρὸς τοὺς πρεσβύτας τῆς πόλεως αὐτοῦ καὶ πρὸς τὴν πύλην τοῦ τόπου αὐτοῦ, [20]φήσετόν τε πρὸς τοὺς πρεσβύτας τῆς πόλεως αὐτοῦ· ὁ υἱεὺς νῷν οὗτος παραβάτης καὶ ἀντάρτης, οὐ τυγχάνει ὑπακούων τῇ φωνῇ ἡμῶν, κρεωβόρος καὶ μεθύων. [21]λεύσουσιν οὖν αὐτὸν πάντες οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ ἐν λίθοις, καὶ τεθνήξεται· καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐκ μέσου σου, πᾶς τ' ἰσραέλος ἀκούσονται καὶ πτήξουσιν. [22]Ἐπὰν δὲ

---

12. τὸ (μέσον) c. cd. ed. 13. σκυλεύσεως ἑαυτῆς c. cd. ed. At ita fort. restituendum (שִׁבְיָהּ). 14. αὐτὴν (1)] αὐλὴν cod. πέμψει cod. et ed. ἀνθῶν] cf. Gen. XXII, 16. 18. 15. τελέσοιτον, non τελεσοίτην, cod. Item τέξοιτον, non τεξοίτην. Cf. v. 18 sq. 16. αὐτὸν] αὐτὴν cod. et ed. 19. ἐπιλήψαιτον cod., non ἐπιλήψονται ut ed. Cf. Morell. Bibl. Manuscr. p. 13. 20. ἡμῶν cod., non ὑμῶν ut ed.

τελέσειεν ἐν ἀνδρὶ ἁμαρτία κρίσεως θανάτου, θανατωθείη τε, καὶ ἀρτήσειας αὐτὸν ἐπὶ ξύλου· [23] οὐ μενεῖ ὁ νεκρὸς αὐτοῦ ἐπὶ τοῦ ξύλου, τῷ γὰρ θάπτειν θάψεις αὐτὸν ἐν τῇ ἡμέρᾳ κείνῃ· βλασφημία γὰρ θεοῦ ὁ ἠρτημένος, οὔκουν μιανεῖς τὴν γῆν σου ἣν ὁ ὀντωτὴς ὁ θεός σου δίδωσί σοι εἰς κλῆρον.

XXII. [1] Οὐκ ὄψει τὸν βοῦν τοῦ ἀδελφοῦ σου ἢ τὸ ἀρνίον αὐτοῦ ἀπωσμένα καὶ καλυφθήσῃ ἀπ' αὐτῶν· τῷ ἀποστρέφειν ἀποστρέψεις τῷ ἀδελφῷ σου. [2] εἰ δὲ μὴ ἔστ' ἐγγὺς ὁ ἀδελφός σου πρὸς σὲ οὔτ' οἶσθά ἑ, τοίνυν ἀνάξεις αὐτὸ πρὸς τὰ μέσον τοῦ δόμου σου, τελέσει τε παρὰ σοὶ μέχρι τοῦ ζητῆσαι τὸν ἀδελφόν σου αὐτὸ, καὶ ἀποδώσεις αὐτῷ. [3] τῇδέ τε ποιήσεις τῷ ὄνῳ οἱ, τῇδέ τε ποιήσεις τῷ περιβολαίῳ οἱ, καὶ τῇδε ποιήσεις πάσῃ τῇ ἀπωλείᾳ τοῦ ἀδελφοῦ σου ἣ ἀπολεῖται ἀπ' αὐτοῦ καὶ εὑρήσεις αὐτήν· οὐ δυνήσῃ καλύπτεσθαι. [4] Οὐκ ὄψει τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν βοῦν αὐτοῦ πίπτοντας ἐν τῇ ὁδῷ καὶ καλυφθήσῃ ἀπ' αὐτῶν· τῷ ἐγείρειν ἐγερεῖς ξὺν αὐτῷ.

[5] Οὐχ ὑπάρξει σκεῦος ἀνδρὸς ἐπὶ γυναικὸς οὔτε περιβαλεῖται ἀνὴρ περιβόλαιον γυναικός· μύσος γὰρ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου πᾶς ποιῶν ταῦτα.

[6] Ἐπὰν συναντήσειε καλιὰ ὄρνιθος πρόσθεν σου ἐν τῇ ὁδῷ ἐν ὁτῳοῦν ξύλῳ ἢ ἐπὶ τῆς γῆς, νεοττοὶ ἢ ᾠὰ, καὶ ἡ μήτηρ σηκουμένη ἐπὶ τῶν νεοττῶν ἢ ἐπὶ τῶν ᾠῶν· οὐ λήψῃ τὴν μητέρα πρὸς τοῖς τέκνοις· [7] τῷ πέμπειν πέμψεις τὴν μητέρα, τὰ δὲ τέκνα λήψῃ σαυτῷ, ὡς ἀγαθύνοι σοι καὶ μηκύνοις ἡμέρας.

[8] Ἐπὰν δομήσαιο δόμον καινὸν, ποιήσεις οὖν θριγγὸν τῷ ἐξωστῴῳ σου, καὶ οὐ θήσεις αἵματα ἐν τῷ δόμῳ σου, πεσεῖται γὰρ ὁ πίπτων ἀπ' αὐτοῦ. [9] Οὐ σπερεῖς τὸν ἀμπελῶνά σου διάφορα, μήποθ' ἁγιάσῃς τὴν πλήρωσιν τοῦ σπέρματος ὃ σπερεῖς καὶ τὴν εἰσφορὰν τοῦ ἀμπελῶνος.

[10] Οὐκ ἀρόσεις ἐν βοῒ κὰν ὄνῳ ἅμα.

[11] Οὐ περιβαλῇ διαφοροειδὲς, ἐρίου καὶ λίνου ἅμα.

---

22. ἁμαρτία ἁμαρτία invito codice ed. 23. βλασφημεία c. cd. ed.

XXII. 1. τῷ] τοῦ cod. et ed. Cf. v. 4. 7. XI, 13. XV, 5 cet. ἀποστρέψεις] suff. om. (תְּשִׁיבֵם). Item v. sq. (וַהֲשֵׁבֹתוֹ κ. ἀποδώσεις). 2. πρὸς τὰμέσον cod. Cf. XXI, 12. Num. XVII, 12. 7. μηκύνης c. cd. ed. 9. ἁγιάσῃς] quasi תַּקְדִּישׁ (ita Sam.) scriptum esset, non תִּקְדַּשׁ. Cf. XV, 19. 11. περιβαλεῖς corr. περιβαλῇ cod., non περιβαλῇς ut Mor. (Bibl. Manuscr.) legit.

[12] Κροσσοὺς ποιήσεις σαυτῷ ἐπὶ τῶν τεττάρων κρασπέδων τοῦ σκεπάσματός σου ᾧ σκεπασϑήσῃ ἐν αὐτῷ.

[13] Ἐπὰν λάβοι ἀνὴρ γυναῖκα ἀφίκοι τε πρὸς αὐτὴν, καὶ μισήσειεν αὐτὴν, [14] ϑείη τ' αὐτῇ αἰτίαν λόγων ἐξενέγκαι τε κατ' αὐτῆς ὄνομα φαῦλον φαίη τε· τὴν γυναῖκα ταύτην ἔλαβον, ἤγγισά τε πρὸς αὐτὴν καὶ οὐχ εὗρον αὐτῇ παρϑένια· [15] λήψεται γοῦν ὁ πατὴρ τῆς νέας καὶ ἡ μήτηρ αὐτῆς, ἐξοίσουσί τε τὰ παρϑένια τῆς νέας πρὸς τοὺς πρεσβύτας τῆς πόλεως ἐς τὴν πύλην, [16] φήσει ϑ' ὁ πατὴρ τῆς νέας πρὸς τοὺς πρεσβύτας· τὴν ϑυγατέρα μου ἔδωκα τῷ ἀνδρὶ τῳδὶ εἰς γυναῖκα, καὶ ἐμίσησεν αὐτήν· [17] αὐτίκα τοίνυν αὐτὸς τίϑησιν αἰτίαν λόγων τῷ φάσκειν· οὐχ εὗρον τῇ ϑυγατρί σου παρϑένια· ταυτὶ δὲ τὰ παρϑένια τῆς ϑυγατρός μου. τοίνυν ἐκτενοῦσι τὸ ἱμάτιον ἐνώπιον τῶν πρεσβυτῶν τῆς πόλεως, [18] λήψονται δ' οἱ πρεσβύται τῆς πόλεως ἐκείνης τὸν ἄνδρα παιδεύσουσί τ' αὐτὸν, [19] καὶ ζημιώσουσιν αὐτὸν ἑκατὸν ἀργυροῦς, δώσουσί τε τῷ πατρὶ τῆς νέας, ἐπεὶ ἐξήνεγκεν ὄνομα φαῦλον κατὰ παρϑένου τοῦ ἰσραέλου· κἀκείνῳ τελέσει ἐς γυναῖκα, οὐχ ἕξει πέμπειν αὐτὴν πάσαις ταῖς ἡμέραις αὐτοῦ.

[20] Εἰ δ' ἀλήϑεια ὑπῆρξεν ὁ λόγος ὁδὶ, οὐχ εὕρηνται παρϑένια τῇ νέᾳ· [21] τοίνυν ἐξάξουσι τὴν παῖδα πρὸς τὴν πύλην τοῦ δόμου τοῦ πατρὸς αὐτῆς, λεύσουσί τ' αὐτὴν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς ἐν λίϑοις, καὶ τεϑνήξεται· καὶ γὰρ ἐποίησεν ἀφροσύνην ἐν ἰσραέλῳ τῷ πορνεύειν οἴκοι τοῦ πατρὸς αὐτῆς· ἐξαρεῖς οὖν τὸ πονηρὸν μέσοϑέν σου.

[22] Ἐπὰν εὑρεϑείη ἀνὴρ ἀνακλινόμενος σὺν γυναικὶ δεσποσϑείσῃ ἀνδρὶ, τεϑνηκέτωσαν οὖν καὶ ἄμφω σφὼ, ὁ ἀνὴρ ὁ ἀνακλινόμενος ξὺν τῇ γυναικὶ καὶ ἡ γυνή· καὶ ἐξαρεῖς τὸ φαῦλον ἀπ' ἰσραέλου.

[23] Ἐπὰν τελέσειε παῖς παρϑένος μεμνηστευμένη ἀνδρὶ, εὕροι δ' αὐτὴν ἀνὴρ ἐν τῇ πόλει, καὶ κατασχὼν αὐτὴν ἀνακλιϑείη σὺν αὐτῇ· [24] τοιγαροῦν ἐξάξετε ἄμφω σφὼ πρὸς τὴν πύλην τῆς πόλεως ἐκείνης καὶ λεύσετε σφὼ ἐν λίϑοις, καὶ τεϑνήξεσϑον· τὴν παῖδα ἐπὶ λόγῳ ᾧ οὐκ ἐβόησεν ἐν τῇ πόλει, καὶ τὸν ἄνδρα ἐπὶ λόγῳ ᾧ

21. αὐτῆς (l. 3)] αὐτῶν cod. 22. δεσποϑείσῃ c. cd. ed. Cf. not. ad XXI, 4. 23. κατασχὼν αὐτὴν] nihil his verbis in textu Hebraico respondet. Videntur ex v. 28 (וּתְפָשָׂהּ) fluxisse. ἀνακληϑείη cod. et ed.

ἐταπείνωσε τὴν γυναῖκα τοῦ ἑταίρου οἱ· καὶ ἐξαρεῖς τὸ φαῦλον ἐκ μέσου σου. [25] Εἰ δ' ἐν ἀγρῷ εὕροι ο ἀνὴρ τὴν παῖδα τὴν μεμνηστευμένην, δράξαιτό τ' αὐτῆς ὁ ἀνὴρ καὶ ἀνακλιθείη σὺν αὐτῇ· τοίνυν τεθνήξεται ὁ ἀνὴρ ὅς ἀνακέκλιται σὺν αὐτῇ, μόνος, [26] τῇ δὲ νέᾳ οὐ ποιήσεις πρᾶγμα· ἥκιστα τῇ νέᾳ ἁμαρτία θανάτου· ὡς γὰρ ἀνασταίη ἀνὴρ κατὰ τοῦ ἑταίρου οἱ καὶ φονεύσειεν αὐτὸν ψυχήν, τῇδε τὸ χρῆμα τουτί. [27] καὶ γὰρ ἐν τῷ ἀγρῷ εὗρεν αὐτήν· ἐβόησεν ἡ παῖς ἡ μεμνηστευμένη, καὶ ἥκιστα ὁ σώζων αὐτῇ. [28] Ἐπὰν εὕροι ἀνὴρ νέαν παρθένον ἥτις οὐ μεμνήστευται, κατάσχοι δ' αὐτὴν ἀνακλιθείη τε σὺν αὐτῇ, καὶ εὑρεθειήτην· [29] δώσει τοίνυν ὁ ἀνὴρ ὁ ἀνακλιθεὶς σὺν αὐτῇ τῷ πατρὶ τῆς παιδὸς πεντήκοντα ἀργυροῦς, κἀκείνῳ τελέσει εἰς γυναῖκα, ἀνθῶν ἐταπείνωσεν αὐτήν· οὐχ ἕξει πέμπειν αὐτὴν πάσαις ταῖς ἡμέραις αὐτοῦ.

XXIII. [1] Οὐ λήψεται ἀνὴρ τὴν γυναῖκα τοῦ πατρὸς αὐτοῦ οὔτ' ἀποκαλύψει τὸ κράσπεδον τοῦ πατρὸς αὐτοῦ.

[2] Οὐκ ἐλεύσεται τομίας, θλαδίας καὶ τετμημένος τὴν οὐρήθραν εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ.

[3] Οὐκ ἐλεύσεται νόθος εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ, καίτοι γενεὰ δεκάτη οὐκ ἐλεύσεταί οἱ εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ.

[4] Οὐκ ἐλεύσεται ἀμωνίτης καὶ μωαβίτης εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ· ἔτι γενεὰ δεκάτη οὐκ ἐλεύσεται σφίσιν εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ μέχρις αἰῶνος, [5] ἐπὶ τῷ λόγῳ ᾧ οὐ προὔλαβον ὑμᾶς ἐν ἄρτῳ κἀν ὕδατι ἐν τῇ ὁδῷ ἐν τῷ ἐξιέναι ὑμᾶς ἀπ' αἰγύπτου, καὶ ᾧπερ ἐμισθώσατο κατὰ σοῦ τὸν βιλεάμην τὸν υἱὸν τοῦ βεῶρος ἀπὸ πεδῶρος ἀράμου τῶν ποταμῶν βλασφημῆσαί σε· [6] καὶ οὐκ ἠθέλησεν ὁ ὀντωτὴς ὁ θεός σου ἀκοῦσαι πρὸς βιλεάμην, μετέστρεψε δ' ὁ ὀντωτὴς ὁ θεός σου σοὶ τὴν βλασφημίαν εἰς εὐλογίαν· ἐφίλησε γάρ σε ὁ ὀντωτὴς ὁ θεός σου. [7] Οὐ ζητήσεις εἰρήνην αὐτῶν καὶ χρηστότητα σφῶν πάσαις ταῖς ἡμέραις σου ἐς αἰῶνα. [8] Οὐ μυσάξῃ ἐδωμίτην, ἀδελφὸς γάρ σού ἐστιν· οὐ μυσάξῃ αἰγύπτιον, πάροικος γὰρ ἐτέ-

---

25. αὐτῇ (1)] αὐτῷ cod. et ed. 28. εὑρεθειήτην cod., non εὑρεθείη ut ed. 29. ἀνθῶν] sic cod. Cf. XXI, 14.

XXIII. 5. πεδῶρος] l. πεθῶρος (פְּתוֹר). Cf. Num. XXII, 5. βλασφημῆσαι δὲ cod. Errorem jam Amm. sustulit. Cf. Prol. I, 3, a.

λεσας ἐν τῇ γῇ οἱ· [9] υἱεῖς οἳ γεννηθεῖεν αὐτοῖς, γενεὰ τρίτη, ἐλεύσονται σφίσιν εἰς ἐκκλησίαν τοῦ ὀντωτοῦ.

[10] Ἐπὰν ἐξέλθοις στρατόπεδον κατὰ τῶν ἐχθρῶν σου, τηρηθήσῃ γοῦν ἀπὸ παντὸς πράγματος φαύλου. [11] ἐπὰν τελέσειεν ἐν σοὶ ἀνὴρ ὃς οὐχ ὑπάρξει καθαρὸς συμβεβηκότι νυκτὸς, ἐξελεύσεται γοῦν πρὸς τὰ ἔξωθεν τοῦ στρατοπέδου, οὐκ ἐλεύσεται πρὸς τὰ μέσον τοῦ στρατοπέδου· [12] τελέσει τε τῷ κλίνειν ἑσπέραν λούσεται ἐν ὕδατι, κἀν τῷ δύνειν τὸν ἥλιον ἐλεύσεται πρὸς τὰ μέσον τοῦ στρατοπέδου. [13] χείρ θ' ὑπάρξει σοι ἔξωθεν τοῦ στρατοπέδου, καὶ ἐξελεύσῃ ἐκεῖσε θύραζε· [14] πάτταλός θ' ὑπάρξει σοι ἐπὶ τῆς ὁπλίσεώς σου· τελέσει τ' ἐν τῷ καθέζεσθαί σε ἔξω, ὀρύξεις τ' ἐν αὐτῷ καὶ ὑποστρέψεις καὶ καλύψεις τὸ ἔκβλημά σου. [15] ὁ γὰρ ὀντωτὴς ὁ θεός σου πορεύεται ἐν μέσῳ τοῦ στρατοπέδου σου, ὡς ἀπαλλάττοι σε καὶ ὡς διδοίη τοὺς ἐχθρούς σου πρόσθεν σου· τελέσει τοίνυν τὸ στρατόπεδόν σου ἅγιον, καὶ οὐκ ὄψεται ἐν σοὶ ἀσχημοσύνην πράγματος καὶ στραφήσεται πρὸς τῶν κατόπιν σου.

[16] Οὐ κλείσεις οἰκέτην πρὸς τὸν δεσπότην αὐτοῦ, ὃς ἀπηλλάγη πρὸς σὲ ἀπὸ τοῦ δεσπότου οἱ· [17] ξὺν σοὶ καθεδεῖται ἐν μέσῳ σου, ἐν τῷ τόπῳ ὃν ἑλεῖται ἐν μιᾷ τῶν πυλῶν σου, ἐν τῷ χρηστῷ οἱ· οὐκ ἀλγυνεῖς αὐτόν. [18] Οὐ χρηματιεῖ ἑταῖρα πρὸς τῶν θυγατέρων τοῦ ἰσραέλου, καὶ οὐχ ὑπάρξει ἑταιριστὴς πρὸς τῶν υἱέων τοῦ ἰσραέλου.

[19] Οὐκ ἄξεις δῶρον πόρνης ταὶ τίμημα κυνὸς οἴκαδε τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου ἡτινιοῦν εὐχῇ, μύσος γὰρ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου καὶ ἄμφω αὐτώ. [20] Οὐ τοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργύρου, τόκον βρώματος, τόκον οὑτινοσοῦν πράγματος ὃ τοκιεῖται· [21] τῷ ἀλλοτρίῳ τοκιεῖς, τῷ δ' ἀδελφῷ σου οὐ τοκιεῖς, ἵν' εὐλογήσῃ σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν πάσῃ ἀφέσει τῶν χειρῶν σου ἐπὶ τῆς γῆς ᾗ σὺ ἀφικνεῖ ἐκεῖσε κληροῦσθαι ταύτην. [22] Ἐπὰν εὔξαιο εὐχὴν τῷ ὀντωτῇ τῷ θεῷ σου, οὐκ ἀναβαλῇ ἀποτίσαι ταύτην· τῷ γὰρ ζητεῖν

---

12. κἀν τῷ δύνειν] וּבְבֹא (ita codd. Kenn. 19. 166) pro וּכְבֹא 13. ἐξελεύσει c. cd. ed. 14. ὁπλισέως cod. et ed. 15. ἀπαλλάτοι cod. Recte jam ed. στρατόπεδόν σου] מַחֲנֶיךָ text. rec.; sed י deest in multis codd. Kenn. et Ross. Assentiunt LXX. 18. ἑταῖρα, non ἑταίρα, cod. Cf. Prol. I, 4, c. ἑταιρηστὴς (non ἑταιρήστης ut Amm. ait) cod. 22. οὐχ ἀναβ. cod. et ed. ἀποτίσαι, non ἀποτῖσαι, cod. Cf. Prov. XXII, 27.

ζητήσει ταύτην ὁ ὀντωτὴς ὁ θεός σου πρὸς σοῦ, τελέσει τ' ἐν σοὶ ἁμαρτία· [23] ἐπὰν δὲ παύοιο τοῦ εὔχεσθαι, οὐχ ὑπάρξει ἐν σοὶ ἁμαρτία. [24] ἔκβλημα τῶν χειλῶν σου τηρήσεις, ποιήσεις τε καθάπερ ηὖξαι τῷ ὀντωτῇ τῷ θεῷ σου τὴν ἐλευθεριότητα ἣν διείλεξαι ἐν στόματί σου. [25] Ἐπὰν παραγένοιο εἰς ἀμπελῶνα ἑταίρου σου, φαγῇ τε βότρυς καταθυμίως σοι, κόρῳ σοι, πρὸς δὲ τὸ ἀγγεῖόν σου οὐ δώσεις.

[26] Ἐπὰν παραγένοιο εἰς λήϊον ἑταίρου σου, τεμεῖς τε ἀποτομὰς ἐν χειροῖν σου, δρεπάνην δὲ οὐχ ὑψώσεις ἐπὶ τοῦ ληΐου

XXIV. τοῦ ἑταίρου σου. [1] Ἐπὰν λάβοι ἀνὴρ γυναῖκα καὶ δεσπόσειεν αὐτῆς, τελέσει τοίνυν εἴπερ μὴ εὕροι χάριν ἐν ὄμμασιν αὐτοῦ ἐπεὶ εὗρεν ἐν αὐτῇ ἀσχημοσύνην πράγματος, γράψει τέ οἱ βιβλίον κοπῆς δώσει τ' ἐν τῇ χειρὶ ταύτης, καὶ πέμψει αὐτὴν ἀπὸ τοῦ οἴκου οἱ· [2] ἐξελεύσεταί τ' ἀπὸ τοῦ οἴκου οἱ καὶ ἀπελεύσεται, τελέσει τ' ἀνδρὶ ἑτέρῳ· [3] ἀλλὰ μισήσει αὐτὴν ὁ ἀνὴρ ὁ ὕστερος καὶ γράψει ταύτῃ βιβλίον τομῆς δώσει τ' ἐν τῇ χειρὶ ταύτης, πέμψει τ' αὐτὴν ἀπὸ τοῦ οἴκου οἱ· ἢ τεθνήξεται ὁ ἀνὴρ ὁ ὕστερος ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα· [4] οὐχ ἕξει ὁ ἀνὴρ αὐτῆς ὁ πρότερος ὃς ἔπεμψεν αὐτὴν, στραφῆναι λαβεῖν αὐτὴν ὥστ' εἶναί οἱ εἰς γυναῖκα, μεθάπερ μεμίασται· βδέλυγμα γάρ ἐστιν ἐνώπιον τοῦ ὀντωτοῦ, καὶ οὐχ ἁμαρτιώσεις τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι κλῆρον.

[5] Ἐπὰν λάβοι ἀνὴρ γυναῖκα καινὴν, οὐκ ἐξελεύσεται εἰς στρατείαν, οὐδὲ διαβήσεται ἐπ' αὐτοῦ εἰς ὁτιοῦν πρᾶγμα· ἀθῶος τελέσει τῷ οἴκῳ οἱ ἔτει ἑνὶ, χαιρήσει τε σὺν τῇ γυναικί οἱ ἣν ἔλαβεν.

[6] Οὐκ ἐνεχυράσεις μύλωνα καὶ μύλον· ψυχὴν γὰρ ἐκεῖνος ἐνεχυράζει. [7] Ἐπὰν εὑρεθείη ἀνὴρ ὑφαιρούμενος ψυχὴν πρὸς τῶν ἀδελφῶν αὐτοῦ, πρὸς τῶν υἱέων Ἰσραέλου, καὶ ὑπηρετηθείη ἐν αὐτῷ πράσειέ τ' αὐτὸν, τεθνήξεταί θ' ὁ κλέπτης ἐκεῖνος· καὶ ἐξαρεῖς τὸ πονηρὸν μέσοθέν σου.

---

25. φαγῇ] sic cod. Cf. XIV, 23 etc. 26. χειροῖν] cf. IX, 15. 17.
XXIV. 1. λάβοι cod., non λάβῃ ut ed. Item v. 5. δεσπόσει c. ed. ed. ἐν τῇ χειρὶ cod. Ed. τῇ om. 2. τ' ἀπὸ cod., non γ' ἀπὸ ut ed. 3. μισήσειεν c. ed. ed. ἢ τεθνήξεται] כִּי om. 4. μεμίανται cod. et ed. Cf. Num. V, 14. 27 sq. 5. χαιρήσει τε] וְשִׂמַּח (cf. Exod. IV, 14) pro וְשִׂמֵּחַ 6. οὐχ (ἐνεχ.) c. ed. ed. μύλωνα] sic cod. Cf. Exod. XI, 5.

[8]Τετήρησο ἐν τῇ ἀφῇ τῆς λέπρας φυλάττειν ἄγαν καὶ ποιεῖν κατὰ πάνϑ' ἅπερ διδάξουσιν ὑμᾶς οἱ ἱερεῖς οἱ λευίνοι· καϑάπερ ἐκέλευσα σφίσι φυλάττετε ποιεῖν.

[9]Μέμνησο ὧν ἐποίησεν ὁ ὀντωτὴς ὁ ϑεός σου τῇ μεριάμῃ ἐν τῇ ὁδῷ ἐν τῷ ἐξιέναι ὑμᾶς ἀπ' αἰγύπτου.

[10]Ἐπὰν δανείσειας τῷ ἑταίρῳ σου δάνειον ὁτιοῦν, οὐχ ἐλεύσῃ πρὸς τὸν οἶκον αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον αὐτοῦ· [11]ϑύρησι στῆϑι, καὶ ὁ ἀνὴρ ᾧπερ σὺ δανείζεις αὐτῷ ἐξοίσει πρὸς σὲ τὸ ἐνέχυρον ϑύραζε. [12]εἰ δ' ἀνὴρ πένης ἐστὶν, οὐκ ἀνακλινῇ ἐν τῷ ἐνεχύρῳ οἱ· [13]τῷ στρέφειν στρέψεις αὐτῷ τὸ ἐνέχυρον ἐν τῷ δύνειν τὸν ἥλιον, καὶ ἀνακλινεῖται ἐν τῷ περιβολαίῳ οἱ εὐλογήσει τέ σε, καὶ σοὶ τελέσει δικαιοσύνη ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου. [14]Οὐκ ἀποστερήσεις μίσϑιον πένητα καὶ πτωχὸν πρὸς τῶν ἀδελφῶν σου ἢ πρὸς τοῦ παροίκου σου τοῦ ἐν τῇ γῇ σου, ἐν ταῖς πύλαις σου· [15]ἐν τῇ ἡμέρᾳ αὐτοῦ δώσεις τὸν μισϑὸν αὐτοῦ, καὶ οὐ δύσεται ἐπ' αὐτοῦ ὁ ἥλιος· πένης γάρ ἐστι, καὶ πρὸς σὲ τυγχάνει αἴρων τὴν ψυχὴν ἑαυτοῦ· τοίνυν οὐ βοήσει κατὰ σοῦ πρὸς τὸν ὀντωτὴν, καὶ τελέσει ἐν σοὶ ἁμαρτία.

[16]Οὐ τεϑανατώσονται πατέρες ὑπὲρ υἱέων, υἱεῖς τ' οὐ τεϑανατώσονται ὑπὲρ πατέρων· ἕκαστος ἐν τῇ ἁμαρτίᾳ οἱ τεϑανατώσϑω. [17]Οὐ κλινεῖς κρίσιν παροίκου, ὀρφανοῦ, οὐδ' ἐνεχυράσεις ἱμάτιον χήρας· [18]μνησϑήσῃ δ' ὅτι δοῦλος ὑπῆρξας ἐν αἰγύπτῳ καὶ ἐλυτρώσατό σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἐκεῖϑεν· διόπερ ἐγὼ κελεύω σοι ποιεῖν τὸν λόγον τοῦτον.

[19]Ἐπὰν ἀμήσαις τὸν ἀμητόν σου ἐν τῷ ἀγρῷ καὶ ἐπιλήσαιο δράγματος ἐν τῷ ἀγρῷ, οὐχ ὑποστρέψεις λαβεῖν αὐτό· τῷ μετοίκῳ, τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ τελέσει, ὡς εὐλογήσειέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἐν παντὶ ἔργῳ χειρῶν σου.

[20]Ἐπὰν ῥαβδίσαις τὴν ἐλαίαν σου, οὐ φιλοκαλήσεις κατόπιν σου· τῷ ἐπήλυδι, τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ τελέσει.

---

9. τῷ (μεριάμῃ) c. cd. ed. 12. ἀνακλίνῃ c. cd. ed. 13. ἐν τῷ δύνειν (כְּבוֹא)] cf. XXIII, 12. 15. πρὸς σὲ] וְאֵלֶיךָ pro וְאֵלָיו 16. τεϑανατώσϑω] יוּמַת (ita Sam., cod. Kenn. 1, Ross. 16 ex corr.) pro יוּמָתוּ 19. ὁμήσαις — ἀμητόν] sic cod. Cf. Prol. I, 4, c. ἐν τῷ ἀγρῷ (1)] suff. om. (בְּשָׂדֶךָ). Nisi forte librarii culpa σου excidit. 20. χήρᾳ cod., non χείρᾳ ut ed.

[21] Ἐπὰν τρυγήσαις τὸν ἀμπελῶνά σου, οὐκ ἐπιφυλλιεῖς κατόπιν σου· τῷ ἐπήλυδι, τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ τελέσει· [22] μεμνήσῃ δ' ὅτι δοῦλος ὑπῆρξας ἐν γῇ αἰγύπτου· διόπερ ἐγὼ κελεύω σοι ποιεῖν τὸ πρᾶγμα τοῦτο.

XXV. [1] Ἐπὰν τελέσειε δικασία μέσον ἀνδρῶν, φθάσειάν τε πρὸς τὴν κρίσιν, κρίνοιέν τ' αὐτοὺς καὶ δικαιώσειαν τὸν δίκαιον καταδικάσειάν τε τὸν ὑπεύθυνον·

[2] Τελέσει τοίνυν εἴπερ υἱεὺς τοῦ τύπτεσθαι εἴη ὑπεύθυνος, ῥίψει τ' αὐτὸν ὁ κριτὴς καὶ τύψει αὐτὸν ἐνώπιον ἑαυτοῦ κατὰ τὸ ἀρκοῦν τῇ ἀσεβείᾳ οἱ ἐν ἀριθμῷ· [3] τετταράκοντα τύψει αὐτὸν, οὐ προσθήσει, μήποτε προσθῇ τύπτειν αὐτὸν πρὸς ταύταις τύψει πολλῇ, καὶ ἀτιμασθῇ ὁ ἀδελφός σου ἐνώπιόν σου.

[4] Οὐ φιμώσεις βοῦν ἐν τῷ ἀλοᾶν αὐτόν.

[5] Ἐπὰν καθέζοιντο ἀδελφοὶ ἅμα, τεθναίη θ' εἷς ἐξ αὐτῶν, υἱεὺς δ' ἥκιστά οἱ, οὐχ ὑπάρξει ἡ γυνὴ τοῦ τεθνηκότος τοῖς ἔξω ἀνδρὶ ἀλλοτρίῳ· ὁ ἀγχιστεύων αὐτῆς ἐλεύσεται ἐπ' αὐτῆς, λήψεταί τ' αὐτὴν ἑαυτῷ εἰς γυναῖκα καὶ ἀγχιστεύσει ταύτῃ· [6] τελέσει θ' ὁ πρωτότοκος ὃν τέξεται ἐγερεῖται ἐπὶ τῷ ὀνόματι τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ τεθνηκότος, οὔκουν ἀπαλειφθήσεται τοὔνομά οἱ ἐξ ἰσραέλου. [7] ἢν μέντοι μὴ ἐθελήσῃ ὁ ἀνὴρ λαβεῖν τὴν ἀγχιστεύουσαν αὐτοῦ, τοιγαροῦν ἀναβήσεται ἡ ἀγχιστεύουσά οἱ ἐς τὴν πύλην πρὸς τοὺς γέροντας ἐρεῖ τε· ἀπηνήνατο ὁ ἀγχιστεύων μοι ὡς ἐγείρειε τῷ ἀδελφῷ οἱ ὄνομα ἐν τῷ ἰσραέλῳ, οὐκ ἠθέλησεν ἀγχιστεῦσαί με. [8] καλέσουσιν οὖν αὐτὸν οἱ γέροντες τῆς πόλεως αὐτοῦ καὶ διαλέξονται πρὸς αὐτὸν, στήσεται δὲ καὶ φήσει· οὐ βεβούλημαι λαβεῖν αὐτήν. [9] ἐγγιεῖ τοίνυν ἡ ἀγχιστεύουσά οἱ πρὸς αὐτὸν ἐνώπιον τῶν πρεσβυτῶν, ὑπολύσει τέ ἑ τὸ ὑπόδημά οἱ ἄνωθεν τοῦ ποδὸς αὐτοῦ, πτύσει τ' εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἀποκρινεῖται καὶ φήσει· τῇδε πεποιήσεται τῷ ἀνδρὶ ὃς οὐ δομοῖτο τὸν δόμον τοῦ ἀδελφοῦ οἱ. [10] κληθήσεται τοίνυν τοὔνομά οἱ ἐν ἰσραέλῳ· οἶκος ὑπολελυμένου τὸ ὑπόδημα.

[11] Ἐπὰν μαχεσθεῖεν ἄνδρες ἅμα, ἀνὴρ καὶ ἀδελφὸς αὐτοῦ, ἐγγίσειε δ' ἡ γυνὴ τοῦ ἑνὸς ἐξελέσθαι τὸν ἄνδρα ἑαυτῆς

XXV. 1. τελέσειε **cod., non** τελέσει **ut ed.** κρίναιεν **c. cd. ed. 3.** πολλῷ **cod. et ed. 7.** οὐχ (ἠθέλ.) **c. cd. ed. 9.** ὑπολύσει τέ ἑ] ἑ **videtur expungendum (**וְחָלְצָה**). 11.** ἑαυτῆς **(bis) cod., non** ἑαυτοῦ **ut ed.**

πρὸς τῆς χειρὸς τοῦ τύπτοντος αὐτὸν, πέμψειέ τε τὴν χεῖρα ἑαυτῆς καὶ δράξαιτο τῶν αἰδοίων αὐτοῦ· [12] τοιγαροῦν τεμεῖς τὴν παλάμην αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου.

[13] Οὐχ ὑπάρξει σοι ἐν τῷ βαλαντίῳ σου λίθος καὶ λίθος, μικρὸς καὶ μέγας. [14] Οὐχ ὑπάρξει σοι οἴκοι σοι μέδιμνος καὶ μέδιμνος, μέγας καὶ μικρός· [15] λίθος τέλειος καὶ δικαιοσύνης ὑπάρξει σοι, μέδιμνος τέλειος καὶ δικαιοσύνης ὑπάρξει σοι, ὡς ἂν μηκύνοιεν αἱ ἡμέραι σου ἐπὶ τῆς γῆς ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι· [16] βδέλυγμα γὰρ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ὑπερβασίαν.

° [17] Μέμνησο ἅπερ ἐποίησέ σοι ἀμαλέκης ἐν τῇ ὁδῷ ἐν τῷ ἐξιέναι ὑμᾶς ἀπ' αἰγύπτου, [18] ὃς ξυνήντησέ σοι ἐν τῇ ὁδῷ καὶ οὐραγίασεν ἐν σοὶ πάντας τοὺς ἠσθενημένους κατόπιν σου, σὺ δὲ ἀσθμαίνων καὶ κεκμηκὼς, καὶ οὐκ ἔδεισε τὸν θεόν· [19] τελέσει τοίνυν ἐπὰν καταπαύσειεν ὁ ὀντωτὴς ὁ θεός σου σοὶ πρὸς πάντων τῶν ἐχθρῶν σου κύκλοθεν ἐν τῇ γῇ ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι κλῆρον ὡς κληρῷο ταύτην, ἀπομάξεις τὸ μνημόσυνον τοῦ ἀμαλέκου κάτωθεν τῶν οὐρανῶν· οὐκ ἐπιλήσῃ.

XXVI. (μερίς)

[1] Τελέσει τ' ἐπὰν ἀφίκοιο πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι κλῆρον, καὶ κληρώσαιο ταύτην καθεσθείης τ' ἐν αὐτῇ· [2] λήψῃ τοίνυν ἀπὸ τῆς ἀρχῆς παντὸς τοῦ καρποῦ τῆς γῆς ὃν οἴσεις ἀπὸ τῆς γῆς σου ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι, θήσεις τ' ἐν τῷ κοφίνῳ καὶ ἀπελεύσῃ πρὸς τὸν χῶρον ὃν ἑλεῖται ὁ ὀντωτὴς ὁ θεός σου κατοικεῖν τοὔνομά οἱ ἐκεῖ· [3] τοίνυν ἐλεύσῃ πρὸς τὸν ἱερέα ὃς ὑπάρξει ἐν ταῖς ἡμέραις ἐκείναις, φήσεις τε πρὸς αὐτόν· ἤγγειλα τήμερον τῷ ὀντωτῇ τῷ θεῷ σου ὅτι ἀφῖγμαι πρὸς τὴν γῆν ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν ἡμῶν δοῦναι ἡμῖν. [4] λήψεται τοίνυν ὁ ἱερεὺς τὸν κόφινον πρὸς τῆς χειρός σου, θήσει τ' αὐτὸν ἐνώπιον τοῦ θυτηρίου τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου· [5] καὶ ἀποκρινῇ καὶ φήσεις ἐνώπιον τοῦ ὀντωτοῦ

---

12. αὐτῆς **cod., non** αὐτοῦ **ut ed. 13.** μικρὸς καὶ μέγας] **vocabulorum ordinem mutavit (גְּדוֹלָה וּקְטַנָּה). Cf. Prol. II, 2, i. 19.** θεός σοι σοὶ **cod.,** θεός σοι **ed. Ceterum de encliticarum usu cf. Prol. I, 4, b.** κληρῷο] **sic cod. Cf. IX, 1.**

XXVI. 1. καθεσθείην **cod. et ed. 5.** ἀποκρίνῃ **c. cd. ed.**

τοῦ θεοῦ σου· ἀράμιος ἀπώλλυτο ὁ πατήρ μου, κατέβη γοῦν αἴγυπτόνδε καὶ παρῴκησεν ἐν βροτῶν ὀλίγῳ, καὶ ὑπῆρξεν ἐκεῖ εἰς ἔθνος μέγα, κραταιὸν καὶ πολύ. [6] ἐκάκωσαν δ' ἡμᾶς οἱ αἰγύπτιοι καὶ ἐταπείνωσαν ἡμᾶς, ἔδοσάν τ' ἐφ' ἡμῶν ἐργασίαν σκληράν· [7] ἐκράξαμεν τοίνυν πρὸς τὸν ὀντωτὴν τὸν θεὸν τῶν πατέρων ἡμῶν, ἐπύθετό θ' ὁ ὀντωτὴς τὴν φωνὴν ἡμῶν καὶ τεθέαται τὴν ταπείνωσιν ἡμῶν τόν τε μόχθον ἡμῶν καὶ τὴν στένωσιν ἡμῶν· [8] ἐξήνεγκέ θ' ἡμᾶς ὁ ὀντωτὴς ἀπ' αἰγύπτου ἐν χειρὶ κραταιᾷ κἀν βραχίονι κεκλιμένῳ κἀν φόβῳ μεγάλῳ, ἔν τε σημείοις καὶ τέρασιν, [9] ἤγαγέ θ' ἡμᾶς πρὸς τὸν τόπον τουτονὶ καὶ παρέσχεν ἡμῖν τὴν γῆν τηνδί, γῆν ῥεομένην γάλακτι καὶ μέλιτι. [10] νῦν οὖν θεῷ ἤνεγκα τὴν ἀρχὴν τοῦ καρποῦ τῆς γῆς ἣν παρέσχετό μοι ὁ ὀντωτής· ἀφήσεις τ' αὐτὸν ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, προσκυνήσεις τ' ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου. [11] καὶ ἡσθήσῃ ἐν παντὶ τῷ χρηστῷ ὃ παρέσχετό σοι ὁ ὀντωτὴς ὁ θεός σου καὶ τῷ οἴκῳ σου, σὺ καὶ ὁ λευὶς καὶ ὁ ἔπηλυς ὁ ἐν μέσῳ σου.

[12] Ἐπὰν τελευτήσειας δεκατίζων ξύμπαντα τὸν δεκατισμὸν τῆς εἰσφορᾶς σου ἐν τῷ ἔτει τῷ τρίτῳ, τῷ ἔτει τοῦ δεκατισμοῦ, δώσεις τε τῷ λευΐνι, τῷ παροίκῳ, τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, καὶ ἔδονται ἐν ταῖς πύλαις σου καὶ κορεσθήσονται· [13] φήσεις τ' ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου· ἐξῆρα τὸ ἅγιον οἴκοθεν, ἔτι τε παρεσχόμην αὐτὸ τῷ λευΐνι, τῷ ἐπήλυδι, τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, κατὰ πάντα τὰ κελεύσματά σου ἅπερ ἐκέλευσάς μοι· οὐ παρέβην τὰς κελεύσεις σου οὔτ' ἐπιλέλησμαι· [14] οὐκ ἐδήδοκα ἐν τῷ πόνῳ μου ἀπ' αὐτοῦ οὔτ' ἐξῆρα ἀπ' αὐτοῦ εἰς μιαρὸν, οὔτε παρεσχόμην ἀπ' αὐτοῦ βροτῷ· ἐπυθόμην τὴν φωνὴν τοῦ ὀντωτοῦ τοῦ θεοῦ μου, ἐποίησα κατὰ πάνθ' ἅπερ ἐκέλευσάς μοι. [15] πρόσκυψον πρὸς χώρου τοῦ ἁγίου σου, πρὸς τῶν οὐρανῶν, καὶ εὐλόγησον τὸν λεών σου τὸν ἰσραέλον καὶ τὴν γῆν ἣν ἔδωκας ἡμῖν καθάπερ ὤμοσας τοῖς πατράσιν ἡμῶν, γῆν ῥεομένην γάλακτι καὶ μέλιτι.

[16] Τῇ ἡμέρᾳ τηδὶ ὁ ὀντωτὴς ὁ θεός σου κελεύει σοι ποιεῖν τοὺς τύπους τουτουσὶ καὶ τὰς κρίσεις· τηρήσεις οὖν καὶ

---

5. παρῴκησεν] שָׁם om., ant ἐκεῖ excidit. 10. παρέσχητο cod. Nos Ammonium secuti sumus. At secundam personam exspectaveris (נָתַתָּה). 13. κελεύσματά σου] מִצְוֹתֶיךָ (ita Sam., cod. Kenn. 69 a pr.) pro מִצְוָתְךָ. Assentiunt LXX. 16. κελεύει cod., non κελεύοι ut ed.

ποιήσεις αὐτοὺς ἐν πάσῃ καρδίᾳ σου κἀν πάσῃ ψυχῇ σου. [17] τὸν ὀντωτὴν ἐπῆρας τήμερον ὡς εἴη σοι εἰς θεὸν, καὶ ὡς βαδίζοις ἐν ταῖς ὁδοῖς καὶ ὡς τηροίης τοὺς τύπους αὐτοῦ τάς τε κελεύσεις αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ, καὶ ὡς ἀκούοις ἐν τῇ φωνῇ οἱ· [18] ὅ θ' ὀντωτὴς ἐπῆρέ σε τήμερον ὡς εἴης αὐτῷ εἰς λεὼν σφετερισμοῦ καθάπερ διείλεκταί σοι, καὶ ὡς τηροίης πάσας τὰς κελεύσεις αὐτοῦ, [19] καὶ ὡς διδοίη σε μετέωρον ἐπὶ πάντων τῶν ἐθνῶν ἅπερ ἐποίησεν, εἰς αἶνον εἴς τ' ὄνομα καὶ εἰς καλλονὴν, καὶ εἰς τὸ εἶναί σε λεὼν ἅγιον τῷ ὀντωτῇ τῷ θεῷ σου καθάπερ διείλεκται.

XXVII.

[1] Ἐκέλευσε δὲ μωσεὺς καὶ οἱ πρεσβύται τοῦ ἰσραέλου τῷ λεῷ τῷ φάναι· φύλαξον ξύμπασαν τὴν ἐντολὴν ἣν ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον. [2] ὑπάρξει τ' ἐν τῇ ἡμέρᾳ ᾗ περαιώσεσθε τὸν ἰαρδένην πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχεταί σοι, ἐγερεῖς τε σαυτῷ λίθους μεγάλους, τιτανώσεις τ' αὐτοὺς ἐν τιτάνῳ, [3] καὶ γράψεις ἐπ' αὐτῶν ξύμπαντας τοὺς λόγους τοῦ νόμου τούτου ἐν τῷ περαιοῦσθαί σε, ἵνα δήπουθεν ἀφίκῃ πρὸς τὴν γῆν ἣν ὁ ὀντωτὴς ὁ θεός σου παρέχει σοι, γῆν ῥεομένην γάλακτι καὶ μέλιτι, καθάπερ διείλεκται ὁ ὀντωτὴς ὁ θεὸς τῶν πατέρων σου σοί. [4] τελέσει τ' ἐν τῷ περαιοῦσθαι ὑμᾶς τὸν ἰαρδένην, ἐγερεῖτε τοὺς λίθους τούτους, οὓς ἐγὼ κελεύω ὑμῖν σήμερον, ἐν τῷ ὄρει αἰβάλῳ, τιτανώσεις τ' αὐτοὺς ἐν τιτάνῳ, [5] δομήσῃ τ' ἐκεῖ θυτήριον τῷ ὀντωτῇ τῷ θεῷ σου, θυτήριον λίθων· οὐκ οἴσεις ἐπ' αὐτῶν σίδηρον. [6] λίθοις ὁλοκλήροις δομήσῃ τὸ θυτήριον τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, καὶ ἀνοίσεις ἐπ' αὐτοῦ ἀναφορὰς τῷ ὀντωτῇ τῷ θεῷ σου· [7] καὶ ἱερεύσεις εἰρηναῖα, φαγῇ τ' ἐκεῖ καὶ ἡσθήσῃ ἐνώπιον ὀντωτοῦ τοῦ θεοῦ σου. [8] καὶ γράψεις ἐπὶ τῶν λίθων ξύμπαντας τοὺς λόγους τοῦ νόμου τουτουΐ τῷ ἑρμηνεύειν χρηστῶς.

[9] Διείλεκται δὲ μωσεὺς καὶ οἱ ἱερεῖς οἱ λευίνιοι πρὸς πάντα τὸν ἰσραέλον τῷ φάναι· ὠτοθέτησον καὶ ἀκρόασαι, ἰσραέλε· τῇ ἡμέρᾳ τῃδὶ ἐγένου εἰς λεὼν τῷ ὀντωτῇ τῷ θεῷ σου· [10] τοίνυν ὑπακούσῃ τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου καὶ ποιήσεις ξύμ-

---

17. ἐπῆρας non ab ἐπαίρω derivatum (הֶאֱמַרְתָּ), sed ab ἐπέρω (= ἐπέρομαι). Item v. sq. ἐπῆρε   ἐν ταῖς ὁδοῖς] suff. om. (בִּדְרָכָיו). 18. αὐτῷ] αὐτοῦ cod. et ed.

XXVII. 1. ἐντέλομαι cod. 2. περατώσεσθε cod. et ed. 4. αἰβάθῳ cod. et ed. Cf. v. 13. XI, 29. 5. δομήσει cod. et ed. 6. ἀναφορὰς cod., non ἀναφορὰν ut ed. 7. φαγῇ] cf. XIV, 23.

παντα τὰ κελεύσματά οἱ καὶ τοὺς τύπους αὐτοῦ ἅπερ ἐγὼ κελεύω σαι τήμερον. [11]Ἐκέλευσέ τε μωσεὺς τῷ λεῷ ἐν τῇ ἡμέρᾳ κείνῃ τῷ φάναι· [12]οὗτοι στήσονται εὐλογεῖν τὸν λεὼν ἐπὶ τοῦ ὄρους γηριζῶν ἐπὰν διαβαίητε ὑμεῖς τὸν ἰαρδένην· συμεὼν, λευίς τε καὶ ἰεουδάος, ἰασσαχάρης τε καὶ ἰωξέφης καὶ βινιαμίν. [13]οὗτοι δὲ στήσονται ἐπὶ τῆς κατάρας ἐν ὄρει αἰβάλῳ· ῥεουβένης, γάδος, ἀσέρης τε καὶ ζεβουλούνης, δὰν καὶ ναφεταλίς. [14]ἀποκρινοῦνται δ' οἱ λευίνιοι καὶ φήσουσι πρὸς πάντα ἄνδρα ἰσραέλου φωνῇ ὑψηλῇ· [15]Κατάρατος ὁ ἀνὴρ ὃς ποιήσει ξόανον καὶ χύμα, μύσαγμα τῷ ὀντωτῇ, ἔργον χειρῶν χειρώνακτος, καὶ θήσει ἐν λαθραίῳ· τοίνυν ἀποκρινοῦνται πᾶς ὁ λεὼς καὶ φήσουσιν· εἶθε. [16]Κατάρατος ὁ ἀτιμάζων τὸν πατέρα οἱ καὶ τὴν μητέρα οἱ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [17]Κατάρατος ὁ ὀπισθοθετῶν ὅρον τοῦ ἑταίρου οἱ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [18]Κατάρατος ὁ πλανῶν τυφλὸν ἐν τῇ ὁδῷ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [19]Κατάρατος ὁ κλίνων κρίσιν ἐπήλυδος, ὀρφανοῦ καὶ χήρας· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [20]Κατάρατος ὁ ἀνακλινόμενος ξὺν γυναικὶ τοῦ πατρὸς αὐτοῦ, καὶ γὰρ ἀπεκάλυψε κράσπεδον τοῦ πατρὸς αὐτοῦ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [21]Κατάρατος ὁ ἀνακλινόμενος ξὺν ὁτῳοῦν κτήνει· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [22]Κατάρατος ὁ ἀνακλινόμενος σὺν ἀδελφῇ αὐτοῦ, θυγατρὶ τοῦ πατρὸς αὐτοῦ ἢ θυγατρὶ τῆς μητρὸς αὐτοῦ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [23]Κατάρατος ὁ κοιμώμενος σὺν ἑκυρᾷ ἑαυτοῦ· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [24]Κατάρατος ὁ πλήττων τὸν ἑταῖρον ἑαυτοῦ λάθρα· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [25]Κατάρατος ὁ λαμβάνων δῶρον ὡς βάλοι ψυχὴν αἵματος ἀθώου· φήσει τε πᾶς ὁ λεώς· εἶθε. [26]Κατάρατος ὃς οὐ κυρώ-

---

12. γηριζῶν] l. γεριζῶν (cf. XI, 29) et paullo post pro ἰασσαχάρης aut ἰσασχ. (ut Gen. XXX, 18. XXXV, 24) aut ἰσσαχ. (ut Num. I, 28 sq. VII, 18 cet.). 13. καταρᾶς c. cd. ed. ῥεουβαίνης cod. et ed. Cf. Gen. XXIX, 32. XLIX, 3 cet. 14. ὑψηλῆς cod. et ed. 15. χύμα, non χῦμα, cod. Cf. Prol. I, 4, c. 23. κομώμενος cod. et ed. 25. αἵματος ἀθώου cod. Ed. ἀθώου om. Cf. Morell. Bibl. Manuscr. p. 14.

σει τοὺς λόγους τοῦ νόμου τούτου ὥστε ποιεῖν αὐτούς· φήσει τε πᾶς ὁ λεώς· εἶϑε.

[1] Τελέσει γοῦν εἴπερ τῷ ἀκούειν ἀκούσῃ ἐν τῇ φωνῇ τοῦ ὀντωτοῦ **XXVIII.** τοῦ ϑεοῦ σου, τηρεῖν ὡς ποιοίης ξύμπαντα τὰ κελεύσματά οἱ ἅπερ ἐγὼ κελεύω σοι τήμερον, δώσει τέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἀνώτερον ὑπὲρ πάντα τὰ ἔϑνη τῆς γῆς· [2] ἀφίξονταί τ' ἐπὶ σοῦ πᾶσαι αἱ εὐλογίαι αὗται καὶ φϑάσουσί σε, ὅτι ἀκούσῃ ἐν τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου· [3] εὐλογημένος εἶ ἐν τῇ πόλει, εὐλογημένος τ' εἶ ἐν τῷ ἀγρῷ· [4] εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου ὅ τε καρπὸς τῆς γῆς σου καὶ ὁ καρπὸς τοῦ κτήνους σου, ἡ ἄφεσις τῶν βοῶν σου καὶ αἱ ὄϊες τοῦ ποιμνίου σου· [5] εὐλογημένος ὁ τάλαρός σου καὶ ἡ ζύμη σου· [6] εὐλογημένος εἶ ἐν τῷ ἔρχεσϑαί σε καὶ εὐλογημένος εἶ ἐν τῷ ἐξιέναι σε. [7] δοίη ὁ ὀντωτὴς τοὺς ἐχϑρούς σου τοὺς ἐγειρομένους κατὰ σοῦ ϑραυομένους ἐνώπιόν σου· ἐν ὁδῷ μιᾷ ἐξελεύσονται πρὸς σέ, κἀν ἑπτὰ ὁδοῖς φεύξονται πρόσϑεν σου. [8] κελεύσει ὁ ὀντωτὴς ξὺν σοὶ τῇ εὐλογίᾳ ἐν σοῖς ὡρείοις κἀν πάσῃ ἀφέσει τῶν σῶν χειρῶν, εὐλογήσει τέ σοι ἐν τῇ γῇ ἣν ὁ ὀντωτὴς ὁ ϑεός σου παρέχει σοι. [9] στήσει σε ὁ ὀντωτὴς ἑαυτῷ εἰς λεὼν ἅγιον καϑάπερ ὤμοσέ σοι, ὅτι τηρήσεις τὰ κελεύσματα τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου καὶ βαδιεῖς ἐν ταῖς τρίβοις αὐτοῦ· [10] καὶ ϑεάσονται πάντες οἱ λαοὶ τῆς γῆς ὅτι ὄνομα τοῦ ὀντωτοῦ κέκληται ἐπὶ σοῦ, δείσουσί τ' ἀπὸ σοῦ. [11] περιττεύσει τέ σε ὁ ὀντωτὴς εἰς χρηστὸν ἐν καρπῷ κοιλίας σου κἀν καρπῷ κτήνους σου κἀν καρπῷ γῆς σου, ἐπὶ τῆς γῆς ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσι σου δοῦναί σοι. [12] ἀνοίξει ὁ ὀντωτής σοι τὸν ϑησαυρὸν ἑαυτοῦ τὸν χρηστόν, τοὺς οὐρανούς, ὡς δοίη ὑετὸν γῆς σου ἐν καιρῷ οἱ καὶ εὐλογοίη ξύμπαν ἔργον χειρῶν σου· δανείσεις οὖν ἔϑνεσι πολλοῖς, σὺ δ' οὐ δανείσῃ. [13] δώσει τέ σε ὁ ὀντωτὴς εἰς κεφαλὴν καὶ οὐχ εἰς οὐράν, τελέσεις τε μόνον ἄνω καὶ οὐχ ὑπάρξεις κάτω, ὅτι ἀκούσῃ πρὸς τὰ κελεύσματα τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ἅπερ ἐγὼ κελεύω σοι τήμερον φυλάττειν καὶ ποιεῖν· [14] οὔτε παρανεύσεις ἀφ' ὁτουοῦν τῶν λόγων τούτων

XXVIII. 1. 2. ἀκ. ἐν τῇ φωνῇ (בְּקוֹל)] cf. Prol. II, 2, f. g. 8. ὡρείοις cod., non ὁρείοις ut ed. (εὐλογήσει τέ) σοι] l. σε. Nusquam, quod sciam, verbum εὐλογεῖν cum dativo compositum exstat. 14. τῶν λόγων τούτων] τούτων de suo addidit (text. Hebr.. הַדְּבָרִים, absque הָאֵלֶּה).

οὓς ἐγὼ κελεύω ὑμῖν σήμερον δεξιὰ ἢ ἀριστερά, ὥστε βαδίζειν κατόπιν θεῶν ἑτέρων λατρεύειν αὐτοῖς.

[15] Τελέσει μέντοι εἴπερ οὐχ ὑπακούσῃ τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου, φυλάττειν ὥστε ποιεῖν ξύμπαντα τὰ κελεύσματά σί καὶ τοὺς τύπους αὐτοῦ ἅπερ ἐγὼ κελεύω σοι τήμερον, ἀφίξονταί τε κατὰ σοῦ πᾶσαι αἱ κατάραι αὗται καὶ καταλήψονταί σε. [16] κατάρατος εἶ ἐν τῇ πόλει, κατάρατός τ' εἶ ἐν τῷ ἀγρῷ· [17] κατάρατος ὁ τάλαρός σου καὶ ἡ ζύμη σου· [18] κατάρατος ὁ καρπὸς τῆς κοιλίας σου καὶ ὁ καρπὸς τῆς γῆς σου, ἡ ἄφεσις τῶν βοῶν σου καὶ αἱ ὄϊες τοῦ ποιμνίου σου· [19] κατάρατος εἶ ἐν τῷ ἀφικνεῖσθαί σε καὶ κατάρατος εἶ ἐν τῷ ἐξιέναι σε. [20] πέμψει ὁ ὀντωτὴς εἰς σὲ τὸ ἄλγος, τὸν θόρυβον καὶ τὴν ἀπειλὴν ἐν πάσῃ ἀφέσει χειρός σου ἣν ποιοίης, ἄχρι τοῦ ὀλοθρευθῆναί σε καὶ μέχρι τοῦ ἀπολέσθαι σε ταχέως ἀπὸ κακώσεως τῶν ἀναπολήσεών σου οἷς παρῆκάς με. [21] κολλήσει ὁ ὀντωτὴς ἐν σοὶ τὴν θνῆξιν, ἄχρι τοῦ ὀλοθρεῦσαι αὐτόν σε ἄνωθεν τῆς γῆς ἣ σὺ ἀφικνῇ ἐκεῖσε ὡς κληρῷο ταύτην. [22] βαλεῖ σε ὁ ὀντωτὴς ἐν ἰκτέρῳ, ἐν παροξυσμῷ κἀν πυρετῷ, ἔν τε καύσωνι καὶ ἐν ξίφει, ἔν τ' ἀνεμοφθορίᾳ κἀν ὠχρότητι, διώξουσί τέ σε μέχρι τοῦ ἀπολέσαι σε. [23] καὶ τελέσουσιν οἱ οὐρανοί σου οἱ ἐπὶ τῆς κεφαλῆς σου χαλκὸς, ἡ γῆ δὲ ἡ ὑποκάτω σου σίδηρος. [24] δώσει ὁ ὀντωτὴς τὸν ὑετὸν τῆς γῆς σου κονιορτὸν καὶ χοῦν, πρὸς τῶν οὐρανῶν καταβήσεται ἐπὶ σὲ μέχρι τοῦ ὀλοθρευθῆναί σε. [25] δώσει σε ὁ ὀντωτὴς τετυπότα ἐνώπιον τῶν ἐχθρῶν σου· ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτὸν, ἐν δ' ἑπτὰ ὁδοῖς φεύξῃ ἐνώπιον αὐτοῦ, τελέσεις τ' εἰς κλόνον πάσαις ταῖς βασιλείαις τῆς γῆς. [26] ὑπάρξει θ' ὁ νεκρός σου εἰς βρῶμα παντὶ τῷ ὄρνιθι τοῦ οὐρανοῦ καὶ τῷ κτήνει τῆς γῆς, καὶ οὐδενὸς δεδιττομένου. [27] τύψει σε ὁ ὀντωτὴς ἐν ἕλκει αἰγύπτου κἀν αἱμορροίσει, ἔν τε ψώρᾳ κἀν ὀστράκῳ, οἷς οὐ δυνήσῃ ἰαθῆναι. [28] τύψει σε ὁ ὀντωτὴς ἐν μανίᾳ κἀν τυφλώσει κἀν ἐκπλήξει καρδίας· [29] τελέσεις τε ψηλα-

---

16. πύλει cod. et ed. 17. ζύμη σου] σου, quod codici deest, recte jam ex v. 5 Amm. supplevit. 20. ποιήοις cod. et ed. ὀλοθρευθῦναι cod. Cf. v. 24. παρῆκοις (sic) c. ed. ed. 22. ἀπολέσαι] l. ἀπολέσθαι. Cf. v. 20. VII, 20 cet. 25. τετυπότα] passive (נִגָּף)? Cf. v. 7. βασιλίαις c. ed. ed. 27. αἱμορροίσει] nonne αἱμορροΐσι? 29. (τελέσεις) δὲ c. ed. ed.

φῶν ἐν μεσημβρίᾳ καϑάπερ ψηλαφήσειεν ὁ τυφλὸς ἐν ζόφῳ, καὶ οὐ κατευϑυνεῖς τὰς ὁδούς σου· τελέσεις τε μόνον ἀπεστερημένος καὶ ἁρπαζόμενος πάσαις ταῖς ἡμέραις, καὶ μηδενὸς σώζοντος. [30] γυναῖκα μνηστεύσῃ, καὶ ἀνὴρ ἕτερος ἀσελγανεῖ ταύτην· δόμον δομήσῃ, καὶ οὐ καϑεδῇ ἐν αὐτῷ· ἀμπελῶνα φυτεύσεις, καὶ οὐ βεβηλώσεις αὐτόν. [31] ὁ βοῦς σου τεϑυμένος ἐν ὄμμασί σοι, καὶ οὐκ ἔδῃ ἀπ' αὐτοῦ· ὁ ὄνος σου ἡρπασμένος ἀπέμπροσϑέν σου, καὶ οὐ στρέψει σοι· τὰ πρόβατά σου δεδομένα τοῖς ἐχϑροῖς σου, καὶ οὐδείς σοι σώζων. [32] οἱ υἱεῖς σου καὶ αἱ ϑυγατέρες σου δεδομένοι λεῷ ἑτέρῳ, καίτοι τῶν ὀφϑαλμῶν σου ϑεωμένων καὶ φϑειρομένων πρὸς αὐτοὺς πάσῃ τῇ ἡμέρᾳ, ἥκιστά τ' εἰς ἰσχὺν αἱ χεῖρές σου. [33] τὸν καρπὸν τῆς γῆς σου καὶ πάντα τὸν μόχϑον σου φάγεται λαὸς ὃν οὐκ ἔγνως, τελέσεις τε μόνον ἀπεστερημένος καὶ συντετριμμένος πάσαις ταῖς ἡμέραις· [34] τελέσεις τε παραπαίων ἀπὸ τῆς ὄψεως τῶν ὀμμάτων σου ἃ ὄψει. [35] τύψει σε ὁ ὀντωτὴς ἐν ἕλκει πονηρῷ ἐπὶ τῶν γονάτων κἀπὶ τῶν κνημῶν, οἷς οὐ δυνήσῃ ϑεραπευϑῆναι, ἀπὸ πέλματος ποδός σου καὶ μέχρι κορυφῆς σου. [36] πορεύσει ὁ ὀντωτὴς σὲ καὶ τὸν βασιλέα σου ὃν ἐγερεῖς ἐπὶ σαυτοῦ πρὸς ἔϑνος ὅπερ οὐκ ἔγνως σὺ καὶ οἱ πατέρες σου, λατρεύσεις τ' ἐκεῖ ϑεοῖς ἑτέροις ξύλου καὶ λίϑου· [37] τελέσεις τε εἰς ἔκστασιν, εἰς παραβολὴν καὶ εἰς ἔκπληξιν ἐν πᾶσι τοῖς ἔϑνεσιν οἷς ἡγήσεταί σοι ὁ ὀντωτὴς ἐκεῖσε. [38] σπόρον πολὺν ἐξάξει τὸ λήϊον, ὀλίγον δὲ συνάξεις· δεώσει γὰρ αὐτὸ ἡ ἀκρίς. [39] ἀμπελῶνας φυτεύσεις ἐργάσῃ τε, καὶ οἶνον οὐ πίῃ οὔτε συνάξεις· ἔδεται γὰρ αὐτὸν ὁ σκώληξ. [40] ἐλαῖαι τελέσουσί σοι ἐν παντὶ τῷ ὅρῳ σου, ἐλαίῳ δὲ οὐκ ἀλείψῃ· ἐπείπερ ἐκλείψει ἡ ἐλαία σου. [41] υἱεῖς καὶ ϑυγατέρας γεννήσῃ, καὶ οὐχ ὑπάρξουσί σοι· βαδιοῦσι γὰρ εἰς τὸν ἀνδραποδισμόν· [42] πᾶν ξύλον σου καὶ καρπὸς γῆς σου ἀποκληρώσεται ὁ τέττιξ. [43] ὁ ἔπηλυς ὁ ἐν μέσῳ σου ἀναβήσεται ὑπὲρ σὲ ἄνω ἄνω, σὺ δὲ καταβήσῃ κάτω κάτω· [44] κεῖνος δανείσει σοί, σὺ δ' οὐ δανείσεις ἐκείνῳ· κεῖνος τελέσει εἰς κεφαλήν, σὺ δὲ

---

31. βοῦς σου] σου ipsi addidimus (שׁוֹרְךָ). Item v. sq. post ϑυγατέρες (וּבְנֹתֶיךָ). 33. λαὸς cod., non λεὼς ut ed. 34. ἃς (ὄψει) cod. et ed. An legendum ἣν? Cf. v. 67. 38. δεώσει] cave mendum inesse suspiceris. Immo verbum factitivum est ab interprete novatum (δεόω, a δεῖ, δέον). Cf. index vocabulorum in fine voluminis.

τελέσεις εἰς κέρκον. [45] ἀφίξονταί τ' ἐπὶ σὲ πᾶσαι αἱ κατάραι αὗται, διώξουσί τέ σε καὶ φϑάσουσί σε μέχρι τοῦ ὠλοϑρεῦσϑαί σε, ἐπεὶ οὐχ ὑπήκουσας τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ὡς τηροίης τὰ κελεύσματά οἱ καὶ τοὺς τύπους αὐτοῦ οὓς ἐκέλευσέ σοι. [46] τελέσουσί τ' ἐν σοὶ εἰς σημεῖον καὶ εἰς τέρας κἀν τῷ σπέρματί σου μέχρις αἰῶνος. [47] ἀνϑῶν οὐκ ἐλάτρευσας τῷ ὀντωτῇ τῷ ϑεῷ σου ἐν εὐφροσύνῃ κἀν χρηστότητι καρδίας ἀπὸ πλήϑους ἁπάντων, [48] δουλεύσεις τε τοῖς ἐχϑροῖς σου οἷς πέμψει αὐτοὺς ὁ ὀντωτὴς εἰς σέ, ἐν λιμῷ κἀν δίψῃ, ἔν τε γυμνότητι κἀν ἐνδείᾳ πάντων· δώσει τε ζυγὸν σιδήρου κατὰ τοῦ αὐχένος σου μέχρι τοῦ ὀλέσαι αὐτόν σε. [49] ἀρεῖ ὁ ὀντωτὴς κατὰ σοῦ ἔϑνος πόρρωϑεν ἀπ' ἄκρου τῆς γῆς, καϑάπερ πέτοιτο ὁ ἀετός, ἔϑνος ὅπερ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτοῦ, [50] ἔϑνος στερρὸν τὸ πρόσωπον, ὅπερ οὐκ ἀρεῖ πρόσωπον γέροντι καὶ νέον οὐκ οἰκτειρήσει· [51] καὶ φάγεται τὸν καρπὸν τοῦ κτήνους σου καὶ τὸν καρπὸν τῆς γῆς σου μέχρι τοῦ ὠλοϑρεῦσϑαί σε· ὅπερ οὐ περιλείψει σοι σῖτον, γλεῦκος καὶ ἔλαιον, ἄφεσιν δαμάλεών σου καὶ οἴας προβάτων σου, μέχρι τοῦ ἀπολέσαι αὐτόν σε· [52] στενώσει τέ σοι ἐν πάσαις ταῖς πύλαις σου μέχρι τοῦ καταβῆναι τὰ τείχη σου τὰ μετέωρα καὶ ὀχυρά, ἅπερ τυγχάνεις πεποιϑὼς ἐν αὐτοῖς, ἐν πάσῃ τῇ γῇ σου· στενώσει τέ σοι ἐν πάσαις ταῖς πύλαις σου κἀν πάσῃ τῇ γῇ σου ἣν ἐχορήγησεν ὁ ὀντωτὴς ὁ ϑεός σου σοί. [53] καὶ ἔδῃ καρπὸν κοιλίας σου, κρέας υἱέων σου καὶ ϑυγατέρων σου ἃς παρέσχετό σοι ὁ ὀντωτὴς ὁ ϑεός σου, ἐν πολιορκίᾳ κἀν στενώσει ἣν στενώσουσί σοι οἱ ἐχϑροί σου. [54] ὁ ἀνὴρ ὁ τέρην ἐν σοὶ καὶ ὁ τρυφερὸς ἄγαν, κακυνεῖ ὁ ὀφϑαλμὸς αὐτοῦ ἐν τῷ ἀδελφῷ οἱ κἀν τῇ γυναικὶ τοῦ κόλπου οἱ κἀν τῷ περιττεύματι τῶν υἱέων αὐτοῦ οὓς περιττεύσει, [55] ἀπὸ τοῦ δοῦναι ἑνὶ πρὸς αὐτῶν ἀπὸ τοῦ κρέως τῶν υἱέων αὐτοῦ οὓς ἔδεται, ἀπὸ τοῦ μὴ περιλελεῖφϑαί οἱ ὁτιοῦν ἐν πολιορκίᾳ κἀν στενοχωρίᾳ ἣν στενοχωρήσει σοι ὁ ἐχϑρός σου ἐν πάσαις ταῖς πύλαις σου.

---

45. ὠλοϑρεῦϑαι cod. (et ed.) itemque v. 51 (ed. ὠλοϑρεῦσαι) et v. 61 (ed. ὠλοϑρεῦσϑαι). Cf. XII, 30 etc. 47. ἀνϑῶν] cf. Gen. XXII, 16. 18. χρηστώτητι c. cd. ed. ἀπ' αὐτῶν (ita relatum erat Ammonio) corr. ἁπάντων cod. 50. οἰκτειρήσῃ cod. et ed. 53. στενώσουσί σοι κτλ.] יְצִיקְךָ לְךָ אֹיְבֶיךָ (ita Sam., אֹיְבֶיךָ etiam multi codd. Hebr.) pro יָצִיק לְךָ אֹיִבְךָ. Cf. v. 55. 57. 54. ἐν σοὶ] σου σοὶ cod. et ed. Cf. v. 56. περιττεύματι cod., non περιττεύοντι ut ed.

[56] ἡ τέρην ἐν σοὶ καὶ τρυφερά, ἥπερ οὐκ ἐπειράσατο τὸ πέλμα τοῦ ποδὸς αὐτῆς στῆναι ἐπὶ τῆς γῆς ἀπὸ τοῦ τρυφᾶν κἀπὸ τῆς ἁπαλότητος, κακυνεῖ τὸν ὀφϑαλμὸν ἑαυτῆς ἐν ἀνδρὶ κόλπου αὐτῆς ἔν ϑ' υἱεῖ ταύτης κἀν ϑυγατρὶ ταύτης, [57] κἀν ὑστέροις ταύτης τοῖς ἐξιοῦσι μεταξύϑεν τῶν ποδῶν αὐτῆς κἀν τοῖς υἱέσι ταύτης οὓς τέξοιτο· καὶ γὰρ ἔδεται σφᾶς ἐν ἐνδείᾳ πάντων λάϑρα, ἐν πολιορκίᾳ κἀν στενώσει ἣν στενώσει σοι ὁ ἐχϑρός σου ἐν ταῖς πύλαις σου. [58] εἰ μὴ τηροίης ποιεῖν ξύμπαντας τοὺς λόγους τοῦ νόμου τούτου τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ τηδί, ὥστε δεδιέναι τοὔνομα τὸ ἔνδοξον καὶ φοβερὸν τουτί, τὸν ὀντωτὴν τὸν ϑεόν σου· [59] ϑαυμαστώσει δ' ὁ ὀντωτὴς τὰς πληγάς σου καὶ τὰς πληγὰς τοῦ σπέρματός σου, τὰς πληγὰς τὰς μεγάλας καὶ ἀληϑεῖς, νόσους τε κακὰς καὶ ἀληϑεῖς· [60] στρέψει τε εἰς σὲ πᾶσαν λύπην αἰγύπτου αἷσπερ ὠρρώδησας ἀπὸ προσώπου σφῶν, καὶ κολληϑήσονται ἐν σοί· [61] ἔτι πᾶσαν νόσον καὶ πᾶσαν πληγὴν ἥτις οὐ γέγραπται ἐν τῇ βίβλῳ τοῦ νόμου τούτου ἀναβιβάσει ὁ ὀντωτὴς κατὰ σοῦ μέχρι τοῦ ὠλοϑρεῦσϑαί σε. [62] περιλειφϑήσεσϑέ τε ἐν βροτοῖς ὀλίγου, ἀνϑῶν ὑπήρξατε κατὰ τοὺς ἀστέρας τοῦ οὐρανοῦ εἰς πλῆϑος· ἐπεὶ οὐχ ὑπήκουσας τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου. [63] τελέσει τε καϑάπερ ἥσται ὁ ὀντωτὴς ἐφ' ὑμῖν τὸ εὖ ποιεῖν ὑμᾶς καὶ τῷ πληϑύνειν ὑμᾶς, οὕτως ἡσϑήσεται ὁ ὀντωτὴς ἐφ' ὑμῖν τῷ ὀλλύναι ὑμᾶς καὶ τῷ ὀλοϑρεύειν ὑμᾶς· καϑαιρεϑήσεσϑέ τε ἄνωϑεν τῆς γῆς ᾗπερ σὺ ἀφικνῇ ἐκεῖσε ὡς κληρῷο ταύτην. [64] διασκεδάσει τέ σε ὁ ὀντωτὴς εἰς πάντας τοὺς λεὼς ἀπ' ἄκρου τῆς γῆς καὶ μέχρις ἄκρου τῆς γῆς, λατρεύσεις τ' ἐκεῖ ϑεοῖς ἑτέροις ξύλου καὶ λίϑου. [65] κἀν τοῖς ἔϑνεσιν ἐκείνοις οὐκ ἀναπαύσῃ, οὐϑ' ὑπάρξει ἀνάπαυλά σοι τῷ πέλματι τοῦ ποδός σου· δώσει ϑ' ὁ ὀντωτής σοι ἐκεῖ καρδίαν κλονουμένην,

---

56. ἥπερ] ἤπερ c. ed. ed. 59. ἀληϑεῖς (1)] ἀμηϑεῖς cod. Emendationem Amm. praeivit. 61. ἀναβιβάσει] suff. om. (יַעֲלֵם). 62. ἐν βροτῶν ὀλίγῳ XXVI, 5 legitur. 63. ἥσται] ἥστα codici inesse Vill. tradidit. Accuratius dici debebat, propter atramenti maculam post τ nihil legi posse nisi α. Cf. XXX, 9. οὕτως cod., non οὕτος (sic) ut ed. ὑμῖν (2)] ὑμᾶς cod. et ed. κληρῷο] sic cod. Cf. IX, 1. 64. λατρεύσει cod. et ed. ϑεοῖς ἑτέροις κτλ.] desunt nonnulla (אֲשֶׁר לֹא־יָדַעְתָּ אַתָּה וַאֲבֹתֶיךָ). Cf. v. 36. 65. ἀνάπαυλά σοι] לְךָ abest a textu Hebr. (מָנוֹחַ). Deceptus esse videtur per insequens לְבַב

φϑοράν τ' ὀφϑαλμῶν ἐν ἄλγει ψυχῆς. [66]ὑπάρξει ϑ' ἡ ζωή σου κρεμαμένη σοι ἀπέναντι, δειλιάσεις τε νύκτωρ καὶ μεϑ' ἡμέραν, οὔτε πιστεύσεις ἐν τῇ ζωῇ σου· [67]ἐν ἕῳ φήσεις· τίς δοίη ἑσπέραν, κἀν ἑσπέρᾳ φήσεις· τίς δοίη ἕω, ἀπὸ δειλίας τῆς καρδίας σου ἣ δειλιάσεις, κἀπὸ τῆς ὄψεως τῶν ὀμμάτων σου ἣν ὄψει. [68]ἀποστρέψει τέ σε ὁ ὀντωτὴς αἰγύπτῳ ἐν ναυσὶν ἐν ὁδῷ ᾗπερ ἔφην σοι, οὐ προσϑήσεις ἔτι ϑεᾶσϑαι ταύτην· καὶ ἀπεμποληϑήσεσϑε ἐκεῖ τοῖς ἐχϑροῖς σου εἰς οἰκέτας καὶ εἰς ϑεραπαίνας, καίτοι μηδενὸς ὠνουμένου. [69]Οὗτοι οἱ λόγοι τῆς συνϑήκης ἣν ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ τεμεῖν σὺν τοῖς υἱέσι τοῦ ἰσραέλου ἐν γῇ μωάβου, χωρὶς τῆς συνϑήκης ἣν ἔτεμε σὺν αὐτοῖς ἐν ὡρέβῳ.

XXIX. [1]Ἐβόησε δὲ μωσεὺς πρὸς πάντα τὸν ἰσραέλον ἔφη τε πρὸς αὐτούς· ὑμεῖς τεϑέασϑε ξύμπανϑ' ἅπερ ἐποίησεν ὁ ὀντωτὴς ἐν ὄμμασιν ὑμῶν ἐν γῇ αἰγύπτου τῷ παρεῶνι πᾶσί τε τοῖς οἰκέταις αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ, [2]τὰς πείρας τὰς μεγάλας ἃς ἑωράκασιν οἱ ὀφϑαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα κεῖνα· [3]καὶ οὐκ ἔδωκεν ὁ ὀντωτὴς ὑμῖν καρδίαν εἰδέναι καὶ ὀφϑαλμοὺς ὁρᾶν ὦτά τε ἀκούειν ἄχρι τῆς ἡμέρας τησδί. [4]βαδίζω τε σὺν ὑμῖν τετταράκοντα ἔτεσιν ἐν τῇ ἐρήμῳ· οὐκ ἐπαλαιώϑησαν τὰ ἐνδύματα ὑμῶν ἄνωϑεν ὑμῶν, καὶ τὸ ὑπόδημά σου οὐ πεπαλαίωται ἄνωϑεν τοῦ ποδός σου· [5]ἄρτον οὐκ ἐφάγετε, οἶνόν τε καὶ συρμαίαν οὐκ ἐπίετε, ὡς γνοίητε ὅτι ἐγὼ ὁ ὀντωτὴς ὁ ϑεὸς ὑμῶν. [6]ἀφίκεσϑε δ' εἰς τὸν τόπον τοῦτον, καὶ ἐξῆλϑε ξιὼν ὁ βασιλεὺς ἐσεβῶνος καὶ ὦγος ὁ βασιλεὺς τοῦ βασᾶνος εἰς ξυνάντησιν ἡμῶν εἰς πόλεμον· ἐβάλομεν δ' αὐτὼ, [7]ἐλάβομέν τε τὴν γῆν αὐτοῖν, ἐδώκαμέν τ' αὐτὴν εἰς κλῆρον τῷ ῥεουβενίῳ τῷ τε γαδίῳ καὶ τῷ ἡμίσει τοῦ σκήπτρου τοῦ μενασέως. [8]τηρήσετε γοῦν τοὺς λόγους τῆς συνϑήκης ταύτης καὶ ποιήσετε τούτους, ὡς ἂν νοήσητε ξύμπανϑ' ἅπερ ποιήσετε.

ἐν ἄλγει] בְּדַאֲבוֹן pro וְדַ׳ 66. μεϑημέραν cod. 69. ὠρέβῳ cod. et ed. Cf. IV, 10. V, 2 cet.

XXIX. 3. ὁ ὀντωτὴς ὑμῖν] ὑμῖν ὁ ὀντ. c. ed. ed. 4. βαδίζω τε] וָאֵלֵךְ pro וָאוֹלֵךְ? Cf. v. 36. Lev. XXVI, 13. 5. ὑμῶν cod., non ἡμῶν ut ed. 6. αὐτῷ (ut ed.) corr. αὐτὼ cod.

[9] Ὑμεῖς ἵστασθε τήμερον ἅπαντες ὑμεῖς ἐνώπιον τοῦ ὀντωτοῦ (μερίς) τοῦ θεοῦ ὑμῶν, αἱ κεφαλαὶ ὑμῶν, τὰ σκῆπτρα ὑμῶν, οἱ γέροντες ὑμῶν καὶ οἱ κελευσταὶ ὑμῶν, πᾶς ἀνὴρ ἰσραέλου, [10] τὸ νήπιον ὑμῶν, αἱ γυναῖκες ὑμῶν, ὅ τ' ἔπηλυς ὑμῶν ὅς ἐστι μέσον τοῦ στρατοπέδου σου, ἀπὸ ξυλοκόπου σου μέχρις ἀντλοῦντος τὰ ὕδατά σου· [11] ὡς διαβαίης σὺ εἰς τὴν συνθήκην τοῦ ὀντωτοῦ τοῦ θεοῦ σου καὶ εἰς τὸν ὅρκον αὐτοῦ, ἣν ὁ ὀντωτὴς ὁ θεός σου τέμνει σὺν σοὶ τήμερον, [12] ὥστ' ἐγεῖραί σε σήμερον ἑαυτῷ εἰς λεών, κἀκεῖνος ὑπάρξει σοι εἰς θεόν, καθάπερ διείλεκταί σοι καὶ καθάπερ ὤμοσε τοῖς πατράσι σου, τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ. [13] καὶ οὐ σὺν ὑμῖν μόνοις ὑμῖν ἐγὼ τέμνω τὴν συνθήκην τηνδὶ καὶ τὴν ἀρὰν τηνδί· [14] καὶ γὰρ σὺν ᾧπέρ ἐστι κεῖνος ὡδὶ ξὺν ἡμῖν ἑστὼς τήμερον ἐνώπιον τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν, καὶ ξὺν ᾧπερ ἥκιστ' ἐκεῖνος ὧδε ξὺν ἡμῖν τήμερον. [15] ὑμεῖς γὰρ ἴστε ἧπερ ἐκαθέσθημεν ἐν γῇ αἰγύπτου, ἐν ἧπερ ἐδουλεύσαμεν μέσον τῶν ἐθνῶν οἷς ἐδουλεύσατε· [16] καὶ τεθέασθε τὴν βδελυρίαν σφῶν καὶ τὴν φορύτωσιν αὐτῶν, ξύλον καὶ λίθος, ἄργυρος καὶ χρυσὸς τὰ παρ' αὐτοῖς· [17] μήπως εἴη ἐν ὑμῖν ἀνὴρ ἢ γυνὴ ἢ φρήτρα ἢ σκῆπτρον ᾧπερ ἡ καρδία οἱ νεύοι τήμερον ἀπὸ τοῦ ὀντωτοῦ τοῦ θεοῦ ἡμῶν, ὡς ἀπέρχοιτο λατρεύειν τοῖς θεοῖς τῶν ἐθνῶν ἐκείνων, μήποτ' εἴη ἐν ὑμῖν ῥίζα αὔξουσα τιθύμαλλον καὶ ἀψίνθιον. [18] τελέσει τ' ἐν τῷ πυνθάνεσθαί ἑ τοὺς λόγους τῆς ἀρᾶς ταυτησί, καὶ εὐλογηθήσεται ἐν τῇ καρδίᾳ οἱ τῷ φάσκειν· εἰρήνη τελέσει μοι, ἐν τῇ ἀτενίσει τῆς καρδίας μου βαδιοῦμαι, ὥστε προσθεῖναι τὴν πίονα τῇ διψώσῃ. [19] οὐ βουλήσεται ὁ ὀντωτὴς συγγνῶναί οἱ· καὶ γὰρ τότε καπνιεῖ ὁ θυμὸς τοῦ ὀντωτοῦ καὶ ὁ ζῆλος αὐτοῦ εἰς τὸν ἄνδρα κεῖνον, καὶ σηκωθήσεται ἐν ἐκείνῳ πᾶσα ἡ κατάρα ἡ γεγραμμένη ἐν τῇ βίβλῳ τηδί, ἀπομάξει θ' ὁ ὀντωτὴς τοὔνομά οἱ κάτωθεν τοῦ οὐρανοῦ· [20] ἀφοριεῖ τέ οἱ ὁ ὀντωτὴς εἰς πονηρὸν ἀπὸ πάντων τῶν σκήπτρων τοῦ ἰσραέλου, κατὰ πάσας τὰς ἀρὰς

---

10. ἔπηλυς ὑμῶν] גֵּרְכֶם pro גֵּרְךָ 11. διαβαίην cod. Recte jam ed. 15. ἐν (ἧπερ)] l. καὶ (וְאֵת). ἐδουλεύσαμεν — ἐδουλεύσατε] עָבַדְנוּ — עֲבַדְתֶּם pro עֲבַרְתֶּם — עָבַרְנוּ. Ex codicibus mss. unus Kenn. 109 ante corr. exhibuerat עבדתם. Cf. Prol. II, 2, l. 16. τὰ (sic) φορύτωσιν cod., non τὰ φόρητα ut ed., nec τὰ φορύτατα ut Mor. (l. c.) ait. 18. ἐν τῇ ἀτενίσει] כִּי om.

[illegible]

XII. [illegible]

[illegible] Cf. [illegible] X, 6. [illegible] XVII, 2. [illegible] quae [illegible] scriptum est, [illegible] cod. et ed. 24. [illegible] codicis scripturam servavimus. Cf. [illegible] VI, 2. 25. [illegible] cod. et ed. 27. [illegible] ed., [illegible] sing. pro plur. [illegible] An legendum [illegible] hancce emendationem ([illegible]):

XXX. 2. [illegible] cod. Cf. VII. 2. XIII. 9.

σε πρὸς πάντων τῶν λεῶν οἷς ἐσκέδασέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἐκεῖσε. [4] εἴπερ τελέσειεν ἡ ἄπωσίς σου ἀπ' ἄκρου τῶν οὐρανῶν, ἐκεῖϑεν ἀϑροίσει σε ὁ ὀντωτὴς ὁ ϑεός σου κἀκεῖϑεν λήψεταί σε· [5] ἄξει τέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου πρὸς τὴν γῆν ἣν ἐκληρώσαντο οἱ πατέρες σου, καὶ κληρώσεις ταύτην· εὖ ποιήσει τέ σε καὶ πληϑυνεῖ σε ὑπὲρ τοὺς πατέρας σου. [6] περιτεμεῖ τε ὁ ὀντωτὴς ὁ ϑεός σου τὴν καρδίαν σου καὶ τὴν καρδίαν τοῦ σπόρου σου, ὥστε φιλεῖν τὸν ὀντωτὴν τὸν ϑεόν σου ἐν πάσῃ καρδίᾳ σου κἀν πάσῃ ψυχῇ σου, χάριν τῆς ζωῆς σου· [7] δώσει ϑ' ὁ ὀντωτὴς ὁ ϑεός σου ξυμπάσας τὰς ἀρὰς ταύτας κατὰ τῶν ἐχϑρῶν σου καὶ κατὰ τῶν μισούντων σε οἵπερ ἐδίωξάν σε· [8] σὺ δ' ἐπιστρέψεις καὶ ὑπακούσῃ τῇ φωνῇ τοῦ ὀντωτοῦ, καὶ ποιήσεις ξύμπαντα τὰ κελεύσματα αὐτοῦ ἅπερ ἐγὼ κελεύω σοι τήμερον· [9] περιττεύσει τέ σε ὁ ὀντωτὴς ὁ ϑεός σου ἐν παντὶ ἔργῳ χειρός σου, ἐν καρπῷ κοιλίας σου κἀν καρπῷ κτήνους σου κἀν καρπῷ γῆς σου ἐς χρηστόν· ἐπεὶ ἐπιστραφήσεται ὁ ὀντωτὴς ἥδεσϑαι ἐπὶ σοὶ ἐς χρηστὸν, καϑάπερ ἥσται ἐπὶ τοῖς πατράσι σου· [10] ὅτι ὑπακούσῃ τῇ φωνῇ τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ὥστε τηρεῖν τὰ κελεύσματα αὐτοῦ καὶ τοὺς τύπους αὐτοῦ τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ τοῦ νόμου τουτουΐ· στραφήσῃ γὰρ πρὸς τὸν ὀντωτὴν τὸν ϑεόν σου ἐν πάσῃ καρδίᾳ σου κἀν πάσῃ ψυχῇ σου. [11] Ὅτι τὸ κέλευσμα τόδε ὅπερ ἐγὼ κελεύω σοι τήμερον οὐ τεϑαυμαστωμένον τυγχάνει ὑπὲρ σὲ οὔτε πόρρω τελοῦν τυγχάνει· [12] οὐκ ἐν οὐρανοῖς ἐστι φάσκειν· τίς ἀναβήσεται ἡμῖν τοὺς οὐρανοὺς λήψεταί τ' αὐτὸ ἡμῖν, πευσόμεϑά τ' αὐτὸ καὶ ποιήσομεν; [13] οὔτε πέραϑεν τῆς ϑαλάττης τελεῖ λέγειν· τίς περαιωϑήσεται ἡμῖν πρὸς τὰ πέραν τῆς ϑαλάττης, λήψεταί τ' αὐτὸ ἡμῖν, πευσόμεϑά τ' αὐτὸ καὶ ποιήσομεν; [14] ἐγγὺς γὰρ πρὸς σὲ τὸ χρῆμα λίαν ἐν τῷ στόματί σου κἀν τῇ καρδίᾳ σου ποιεῖν αὐτό.

[15] Θεῶ δέδωκα πρόσϑεν σου τήμερον τὴν ζωὴν καὶ τὸ χρηστὸν, τόν τε ϑάνατον καὶ τὸ πονηρὸν, [16] οἷς ἐγὼ κελεύω

---

5. κληρώσει cod. et ed. 6. ὁ ὀντωτὴς ὁ ϑεός σου cod. Ed. om. ὁ ϑεός σου 11. τυγχάνει (2)] τυγχάναι c. cd. ed. 12. πευσόμεϑά τ' αὐτὸ] וְנִשְׁמָעֵנוּ (cf. Iud. XIV, 13) pro וְיַשְׁמִעֵנוּ. Similiter LXX (καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν). Item v. sq. 13. λήγειν cod. προσταπέραν cod. Cf. Exod. XXVIII, 26. XXXIX, 19. ἡμῖν (2) — αὐτὸ] frustra haec in ed. atque etiam apud Morell. (Bibl. Manuscr.) quaesiveris.

σοι τήμερον φιλεῖν τὸν ὀντωτὴν τὸν θεόν σου, βαδίζειν ἐν ταῖς τρίβοις αὐτοῦ καὶ τηρεῖν τὰ κελεύσματα αὐτοῦ τούς τε τύπους αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ· ζήσῃ τε καὶ πληθυνεῖς, εὐλογήσει τέ σε ὁ ὀντωτὴς ὁ θεός σου ἐν τῇ γῇ ἣ σὺ ἀφικνῇ ἐκεῖσε κληροῦσθαι ταύτην. [17] ἣν δ' ἀπονεύσῃ ἡ καρδία σου καὶ οὐκ ἀκούσῃ, συνωσθῇς δὲ καὶ προσκυνήσῃς θεοῖς ἑτέροις καὶ λατρεύσῃς αὐτοῖς· [18] ἤγγειλα ὑμῖν σήμερον ὅτι τῷ ἀπόλλυσθαι ἀπολεῖσθε. οὐ μηκυνεῖτε ἡμέρας ἐπὶ τῆς γῆς ἣ σὺ περαιοῖ τὸν ἰαρδένην ἀπελθεῖν ἐκεῖσε ὡς κληρῷο ταύτην· [19] ἐμαρτυράμην ἐν ὑμῖν τήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν· τὴν ζωὴν καὶ τὸν θάνατον ἔδωκα πρόσθεν σου, τὴν εὐλογίαν καὶ τὴν κατάραν· ἑλῇ δὲ ἐς τὴν ζωήν, ὡς ἂν ζώῃς σὺ καὶ τὸ σπέρμα σου, [20] ὡς ἀγαπῴης τὸν ὀντωτὴν τὸν θεόν σου, ὥσθ' ὑπακούειν τῇ φωνῇ οἱ καὶ κολλᾶσθαι ἐν αὐτῷ· κεῖνος γὰρ ζωή σου μῆκός θ' ἡμερῶν σου, ὡς καθέζοιο ἐπὶ τῆς γῆς ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσι σου, τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ, δοῦναι σφίσιν.

XXXI. (μερίς) [1] Ἀπῆλθεν οὖν μωσεὺς καὶ διείλεκται τοὺς λόγους τούτους πρὸς πάντα τὸν ἰσραέλον, [2] ἔφη τε πρὸς αὐτούς· υἱεὺς ἑκατὸν καὶ εἴκοσιν ἐτῶν ἐγὼ τήμερον, οὐ δυνήσομαι ἔτι ἐξιέναι καὶ ἀφικνεῖσθαι· ὁ δ' ὀντωτὴς ἔφη πρός με· οὐ περαιώσῃ τὸν ἰαρδένην τουτονί. [3] ὁ ὀντωτὴς ὁ θεός σου, κεῖνος περαιοῦται πρόσθεν σου, κεῖνος ὀλοθρεύσει τὰ ἔθνη ταῦτα πρόσθεν σου, κληρώσῃ τ' αὐτά· ἰωσούας, οὗτος διαβαίνει πρόσθεν σου, καθάπερ εἴρηκεν ὁ ὀντωτής. [4] ποιήσει θ' ὁ ὀντωτὴς ὑμῖν καθάπερ ἐποίησε τῷ ξιῶνι καὶ τῷ ὤγῳ, τοῖς βασιλεῦσι τοῦ ἐμορίου, καὶ τῇ γῇ σφῶν, ὅσπερ ὠλόθρευσε σφᾶς· [5] ἔδωκέ τε σφᾶς ὁ ὀντωτὴς ἐνώπιον ὑμῶν, καὶ ἐποιήσατε σφίσι κατὰ πᾶν τὸ κέλευσμα ὅπερ ἐκέλευσα ὑμῖν. [6] ἰσχύετε καὶ κρατύνεσθε, μὴ δείσητε μήτε τρομάξητε ἀπὸ προσώπου σφῶν· ὁ γὰρ ὀντωτὴς ὁ θεός σου, ἐκεῖνος ὁ βαδίζων σὺν σοί· οὐ χαυνώσει σοι οὔτε παρήσει σε.

---

6. ζήσῃ] ζητήσῃ cod. et ed. 17. λατρεύσεις cod. et ed. 18. περαροῖ cod., περαιοῖο ed. Cf. IX, 1. 20. ὥστ' (ὑπακ.) c. ed. ed. αὐτῷ] αὐτῇ cod., quod jam Amm. correxit.

XXXI, 2. ὅ θ' ὀντ. cod. et ed. 4. ὑμῖν] oscitanter לָהֶם cum לָכֶם confudit. 6. δείσητε cod., non δείσετε ut ed.

[7] Ἐκάλεσε δὲ μωσεὺς τὸν ἰωσούαν, ἔφη τε πρὸς αὐτὸν ἐπ' ὄμμασι παντὸς ἰσραέλου· ἴσχυε καὶ κρατύνου· σὺ γὰρ ἐλεύσῃ ξὺν τῷ λεῷ τῳδὶ πρὸς τὴν γῆν ἣν ὤμοσεν ὁ ὀντωτὴς τοῖς πατράσιν αὐτῶν δοῦναι σφίσι, σύ τε κληρώσεις αὐτὴν αὐτοῖς· [8] ὁ δ' ὀντωτής, ἐκεῖνος ὁ βαδίζων πρόσϑεν σου, κεῖνος τελέσει ξὺν σοί· οὐ χαυνώσει σοι οὔτε παρήσει σε· οὐ φοβήσῃ οὔτε τρεμεῖς. [9] ἔγραψεν οὖν μωσεὺς τὸν νόμον τουτονὶ καὶ ἔδωκεν αὐτὸν πρὸς τοὺς ἱερέας τοὺς υἱεῖς τοῦ λευῖνος τοὺς αἴροντας τὴν χηλὸν τῆς συνϑήκης τοῦ ὀντωτοῦ, καὶ πρὸς πάντας τοὺς γέροντας τοῦ ἰσραέλου. [10] ἐκέλευσε δὲ μωσεὺς αὐτοῖς τῷ φάναι· ἀπ' ἄκρου ἑπτὰ ἐτῶν ἐν ὅρῳ ἔτους τῆς ἀφέσεως ἐν τῇ ἑορτῇ τῶν καλυβῶν, [11] ἐπὰν ἀφικνοῖτο πᾶς ἰσραέλος ϑεᾶσϑαι τὸ πρόσωπον τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ σου ἐν τῷ χώρῳ ὃν ἑλεῖται, ἀναγνώσῃ τὸν νόμον τουτονὶ ἐνώπιον παντὸς ἰσραέλου ἐν ὠσὶ σφίσιν· [12] ἐκκλησίασον τὸν λεών, τοὺς ἄνδρας τάς τε γυναῖκας, τὸ νήπιόν τε καὶ τὸν ἔπηλύν σου τὸν ἐν ταῖς πύλαις σου, ὡς ἀκούσειαν καὶ ὡς μάϑοιεν καὶ φοβοῖντο τὸν ὀντωτὴν τὸν ϑεὸν ὑμῶν, καὶ τηροῖεν ποιεῖν ξύμπαντας τοὺς λόγους τοῦ νόμου τουτουΐ· [13] οἵ ϑ' υἱεῖς αὐτῶν οἳ οὐκ ἔγνωσαν, ἀκούσονται καὶ μαϑήσονται φοβεῖσϑαι τὸν ὀντωτὴν τὸν ϑεὸν ὑμῶν πάσαις ταῖς ἡμέραις αἷς τυγχάνετε ζῶντες ἐπὶ τῆς γῆς ἥπερ ὑμεῖς περαιοῦσϑε τὸν ἰαρδένην ἐκεῖσε ὡς κληρῷσϑε ταύτην.

[14] Ἔφη ϑ' ὁ ὀντωτὴς πρὸς μωσέα· ϑεῶ ἤγγισαν αἱ ἡμέραι σου ὡς τεϑναίης· κάλεσον τὸν ἰεωσούαν, καὶ στῆτον ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ, καὶ ἔντειλαί οἱ. τοιγαροῦν ἀπῆλϑε μωσεὺς καὶ ἰεωσούας, ἐστησάτην τ' ἐν τῇ σκηνῇ τοῦ ξυναγμοῦ. [15] καὶ ὤφϑη ὁ ὀντωτὴς ἐν τῇ σκηνῇ ἐν στύλῳ νεφέλης, ἔστη ϑ' ὁ στύλος τῆς νεφέλης ἐπὶ τῆς πύλης τῆς σκηνῆς. [16] ἔφη δ' ὁ ὀντωτὴς πρὸς μωσέα· αὐτίκα σὺ ἀνακλίνῃ σὺν τοῖς πατράσι σου, ἐγερεῖται δ' ὁ λεὼς οὗτος καὶ πορνεύσει κατόπιν ϑεῶν τοῦ ἀλλοτρίου τῆς γῆς ᾗ αὐτὸς ἔρχεται ἐκεῖσε μέσον αὐτοῦ, ἐάσει τέ με καὶ παύσει

9. τὸν χηλὸν cod. et ed. Cf. Exod. XXV, 22 etc. 11. ἀφικνεῖτο c. cd. ed. 12. ἔπηλυν αὐτὸν (non αὐτῶν ut ed.) ἐν κτλ. cod. 13. περαιῶσϑε cod. et ed. Cf. IV, 22. 26. XXXII, 47. κληρῷσϑε] cf. IX, 1. 6. XI, 29 cet. 14. ἔντειλαί οἱ] וְצַוֶּנּוּ pro וַאֲצַוֶּנּוּ σκηνῇ (1)] σκυνῇ cod. 15. ταῖς πύλαις c. cd. ed. 16. ἐάσει τε] ita in codice esse, non ἐάσατε ut relatum erat Ammonio, jam Mor. (l. c.) indicavit.

τὴν συνθήκην μου ἣν ἔτεμον ξὺν αὐτῷ. [17] ὀργιεῖται δ' ὁ θυμός μου ἐν αὐτῷ ἐν τῇ ἡμέρᾳ κείνῃ, παρήσω τ' αὐτοὺς καὶ κρύψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, τελέσει τε τῷ ἐσθίειν, εὑρήσουσί τ' αὐτοὺς κακὰ πολλὰ καὶ θλίψεις· φήσει τ' ἐν τῇ ἡμέρᾳ κείνῃ· ἆρ' οὐκ ἐφοῖς οὐκ ἔστιν ὁ θεός μου ἐν μέσῳ μου εὗρόν με τὰ κακὰ ταδί; [18] κἀγὼ τῷ κρύπτειν κρύψω τὸ πρόσωπόν μου ἐν τῇ ἡμέρᾳ κείνῃ ἐπὶ παντὶ τῷ κακῷ ὅπερ ἐποίησεν· ἐξένευσε γὰρ πρὸς θεοὺς ἑτέρους. [19] νῦν οὖν γράψατε ἑαυτοῖς τὴν ᾠδὴν τηνδὶ, καὶ δίδαξον αὐτὴν τοὺς υἱεῖς ἰσραέλου θές τ' αὐτὴν ἐν τῷ στόματι σφῶν, ἵνα τελῇ μοι ἡ ᾠδὴ ἥδε εἰς μαρτύριον ἐν τοῖς υἱέσι τοῦ ἰσραέλου. [20] ἐπεὶ ἄξω σφᾶς πρὸς τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτοῦ, ῥεομένην γάλακτι καὶ μέλιτι· φάγεται δὲ καὶ κορεσθήσεται καὶ λιπανεῖται, καὶ ἐκνεύσει πρὸς θεοὺς ἑτέρους, λατρεύσουσί τ' αὐτοῖς καὶ ὀργιοῦσί με, παύσει τε τὴν συνθήκην μου· [21] τελέσει τ' ἐπὰν εὕροιεν αὐτὸν κακὰ πολλὰ καὶ θλίψεις, ἀποκρινεῖται γοῦν ἡ ᾠδὴ ἥδε πρόσθεν αὐτοῦ εἰς μαρτύριον· οὐ γὰρ ἐπιλησθήσεται ἀπὸ στόματος τοῦ σπέρματος αὐτοῦ· καὶ γὰρ ἔγνωκα τὸ πλάσμα οἱ, ὅπερ τυγχάνει ποιοῦν σήμερον, πρὶν ἀγάγοιμι αὐτὸν πρὸς τὴν γῆν ἣν ὤμοσα. [22] τοιγαροῦν ἔγραψε μωσεὺς τὴν ᾠδὴν τηνδὶ ἐν τῇ ἡμέρᾳ κείνῃ καὶ ἐδίδαξε ταύτην τοὺς υἱέας τοῦ ἰσραέλου. [23] ἐκέλευσε δὲ τῷ ἰεωσούᾳ τῷ υἱεῖ νούνου καὶ εἶπεν· ἴσχυε καὶ κρατύνου· σὺ γὰρ ἄξεις τοὺς υἱεῖς ἰσραέλου πρὸς τὴν γῆν ἣν ὤμοσα σφίσιν, ἐγὼ δὲ τελέσω σὺν σοί. [24] ὑπῆρξε δ' ἐν τῷ τελευτᾶν μωσέα γράφοντα τοὺς λόγους τοῦ νόμου τουτουΐ ἐπὶ βίβλου μέχρι τοῦ τελειοῦν αὐτούς, [25] ἐκέλευσέ τε μωσεὺς τοῖς λευινίοις τοῖς αἴρουσι τὴν χηλὸν τῆς συνθήκης τοῦ ὀντωτοῦ τῷ φάναι· [26] λαβεῖν τὴν βίβλον τοῦ νόμου ταυτηνί, καὶ θήσετε ταύτην ἐκ πλαγίου τῆς χηλοῦ τῆς συνθήκης τοῦ ὀντωτοῦ τοῦ θεοῦ ὑμῶν, τελέσει τ' ἐκεῖ ἐν σοὶ εἰς μαρτύριον· [27] ἐγὼ γὰρ ἔγνων τὴν ἄνταρσίν σου καὶ τὸν αὐχένα σου τὸν σκληρόν· ἰδοὺ ἐν τῷ ἔτι

---

17. αὐτοὺς(2)] αὐτοῖς cod. Exspectaveris αὐτὸν (וּמְצָאֻהוּ). Cf. v. 21. ἐφοῖς] cf. Gen. VI, 3. κακὰ ταδί] καταδί cod. 19. μαρτυρίαν c. cd. ed. 20. ἄξω σφᾶς] suff. plur. pro sing. (אֲבִיאֶנּוּ). φάγετε cod. 21. τελέσει τ'] τ' ipsi addidimus. γοῦν] ita, ni fallor, ex corr. cod. Ed. οὖν μαρτυρίαν rursus c. cd. ed. 26. λαβεῖν] suspiceris legendum esse λάβετε. Sed infinitivum etiam text. Hebr. praebet (לָקֹחַ), quem verbo finito reddere noster non ausus est.

με ζῆν σὺν ὑμῖν σήμερον ἀνταίροντες ὑπήρξατε παρὰ τῷ ὀντωτῇ, καὶ πόσῳ μᾶλλον μετὰ τὸ τεθνάναι με; [28] ἐκκλησιάσατε πρός με ξύμπαντας τοὺς γέροντας τῶν σκήπτρων ὑμῶν καὶ τοὺς πράκτορας ὑμῶν, διαλέξομαί τ' ἐν ὠσὶ σφίσι τοὺς λόγους τουτουσί, μαρτυροῦμαί τ' ἐν σφίσι τοὺς οὐρανοὺς καὶ τὴν γῆν. [29] ἔγνων γάρ, μετὰ τὸ τεθνάναι με, ὡς τῷ φθείρειν φθερεῖτε καὶ ἐκκλινεῖτε πρὸς τῆς ὁδοῦ ἣν ἐκέλευσα ὑμῖν, καὶ συναντήσει ὑμῖν ἡ κάκωσις ἐν ἐσχάτῳ τῶν ἡμερῶν, ἐπὰν ποιήσαιτε τὸ πονηρὸν ἐν ὄμμασι τοῦ ὀντωτοῦ ὡς ὀργίσαιτέ ἑ ἐν τῷ ἔργῳ τῶν χειρῶν ὑμῶν. [30] διείλεκται δὲ μωσεὺς ἐν ὠσὶ πάσης τῆς ἐκκλησίας τοῦ ἰσραέλου τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἄχρι τοῦ τελευτῆσαι αὐτούς·

XXXII. (μερίς)

[1] Ὠτοθετήσατε οὐρανοί, καὶ διαλέξομαι, πευσάσθω θ' ἡ γῆ ῥήματα στόματός μου. [2] σταξάτω ὡς ὄμβρος τὸ λῆμμά μου, ῥανάτω ὡς δρόσος ἡ ῥῆσίς μου, ὡς ψεκάδες ἐπὶ χλόης καὶ ὡς ῥανίδες ἐπὶ βοτάνης· [3] ἐπεὶ τοὔνομα τοῦ ὀντωτοῦ καλέσω· δότε μέγεθος τῷ θεῷ ἡμῶν. [4] ὁ λίθος, τέλειον τοὔργον αὐτοῦ, ὅτι πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις· θεὸς πίστεως καὶ οὐ δόλου, δίκαιος καὶ εὐθύς ἐστιν. [5] ἔφθειρεν αὐτῷ οὐχ υἱεῖς αὐτοῦ, μῶμος αὐτῷ· γενεὰ σκολιότητος καὶ ῥαιβότητος. [6] ἆρα τῷ ὀντωτῇ ἀντιτίσετε τόδε, λαὲ ἄφρον καὶ οὐ σοφέ; ἆρ' οὐκ ἐκεῖνος πατήρ σου ἐκτήσατό σε, ἐκεῖνος ἐποίησέ σε καὶ κατήρτισέ σε; [7] μνήσθητι ἡμερῶν αἰῶνος, σύνετε ἔτη γενεᾶς καὶ γενεᾶς· πυθοῦ τοῦ πατρός σου, καὶ ἀγγελεῖ σοι, τῶν γερόντων σου, καὶ φήσουσί σοι·

[8] Ἐν τῷ κληροῦν τὸν ὕψιστον ἔθνη καὶ ἐν τῷ διαστέλλειν αὐτὸν υἱεῖς ἀδάμου, ἔστησεν ὅρους λεῶν εἰς ἀριθμὸν τῶν υἱέων τοῦ ἰσραέλου· [9] μερὶς γὰρ τοῦ ὀντωτοῦ ὁ λεὼς αὐτοῦ, ἰακῶβος σχοῖνος τῆς κληρονομίας ἑαυτοῦ. [10] εὕροι γ' αὐτὸν ἐν γῇ ἐρήμῳ κἂν ἐστερημένῃ, ὀλοφυρμῷ, φρούδῃ· κυκλώσειεν αὐτόν, συνήσειεν αὐτόν,

---

28. τοὺς (γέροντας)] γὰρ om. cod. ed. ὑμῶν (2)] ὑμᾶς cod. et ed. 29. τὸ φθείρειν cod. et ed. Cf. XI, 13. XV, 5 cet.

XXXII. De scriptione cantici cf. Prol. II, 1, a. 5. μῶμος αὐτῶν (מוּמָם)? 6. ἄφρων cod. et ed. κατήρτησε c. ed. ed. 9. ἑαυτοῦ] nonne αὐτοῦ? 10. γῇ ἐρήμῳ cod., non τῇ ἐρ. ut ed. ὀλοφυρμῷ φρούδης?

φυλάξειεν αὐτὸν κατὰ κόρης ὀφθαλμοῦ οἱ. [11] ὡς ἀετὸς διεγείροι καλιὰν ἑαυτοῦ, ἐπὶ τῶν νεοττῶν αὐτοῦ πτήσοιτο· ἐκτενεῖ τὰς πτέρυγας αὐτοῦ, λήψεταί ἑ, ἀρεῖ αὐτὸν ἐπὶ τοῦ ὠκυπτέρου αὐτοῦ. [12] ὁ ὀντωτὴς μόνος ὁδηγήσειεν αὐτὸν, ἥκιστα σὺν αὐτῷ θεὸς ἀλλότριος. [13] ὤχησεν αὐτὸν ἐπὶ μετεώρων γῆς, καὶ ἔδεται καρπογονίας ἀρούρης· ἐπιθηνήσατό τ' αὐτὸν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐξ ἀκροτόμου λίθου· [14] βούτυρον βοὸς καὶ στέαρ προβάτου ξὺν στέατι ἀμνῶν καὶ κριῶν υἱέως βασᾶνος καὶ τράγων, ξὺν στέατι νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς πίεται ἄκρατον. [15] ἐλιπάνθη δ' ἰσραελίσκος καὶ ἐλάκτισε· λελίπανσαι, πεπάχυνσαι, ἐκάλυψας· παρῆκέ τε τὸν θεὸν τὸν ποιήσαντά ἑ καὶ κατήνεγκε τὸν λίθον τῆς σωτηρίας αὐτοῦ. [16] ἐζηλοτύπωσαν αὐτὸν ἐν ὀθνείοις, ἐν βδελύγμασιν ὤργισαν αὐτόν· [17] ἔθυσαν δαίμοσιν οὐ θεῶν, θεοῖς, οὐκ ἔγνωσαν αὐτούς· καινοὶ ἐγγύθεν ἀφίκοντο, οὐκ ὠρρώδησαν σφᾶς οἱ πατέρες αὐτῶν. [18] λίθος ἐγέννησέ σε· ἀμνημονήσεις, καὶ ἐπιλέλησαι τοῦ θεοῦ τοῦ πλάσαντός σε. [19] τεθέαται γοῦν ὁ ὀντωτὴς καὶ ὤργισται, ἀπὸ χόλου υἱέων αὐτοῦ καὶ θυγατέρων αὐτοῦ, [20] καὶ εἶπε· κρύψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, ὄψομαι τί τὸ ἔσχατον αὐτῶν· ὅτι γενεὰ μεταστροφῶν εἰσιν, υἱεῖς, οὐ πιστὸς ἐν αὐτοῖς. [21] αὐτοὶ ἐζηλοτύπωσάν με ἐν οὐ θεῷ, ἐχόλωσάν με ἐν τοῖς ματαίοις αὐτῶν· ἐγὼ δὲ ζηλοτυπώσω σφᾶς ἐν οὐ λεῷ, ἐν ἔθνει ἄφρονι χολώσω σφᾶς. [22] πῦρ γὰρ ἧπται ἐν θυμῷ μου, καὶ γνώσεται ἄχρις ᾅδου κατωτάτου, καὶ ἔδεται γῆν καὶ πρόσοδον αὐτῆς, φλέξει τε θεμελίους ὀρῶν. [23] συναθροίσω κατ' αὐτῶν κακὰ, τὰ βέλη μου τελευτήσω ἐν αὐτοῖς, [24] κεκαυμένοις λιμῷ καὶ βεβρωμένοις πυρετῷ καὶ ὀλέθρῳ πικρῷ· ὀδόντα τε κτηνῶν πέμψω εἰς αὐτοὺς, ξὺν θυμῷ ἑρπετῶν χοός. [25] ἔξωθεν ἀτεκνώσει ξίφος κἀπὸ τῶν κοιτώνων φόβος· ἔτι νεανίσκον ἔτι παρθένον, θηλάζον σὺν ἀνδρὶ πολιᾶς. [26] ἔφην· ὑπερoριῶ σφᾶς, παύσω ἀπ' ἀνθρώπου τὸ μνημόσυνον αὐ-

14. υἱέως] l. υἱέων (בְּנֵי־). πίεται] tertia persona pro secunda (תִּשְׁתֶּה). Item LXX. 15. ἐκάλυψας] כָּסִיתָ (pro כָּשִׂיתָ) praebent codd. Kenn. 6. 109. 129. 16. ἐζηλοτύπησαν c. cd. ed. Item ☛ 21. 17. θεῶν] nonne θεῷ (אֱלֹהַּ)? ἐρρώδησαν cod. et ed. Cf. Gen. XX, 8. πατέρες αὐτῶν] אֲבֹתֵיהֶם pro אֲבֹתֵיכֶם. Item LXX. 20. πιστὸς] אֵמֻן pro אֵמֻן? 22. γνώσεται] l. καύσεται. Vix credibile est, eum וַתִּיקַד cum וַתִּכַּר confudisse. Cf. Lev. VI, 2. 5 sq. 23. συνανθροίσω c. cd. ed. 24. ὀδόντα τε cod. Mor. (l. c.) τε om.

τῶν· [27] εἰ μὴ ἡ ὀργὴ τοῦ ἐχϑροῦ ξυνήϑροισται, μήπως ἀλλοτριωϑεῖεν οἱ ἐχϑροὶ σφῶν, μήπως εἴποιεν· αἱ χεῖρες ἡμῶν ὑψηλαί, καὶ οὐχ ὁ ὀντωτὴς εἴργασται πᾶν. [28] ἔϑνος γὰρ ἀπολλὺν βουλάς εἰσι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ξύνεσις. [29] εἴπερ ἐφρόνησαν, νοήσαιεν τόδε, κατανοησάντων εἰς τοὔσχατον αὐτῶν. [30] πῶς διώξεται εἷς χιλίους καὶ δύο φυγαδεύσουσι μυρίους, εἰ μὴ ὅτι ὁ λίϑος αὐτῶν ἔπρασεν αὐτοὺς καὶ ὁ ὀντωτὴς ἔκλεισεν αὐτούς; [31] οὐ γὰρ ὡς ὁ λίϑος ἡμῶν ὁ λίϑος αὐτῶν· καὶ οἱ ἐχϑροὶ ἡμῶν κριταί. [32] ἐκ γὰρ ἀμπέλου ξεδόμης ἡ ἄμπελος σφῶν κἀπὸ κλημάτων ἀμορᾶς· αἱ σταφυλαὶ σφῶν σταφυλαὶ δηλητηρίου, βότρυες πικραὶ σφίσι· [33] χολὴ δρακόντων ὁ οἶνος αὐτῶν, ἰός τ' ἀσπίδων ἀπηνής. [34] ἆρ' οὐκ ἔστι τεϑησαυρισμένον σὺν ἐμοί, ἐσφραγισμένον ἐν ϑησαυροῖς μου; [35] ἐμοὶ ἐκδικητής, καὶ ἀποτίσω τῷ καιρῷ τοῦ κλόνου τοῦ ποδὸς αὐτῶν· ἐγγὺς γὰρ ἡ ἡμέρα τῆς ξυντριβῆς αὐτῶν καὶ σπεύδει τὰ μέλλοντα σφίσι· [36] κρινεῖ γὰρ ὁ ὀντωτὴς τὸν λεὼν αὐτοῦ κἀπὶ τοῖς οἰκέταις αὐτοῦ παραμυϑηϑήσεται· ὄψεται γὰρ ὅτι ἀπῆλϑε χεὶρ καὶ οὐκ ἔστι κεκωλυμένον καὶ παρειμένον. [37] ἐρεῖ τε· ποῦ οἱ ϑεοὶ σφῶν, ὁ λίϑος, ἐϑάρρησαν ἐν αὐτῷ; [38] ὧν τὸ στέαρ τῶν ϑυσιῶν αὐτῶν ἔδονται, πίονται οἶνον σπονδῆς αὐτῶν· ἐγερϑήτωσαν καὶ βοηϑησάντων ὑμῖν, τελεσάτω ἐφ' ὑμῖν κρύψις. [39] ἀϑρεῖτε τοίνυν ὅτι ἐγώ, ἐγώ εἰμι, καὶ οὐκ ἔστι ϑεὸς ξὺν ἐμοί· ἐγὼ ϑανατώσω καὶ ζωώσω, ἔϑραυσα, κἀγὼ ἰάσομαι, ἥκιστά τ' ἐκ τῶν χειρῶν μου ἀπαλλάττων. [40] ἀρῶ γὰρ πρὸς οὐρανὸν τὴν χεῖρά μου καὶ φήσω· ζῶ ἐγὼ ἐς αἰῶνα. [41] εἴπερ ἔϑηξα ἀστραπὴν ξίφος μου, δράξαιτό τε κρίσεως ἡ χείρ μου, ἀποστρέψω ἐκδικητὴν τοῖς ἐχϑροῖς μου καὶ τοῖς μισηταῖς μου ἀποτίσω· [42] μεϑύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ τὸ ξίφος μου ἔδεται κρέας, ἀφ' αἵματος πεφονευμένου καὶ αἰχμαλωσίας, ἀπὸ τοῦ κεφαλὴν ἀποκαλύπτειν ἐχϑροῦ. [43] ἀλαλάξατε ἔϑνη, λαέ οἱ· αἷμα τῶν οἰκετῶν

---

27. ἀλλοτρίῳ ϑεῖεν cod. et ed. Cf. Dahler ad Prov. XX, 11. πᾶν] זאת om., vel potius τοῦτο excidit. 30. εἷς cod., non εἰς ut ed. 35. ἀποτίσει (וְשִׁלֵּם)? An voluit ἀπότισις? Sed cf. LXX (ἀνταποδώσω). 36. παραμυϑήσεται c. cd. ed. Cf. Gen. XXXVII, 35. 39. ἐκ τῶν χειρῶν μου] מִיָּדַי pro מִיָּדִי. Item LXX. 40. τὸν (οὐρανὸν) c. cd. ed. 41. ξίφος] ξίφους? Cf. Gen. III, 24. 43. ἀλαλάξατε cod., non ἀλαλάζετε ut Mor. ait.

αὐτοῦ ἐκδικήσει, ἐκδικητῇ τ' ἀμείψεται τοὺς ἐχθροὺς αὐτοῦ, καὶ συγγνώσεται τῇ γῇ αὐτοῦ τοῦ λεῷ αὐτοῦ.

44 Τοιγαροῦν ἧκει μωσεὺς καὶ διείλεκται ξύμπαντας τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ὠσὶ τοῦ λεῷ, κεῖνος καὶ ὠσέας ὁ υἱεὺς νούνου. 45 ἐτελεύτησε δὲ μωσεὺς διαλεγόμενος ξύμπαντας τοὺς λόγους τούτους πρὸς πάντα τὸν ἰσραέλον, 46 ἔφη τε πρὸς αὐτούς· θέσθε τὴν καρδίαν ὑμῶν πᾶσι τοῖς λόγοις οἷς ἐγὼ μαρτύρομαι ἐν ὑμῖν σήμερον, οἷς κελεύσετε τοῖς υἱέσιν ὑμῶν, ὡς τηροῖεν ποιεῖν ξύμπαντας τοὺς λόγους τοῦ νόμου τούτου· 47 οὐ γὰρ λόγος κενός ἐστιν ἐν ὑμῖν, ἔστι γὰρ ζωὴ ὑμῶν, κἀν τῷ λόγῳ τούτῳ μηκυνεῖτε ἡμέρας ἐπὶ τῆς γῆς ἥπερ ὑμεῖς περαιοῦσθε τὸν ἰαρδένην ἐκεῖσε κληροῦσθαι ταύτην.

48 Διείλεκταί θ' ὁ ὀντωτὴς πρὸς μωσέα ἐν τῷ χρῷ τῆς ἡμέρας τησδὶ τῷ φάναι· 49 ἀνάβα πρὸς τὸ ὄρος τῶν διαβάσεων τοδί, τὸ ὄρος τὸν νεβῶνα τὸ ἐν τῇ γῇ τοῦ μωάβου τοῦ ἐπὶ προσώπου ἱερεοῦς, θέασαί τε τὴν γῆν τοῦ χεναᾶνος ἣν ἐγὼ χορηγῶ τοῖς υἱέσι τοῦ ἰσραέλου εἰς κατάσχεσιν· 50 τέθναθί τ' ἐν τῷ ὄρει ᾧπερ σὺ ἀναβαίνεις ἐκεῖσε, καὶ συναχθήσῃ πρὸς τοὺς λεώς σου, καθὰ τέθνηκεν ἀαρὼν ὁ ἀδελφός σου ἐν ὤρῳ τῷ ὄρει καὶ συνῆκται πρὸς τοὺς λεὼς αὐτοῦ· 51 ἐφοῖς παρέβητε εἰς ἐμὲ μέσον τῶν υἱέων τοῦ ἰσραέλου ἐν τοῖς ὕδασι τοῦ δικασμοῦ καδέσης τῆς ἐρήμου σινός, ἐφοῖς οὐχ ἡγιάσατέ με μέσον τῶν υἱέων τοῦ ἰσραέλου. 52 ἀπαντικρὺ γὰρ ὄψει τὴν γῆν, ἐκεῖσε δ' οὐκ ἐλεύσῃ πρὸς τὴν γῆν ἣν ἐγὼ δίδωμι τοῖς υἱέσι τοῦ ἰσραέλου.

XXXIII. (μερίς) 1 Αὕτη δ' ἡ εὐλογία ἣν εὐλόγησε μωσεὺς ὁ ἀνὴρ τοῦ θεοῦ τοὺς υἱεῖς ἰσραέλου πρὸ τοῦ τεθνάναι ἕ, 2 καὶ εἶπεν· ὁ ὀντωτὴς ἀπὸ ξινάϊδος ἧκει, καὶ ἀνατελεῖ πρὸς σεήρου σφίσιν, ἔφεγξεν ἀπ' ὄρους παρᾶνος, καὶ ἀφίξεται πρὸς τῶν μυριάδων τοῦ ἁγίου, ἐκ δεξιῶν αὐτοῦ πῦρ νόμου σφίσιν. 3 ἔτι φιλεῖ λαούς, πάντες οἱ ἅγιοι αὐτοῦ ἐν χειρί σοι· κἀκεῖνοι τυπήσονται τῷ ποδί σου, ἀρεῖ ἀπὸ τῶν

τοῦ λεῷ cod. et ed. Si malis τῷ λεῷ, nihil obstat. 46. τὴν καρδίαν recte ed. Nescio unde Mor. sumpserit τὰς καρδίας. Cf. ej. Bibl. Manuscr. p. 14. 47. ἐν ὑμῖν] בָּכֶם pro מִכֶּם 51. ἐφοῖς] sic (bis) cod. Cf. Gen. VI, 3. Prol. I, 4, d.

ῥήσεών σου. [4] νόμον ἐκέλευσεν ἡμῖν μωσεὺς, κληρονόμημα τῆς ἐκκλησίας ἰακώβου. [5] καὶ ὑπῆρξεν ἐν τῷ ἰσραελίσκῳ βασιλεὺς, ἐν τῷ συνάγεσθαι κεφαλὰς λεὼ, ἅμα τὰ σκῆπτρα τοῦ ἰσραέλου. [6] ζώη ῥεουβένης καὶ μὴ τεθναίη, τελέσειάν θ' οἱ θνητοί οἱ ἀριθμός. [7] Ἦδε τε τῷ ἰεούδῃ, καὶ εἶπε· πυθοῦ, ὀντωτὰ, τὴν φωνὴν τοῦ ἰεούδου, πρός τε τὸν λεὼν αὐτοῦ ἄξεις αὐτόν· αἱ χεῖρες αὐτοῦ ἄρχων αὐτῷ, καὶ σύναρσις πρὸς τῶν ἐχθρῶν αὐτοῦ τελέσεις.

[8] Τῷ δὲ λευῖνι ἔφη· ἡ τελειότης σου καὶ ὁ φωτισμός σου ἀνδρὶ ὁσίῳ σου, ᾧπερ πειράσῃς αὐτοῦ ἐν πείρᾳ, δικάσῃς αὐτῷ ἐπὶ ὕδατος δικασμοῦ. [9] ὁ λέγων τῷ πατρί οἱ καὶ τῇ μητρί οἱ· οὐ τεθέαμαί ἑ, τούς τ' ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω καὶ τοὺς υἱέας αὐτοῦ οὐκ ἔγνω· ὅτι ἐτήρησαν τὴν ῥῆσίν σου, καὶ τὴν συνθήκην σου φυλάξουσι· [10] διδάξουσι τὰς κρίσεις σου τῷ ἰακώβῳ καὶ τὸν νόμον σου τῷ ἰσραέλῳ, θήσουσι θυμίαμα ἐν θυμῷ σου καὶ ὁλοκαύτωμα ἐπὶ τοῦ θυτηρίου σου. [11] εὐλόγησον, ὀντωτὰ, τὴν δύναμιν αὐτοῦ, καὶ τοὔργον τῶν χειρῶν αὐτοῦ θελήσεις· ξύντριψον ψοιὰς ἐγειρομένων αὐτοῦ, καὶ μισηταὶ αὐτοῦ ἀπὸ τῶν ἐγερθησομένων.

[12] Τῷ βινιαμῖνι ἔφη· φίλος τοῦ ὀντωτοῦ, κατοικοίη πεποιθότως ἐπ' αὐτοῦ· σκέπων ἐπ' αὐτοῦ πάσῃ τῇ ἡμέρᾳ, μεταξύ τε τῶν ὤμων αὐτοῦ κατῴκησε. [13] Τῷ δ' ἰωξέφῃ ἔφη· εὐλογημένη τῷ ὀντωτῇ ἡ γῆ οἱ, ἀπό τ' ἀώτου οὐρανοῦ, ἀπὸ δρόσου, κἀπ' ἀβύσσου σηκουμένης κάτω, [14] ἀπό τ' ἀώτου προσόδων ἡλίου κἀπ' ἀώτου ἐκβολῆς μηνῶν, [15] ἀπό τε κεφαλῆς ὀρῶν ἀρχαιότητος κἀπ' ἀώτου λόφων αἰῶνος, [16] ἀπό τ' ἀώτου γῆς καὶ πληρώματος αὐτῆς καὶ τοῦ θελήματος τοῦ κατοικοῦντος βάτον, ἐπιδημήσειεν εἰς κεφαλὴν ἰωξέφου καὶ εἰς κορυφὴν τοῦ κεχωρισμένου τῶν ἀδελφῶν αὐτοῦ. [17] ὁ πρωτότοκος βοῦς αὐτοῦ, καλλονή οἱ, κέρα τε μονοκέρωτος τὰ κέρα οἱ· ἐν αὐτοῖς λαοῖς

XXXIII. 3. ῥήσεών σου] σου, quod codici deest, recte sine dubio jam in ed. suppletum (מִדַּבְּרֹתֶיךָ). 6. τελέσοιαν cod. et ed. 7. Ἦδε] litera initialis in ipso textu desideratur, sed adscripta est in margine (cf. Prol. II, 1, a). Ed. Ταδέ (sic). 8. ἐπειράσῃς cod., πειράσοις ed. 11. μισηταὶ] legendum μισητὰς vel μισητῶν 13. ἀπό τ' ἀώτου] ἀπὸ ταώτου cod. Item v. 14. 16. 15. ἀρχαιότατος cod. et ed. 17. λαοῖς] l. λαοὺς

κυρίξει, ἅμα πέρασι γῆς· κεῖνοι μὲν μυριάδες ἐφραΐμου, κεῖνοι δὲ χιλιάδες μενασέως. [18] Τῷ δὲ ζεβουλούνῃ ἔφη· τέρπου, ζεβουλούνη, ἐν τῷ ἐξιέναι σε, καὶ ἰσσαχάρε ἐν τῇ σκηνῇ σου. [19] λαοὶ ὄρους καλέσουσιν, ἐκεῖ ἱερεύσουσιν ἱερεῖα δικαιοσύνης· ἐπεὶ πλῆϑος ἡμερῶν ϑηλάσουσι, κεκαλυμμένα, κεκρυμμένα ψαμμάϑῳ. [20] Τῷ δὲ γάδῃ ἔφη· εὐλογητὸς ὁ πλατύνων γάδην· ὡς λέαινα κατοικεῖ, καὶ ἅρπαγμα βραχίονος ἔτι κορυφῆς. [21] εἶδέ τ' ἀρχὴν αὐτῷ, καὶ γὰρ ἐκεῖ μερὶς τυπωτοῦ ἐστεγασμένου, καὶ ἔϑραυσε κεφαλὰς λεώ· δικαιοσύνην τοῦ ὀντωτοῦ ἐποίησε καὶ κρίσεις αὐτοῦ σὺν ἰσραέλῳ.

[22] Τῷ τε δανὶ ἔφη· δὰν σκύλαξ λέοντος, ἁλεῖται ἀπὸ τοῦ βασᾶνος. [23] Τῷ ναφεταλῖνι ἔφη· ναφεταλὶς κεκορεσμένος ϑελήματος, πλήρης τ' εὐλογίας ὀντωτοῦ· ϑάλατταν καὶ νότον κληρώσεται. [24] Τῷ δ' ἀσέρῃ ἔφη· εὐλογητὸς ἐξ υἱέων ἀσέρης· εἴη ϑελητὸς τοῖς ἀδελφοῖς αὐτοῦ, βαπτίζων τ' ἐν ἐλαίῳ πόδα οἱ· [25] σίδηρος καὶ χαλκὸς τὰ ὑποδήματά σου, κἀν ταῖς ἡμέραις σου ἰσχύς σου. [26] οὐκ ἔστιν ὡς ὁ ϑεὸς ἰσραελίσκου, ὀχούμενος οὐρανοῖς ἐν τῇ βοηϑείᾳ σου, κἀν τῷ ὕψει αὐτοῦ πόλοι. [27] χῶρος ϑεὸς φϑάσεως, κάτωϑεν δὲ βραχίονες αἰῶνος· ἐξεβλήϑη δ' ἀπὸ τοῦ προσώπου σου ἐχϑρὸς, καὶ εἶπεν· ὀλόϑρευσον. [28] κατῴκησε δ' ἰσραέλος πεποιϑήσει, μόνος, πηγὴ ἰακώβου πρὸς γῇ πυροῦ καὶ γλεύκους· ἔτι τ' οὐρανοὶ αὐτοῦ στάξουσι δρόσον. [29] μακάριος εἶ, ἰσραέλε· τίς κατὰ σὲ λεὼς σεσωσμένος ἐν τῷ ὀντωτῇ, τῇ ἀσπίδι τῆς βοηϑείας σου, καὶ ὅπερ ξίφος τῆς ὑπεροχῆς σου; καὶ ἰσχνανοῦνται οἱ ἐχϑροί σου σοί, σὺ δ' ἐπὶ τῶν μετεώρων σφῶν πατήσεις.

XXXIV. [1] Τοιγαροῦν ἀνέβη μωσεὺς ἀπὸ τῶν ἐρήμων μωάβου πρὸς ὄρος νεβοῦς, τὴν κεφαλὴν τοῦ λόφου, ὅ ἐστιν ἐπὶ προσώπου ἱερεοῦς· ἔδειξε δέ οἱ ὁ ὀντωτὴς ξύμπασαν τὴν γῆν, τὸν γιλάδην ἄχρι δανὸς, [2] ξύμπαντά τε ναφεταλῖνα καὶ τὴν γῆν ἐφραΐμου καὶ μενασέως, ξύμπασάν τε τὴν γῆν ἰεούδου μέχρι ϑαλάττης τῆς

---

18. ἐν τῇ σκηνῇ σου] sing. pro plur. (בְּאֹהָלֶיךָ). 19. ἡμερῶν] יָמִים pro יַמִּים ψαμμάϑῳ, non ψαμάϑῳ, cod. 20. ἅρπαγμα] וְטָרַף pro וְטָרַף 21. τυποτοῦ cod. Cf. Num. XXI, 18. 25. κἀν ταῖς ἡμέραις σου] וּבְיָמֶיךָ pro וּכְיָמֶיךָ 26. ἔστιν cod., non ἔσται ut ed. 27. ἐξεβλήϑη] וַיְגָרֵשׁ pro וַיְגָרֶשׁ 28. οὐρανὸς c. cd. ed. 29. ὅπερ] immo ὅσπερ

XXXIV. 1. τῆς λόφου cod. Recte jam ed.

ἐσχάτης, [3]καὶ τὸν νότον τό τε πεδίον τῆς κοιλάδος ἱερεχοῦντος, τὴν πόλιν τῶν φοινίκων ἄχρι σοάρου. [4]καὶ εἶπεν ὁ ὀντωτὴς πρὸς αὐτόν· ἥδε ἡ γῆ ἣν ὤμοσα τῷ ἀβραάμῃ, τῷ ἰσάκῃ καὶ τῷ ἰακώβῳ τῷ φάναι· τῷ σπέρματί σου δώσω ταύτην· ἔδειξά σοι ἐν ὄμμασί σοι, κἀκεῖσε οὐ διαβήσῃ. [5]τέθνηκεν οὖν ἐκεῖ μωσεὺς ὁ οἰκέτης τοῦ ὀντωτοῦ ἐν γῇ μωάβου ἐπὶ στόματι τοῦ ὀντωτοῦ. [6]καὶ ἔθαψεν αὐτὸν ἐν τῇ φάραγγι ἐν γῇ μωάβου ἀντικρὺ τοῦ δόμου πεῶρος· οὐκ ἔγνω δὲ ἀνὴρ τὴν ταφὴν αὐτοῦ μέχρι τῆς ἡμέρας ταύτης. [7]μωσεὺς δὲ υἱεὺς ἑκατὸν καὶ εἴκοσιν ἐτῶν ἐν τῷ τεθνάναι ἑ· καὶ οὐκ ἐρρύσσωται τὸ ὄμμα οἱ οὔτ' ἀπέδρα τὸ κείνου ὑγρόν. [8]ἔκλαυσαν οὖν οἱ υἱεῖς ἰσραέλου τὸν μωσέα ἐν τοῖς ἐρήμοις μωάβου τριάκοντα ἡμέραις, καὶ ἐτέλεσαν τὸν κλαυθμὸν τοῦ πένθους μωσέως. [9]ἰωσούας δὲ ὁ υἱεὺς νούνου πέπλησται πνεύματος σοφίας, ἐπεὶ ἐστήριξε μωσεὺς τὼ χεῖρέ οἱ ἐπ' αὐτοῦ· καὶ ὑπήκουσαν αὐτῷ οἱ υἱεῖς ἰσραέλου καὶ ἐποίησαν καθάπερ ἐκέλευσεν ὁ ὀντωτὴς τῷ μωσεῖ. [10]οὔκουν ἐγήγερται προφήτης ἔτι ἐν ἰσραέλῳ κατὰ μωσέα, ὃς ἔγνω ἑ ὁ ὀντωτὴς πρόσωπον πρὸς πρόσωπον· [11]εἰς πάντα τὰ σημεῖα καὶ τὰ τέρατα ἅπερ ἔπεμψεν αὐτὸν ὁ ὀντωτὴς ποιῆσαι ἐν γῇ αἰγύπτου τῷ παρεῶνι καὶ πᾶσι τοῖς δούλοις αὐτοῦ πάσῃ τε τῇ γῇ αὐτοῦ, [12]εἴς τε πᾶσαν τὴν χεῖρα τὴν κραταιάν, εἴς τε πάντα τὸν φόβον τὸν μέγαν ὃν ἐποίησε μωσεὺς ἐν ὄμμασι παντὸς ἰσραέλου.

---

3. ἱερεουχοῦντος cod. et ed. Videtur primo ἱερεοῦντος scripturus fuisse. Cf. XXXII, 49. Num. XXII, 1 cet. 6. φάραγγι cod., non φαράγγῃ ut Mor. ait. 7. ἐρρύσσεται cod. et ed. 8. τὸν κλαυθμὸν] בְּכִי om. 10. ὃς] l. ὃν. Cf. XIII, 3 cet.

I.] Παραβολαὶ σελομῶνος υἱέως δαυίδου βασιλέως ἰσραέλου· [2] εἰδέναι σοφίαν καὶ παιδείαν, ξυνιέναι ῥήματα ξυνέσεως, [3] λαμβάνειν παιδείαν, νοεῖν δικαιοσύνην κρίσιν τε καὶ εὐθύτητας, [4] διδόναι νηπιάχοις περιφροσύνην, νέῳ φρόνησιν καὶ σκέψιν. [5] ἀκούσεται σοφὸς καὶ προσθήσει λῆμμα, συνετός τ' ἀναπολήσεις κτήσεται· [6] ξυνιέναι παραβολὴν καὶ ῥητορείαν, λόγους σοφῶν καὶ αἰνίγματα σφῶν. [7] φόβος τοῦ ὀντωτοῦ ἀρχὴ γνώσεως· σοφίας καὶ παιδείας ἄφρονες κατεφρόνησαν.

[8] Ἄκουσον, υἱεῦ ἐμέ, τῆς παιδείας τοῦ σοῦ πατρός, καὶ μὴ παρῇς τὸν νόμον τῆς σῆς μητρός· [9] ἐπεὶ κόλλησις χάριτος τελεῖ κεφαλῇ τῇ σῇ, καὶ ὅρμος τῷ σῷ τραχήλῳ. [10] υἱεῦ ἐμέ, εἰ ἀπατῷέν σε ἁμαρτωλοί, μὴ θελήσῃς· [11] εἴπερ φαῖεν· δεῦρο ξὺν ἡμῖν, ἐνεδρεύσωμεν αἵματι, κρύψωμεν τῷ ἀθώῳ προῖκα· [12] καταπίωμεν ὡς ᾅδης ζῶντας, καὶ τελείους ὡς κατιόντας βόθρῳ· [13] πᾶσαν περιουσίαν τιμίαν εὑρήσομεν, πλήσομεν τὰς ἡμῶν οἰκίας λείας· [14] τὸν σὸν κλῆρον ῥίψεις μέσον ἡμῶν, βαλλάντιον ἓν τελέσει πᾶσιν ἡμῖν. [15] υἱεῦ ἐμέ, μὴ ἀπέλθῃς ἐν ὁδῷ ξὺν αὐτοῖς, ἐπίσχες πόδα τὸν σὸν ἀπὸ τῶν διόδων αὐτῶν· [16] οἱ γὰρ πόδες αὐτῶν εἰς κακὸν δραμοῦνται καὶ σπεύδουσι χέαι αἷμα. [17] κενῶς γὰρ σκορπίζεται

I. 1. σελομῶντος c. cd. ed. Sed ita XXV, 1 (non X, 1) cod. 5. ἀναπολήσεις cod., non ἂν ἀπολύσεις ut ed. 6. παραβολὰς c. cd. ed. 8. τῆς σου (πατρὸς) c. cd. ed. παρῇς cod., non παρήσῃς ut ed. 9. τελεῖ] הוּא pro הֵם. An emendandum τελεῖτον? 12. καταπίωμεν] suff. om. (כִּבְלָעֵם). κατιέντας c. cd. ed. 13. τὰ ἡμ. οἰκία c. cd. ed. 14. μέσον cod., non μετὰ ut ed. βαλάντιον c. cd. ed. 15. διόδων αὐτῆς cod. et ed. (cf. Dahl. ad h. l.). Legit מִנְּתִיבֹתָם (ut codd. Kenn. 76. 100, Ross. 368) pro מִנְּתִיבָתָם. Item LXX. Hieron. al. 16. δραμοῦντες (-το?) corr. δραμοῦνται cod. Perperam Vill. „Supra τὸ αι τοῦ δραμοῦνται in codice superscriptum est ες, ut indicaretur varians lectio, sive emendatio, δραμοῦντες.“

τὸ δίκτυον ἐν ὄμμασι παντὸς κυριεύοντος πτέρυγος· [18] αὐτοὶ δ' εἰς αἷμα σφῶν ἐνεδρεύσουσι, κρύψουσι ταῖς ψυχαῖς αὐτῶν. [19] οὕτως αἱ ὁδοὶ παντὸς ἀφαιρουμένου ἀφαίρεσιν· τὴν ψυχὴν τοῦ δεσπότου αὐτοῦ λήψεται.

[20] Αἱ σοφίαι θύρασι κελαδήσουσιν, ἐν ταῖς πλατείαις δώσει τὴν φωνὴν ἑαυτῆς· [21] ἐν κρατὶ ὄχλων βοήσει· ἐν ἀνοιγαῖς πυλῶν, ἐν πόλει τὰ ῥήματα ταύτης ἐρεῖ· [22] ἄχρι τοῦ, νηπίλοι, φιλήσετε νηπιότητα, ὕβριν τε καὶ φλυαρίαν ποθήσετε ὑμῖν αὐτοῖς, καὶ ἄφρονες μισήσετε γνῶσιν; [23] στραφήσεσθε τῷ ἐλέγχῳ μου, αὐτίκα βλύσω ὑμῖν πνεῦμα τοὐμὸν, γνωριῶ τοὺς ἐμοὺς λόγους ὑμῖν. [24] ἀνθῶν ἐκάλεσα, καὶ ἀπηνήνασθε, ἔκλινα χεῖρα τὴν ἐμὴν, καὶ οὐδεὶς ἠκροᾶτο, [25] ἀπείπασθέ τε πᾶσαν τὴν ἐμὴν βουλὴν, τὸν ἔλεγχόν μου οὐκ ἠθελήσατε· [26] ἔτιπερ ἔγωγ' ἐν τῷ ξυντριμμῷ ὑμῶν γελάσομαι, μωκήσομαι ὅταν ἀφικνῆται ὁ φόβος ὑμῶν· [27] ὅταν ἀφικνῆται ὡς ποντισμὸς ὁ φόβος ὑμῶν, καὶ ἡ συντριβὴ ὑμῶν ὡς λαίλαψ παραγίνηται, ὅταν ἀφικνῆται ἐφ' ὑμᾶς θλίψις καὶ στενοχωρία· [28] τότε καλέσουσί με, καὶ οὐκ ἀποκρινοῦμαι, ὀρθριοῦσί μοι, καὶ οὐχ εὑρήσουσί με· [29] ἀνθότου ἐμίσησαν γνῶσιν, καὶ τὸν φόβον τοῦ ὀντωτοῦ οὐχ εἵλοντο. [30] οὐκ ἠθέλησαν τῇ ἐμῇ φωνῇ, ἐμυσάξαντο πάντα τὸν ἐμὸν ἔλεγχον· [31] ἔδονται τοίνυν ἀπὸ τοῦ καρποῦ τῶν ὁδῶν αὐτῶν, ἀπὸ τῶν βουλευμάτων αὐτῶν ἐμπλησθήσονται. [32] ἐπαναστροφὴ γὰρ νηπιάχων φονεύσει σφᾶς, ἀνάπαυσίς τ' ἀφρόνων ἀπολεῖ σφᾶς· [33] ὁ δ' ἀκούων μου κατοικήσει πεποιθήσει καὶ ἠρεμείᾳ πρὸς φόβου κακοῦ.

---

19. τοῦ δεσπότου] בַּעְלוֹ temere pro בְּעָלָיו C. G. conjicit. Cf. Prol. II, 2, b. 22. νηπίλοι hoc uno loco exstat. Emendandum puto νηπίαχοι (cf. v. 4. 32 etc.). Ceterum in altero hemistichio mirum quantum a textu Hebr. discedit, quum וְלֵצִים לָצוֹן vertit ὕβριν τε καὶ φλυαρίαν, ac dein חָמְדוּ לָהֶם in 2. personam ποθήσετε ὑμῖν αὐτοῖς; item יִשְׂנְאוּ μισήσετε. Cf. Dahl. 24. ἀνθῶν] sic cod., itemque v. 29 ἀνθότου. Cf. Prol. I, 4, d. 27. λαίλαψ, non λαῖλαψ, cod.; item θλίψις, non θλῖψις (cf. Prol. I, 4. c). De concursu vocabulorum θλίψις καὶ στενοχωρία cf. Prol. II, 4, b. 30. φωνῇ recte, ut videtur, ex βουλῇ (לַעֲצָתִי) corruptum esse Dahl. conjicit. Cf. VIII, 14 cet. 31. τῶν ὁδῶν] דַּרְכֵיהֶם pro דַּרְכָּם 33. ἠρεμείᾳ] ita Villoisonio duce edidimus pro cod. ἠρεμεία. Legendum fort. ἠρεμίᾳ (cf. XXVI, 26) vel ἠρεμεί. Vix recte ἠρεμήσει C. B. conjicit.

II. [1] Υἱεῦ ἐμέ, ἐὰν λάβῃς τοὺς ἐμοὺς λόγους, τά τ' ἐμὰ κελεύσματα κρύψῃς παρὰ σαυτῷ, [2] ὡς ἀκροῷτο τῆς σοφίας τὸ σὸν οὖς, κλίνεις καρδίαν τὴν σὴν τῇ συνέσει· [3] ὅτι ἐὰν τὴν φρόνησιν καλέσῃς, τῇ συνέσει δῷς φωνὴν τὴν σήν, [4] ἐὰν ζητήσῃς αὐτὴν ὡς ἄργυρον, καὶ ὡς θησαυροὺς ἐρευνήσῃς αὐτήν· [5] τότε συνήσεις τὸν φόβον τοῦ ὀντωτοῦ, καὶ τὴν γνῶσιν τοῦ θεοῦ εὑρήσεις. [6] ὁ γὰρ ὀντωτὴς δώσει σοφίαν, ἀπὸ τοῦ στόματος αὐτοῦ γνῶσις καὶ σύνεσις· [7] κρύψει τοῖς εὐθέσιν ὕπαρξιν, ἀσπίδα τοῖς πορευομένοις τελειότητι, [8] ὥστε τηρεῖν ἀτραποὺς κρίσεως, καὶ ὁδὸν τῶν ὁσίων αὐτοῦ φυλάξει· [9] τότε ξυνήσεις δικαιοσύνην καὶ κρίσιν, εὐθύτητάς τε πάσης ὁδοῦ χρηστῆς. [10] ἐλεύσεται γὰρ σοφία εἰς τὴν σὴν καρδίαν, γνῶσίς τε τὴν σὴν ψυχὴν ἥσει· [11] σκέψις φυλάξει ἐπὶ σοῦ, σύνεσις τηρήσει σε, [12] ὡς ἀπαλλάξειέ σε ἀφ' ὁδοῦ κακῆς, ἀπ' ἀνδρὸς διαλεγομένου διαστροφάς· [13] τῶν παριέντων τὰς ἀτραποὺς τῆς εὐθύτητος ὡς βαδίζοιεν ἐν ὁδοῖς σκότους, [14] τῶν εὐφραινομένων ὡς κακοποιοῖεν, χαιρήσουσιν ἐν διαστροφαῖς κακῶν, [15] οἷς αἱ σφῶν ἀτραποὶ σκολιαί, καὶ ἐκκλίνουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν· [16] ὡς ἀπαλλάξειέ σε πρὸς γυναικὸς ἀλλοτρίας, ἀπὸ ξένης, τοὺς λόγους αὐτῆς ἐλέανε, [17] παριείσης τὸν χιλίαρχον τῆς νεότητος αὐτῆς, καὶ τῆς ξυνθήκης τοῦ ταύτης θεοῦ ἐπιλανθανομένης· [18] ἐβόθρωσε γὰρ πρὸς θάνατον τὸν οἶκον ἑαυτῆς, καὶ πρὸς τοὺς νεκροὺς τὰς ὁδοὺς ἑαυτῆς· [19] πάντες οἱ ἐρχόμενοι ταύτῃ οὐχ ὑποστρέψουσιν οὐδὲ φθάσουσιν ἀτραποὺς ζωῆς. [20] ἵνα ἀπέλθῃς ἐν ὁδῷ χρηστῶν, καὶ ἀτραποὺς δικαίων φυλάξῃς· [21] εὐθεῖς γὰρ κατοικήσουσι γῆν, καὶ τέλειοι πληθυνθήσονται ἐν αὐτῇ· [22] ἀσεβεῖς δὲ ἐκ γῆς ὀλοθρευθήσονται, καὶ ἀντάρται ἑλκυσθήσονται ἀπ' αὐτῆς.

III. [1] Υἱεῦ ἐμέ, νόμου τοῦ ἐμοῦ μὴ ἐπιλανθάνου, τά τ' ἐμὰ κελεύσματα φυλαξάτω ἡ σὴ καρδία· [2] μῆκος γὰρ ἡμερῶν καὶ ἐτῶν ζωῆς

II. 2. κλινεῖς c. cd. ed. Leg. fort. κλίνῃς aut κλίνοις 7. κρύψει] lect. marg. (יִצְפֹּן) exprimit (pro יִצְפֹּן). At יצפן in textu habent codd. Ross. 224. 304 (Hisp.). 10. ἐκ τῆς σῆς καρδίας corr. εἰς τὴν σὴν καρδίαν cod. 14. κακῶν] κακοῦ (רָע)? Cf. XV, 26. XXVIII, 5. 15. ἀτραπαὶ cod. 18. αὐτῆς (bis) corr. ἑαυτῆς cod., non αὑτῆς ut ed. 22. ἑλκυσθήσονται] יִסַּחוּ pro יִסָּחוּ (cf. XV, 25), si יִסָּחוּ non pro fut. Nif. habuit. Cf. Delitzsch ad h. l.

καὶ εἰρήνην προσϑήσουσί σοι. [3] ἔλεος καὶ ἀλήϑεια μὴ καταλιμπανέτωσάν σοι· δῆσον αὐτοὺς ἐπὶ τοῦ γαργαρεῶνός σου, γράψον αὐτοὺς ἐπὶ τῆς πλακὸς τῆς καρδίας σου, [4] καὶ εὑρὲ χάριν καὶ νοῦν χρηστὸν ἐν ὄμμασι ϑεοῦ καὶ ἀνϑρώπου. [5] πέποιϑε ἐπὶ τὸν ὀντωτὴν ἐν ὅλῃ καρδίᾳ σου, καὶ τῇ ξυνέσει σου μὴ ἐπερείδου· [6] ἐν πάσαις ταῖς σαῖς ὁδοῖς γίνωσκε αὐτὸν, καὶ αὐτὸς ἰϑυνεῖ τὰς σὰς ἀτραπούς. [7] μὴ τέλει σοφὸς ἐν ὄμμασι σοῖς· φοβοῦ τὸν ὀντωτὴν καὶ ἀφίστασο κακοῦ. [8] .... καὶ ἀρδεία τοῖς σοῖς ὀστοῖς. [9] δόξαζε τὸν ὀντωτὴν ἀπὸ περιουσίας τῆς σῆς, ἀπό τε τῆς ἀρχῆς πάσης εἰσφορᾶς τῆς σῆς· [10] πλησϑήσονται γοῦν αἱ ἀποϑῆκαί σου κόρου, γλεύκει αἱ ληνοί σου καϑαιρεϑήσονται.

[11] Παιδείαν τοῦ ὀντωτοῦ, υἱεῦ ἐμὲ, μὴ βδελύττου, μηδὲ στενοχωροῦ ἐν τῷ ἐλέγχῳ αὐτοῦ· [12] ἐπεὶ ὃν φιλοίη ὁ ὀντωτὴς ἐλέγξει, καὶ ὡς πατὴρ τὸν υἱὸν ἐϑελήσει. [13] μακάριος ὁ ἄνϑρωπος ὃς εὗρε σοφίαν, καὶ ἄνϑρωπος προσενέγκας ξύνεσιν· [14] κρεῖττον γὰρ ἐμπορεύεσϑαι ταύτην τοῦ ἐμπορεύεσϑαι ἄργυρον, ὑπέρ τε χρυσὸν ἡ ταύτης εἰσφορά· [15] ἀξιωτέρα τελεῖ λιϑίδων, καὶ ἀτταοῦν ....; [16] μῆκος ἡμερῶν ἐν τῇ δεξιᾷ ταύτης, ἐν δὲ τῇ εὐωνύμῳ ταύτης πλοῦτος καὶ δόξα· [17] αἱ ὁδοὶ ταύτης ὁδοὶ ἡδύτητος, πᾶσαί τε αἱ δίοδοι ταύτης εἰρήνη· [18] ξύλον ζωῆς ἐστι τοῖς δραττομένοις ἐν αὐτῇ, ὅ τ' ἐρειδόμενος ταύτῃ μακαρίζεται. [19] ὁ ὀντωτὴς ἐν σοφίᾳ ἐϑεμελίωσε τὴν γῆν, κατήρτισε τοὺς οὐρανοὺς ἐν ξυνέσει· [20] ἐν τῷ γινώσκειν αὐτὸν ἄβυσσοι ἐρρώγασι, καὶ ἀέρες ῥεύσουσι δρόσον.

III. 3. καταλ. σε? αὐτὰ (bis) pro cod. αὐτοὺς (cf. Mor.!) Vill. (ex emendatione?) edidit. At in mente habuisse potest translator τοὺς λόγους (sc. νόμου τοῦ ἐμοῦ; cf. v. 1. VI, 21. VII, 2. Deut. VI, 8. XI, 18). 6. ἐν πάσαις cod., non ἁπάσαις ut ed. 8. Totus primo hic versus inerat in codice, atque prius ejus membrum in extrema linea folii 281 b, alterum in prima folii subsequentis scriptum erat. Postea, utroque eraso, verba καὶ ἀρδ. τ. σ. ὀστ. in locum prioris hemistichii scripta sunt, hoc autem ipsum (cf. text. Hebr. רִפְאוּת תְּהִי לְשָׁרֶּךָ) omnino oblivione suppressum. 13. εὗρε cod., non εὕρῃ ut ed. προενέγκαι cod., προσενέγκας conj. C. B. 15. Post ἀτταοῦν (major lineae pars in codice vacua, in margine lineola; cf. Prol. I, 3, b) de suo Vill. addidit: ϑελήματά σου οὐχ ἰσωϑήσονται αὐτῇ (cf. Mor.). Desunt textus Hebr. haec: וְכָל־[חֲפָצֶיךָ לֹא יִשְׁווּ־בָהּ]. 18. ὅ τ' ἐρειδόμενος] וְתֹמְכָהּ pro וְתֹמְכֶיהָ (C. T.). Item Hier. 19. ἐν σοφίᾳ] ἡ σοφία cod. κατήρτησε cod.

[21] υἱεῦ ἐμέ, μὴ ἐκλειπέτωσαν ἀπὸ τῶν σῶν βουλῶν, φύλασσε ὕπαρξιν καὶ σκέψιν· [22] καὶ τελέσει ζωὴ ψυχῇ τῇ σῇ, καὶ χάρις τῇ σῇ φάρυγγι· [23] τότε πορεύσῃ πεποιθότως τὰς σὰς ὁδοὺς, τούς τε σοὺς πόδας οὐ προσκόψεις. [24] ἐὰν κοιμᾷ οὐκ ὀρρωδήσεις, ὑπνώσεις γε μὴν, ἡδὺς οὖν ὁ σὸς ὕπνος. [25] μὴ φοβηθῇς ἀπὸ φόβου αἰφνιδίου, πρός τε ξυρροίας ἀσεβῶν ἐπὰν ἀφικνοῖτο· [26] ὁ γὰρ ὀντωτὴς τελέσει ἐν τῇ σῇ ἐλπίδι, καὶ φυλάξει τοὺς σοὺς πόδας ἀπὸ συλλήψεως. [27] μὴ ἐπέχῃς χρηστὸν ἀπὸ τῶν δεσποτῶν αὐτοῦ, ἐν τῷ εἶναι τῷ θεῷ τὴν χεῖρά σου ὥστε ποιεῖν. [28] μὴ λέγε τῷ ἑταίρῳ σου· ἄπιθι, ὑπόστρεψον, καὶ αὔριον δώσω· ἔστι μέντοι παρὰ σοί. [29] μὴ τέκταινε κατὰ τοῦ σοῦ φίλου κάκωσιν, καίτοι ἐκεῖνος καθέζεται πεποιθότως ξὺν σοί. [30] μὴ ἔριζε ξὺν ἀνθρώπῳ διακενῆς, εἴπερ μὴ ἔτισέ σοι κακόν. [31] μὴ ζήλου εἰς ἄνδρα ἀδικίας, καὶ μὴ αἱροῦ ἁστινασοῦν ὁδοὺς αὐτοῦ· [32] μύσος γάρ ἐστι τῷ οὐσιωτῇ ὁ ἐκκεκλιμένος, ξὺν τοῖς εὐθέσι δὲ τὸ κείνου ἀπόρρητον. [33] ἀρὰ τοῦ ὀντωτοῦ ἐν οἴκῳ ἀσεβοῦς, χώρα δὲ δικαίων εὐλογηθήσεται. [34] ἣν τοῖς παίκταις αὐτὸς παίξῃ, καὶ τοῖς πραέσι δώσει χάριν· [35] δόξαν σοφοὶ κληρονομήσουσι, τοὺς δ' ἄφρονας ὑψοῖ ἀτιμία.

IV. ° [1] Ἀκούετε, υἱεῖς, παιδείαν πατρὸς, καὶ ἀκροᾶσθε ὥστε εἰδέναι ξύνεσιν· [2] λῆμμα γὰρ χρηστὸν ἔδωκα ὑμῖν, τὸν ἐμὸν νόμον μὴ ἐᾶτε. [3] υἱὸς γὰρ ἐτέλεσα τῷ πατρί μου τέρην, καὶ μόνος ἐνώπιον τῆς ἐμῆς μητρός· [4] ἐπαίδευσέ τε ἐμὲ καὶ εἶπέ μοι· ἐστηρίχθω

---

21. τῆς σῆς βουλῆς c. cd. ed. Sed βουλῶν corruptum esse videtur ex βολῶν (sc. ὀφθαλμῶν [מֵעֵינֶיךָ]), ut acute C. A. conjicit. Vix enim credideris interpretem מֵעֵינֶיךָ cum מֵעֲדָתֶיךָ (C. G.) confudisse, praesertim quum עֵדָה nusquam (ut LXX Ps. I, 5) βουλή reddat. Potius de מֵעֲצָתֶיךָ (C. B.) cogitari posset. 22. καὶ τελέσει] C. G. „Videtur וִיהִיָה (pro וְיִהְיוּ) legisse". Minime. Pluralem verbi ad pluralem substantivi (חַיִּים) refert, itaque hoc et illud singulariter reddit. 23. πορεύσει corr. πορεύσῃ cod. 24. ἡδὺς ἡδὺς cod. 32. μῦσος c. cd. ed. Cf. Prol. I, 4, c. 33. οἴκῳ] ita, ni fallor, ex corr. cod. Ed. ὁδῷ, quod primo mihi scriptum fuisse videtur. χῶρα cod. An voluit χῶρος (cf. Exod. XV, 13)? Audacius C. B. δῶμα conjicit. εὐλογηθήσεται] C. A. „Legit sine dubio יְבָרֵךְ (pro יְבָרֵךְ)". Immo יְבֹרַךְ. Cf. not. ad Gen. XLVIII, 20. 34. ταῖς παίκταις cod. παίξῃ cod., non παίξει ut ed.

IV. 4. ἐστηρίχθην cod. Emendationem Vill. praeivit. Ceterum non est cur יִתְמָךְ (C. T.) pro יִתְמָךְ supponatur. Cf. XI, 16. XXVIII, 17 cet.

τοῖς ἐμοῖς λόγοις ἡ σὴ καρδία, φύλαξον ἐντολὰς τὰς ἐμάς, καὶ ζώῃς· [5] κέκτησο σοφίαν, κέκτησο σύνεσιν· μὴ ἐπιλανθάνου καὶ μὴ κλίνῃς ἀπὸ ῥημάτων ἐμοῦ στόματος· [6] μὴ καταλίμπανε ταύτην, καὶ φυλάξει σε· φίλει ταύτην, καὶ ξυντηρήσει σε. [7] ἀρχὴ σοφίας· κέκτησο σοφίαν, ἐν πάσῃ τε τῇ κτήσει σου κέκτησο σύνεσιν. [8] ταλαροθέτησον αὐτήν, καὶ ὑψώσει σε, δοξάσει σε ἐπὰν περιπλακείης ταύτην· [9] δώσει τῇ κεφαλῇ σου συναφὴν χάριτος, στέφανον εὐπρεπείας θυρεώσει σοι. [10] πυθοῦ, υἱεῦ ἐμέ, καὶ λάβε τοὺς ἐμοὺς λόγους, πληθυνθήσονται γοῦν σοι ἔτη βιοτῆς. [11] ἐν ὁδῷ σοφίας ἐδίδαξά σε, ὡδήγησά σε ἐν περιόδοις εὐθύτητος. [12] ἐπὰν ἀπέρχοιο οὐ στενωθήσεται τὸ σὸν διάβημα, ἐπάν τε τρέχοις οὐ προσκόψεις. [13] λαβοῦ ἐν παιδείᾳ, μὴ παρῇς· φύλαξον αὐτήν, αὐτὴ γάρ ζωή σοι. [14] εἰς ὁδὸν ἀσεβῶν μὴ ἀφίκῃ, μήτε περιλειφθῇς ἐν ὁδῷ κακῶν· [15] ὑπέρβα ταύτην, μὴ διέλθῃς ἐν αὐτῇ· κλῖνον ἀπ' αὐτῆς καὶ διάβηθι. [16] οὐ γὰρ ὑπνώσουσιν ἣν μὴ κακώσουσιν, ἡρπάγη ὁ ὕπνος σφῶν ἣν μὴ συμποδίσουσιν· [17] ἐσιτήσαντο γὰρ ἄρτον ἀσεβείας, καὶ οἶνον ἀδικιῶν πίονται. [18] ὁδὸς δὲ τῶν δικαίων ὡς φῶς αὐγῆς ἀπιόν, καὶ φῶς ἄχρι τοῦ καθεστῶτος τῆς ἡμέρας. [19] ὁδὸς ἀσεβῶν ἐν ὁμίχλῃ, οὐκ ἔγνωσαν ἐν τίνι προσκόψουσιν.

[20] Υἱεῦ ἐμέ, τῶν λόγων μου ἀκροῶ, τοῖς ῥήμασί μου κλῖνον τὸ σὸν οὖς· [21] μὴ ἐκκλινάντων ἀπ' ὀμμάτων σοι, φύλαξον αὐτοὺς μέσον τῆς σῆς καρδίας· [22] ζωὴ γάρ εἰσι τοῖς εὑρίσκουσιν αὐτούς, καὶ πάσῃ τῇ σαρκὶ αὐτῶν θεραπεία. [23] ἀπὸ παντὸς τηρήματος φύλαξον σὴν καρδίαν, ἐξ αὐτοῦ γὰρ ἔξοδοι ζωῆς. [24] ἄφελε ἀπὸ σαυτοῦ σκολιότητα στόματος, καὶ ἔκκλισιν χειλέων ἀπόστησον ἀπὸ σαυτοῦ. [25] οἱ ὀφθαλμοί σου ἀντικρὺ ἀτενιζέτωσαν, καὶ αἱ κόραι

---

4. φύλαξον] ita sine dubio pro cod. φύλαξε scribendum erat, non φύλαξαι (Dahl.). Cf. v. 13. 23 cet. 7. ἀρχὴ σοφία aut ἀρχῇ σοφίας nescio qua ratione legi vult C. B. Supplendum est ἐστί. Cf. Delitzsch: *„Der Weisheit Anfang ist «Erwirb Weisheit»“*. 9. θυρεώσει cod., non θυρώσει ut ed. 10. πυθοῦ] non est cur πιθοῦ (C. G.) aut πύθου (! C. B.) emendetur. 14. περιλειφθῇς] תִּשָּׁאֵר pro תֵּאַשֵּׁר (cf. Gen. XLII, 38. Exod. X, 26 cet.). 16. κακώσωσιν — συμποδίσωσιν? 19. ἐν ὁμίχλῃ] בָּאֲפֵלָה pro 'כָּאֲ. Ita codd. nonn. mss. et Bibl. Brix. 21. ἐκκλινάντω c. cd. ed. 22. τῇ σαρκὶ αὐτῶν] בְּשָׂרָם pro בְּשָׂרוֹ (C. G.) ut cod. Kenn. 180. Sed potest ut parallelismi causa plurali pro singulari usus sit (C. A.). Cf. Prol. II, 2, f.

σου εὐϑυνέτωσαν ἐνώπιόν σου. [26] ὄϑυνε τρίβον τῶν σῶν ποδῶν, πᾶσαι αἱ ὁδοί σου καταρτιζέσϑωσαν· [27] μὴ κλίνῃς δεξιὰ καὶ ἀριστερά· ἄφελε σοὺς πόδας ἀπὸ κακοῦ. V. [1] υἱεῦ ἐμέ, τῆς σοφίας μου ἀκρόασαι, τῇ συνέσει μου κλῖνον τὸ σὸν οὗς, [2] ὡς φυλάττοις σκέψεις, καὶ γνῶσιν τὰ χείλη σου τηροῖεν. [3] ὅτι κηρίον στάξουσι χείλη ἀλλοτρίας, καὶ ἁπαλὴ ὑπὲρ ἔλαιον ἡ φάρυγξ αὐτῆς· [4] τὸ δὲ τελευταῖον αὐτῆς πικρὸν ὡς ἀψίνϑιον, ὀξὺ κατὰ μάχαιραν ἀμφήκη. [5] οἱ πόδες αὐτῆς, κατιοῦσα μόρφ, ᾅδη τὰ διαβήματα ταύτης ἐρεισϑήσονται. [6] ὁδὸν ζωῆς μήποτε κατευϑύνῃ, κεκίνηνται αἱ ἀναστροφαὶ αὐτῆς, οὐ γνώσεται.

[7] Νῦν οὖν, υἱεῖς μοι, ἀκούετέ μου καὶ μὴ ἀφίστασϑε τῶν λόγων τοῦ ἐμοῦ στόματος. [8] ἀπόστησον ἀπ' αὐτῆς τὰς σὰς ὁδοὺς μήτ' ἐγγίσῃς τῇ πύλῃ τῆς οἰκίας αὐτῆς, [9] μήποτε δῷς τοῖς ἀλλοτρίοις τὸ σὸν κάλλος καὶ τὰ ἔτη σου τῷ ἀπανϑρώπῳ· [10] μήποτε κορεσϑῶσιν ἀλλότριοι τῆς σῆς ἰσχύος καὶ τῶν σῶν πόνων ἐν οἴκῳ ἀλλοτρίῳ, [11] οἰμώξῃς τ' ἐν τῷ ἐσχάτῳ σου, ἐν τῷ φϑείρεσϑαι τὴν σὴν σάρκα τά τε σὰ κρέα, [12] καὶ εἴπῃς· πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχων κατεφρόνησεν ἡ ἐμὴ καρδία· [13] καὶ οὐχ ὑπήκουσα τῆς φωνῆς τῶν διδασκόντων με, τοῖς τ' ἐμοῖς παιδευταῖς οὐκ ἔκλινα τοὐμὸν οὖς· [14] κατολίγον γέγονα ἐν παντὶ κακῷ μέσον ἐκκλησίας καὶ ἀγορᾶς. [15] πίνε ὕδατα πρὸς τοῦ σοῦ λάκκου, καὶ ῥεύματα ἐκ μέσου τῶν σῶν φρεάτων. [16] σκορπιζέσϑωσαν αἱ πηγαί σου ἔξω, ἐν ταῖς πλατείαις αἱ διανομαὶ τοῦ σοῦ ὕδατος· [17] ἔστωσάν σοι μόνῳ,

26. τρίβον] ita duce textu Hebr. (מַעְגַּל) pro cod. τρί scribendum erat (C. A.), non τρίβους (Vill. et C. G.). 27. δεξιᾷ κ. ἀριστερᾷ anonymus in margine exemplaris mei corr. Sed accusativo ubique utitur. Cf. Num. XX, 17. XXII, 26. Deut. II, 27 (δεξιὰν κ. ἀριστερὰν), V, 29 cet.

V. 5. κατιοῦσα] sic cod., non κατιοῦσι ut (typ. vitio?) ed. An voluit κατιοῦσαι (יֹרְדוֹת, sc. αἱ ἀλλοτρίαι sive αἱ ὁδοὶ τῆς ἀλλοτρίας; cf. VII, 27)? 7. υἱεῖς μοι] בָּנַי pro בָּנִים (C. B.). Cf. Prol. I, 2, i. 11. τά τε σὰ κρέα] Dahl. „Num legit וּשְׁאֵרֶיךָ cum cod. 192 apud Kenn. (pro וּשְׁאֵרֶךָ i. p.)?“ Nisi vero Graeci sermonis elegantiae causa pluralem usurpavit. Cf. XXIII, 20. 12. ἐλέγχων] Dahl. „Fort. וְתוֹכָחוֹת in codice suo habuit, vel legi potest ἔλεγχον.“ At facile sane talibus conjecturis caremus. Cf. Prol. II, 2, b. 15. πίνε, non πῖνε, cod. ἐκ μέσου cod. et ed. Cf. Deut. XIII, 6. XVII, 7 cet. 16. τοῦ σοῦ ὕδατος] Dahl. „Etiam LXX et Vulg. adjiciunt pronomen, sive varia lectione subnixi, sive sensum apertius expressuri.“

καὶ μὴ ἀλλοτρίοις ξὺν σοί· [18] ἔστω ἡ σὴ φλέψ εὐλογημένη, καὶ χαῖρε παρὰ γυναικὸς νεότητός σου. [19] ἔλαφος φιλιῶν καὶ δορκὰς χαρίεσσα· αἵ ταύτης φιλίαι πληρούντων σε ἐν παντὶ καιρῷ, ἐν ἀγάπῃ ταύτης πλανηθήσῃ ἐς ἀεί. [20] καὶ διατί πλημμελήσῃς, υἱεῦ ἐμέ, ἐν ἀλλοτρίᾳ, καὶ περιπλακήσῃ κόλπῳ ὀθνείαν; [21] ἀντικρὺ γὰρ τῶν ὀφθαλμῶν τοῦ θεοῦ αἵ ὁδοὶ τοῦ ἀνθρώπου, καὶ πάσας τὰς ἀναστροφὰς αὐτοῦ ταλαντεύει. [22] τὰ ἀμπλακήματά οἱ συλλήψονται τὸν ἀσεβῆ, καὶ ταῖς σχοίνοις τῶν ἁμαρτιῶν αὐτοῦ στηριχθήσεται. [23] ἐκεῖνος τεθνήξεται ἐν ἀπαιδευσίᾳ, καὶ ἐν τῷ πλήθει τῆς ἀφελείας αὐτοῦ πλημμελήσει. [1] υἱεῦ ἐμέ, εἴπερ ἠγγύησαι σὸν φίλον, ἐδούπησας ἀλλοτρίῳ τὰς σὰς παλάμας, [2] πεπαγίδευσαι τοῖς λόγοις τοῦ σοῦ στόματος, συνείληψαι τοῖς ῥήμασι τοῦ στόματός σου· [3] ποίησον τοδὶ νῦν, υἱεῦ ἐμέ, καὶ ἀπαλλάγηθι, ἐπείπερ ἀφῖξαι εἰς παλάμην τοῦ σοῦ φίλου· ἄπιθι, πατήθητι, καὶ ἐνίσχυσον τὸν σὸν φίλον. [4] μὴ δῷς ὕπνον τοῖς σοῖς ὀφθαλμοῖς καὶ νυσταγμὸν ταῖς σαῖς κόραις· [5] ἀπαλλάγηθι ὡς δορκὰς πρὸς χειρός, καὶ ὡς ὄρνις ἀπὸ χειρὸς θηρατῆρος. [6] ἄπιθι πρὸς τὸν μύρμηκα, ὀκνηρέ, θέασαι τὰς ὁδοὺς αὐτοῦ καὶ σοφίσθητι· [7] ὃς οὐκ ὄντος ἄρχοντος, ἐπιστάτου καὶ ἡγεμόνος, [8] ἑτοιμάσει ἐν καύματι τὸν ἄρτον αὐτοῦ, συνήγαγεν ἐν τῷ θέρει τὴν ἐδωδὴν ἑαυτοῦ. [9] ἄχρι τίνος, ὀκνηρέ, καθευδήσεις; πότε ἐγερῇ ἀπὸ τοῦ σοῦ ὕπνου; [10] ὀλίγον ὕπνων, ὀλίγον νυσταγμῶν, ὀλίγον περιπλοκῶν χειρῶν ὡς καθεύδοις· [11] ἀφίξεται γοῦν ὡς ὁδοιπόρος ἡ σὴ πτωχεία, ἥ τε σὴ λεῖψις ὡς ἀνὴρ ἀσπίδος. [12] ἄνθρωπος φαῦλος, ἀνὴρ οὐδενείας πορευόμενος σκολιότησι

VI.

18. περὶ γυν. c. cd. ed. 19. φιλίαι] דֹּדֶיהָ pro דַּדֶּיהָ? Etiam anonymus in Hexaplis φιλία vertit. πληρούντων, absque σε, cod. Ed. πληρούντων σ' 20. ὀθνείαν typorum vitium pro ὀθνείας esse putat C. B. At cod. aperte ὀθνείαν habet nec est cur suspectum habeas. Cf. Thren. IV, 5. 21. τοῦ θεοῦ] אֱלֹהִים pro יְהֹוָה. Item LXX. πάσας] πάντας cod. et ed. 22. συλλήψονται] יִלְכְּדוּ (ut codd. Kenn. 1. 359) pro יִלְכְּדֻנוֹ t. rec. κἀν ταῖς σχ. (וּבְחַבְלֵי)? Cf. Exod. XVII, 12 etc. τῶν ἁμαρτιῶν (חַטָּאתוֹ)] cf. LXX.

VI. 3. [παλά]μην ex corr. cod. Ed. παλάμας 7. οὐκ ὄντος ἀρχ.] Dahl. „Quaeri potest an pronomine לָהּ (cum cod. 76. Kenn.) caruerit.“ 8. αὐτοῦ] αὐτοῦ c. cd. ed. 10. ὀλίγον bis (1. 2) ex corr. (pro ὀλίγων) cod. 11. λείψις cod. Cf. Prol. I, 4, c. 12. οὐδενείας] אַיִן temere pro אָוֶן C. G. imputat. Cf. XVII, 4. XIX, 28. σκολιότησι] Dahl. „Fortpuncta pluralia עִקְּשׁוֹת (pro עִקְּשׁוּת) voci substrata habuit.“ Egomet eo magis adducor ut mendum librarii subesse credam, quo facilius τι cum σι confundi poterat. Cf. IV, 24.

στόματος, [13] νεύων ὀφθαλμοῖς ἑαυτοῦ, φάσκων ποδὶ ἑαυτοῦ, ἐμφαίνων δακτύλοις ἑαυτοῦ· [14] διαστροφὰς ἐν καρδίᾳ οἱ τεκταίνεται ὁ κακὸς, ἐν παντὶ καιρῷ μάχας βαλεῖ· [15] ὅθεν ἐξαίφνης ἥξει ὁ ἐπιτριμμὸς αὐτοῦ, ἄφνω ξυντριβήσεται ἀνιάτως.

[16] Ἕξ τάδ' ἐμίσησεν ὁ ὀντωτὴς, τὸ δ' ἕβδομον βδελύγματα τῇ ψυχῇ οἱ· [17] ὀφθαλμοὺς μετεώρους, γλῶτταν ψεύδους, χεῖράς τε χεούσας αἷμα ἀθῷον, [18] καρδίαν τεκταινομένην λογισμοὺς φαύλου, πόδας σπεύδοντας τρέχειν εἰς κακίαν, [19] φθεγγόμενον ψεύδη, μάρτυρα ψευδῆ, πέμποντά τε μάχας μέσον ἀδελφῶν.

[20] Τήρει, υἱεῦ ἐμὲ, τὴν κέλευσιν τοῦ σοῦ πατρὸς καὶ μὴ παρῇς τὸν νόμον τῆς σῆς μητρός· [21] δέσμει κείνους ἐπὶ τῆς σῆς καρδίας ἀεὶ, δῆσον αὐτοὺς ἐπὶ τῆς σῆς φάρυγγος. [22] ὅταν πορεύει ὁδηγήσει σε, ὅταν καθεύδεις φυλάξει ἐπὶ σοῦ, κἂν διυπνισθῇς, αὐτὴ διαλέξεταί σοι. [23] λύχνος γὰρ ἡ ἐντολὴ, ὁ νόμος τὸ φῶς, καὶ ὁδὸς ζωῆς οἱ παιδείας ἔλεγχοι· [24] ὥστε φυλάξαι σε πρὸς γυναικὸς κακῆς, πρὸς ἁπαλότητος γυναικὸς ἀλλοτρίας. [25] μὴ ἐπιθυμήσῃς τοῦ κάλλους ταύτης ἐν τῇ σῇ καρδίᾳ, μήτε λάβῃ σε ἐν ταῖς κόραις ταύτης· [26] διὰ γὰρ γυναῖκα μαινάδα μέχρι τροχοῦ ἄρτου, γυνὴ δὲ ἀνδρὸς ψυχὴν τιμίαν θηρεύσει.
[27] Ἆρα λήψεται ἀνὴρ πῦρ ἐν τῷ κόλπῳ οἱ, καὶ τὰ ἐνδύματά οἱ οὐ καυθήσονται; [28] μῶν πορεύεται ἀνὴρ ἐπὶ τῶν ἀνθράκων, οἱ δὲ κείνου πόδες οὐ πρησθήσονται; [29] οὕτως ὁ ἰὼν ἐπὶ τὴν γυναῖκα τοῦ φίλου οἱ· οὐκ ἀθωωθήσεται ὁστισοῦν θίγων αὐτῆς. [30] οὐ βδελύξονται τὸν κλέπτην, ἐπεὶ κλέψει ὡς ἐμπλήσηται τὴν ἑαυτοῦ

---

13. δάκτυλοι cod. Emendationem Vill. praeivit. 16. τάδε ἐμ. c. cd. ed. 20. Τήρει] de litera initiali cf. Prol. II, 1, b. 22. πορεύει pro πορεύῃ positum, non ex πορεύεις corruptum esse, recte C. A. animadvertit. 23. ὁ νόμος τὸ φῶς] C. G. „Legit תּוֹרָה sine ו praefixo.“ Melius Dahl. „Nisi forte το ex τε corruptum putare licet, ut legendum sit: ὁ νόμος τε φῶς.“ 24. γυναικὸς (2) ex priori hemistichio librarii culpa videtur sublapsum. Reponendum est γλώττην (לָשׁוֹן). Cf. Dahl. 26. μαινάδα] שגע quod pro זוֹנָה C. T. supponit nihili est. ψυχίαν τιμίαν cod. Vix credideris ψυχίαν idiotismum fuisse regioni interpretis aut ipsi soli proprium (C. A.). 29. ὅστις οὖν c. cd. ed. 30. ἐπεὶ κλέψει cod., non ἐπὶ κλ. ut ed.

ψυχὴν ἐπὰν πεινώῃ· [31] καὶ εὑρισκόμενος ἀποτίσει ἑπταπλασίως, πᾶσαν τὴν περιουσίαν τοῦ οἴκου οἱ δώσει. [32] μοιχώμενος γυναῖκα ἐλλιπὴς καρδίας· ὁ φθορεὺς τῆς ψυχῆς αὐτοῦ, ἐκεῖνος ποιήσει αὐτήν· [33] μάστιγα καὶ ἀτιμίαν εὑρήσει, καὶ τοὔνειδος αὐτοῦ οὐκ ἀπαλειφθήσεται. [34] ὁ γὰρ ζῆλος χόλος τῷ ἀνδρί, οὔκουν ἐλεήσει ἐν ἡμέρᾳ ἐκδικήσεως· [35] οὐκ ἀρεῖ πρόσωπον οὑτινοσοῦν ἱλαστοῦ, οὐδὲ θελήσει ἐπὰν πληθύνοις δῶρον.

VII. [1] Υἱεῦ ἐμέ, φύλαττε τοὺς ἐμοὺς λόγους, τάς τ' ἐμὰς ἐντολὰς κρύψεις παρὰ σαυτῷ· [2] φύλαττε ἐμὰς ἐπιτολὰς καὶ βίου, τόν τ' ἐμὸν νόμον κατὰ κόρην σοῦ ὀφθαλμοῦ· [3] δῆσον αὐτοὺς ἐπὶ τῶν σῶν δακτύλων, γράψον αὐτοὺς ἐπὶ πλακὸς τῆς σῆς καρδίας. [4] φάθι τῇ σοφίᾳ· ἀδελφὴ ἐμὴ τελεῖς· γνωστόν τε τὴν σύνεσιν καλέσεις, [5] ὥστε φυλάττειν σε ἀπὸ γυναικὸς ἀλλοτρίας, ἀπὸ ὀθνείας, τοὺς λόγους αὐτῆς ἀπαλυνούσης. [6] ἐν γὰρ τῇ θυρίδι τοῦ οἴκου μου, διὰ τῆς ἐμῆς φωτοφόρου παρέκυψα, [7] τεθέαμαί τε ἐν ἄφροσι, κατανοήσω ἐν υἱέσι νέον ἐνδεῆ καρδίας [8] διϊόντα ἐπ' ἀγορὰν ἀντικρὺ τῆς γωνίας, καὶ ὁδῷ οἴκου ταύτης διαβήσοιτο. [9] ἐν σκότει, ἐν ἑσπέρᾳ ἡμέρας, ἐν κόρῃ νυκτὸς καὶ ζόφου· [10] αὐτίκα τε γυνὴ εἰς ἀπάντησιν αὐτοῦ, θέσις γ' ἑταίρας, πεφυλαγμένη τε καρδίαν· [11] ὀχλοῦσα αὕτη καὶ διατάττουσα· ἐν τῇ οἰκίᾳ ταύτης οὐ κατοικήσουσιν οἱ πόδες αὐτῆς· [12] φορᾷ ἔξω, φορᾷ ἐν πλατείαις, καὶ ἀντικρὺ πάσης γωνίας ἐνεδρεύσει. [13] ἐνέφυγέ οἱ καὶ ἐφίλησέν ἑ, ἐκράτυνε τὸ πρόσωπον ἑαυτῆς, ἔφη τέ οἱ· [14] θυσίαι ἀποτίνυνται ἐπ' ἐμοί, σήμερον ἀπέτισα τὰς ἐμὰς εὐχάς· [15] διόπερ ἐξῆλθον

ἐπὰν πεινώῃ cod., non ἐπεὶ πεινῶν ut ed. 34. οὔκουν οὐκ ἐλ. cod. Mendum inde ortum puto quod in exemplo primo ἐλεήσει correctum erat ex οἰκτειρεῖ (cf. Deut. XIII, 9). 35 σῶρον cod., non σωρόν ut ed., nec δῶρον ut Mor. ait. Sed hoc sine dubio restituendum est (שֹׁחַד).

VII. 1. ἐμὰς] ἐμᾶς cod. Item v. 2. 14. 4. φάθι cod., non φράθι ut ed. ἀδελφῇ ἐμῇ cod. 5. αὐτῆς c. cd. ed. 6. φωτοφώρου cod. Cf. Cant. II, 9. 11. αὕτη cod., non αὐτὴ ut ed. διατάττουσα] כֹּדֶרֶת pro 'כֹּרֶ acute Hitzig in Comment. ad Prov., nec male Vill., qui διάττουσα restituendum putat. An voluit διαταράττουσα? 12. γωνιᾶς cod. At v. 8 ipse γωνίας habet. 13. ἐνεφύγε cod., ἐνέφυσε bene Vill. conj. Nisi forte de ἐνέφυνε (C. A.) cogitari licet. κάφίλησεν] κάσ. (?) corr. κάεφίλησεν (sic etiam ed.) cod. 14. ἀποτίνυνται] שְׁלָמִים pro שְׁלָמִים (C. T.)? Nescio an שְׁלֻמִים facilior conjectura esset. ἐπ' ἐμοί] Vill. „Superscriptum est: παρ' ἐμοί.“ Ubi gentium? Haudquaquam in codice Veneto.

εἰς συνάντησίν σοι, ὡς ὀρθρίσαιμι τῷ σῷ προσώπῳ· εὗρόν σε. [16] κοσμήμασιν ἐκόσμησα τὴν στρωμνήν μου, περιξύστοις σχοίνῳ αἰγύπτου· [17] ἔρρανα τὴν κοίτην μου μόσχῳ, ἀλόῃ καὶ κιναμώμῳ. [18] δεῦρο κορεσθῶμεν φιλιῶν ἄχρις ἕω, τερφθῶμεν ἐν ἀγάπαις· [19] οὐ γάρ ἐστιν ὁ ἀνὴρ οἴκοι οἱ, ἀπῆλθεν ἐν ὁδῷ προμακροῦ. [20] σύνδεσμον ἀργύρου ἔλαβεν ἐν χεροῖν οἱ, τῇ ἡμέρᾳ τοῦ καιροῦ ἀφίξεται οἴκαδέ οἱ. [21] ἔκλινεν αὐτὸν ἐν πλήθει λήμματος αὐτῆς, ἐν ἁπαλότητι τῶν αὐτῆς χειλέων ὤσειεν αὐτόν· [22] ἕπεται ταύτῃ ἐξαίφνης, ὡς βοῦς ἐς κρεωνομίαν ἐλεύσεται, καὶ ὡς σειρᾷ εἰς παιδείαν ἀπαίδευτος· [23] ἔστ' ἂν ῥήξῃ βέλος τὸ ἧπαρ αὐτοῦ, ὡς ἐπειγόμενον ὄρνεον ἐπὶ παγίδα· οὐ μὴν ἔγνω ὅτιπερ ἐν ψυχῇ οἱ τελεῖ.

[24] Νῦν οὖν, υἱεῖς ἐμοί, ἀκούετέ μου, καὶ ἀκροᾶσθε τῶν λόγων τοῦ ἐμοῦ στόματος. [25] μὴ τεινέσθω πρὸς τὰς ὁδοὺς αὐτῆς ἡ σὴ καρδία, μὴ πλανηθῇς ἐν ταῖς διόδοις ταύτης· [26] πολλοὺς γὰρ τραυματίας ἔρριψε, καὶ κραταιοὶ πάντες οἱ πεφονευμένοι ταύτῃ· VIII. [27] ὁδοὶ ᾅδου ὁ ταύτης οἶκος, κατιοῦσαι ἐς κοιτῶνας μόρου. [1] ἆρ' οὐχ ἡ σοφία βοήσει, καὶ ἡ ξύνεσις δώσει φωνὴν ἑαυτῆς; [2] ἐπὶ κρατὸς μετεώρων, ἐφ' ὁδοῦ, οἴκῳ διόδων ἔστη· [3] χειρὶ πυλῶν, στόματι πόλεως, ἀπὸ τοῦ ἔρχεσθαι πυλῶνες ἀλαλάξουσι. [4] πρὸς ὑμᾶς, ἄνδρες, βοήσω, καὶ ἡ ἐμὴ φωνὴ πρὸς τοὺς ἀνθρώπους. [5] ξύνετε, νηπίαχοι, περιφροσύνην, εὐήθεις τε ξύνετε καρδίᾳ. [6] ἀκούσατε, ἐναντία διαλέξομαι, δίαρμά τε τῶν ἐμῶν χειλέων εὐθύτητες. [7] ἀλήθειαν γὰρ μελετήσει φάρυγξ ἡ ἐμή, μύσος δὲ τῶν ἐμῶν χειλέων ἀσέβεια· [8] ἐν δικαιοσύνῃ πάντα τὰ ῥήματα τοῦ στόματος

---

16. περιξύστοις] vocabulum novum, minime ex περιξεστοῖς (C. J.) corruptum. Cf. Delitzsch ad h. l. 20. καιροῦ corruptum esse ex καισοῦ, quod translator (quid sit כֶּסֶא ignorans) ob imitatione soni sibi finxerit, per inscitiam C. G. alucinatur. Immo Kimchium secutus est. Cf. Del. 21. αὐτῆς (bis) c. cd. ed. ἁπλότητι cod. et ed. Cf. VI, 24. 22. σειρὰ — ἀπαιδεύτου c. cd. ed. Recte jam ex conj. Dahl. 23. παγῖδα cod. Cf. XXII, 5. 24. υἱεῖς ἐμοί (בָּנִים)] cf. not. ad V, 7. 25. τεινέσθω ex κλινέσθω corruptum esse Dahl. putat. Consentio (cf. IV, 15. Num. V, 12 cet.). πλαχηθῇς cod. et ed. Cf. X, 17. XXI, 16 cet.

VIII. 3. ἀλαλάξουσι] תְּרֹנֵּנ pro תְּרֹנָּה sine justa causa C. A. supponit. Cf. I, 20. 6. ἐναντία διαλ.] כִּי om.

τοῦ ἐμοῦ, οὐδὲν ἐν αὐτοῖς διάστροφον καὶ σκολιόν. [9] ἅπαντα ἐνώπιον τῷ ξυνιέντι, εὐθέα τε τοῖς εὑρίσκουσι γνῶσιν. [10] λάβετε τὴν ἐμὴν παιδείαν, μή γε μὴν ἄργυρον, γνῶσίν θ' ὑπὲρ χρυσίον ἠρημένον· [11] κρείττων γὰρ σοφία τιμίων λίθων, καὶ ἀτταοῦν θελήματα οὐκ ἐκθήσονταί οἱ. [12] ἐγὼ ἡ σοφία κατεσκήνωσα περιφροσύνην, καὶ γνῶσιν λογισμῶν εὑρήσω. [13] φόβος τοῦ ὀντωτοῦ μισεῖν κακὸν, ἐπαρῶν ἐπηρμένον τε καὶ τρίβον δεινὴν, στόμα τε διαστροφῶν ἐμίσησα. [14] ἴσχω βουλὴν ὕπαρξίν τε, ἴσχω ξύνεσιν ἀνδρείαν τε· [15] ἐν ἐμοὶ βασιλεῖς βασιλεύσουσιν, ἡγεμόνες τε τυπώσουσι δικαιοσύνην· [16] ἐν ἐμοὶ ἄρχοντες ἄρξουσι, καὶ εὐεργέται, πάντες κριταὶ δικαιοσύνης. [17] ἐγὼ τοὺς ἐμὲ φιλοῦντας φιλήσω, οἱ γὰρ ὀρθρίζοντές μοι εὑρήσουσί με. [18] πλοῦτος καὶ δόξα σὺν ἐμοὶ, περιουσία, κράτος δικαιοσύνη τε. [19] κρείττων ὁ ἐμὸς καρπὸς χρυσοῦ ἀπυροχρύσου, ἥ τ' ἐμὴ πρόσοδος ἀργύρου ἐξῃρημένου. [20] ἐν ἀτραπῷ δικαιοσύνης πορεύσομαι, μέσον διόδων κρίσεως, [21] ὡς κληρώσαιμι τοὺς φιλοῦντάς με οὐσίᾳ, τά τε σφῶν ταμιεῖα πληρώσαιμι.

[22] Ὁ ὀντωτὴς ἐκτήσατό με ἀρχὴν ὁδοῦ οἱ, πρὸ τῶν ἔργων αὐτοῦ ἔκτοτε· [23] ἀπ' αἰῶνος κέχυμαι, ἀπὸ κρατὸς, ἀπὸ προλήμματος γῆς· [24] ἐν οὐκ ἀβύσσοις πέπλασμαι, ἐν οὐ πηγαῖς δεδοξασμένων ὑδάτων· [25] πρὶν ὄρη ἐμπαγῆναι, πρὸ τῶν βουνῶν ὠδίνημαι, [26] ἄχρις οὐκ ἐποίησε γῆν, διόδους καὶ κεφαλὴν κόνεων τῆς οἰκουμένης· [27] ὅτε καθίστα τοὺς οὐρανοὺς, ἐκεῖ ἦν, ὅτε ἐτύπου διαβήτην ἐπὶ τῆς ἀβύσσου· [28] ὅτε ἐκραταίου τὸν αἰθέρα ἄνωθεν, ὅτε ἐστήριζε πηγὰς ἀβύσσου· [29] ὅτε ἐτίθει τῇ θαλάσσῃ τὸν τύπον αὐτῆς, ὕδατα δ' οὐχ ὑπερβήσονται τὸ στόμα ταύτης· ὅτε ἐτύπου τὰ θεμέλια τῆς γῆς· [30] κάτελεσα παρ' αὐτῷ πίστις, ὑπῆρξά τε

8. οὐδὲ c. cd. ed. 9. ἐνώπιον] legendum cum Dahl. ἐνώπια (נְכֹחִים). 11. ἐκστήσονται C. A. conj. An ἰσωθήσονται (יִשְׁוּוּ)? Cf. XXVI, 4. 13. ἐπαρῶν] ἔπαρον (גֵּאָה: *quod se effert*) Dahl. Malim ἔπαρσιν (cf. XVI, 18). τε (1)] γε ed., nescio an etiam cod. δεινὸν c. cd. ed. 16. δικαιοσύνης] legit צֶדֶק (ita multi codd. pro אָרֶץ t. rec.). Item Trg. Syr. Hier. 17. τοὺς ἐμὲ φιλ.] lect. marg. אֹהֲבַי (non אֹהֲבֶיהָ) exprimit. Item LXX. οἱ γὰρ ὀρθρ.] nescio unde γὰρ sumpserit (וּמְשַׁחֲרַי); fort. corruptum est ex τε vel δὲ 21. οὐσίαν c. cd. ed. 22. ὁδὸν cod. 26. οὐχ ἐπ. c. cd. ed. 27. διαβήτην cod., non διαβήτας ut ed. ἐπὶ τ. ἀβ.] פְּנֵי om. 30. πίστις] quasi אֱמוּן scriptum esset, non אָמוֹן. Reprobanda est Vill. conjectura, qui πιστὸς legendum esse putat.

παιδιὰ καϑ' ἡμέραν, ἀϑύρουσα ἔμπροσϑεν αὐτοῦ ἐν παντὶ καιρῷ, [31] ἀϑύρουσα ἐν τῇ οἰκουμένῃ τῆς γῆς αὐτοῦ, καὶ ἡ παιδιά μοι ξὺν τοῖς ἀνϑρώποις. [32] νῦν οὖν, υἱεῖς ἐμοί, ἀκούσατέ μου, καὶ μακάριοι οἱ τοὺς λόγους μου φυλάξοντες· [33] ἀκούετε παιδείαν, σοφίζεσϑέ τε, καὶ μὴ ἀποδυσπετῆτε. [34] μακάριος ἄνϑρωπος ὁ ἀκούων μου, ὡς γρηγοροίη ἐπὶ τῶν ἐμῶν πυλῶν καϑ' ἡμέραν, ὡς τηροίη τὰς φλιὰς τοῦ ἐμοῦ πυλῶνος. [35] ὁ γὰρ εὑρίσκων με εὗρε ζωὴν καὶ προήνεγκε ϑέλημα παρὰ τοῦ ὀντωτοῦ· [36] ὁ δ' ἁμαρτάνων μοι ἀδικεῖ τὴν ψυχὴν ἑαυτοῦ, πάντες οἱ μισοῦντές με φιλοῦσι μόρον.

IX. [1] Αἱ σοφίαι δεδόμηται τὸν οἶκον ἑαυτῆς, ἐλάξευσε τοὺς στύλους ἑαυτῆς ἑπτά· [2] ἐκρεωνόμησε τὴν κρεωνομίαν ἑαυτῆς, ἐκέρασε τὸν οἶνον ἑαυτῆς, ἔτι εὐϑέτησε τὴν τράπεζαν ἑαυτῆς· [3] ἔπεμψε τὰς νεάνιδας ἑαυτῆς, βοήσει ἐπὶ πτερύγων ὑψηλῶν ἄστεος· [4] τίς νήπιος; ἀποχωρείτω ἐνϑάδε. τῷ ἐνδεεῖ καρδίας ἔφη οἱ· [5] δεῦτε σιτίσασϑε ἐν τῷ ἄρτῳ μου καὶ πίετε τὸν οἶνον, ἐκέρασα· [6] ἐᾶτε τοὺς νηπίους καὶ βιοῦτε, καὶ ὁδεύετε ἐν ὁδῷ ξυνέσεως. [7] παιδεύων φλύαρον λαμβάνει ἑαυτῷ ἀτιμίαν, ἐλέγχων δὲ ἀσεβῆ, μῶμον ἑαυτῷ. [8] μὴ ἐλέγξῃς φλύαρον, μήποτέ σε μισήσῃ· ἔλεγξον σοφόν, καὶ φιλήσει σε. [9] δὸς τῷ σοφῷ, καὶ σοφιεῖται ἔτι· γνώρισον τῷ δικαίῳ, καὶ προσϑήσει λῆμμα. [10] ἀρχὴ σοφίας ὁ φόβος τοῦ ὀντωτοῦ, καὶ γνῶσις τῶν ἁγίων ἡ ξύνεσις. [11] ἐν ἐμοὶ γὰρ πληϑυνϑήσονται αἱ σαὶ ἡμέραι καὶ προσϑήσουσί σοι ἔτη ζωῆς. [12] εἰ σεσόφισαι, σεσόφισαι σαυτῷ· ἀλλ' ἐλήρησας, μόνος γὰρ οἴσεις. [13] γυνὴ μωρίας, ταραχῆς, νηπιότητος, καὶ οὐκ ἔγνω τι· [14] καϑέζεται δὲ πρὸς τῷ πυλῶνι τοῦ

---

30. παιδιὰ Vill. duce pro cod. πεδία reposuimus. Cf. v. sq. καϑημέραν et hic et v. 34 cod. 32. υἱεῖς ἐμοί] בָּנַי pro בָּנִים (LXX υἱέ: בְּנִי). Cf. V, 7. τοὺς λόγους] דְּבָרַי (ita cod. Kenn. 98 ex corr.) pro דְּרָכַי t. rec. 33. σοφίζεσϑαί τε cod. Emendationem Vill. praeivit. 34. τοῦ ἐμ. πυλῶνος] פִּתְחִי pro פְּתָחָי (C. A.). 36. ἀδικεῖ] ita reponendum duximus pro cod. ἀδικὰ. Ed. ἀδικῶν

IX. 2. κρεωνόμησε cod. et ed. 5. Inter οἶνον et ἐκέρασα spatium trium fere literarum vacuum. Supra lineam factum est signum |·, idemque in margine repetitum. Desiderasse videtur librarius pronomen relativum (ὃν), quod quidem consulto translator omisit (בְּיַיִן מָסָכְתִּי). 7. δ' ἀσεβῆ c. cd. ed. 12. μόνος γὰρ] μόνος σοι (לְבַדְּךָ)? Cf. Exod. XVIII, 14. 14. πρὸς τῷ (τῇ cod.) πυλῶνι] אֶל פֶּתַח (ita codd. Kenn. 1. 227) pro לְפֶתַח

δόμου αὐτῆς, ἐπὶ θρόνου ὑψούντων ἄστυ, [15] ὡς βοῴη τοῖς παριοῦσιν ὁδῷ, τοῖς ἰθύνουσι τὰς τρίβους ἑαυτῆς· [16] τίς νήπιος; κλινάτω ἐνθάδε, λειπόμενός τε καρδίας, ἐρῶ γοῦν οἱ· [17] ὕδατα κεκλεμμένα γλυκανεῖ, καὶ ἄρτος λαθραίων ἡδυνεῖ. [18] οὐκ ἔγνω δὲ ὅτι νεκροὶ ἐκεῖ, ἐν βάθεσιν ᾄδου οἱ κεκλημένοι ταύτῃ.

Παραβολαὶ σελομῶνος. X.

[1] Υἱεὺς σοφὸς τέρψει πατέρα, υἱεὺς δ' ἄφρων στόνος τῇ μητρί οἱ. [2] οὐ λυσιτελήσουσι ταμιεῖα ἀσεβείας, δικαιοσύνη δὲ ῥύσεται θανάτου. [3] οὐ λιμώσει ὁ ὀντωτὴς ψυχὴν δικαίου, κακίαν δ' ἀσεβῶν ἀπώσεται. [4] πένητα ποιεῖ παλάμη δόλου, χεὶρ δὲ προθύμων πλουτιεῖ. [5] συνάγει ἐν καύμασιν υἱὸς νουνεχής, νυστάζει ἐν ἀμητῷ υἱος αἰσχύνων. [6] εὐλογίαι κεφαλῇ δικαίου, στόμα δὲ ἀσεβῶν καλυφθήσεται ἀδικίᾳ. [7] μνήμη δικαίου τῇ εὐλογίᾳ, ὄνομα δ' ἀσεβῶν σαπήσεται. [8] σοφὸς τὴν καρδίαν λήψεται ἐντολάς, ἀπαίδευτος δὲ τὰ χείλη πλανηθήσεται. [9] πορευόμενος ἐν τελειότητι πορεύσεται πεποιθήσει, σκολιῶν δὲ τὰς ὁδοὺς ἑαυτοῦ γνωσθήσεται. [10] νεύων ὀφθαλμῷ δώσει λύπην, ἐκδεδιητημένος δὲ τὰ χείλη πλανηθήσεται. [11] φλέψ ζωῆς στόμα δικαίου, στόμα δ' ἀσεβῶν καλυφθήσεται ἀδικίᾳ. [12] μῖσος ἐγερεῖ μάχας, ἐπὶ πᾶσι δ' ἀμπλακήμασι καλύψει ἡ ἀγάπη. [13] ἐν χείλεσι συνετοῦ εὑρεθήσεται σοφία, ῥάβδος δὲ τοῖς νώτοις τήκοντος καρδίας. [14] σοφοὶ κρύψουσι γνῶσιν, στόμα δ' ἀπαιδεύτου ἐπιτριβῇ ἐγγίζει. [15] περιουσία πλουσίου πόλις κράτους αὐτοῦ, ἐπιτριβὴ πενήτων ἡ πτωχεία αὐτῶν. [16] ἐνέρ-

---

αὐτῆς cod., non αὐτοῦ ut ed. ὑψούντων ἄστυ] Dahl. „Fortasse legebat מְרִימֵי (pro מְרֹמֵי)." Cf. v. 3. 15. ἑαυτῆς] l. ἑαυτῶν (אֹרְחוֹתָם). Vix enim credideris eum אֹרְחוֹתֶיהָ legisse (C. A.) aut אֹרְחוֹתָיו (ita cod. Kenn. 651). Alioqui certe αὐτῆς scripsisset. 16. ἐρῶ] ἐρεῖ? An וְאָמְרָה (ut Syr.) pro וְאָמְרָה legit?

X. 5. ἀμητῷ ed., nescio an ipse cod. Cf. Prol. I, 4, c. 6. καλυφθήσεται] יְפָסֶה (ut ex conj. Hitz.) aut יְכַפֶּה (cf. Del.) pro יְכַסֶּה. Item v. 11. 10. ἐκδεδιητημένος] ערל (עָרֵל?) pro אֱוִיל conj. C. T. Cf. Trg. כליף 13. τήκοντος] Vill. „Forte quis conjiceret λείποντος". Potius λειπομένου (cf. IX, 16). At conjectura omnino opus non est, si modo activum verbi τήκω sensu intransitivo intelligas. Idem igitur fere significat quod ἐλλιπής (cf. VI, 32), ἐνδεής (cf. IX, 4. XI, 12 cet.). 14. ἐπιτριβὴ cod. et ed. Cf. LXX. ἐγγίζει] קָרְבָה pro קְרֹבָה (C. T.). Item LXX.

γεια δικαίου εἰς ζωήν, πρόσοδος ἀσεβοῦς εἰς ἁμαρτίαν. [17] τρίβος εἰς ζωὴν τηρῶν παιδείαν, ἐῶν δὲ ἔλεγχον πλανᾷ. [18] καλύπτει μῖσος τὰ χείλη ψευδῆ, ἐξάγων δὲ φήμην ἐστὶ μωρός.

[19] Ἐν πλήθει λόγων οὐ παύσεται παράβασις, κωλύει δὲ τὰ χείλη ἑαυτοῦ φρόνιμος.

[20] Ἄργυρος ἐκλεκτὸς γλῶττα δικαίου, καρδία ἀσεβῶν κατολίγον.

[21] χείλη δικαίου ποιμανοῦσι πολλούς, ἀπαίδευτοι δὲ ἐν ἐνδείᾳ καρδίας τεθνήξονται.

[22] Ἡ εὐλογία τοῦ ὀντωτοῦ, ἐκείνη πλουτιεῖ, οὐδὲ προσθήσει λύπην σὺν ἑαυτῇ. [23] ὡς γέλως τῷ ἄφρονι τὸ ποιεῖν σκέψιν, σοφία δὲ ἀνδρὶ συνέσεως.

[24] Φόβος τοῦ ἀσεβοῦς, αὐτὸς ἐλεύσεταί οἱ, ἔφεσιν δὲ τῶν δικαίων δώσει. [25] ὡς διάβασις θυέλλης, καὶ ἥκιστα ὁ ἀσεβής, ὁ δὲ δίκαιος θεμέλιος αἰῶνος. [26] ὡς ὄξος ὀδοῦσι καὶ ὡς καπνὸς ὄμμασιν, οὕτως ὁ ὀκνηρὸς τοῖς πέμψουσιν αὐτόν.

[27] Ὁ φόβος τοῦ ὀντωτοῦ προσθήσει ἡμέρας, ἔτη δὲ τῶν ἀσεβῶν βραχυνοῦνται. [28] ἐλπὶς τῶν δικαίων εὐφροσύνη, ἀπεκδοχὴ δὲ τῶν ἀσεβῶν οἰχήσεται. [29] κραταίωμα τῇ τελειότητι ἡ ὁδὸς τοῦ ὀντωτοῦ, ἐξαλοιφὴ δὲ τοῖς ποιοῦσι τὸ φαῦλον. [30] ὁ δίκαιος ἐς αἰῶνα οὐ κλονηθήσεται, ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν. [31] στόμα δικαίου φύσει σοφίαν, γλῶττα δὲ διαστροφῶν ὀλοθρευθήσεται. [32] χείλη δικαίου ποιμανοῦσι βούλημα, στόμα δ' ἀσεβῶν διαστροφάς. XI. [1] ζυγὰ δόλου μύσος τοῦ ὀντωτοῦ, λίθος δὲ τέλειος τὸ βούλημά οἱ. [2] ἔρχεται ἀκράτεια, καὶ ἀφῖκται ἀτιμία, σὺν τοῖς σώφροσι δὲ σοφία. [3] τελειότης εὐθέων ὁδηγήσει σφᾶς, σκολιότης δ' ἀνταρτῶν ἀνδραποδιεῖ σφᾶς. [4] οὐ λυσιτελήσει περιουσία ἐν ἡμέρᾳ θυμοῦ, δικαιο-

---

17. δ' ἔλεγχ. c. cd. ed. 18. ψευδῆ] ψευδὴς cod., ψεύδους ed. Cf. XII, 22. 20. κατ' ὀλίγον (sic) cod. Cf. Gen. XXVI, 10 etc. 22. ἑαυτῷ cod. et ed. 26. Ante ὀδοῦσι expunctum τοῖς hoc pacto: τοῖς 28. ἀφροσύνη cod. Cf. not. Vill. 29. ἐξαλοιφή] Dahl. „Alia puncta vocalia (voci מחתה) supponit haec interpretatio, quae scilicet conveniant nomini a מָחָה derivato.“ At מַחְתָּה (cf. Dahl. ad XIII, 3) pro מְחִתָּה in codice suo neutiquam legit. Cf. XXI, 15. 32. ποιμανοῦσι] legit יִרְעוּן (ita codd. Kenn. 355, Ross. 55. 244. 593) pro יֵדְעוּן t. rec. Cf. v. 21.

XI. 1. μῦσος c. cd. ed. Item v. 20. 3. ἀνδραποδεῖ cod. et ed. (cf. Gen. XXXIV, 29. Num. XXIV, 22 cet.). Argutius Dahl. „Respicit fort. eum vocis (שָׁדַד) usum, quem LXX Hos. X, 14 exprimunt, ubi שׁד

σύνη δὲ ἀπαλλάξει μόρου. [5] δικαιοσύνη τελείου κατιϑυνεῖ τὴν ὁδὸν αὐτοῦ, ἐν δὲ τῇ ἀσεβείᾳ αὐτοῦ πεσεῖται ὁ ἀσεβής.
[6] Δικαιοσύνη εὐϑέων λυτρώσεται σφᾶς, ἐν συντριμμῷ δ' ἀνταρτῶν συσχεϑήσονται. [7] ϑνήσκοντος ἀνϑρώπου ἀσεβοῦς ἀπολεῖται ἐλπίς, ἀπεκδοχὴ δὲ ψευστῶν ᾤχετο.
[8] Δίκαιος ϑλίψεως ἀπήλλακται, ἐλεύσεται δ' ἀσεβὴς ἀντ' αὐτοῦ. [9] στόματι ὁ ὑποκριτὴς φϑερεῖ φίλον ἑαυτοῦ, γνώσει δὲ δίκαιοι ἐλευϑερωϑήσονται. [10] ἐν χρηστότητι δικαίων ἀγαλλιάσει πόλις, ἐν δὲ τῷ ἀπολωλέναι ἀσεβεῖς χαρμονή.
[11] Ἐν εὐλογίᾳ εὐϑέων ὑψωϑήσεται πόλις, ἐν στόματι δ' ἀσεβῶν καϑαιρεϑήσεται.
[12] Φαυλίζει τ`ν φίλον ἑαυτοῦ καρδίας ἐνδεής, ἀνὴρ δὲ συνέσεως σιγήσει. [13] πορευόμενος καταμηνυτὴς φανεροῖ ἀπόρρητον, πιστὸς δὲ τῷ πνεύματι καλύπτει λόγον. [14] ἐν τῷ μὴ εἶναι μηχανὰς πεσεῖται λεώς, σωτηρία δὲ ἐν πλήϑει βουλευτοῦ. [15] κακὸς ϑορυβήσει ἐπεὶ μέμικται ξένος, μισῶν δὲ τοὺς δουποῦντας ϑαρρεῖ. [16] γυνὴ χαρίεσσα ἐρεισϑήσεται δόξῃ, τύραννοι δὲ ἐρεισϑήσονται πλούτῳ. [17] ἀποτίννυσι τῇ ψυχῇ οἱ ἀνὴρ ἐλεήμων, παρίησι δὲ τὴν ἑαυτοῦ σάρκα ὠμός. [18] ὁ ἀσεβὴς ποιεῖ ἐργασίαν ψεύδους, ὁ δὲ σπείρων δικαιοσύνην μισϑὸν ἀληϑῆ. [19] οὕτω δικαιοσύνη μὲν εἰς ζωήν, ὁ δὲ μεταδιώκων κάκωσιν εἰς ϑάνατον ἑαυτοῦ. [20] μύσος τῷ ὀντωτῇ οἱ σκολιοκάρδιοι, ϑέλημα δὲ αὐτῷ οἱ τὴν ὁδὸν τέλειοι. [21] χεὶρ χειρί, οὐκ ἀϑωωϑήσεται ὁ κακός, σπέρμα δὲ δικαίων ἀπήλλακται. [22] κρίκος χρυσοῦς ἐν μυκτῆρι χοίρου· γυνὴ εὐειδής, λιποῦσα δὲ τὸ ἡδύ. [23] ἐλπὶς δικαίων ὡς χρηστὸν, ἐλπὶς ἀσεβῶν ϑυμός.

ἄρχων reddunt; ita ut radici שָׁדַד notionem *dominandi*, hinc *in servitutem addicendi* tribuat.“ Non dubium est eum יְשׁדֵּם cum יְשַׁבֵּם confudisse (C. T.). 5. αὐτοῦ (2)] αὐτοῦ c. cd. ed. 6. ἀνταρτοῦ (non ἀντάρτου ut ed., nec ἀντάρται ut Vill. legi jubet) cod. Cf. v. 3. 7. τεϑνήσκοντος cod. et ed. Correctio fuisse videtur in archetypo (pro τεϑνηκότος), quam non recte intellexit librarius. Cf. Prol. I, 3, b. 15. ϑορυβήσει] Dahl. „Fort. יָרִיעַ legit (pro יֵרוֹעַ).“ Cf. XIII, 20. 16. χαρίεσα cod. ἐρασϑήσεται et paullo inferius ἐρασϑήσονται cod. et ed. Ita emendandum esse jam Dahl. vidit (cf. III, 18. V, 5). Nimis subtiliter C. T. תִּתְמֹךְ cum תַּחְמֹד confusum esse conjectat. 17. παρίησι] עֹבֵר pro עֹכֵר? Cf. v. 29. Gen. XXXIV, 30. 22. ἡδύ] כַּעַס pro טַעַם C. T. supponit. At hoc non opus est. Cf. XXVI, 16.

[24] Ἔστι σκορπίζων, καὶ προστεϑήσεται ἔτι, καὶ κωλύων ἀπὸ εὐϑύτητος, πλὴν εἰς ἔλλειψιν.

[25] Ψυχὴ εὐλογίας πιανεῖται, καὶ ὁ λιπαίνων, ἔτι αὐτὸς ὑετός. [26] κωλύοντι πυρὸν καταράσεται λεώς, εὐλογία δὲ τῇ κεφαλῇ τοῦ πράττοντος. [27] ὀρϑριστὴς ἀγαϑὸς ζητήσει ϑέλησιν, ζητοῦντι δὲ κακὸν, ἐλεύσεταί οἱ. [28] ϑαρρῶν τῷ πλούτῳ οἱ, αὐτὸς πεσεῖται, καὶ ὡς φύλλον δίκαιοι ἀνϑήσουσιν. [29] ὁ φϑείρων τὸν οἶκον ἑαυτοῦ κληρώσεται ἄνεμον, δοῦλος δὲ ἀπαίδευτος τῷ σοφῷ τὴν καρδίαν. [30] καρπὸς δικαίου ξύλον ζωῆς, λαμβάνει τε ψυχὰς ὁ σοφός. [31] ϑεῷ ὁ δίκαιος ἐν τῇ γῇ ἀποτιϑήσεται, μᾶλλον οὖν ὁ ἀσεβὴς καὶ ἁμαρτωλός. XII. [1] φιλῶν παιδείαν φιλεῖ γνῶσιν, μισεῖ δὲ τὸν ἔλεγχον ὁ ἄνους. [2] ὁ χρηστὸς ἐξοίσει ϑέλημα πρὸς τοῦ ὀντωτοῦ, ἄνδρα δὲ βδελυριῶν κατακρινεῖ. [3] οὐ καταρτισϑήσεται ἄνϑρωπος ἐν ἀσεβείᾳ, ῥίζα δὲ δικαίων οὐ κλονηϑήσεται. [4] γυνὴ ἰσχύος στέφανος τῷ ταύτης ἀνδρὶ, ὡς δὲ σὴς ἐν τοῖς ὀστοῖς αὐτοῦ καταισχύνουσα. [5] λογισμοὶ δικαίων κρίσις, μηχαναὶ ἀσεβῶν δόλος. [6] λόγοι ἀσεβῶν ἔνεδρον αἵματος, στόμα δὲ εὐϑέων λυτρώσεται σφᾶς. [7] στρέψον τοὺς ἀσεβεῖς, καὶ οὐδαμῶς εἰσιν, οἶκος δὲ δικαίων στήσεται. [8] στόματος τὸν νοῦν ἑαυτοῦ ὑμνήσεται ἀνὴρ, ἐσκολιωμένος δὲ καρδίαν τῷ ὀντωτῇ εἰς μύσος. [9] ἀμείνων ἄτιμος, δοῦλον δ᾽ ἴσχων, δοξαζομένου καὶ ἐνδεοῦς ἄρτου. [10] γινώσκει δίκαιος ψυχὴν κτήνους αὐτοῦ, τὰ δ᾽ ἐλέη τῶν ἀσεβῶν ὁ ἀπάνϑρωπος.

[11] Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν κορεσϑήσεται ἄρτου, διώκει δὲ κενὰ ἐνδεὴς καρδίας. [12] ἐπεϑύμησεν ὁ ἀσεβὴς ὀχυρώματος κακῶν, ῥίζα δὲ δικαίων δώσει. [13] ἐν πλημμελήματι χειλέων σκανδάληϑρον κακὸν, ἐξῆλϑε δ᾽ ἀπὸ ϑλίψεως δίκαιος. [14] ἀπὸ καρποῦ

---

24. ἔστι σκορπίζων cod., non ἐπισκορπ. ut ed. Recte jam ex conj. Dahl. 25. ὑετός] Dahl. „Legit, vel interpretatus est certe, יוֹרֶה, quemadmodum plures apud Kenn. codices (pro יוֹרֵא t. rec.) habent.“ Immo Kimchium secutus est. Cf. Prol. I, 3, b. 26. πράττοντος] Vill. „*vendentis*“. Sanc. Cf. Steph. Thes. s. v. 31. ἀποτισϑήσεται (ab ἀποτίνω)? Saepius σ ante ϑ a librariis omitti quis est qui nesciat (cf. XII, 3). Sed itidem XIII, 13 cod.

XII. 3. καταρτιϑήσεται cod. et ed. Cf. (XVI, 12) XXIV, 3. 7. στρέψον] הֲפוֹךְ pro הָפוֹךְ. Cf. Hieron. *(verte)*. 8. στόματι τοῦ νοῦ? Cf. XXVII, 21 etc. ὑμνήσεται] יְהַלֵּל pro יְהֻלַּל, ut nonn. codd. Kenn. τῷ ὀντωτῇ] יְהוֹדֶה pro יִהְיֶה. Cf. Prol. II, 2, 1. μύσος cod., non μυσαγμόν ut ed. 13. κακῶν (ut ed.) corr. κακὸν cod.

στόματος ἀνὴρ κορεσθήσεται χρηστοῦ, τίσις δὲ χειρῶν ἀνθρώπου ἀμείψεται αὐτόν.
[15] Ὁδὸς ἀπαιδεύτου εὐθεῖα ἐν ὄμμασίν οἱ, ὑπακούει δὲ βουλῇ σοφός. [16] ἀπαιδεύτου ἐν ἡμέρᾳ γνωσθήσεται κείνου θυμός, καλύπτει δ' ἀτιμίαν ὁ περίφρων. [17] ὁ φθεγγόμενος ἀλήθειαν ἀγγελεῖ δικαιοσύνην, μάρτυς δὲ ψευδὴς δόλον. [18] ἔστι πεποιθὼς ὡς κεντήμασι ξίφους, γλῶττα δὲ σοφῶν ἴαται. [19] χεῖλος ἀληθὲς καταρτιεῖται ἐς ἀΐδιον, ἄχρι δὲ ῥήξεως γλῶττα ψευδής. [20] δόλος ἐν καρδίᾳ τεκταινομένων κακόν, τοῖς δὲ βουλεύσουσιν εἰρήνην εὐφροσύνη. [21] οὐχ ὁρισθήσεται τῷ δικαίῳ ὁτιοῦν ψεῦδος, οἱ δ' ἀσεβεῖς πεπλήρωνται κακοῦ. [22] βδέλυγμα τοῦ ὀντωτοῦ χείλη ψευδῆ, οἱ δὲ ποιοῦντες πίστιν θέλημά οἱ. [23] ἀνὴρ περίφρων καλύπτει γνῶσιν, καρδία δὲ ἀφρόνων βοήσει ἀπαιδευσίαν. [24] χεὶρ σπουδαίων ἡγεμονεύσει, δόλος δὲ τελέσει εἰς δασμόν. [25] λύπη ἐν καρδίᾳ ἀνδρὸς κάμψει αὐτήν, λόγος δὲ χρηστὸς τέρψει αὐτήν. [26] πεπερίττευται ὑπὲρ φίλον αὐτοῦ ὁ δίκαιος, ὁδὸς δ' ἀσεβῶν πλανήσει σφᾶς. [27] οὐ μενεῖ τῷ δόλῳ ἡ θήρα αὐτοῦ, καὶ περιουσία ἀνθρώπου τιμία ὁ χρυσός. [28] ἐν ἀτραπῷ δικαιοσύνης ζωή, καὶ ὁδὸς τρίβου πρὸς θάνατον. XIII. [1] υἱὸς σοφὸς παιδεία πατρός, ἐμπαίκτης δὲ οὐκ ἀκούει ἀπειλῆς. [2] ἀπὸ καρποῦ στόμα ἀνδρὸς κορεσθήσεται χρηστοῦ, ψυχὴ δὲ ἀνταρτῶν ἀδικίας. [3] ὁ τηρῶν τὸ στόμα ἑαυτοῦ φυλάσσει τὴν ψυχὴν ἑαυτοῦ, ὁ τέμνων τὰ χείλη ἑαυτοῦ ἀπόμαξιν ἔχει. [4] ἐφίεται, καὶ οὐδέν, ἡ ψυχὴ αὐτοῦ τοῦ ὀκνηροῦ, ψυχὴ δὲ σπουδαίων λιπανεῖται. [5] λόγον ψευδῆ μισήσει δίκαιος, ἀσεβὴς δὲ ὀζώσει καὶ

---

14. στόματος ἀνὴρ] signum Makkef neglexit (פְּרִי־אִישׁ). Similiter Hieron. Cf. XIII, 2. ἀμείψεται] Dahl. „Videtur Kerî (יָשִׁיב) sequi“. Dubitari potest. 17. δόλος cod. Emendationem Vill. praeivit. 18. πεποιθὼς] בּוֹטֵחַ (ita nonnulli codd. Kenn. et Ross., alii ante corr.) pro בּוֹטֶה t. rec. Item Theodotion. 21. ὁρισθήσεται] Dahl. „Haec interpretatio (vocis יְאֻנֶּה) unde defluxerit mihi non liquet cet.“ Legi vult οὐ χωρήσεται(?). Nescio an suspicari liceat, eum אָנָה (cf. Exod. XXI, 13) cum מָנָה (cf. Dan. I, 5. 11) confudisse. 25. κάμψει] ita pro cod. καλύψει restituimus. Imperite C. T. ישׁכנה pro יַשְׁחֶנָּה supponit. Cf. Exod. XXXIII, 22. 26. αὐτοῦ c. cd. ed. 28. πρὸς (θάνατον)] legit אֶל pro אַל t. rec. Sic multi codd., edd., verss.

XIII. 2. κορεσθήσεται] legit יִשְׂבַּע (ita sex codd. Kenn., unus Ross. ex corr.) pro יֹאכַל. Item Trg. Syr. Hieron. 3. ἀπόμαξιν (מְחִתָּה)] cf. not. ad X, 29.

ἀτιμώσει. [6] δικαιοσύνη φυλάξει τέλειον ὁδῷ, ἀσέβεια δὲ σκολιώσει ἁμαρτίας. [7] ἔστι πλουτιζόμενος, καὶ οὐκ ἔστιν ὁτιοῦν, πτωχιζόμενος, καὶ περιουσία πολλή. [8] συγγνώμη ψυχῆς ἀνδρὸς ὁ πλοῦτος αὐτοῦ, ὁ δὲ πτωχὸς οὐκ ἐπύϑετο ἀπειλήν. [9] φῶς δικαίων εὐφρανεῖ, λύχνος δ' ἀσεβῶν σβεσϑήσεται. [10] πλὴν ἐν ἀκρασίᾳ δώσει ἔριν, καὶ σὺν τοῖς βουλευομένοις σοφία. [11] ὄλβος ἐκ ματαίου ἐλαττωϑήσεται, συνάγων δὲ ἐπὶ χειρὸς πληϑυνεῖται. [12] ἐλπὶς παρατεταμένη νόσος καρδίας, ξύλον δὲ ζωῆς ἔφεσις ἐφισταμένη. [13] καταφρονεῖ πράγματα, οἰχήσεταί οἱ, εὐλαβεῖται ἐντολήν, οὗτος ἀποτιϑήσεται. [14] νόμος σοφοῦ φλέψ ζωῆς, ὡς ἀποχωροίη σκανδαλήϑρων μόρου. [15] νοῦς χρηστὸς χορηγήσει χάριν, ὁδὸς δὲ ἀνταρτῶν ἰσχυρά. [16] πᾶς πολύτροπος ποιήσει κατὰ γνῶσιν, ἄφρων δὲ ἐκτενεῖ ἀπαιδευσίαν. [17] ἄγγελος ἀσεβὴς ἐμπεσεῖται κακῷ, πρέσβις δ' ἀληϑὴς ϑεραπεύει. [18] πτωχεία καὶ ἀτιμία ἐκκλίνει παιδείαν, φυλάσσων δὲ ἐλέγχους δοξασϑήσεται. [19] ἔφεσις γενομένη ἡδυνεῖ ψυχήν, καὶ μυσαγμὸς ἀφρόνων ἀφίστασϑαι κακοῦ. [20] συμπορευόμενος σοφοῖς σοφιεῖται, ποιμαίνων δ' ἄφρονας κακωϑήσεται. [21] ἁμαρτωλοὺς διώξεται κάκωσις, τὰ δὲ δίκαια ἀποδώσει χρηστός. [22] χρηστὸς κληρώσει υἱεῖς υἱέων, κέκρυπται δὲ τῷ δικαίῳ δύναμις ἁμαρτωλοῦ. [23] πολλὴ ἐδωδή, νέωμα οἱ πτωχοί, ἔστι δὲ προστιϑέμενος ἀπεικότως. [24] ὁ κωλύων τὸ σκῆπτρον ἑαυτοῦ μισεῖ τὸν υἱὸν ἑαυτοῦ, ὁ φιλῶν δ' αὐτὸν ὀρϑριεῖ αὐτῷ παιδείαν. [25] δίκαιος ἐσϑίει εἰς κόρον τῇ ψυχῇ οἱ, κοιλία δ' ἀσεβῶν δεήσεται. XIV. [1] φρόνιμοι γυναῖκες ἐδομήσατο τὸν οἶκον ἑαυτῶν, ἀπαίδευτος δ' ἐν χειρὶ ταύτης αὐτὲν καϑελεῖ. [2] ὁ πορευόμενος ἐν εὐϑύτητι ἑαυτοῦ δείσει τὸν οὐσιω-

---

6. ἁμαρτίας חטאות (pro חַטָּאת t. rec.) cod. Kenn. 158. 12. ἀφισταμένη cod. (cf. v. 19). Emendationem Vill. praeivit (in Addendis in fine libri). De ἀφικνουμένη (Dahl.) cogitari non potest, nisi conjiciatur, ita primo scripsisse aut scripturum fuisse interpretem. Cf. Prol. I, 2, e. 13. πράγματος (לְדָבָר)? Cf. I, 7. οἰχήσεται] non est cur יְהֻבַּל supponatur (pro יֵחָבֶל; cf. Dahl.). Cf. Dan. VII, 14. ἀποτιϑήσεται] cf. XI, 31. 14. σκανδαλίϑρων cod. 15. χωρηγήσει cod. 16. κατὰ γνῶσιν] כְּדָעַת pro בְּדַ׳ 17. πρέσβις] Vill. nescio quo jure substitui vult πρέσβυς. Cf. XXV, 13. 18. ἐλέγχους] תּוֹכָחוֹת pro תּוֹכַחַת (Dahl.). Cf. not. ad V, 11. 19. γινομένη c. cd. ed. 23. πολλῇ ἐδωδῇ?

XIV. 1. ἐδομήσατο] cave corrigas ἐδομήσαντο (בָּנְתָה). Cf. Gen. XLIX, 22. ἀπαίδευτος] אֱוִיל suppones pro אִוֶּלֶת; sed etiam Kimchi de adjectivo hoc loco cogitat. Cf. Del. ad h. l.

τὴν, ὁ δὲ ἀφιστὰς τὰς ὁδοὺς αὐτοῦ περιορᾷ αὐτόν. [3]ἐν στόματι ἀπαιδεύτου ῥάβδος ὑπερηφανίας, χεῖλη δὲ σοφῶν, φυλάξεις αὐτά. [4]ἐν οὐ βουσὶ φάτνη καθαρὰ, πλῆθος δὲ προσόδων ἐν ἰσχύϊ βοός. [5]μάρτυς ἀληθὴς οὐ ψεύδεται, φθέγξεται δὲ ψεύδη μάρτυς ψευδής. [6]ἐζήτησεν ὁ φλήναφος σοφίαν, καὶ οὐκ ἔστι, γνῶσις δὲ τῷ συνετῷ κεκούφωται. [7]ἄπιθι ἀπαντικρὺ ἀνδρὸς ἄφρονος, καὶ οὐκ ἔγνως χεῖλη γνώσεως. [8]σοφία πολυτρόπου ξυνιέναι τὴν ὁδὸν αὐτοῦ, ἀπαιδευσία δὲ μωρῶν δόλος. [9]τῶν ἀπαιδεύτων ῥητορεύσει πλημμέλημα, μέσον δὲ εὐθέων θέλημα. [10]καρδία γινώσκει πικρίαν ψυχῆς αὐτῆς, ἐν δὲ τῇ εὐφροσύνῃ αὐτῆς οὐ μιγήσεται ξένος. [11]οἶκος ἀσεβῶν ἐρημωθήσεται, σκηνὴ δ' εὐθέων ἀνθήσει. [12]ἔστιν ὁδὸς εὐθεῖα ἐνώπιον ἀνδρὸς, τὸ δὲ ἔσχατον αὐτῆς ὁδοὶ μόρου. [13]ἔτι ἐν τῷ γελᾶν ἀλγήσει καρδία, καὶ τοὔσχατον αὐτῆς τῆς εὐφροσύνης λύπη. [14]ἀφ' ὁδῶν αὐτῆς κορεσθήσεται ὑποστροφὴ καρδίας, ἄνωθεν δὲ αὐτῆς ἀνὴρ χρηστός. [15]νήπιος πιστεύσει παντὶ λόγῳ, περίνους δὲ ξυνήσει πρὸς προχώρησιν αὐτοῦ. [16]ὁ σοφὸς πτήσσει καὶ ἀπέχει κακοῦ, ἄφρων δὲ θυμοῦται καὶ πέποιθε. [17]βραχύθυμος ποιήσει μωρίαν, ἀνήρ τε βδελυγμῶν μισηθήσεται. [18]ἐκληρώσαντο νηπίαχοι ἀπαιδευσίαν, πολύτροποι δὲ ἐστέψαντο γνώσει. [19]ἔκυψαν κακοὶ ἐνώπιον χρηστῶν, ἀσεβεῖς δὲ ἐπὶ πύλαις δικαίου. [20]ἔτι τῷ ἑταίρῳ οἱ μισηθήσεται ὁ πτωχὸς, οἱ δὲ φιλοῦντες τὸν πλούσιον πολλοί. [21]ὁ βδελυττόμενος τὸν φίλον ἑαυτοῦ ἁμαρτάνει, ὁ δὲ οἰκτείρων πένητας μακάριος. [22]ἆρ' οὐ πεπλανήσονται τεκταινόμενοι κακόν; ἔλεος δὲ καὶ ἀλήθεια τεκταινομένοις χρηστόν; [23]ἐν πάσῃ λύπῃ τελέσει περίττευμα, λόγος δὲ χειλέων μόνον εἰς λεῖψιν. [24]στέφος τῶν σοφῶν ὁ πλοῦτος σφῶν, ἀπαιδευσία μωρῶν ἀπαιδευσία. [25]λυτροῦται ψυχὰς μάρτυς ἀληθὴς, φθέγξεται δὲ ψεύδη δόλος. [26]ἐν τῷ φόβῳ τοῦ ὀντωτοῦ πεποίθησις κράτους, καὶ τοῖς υἱέσιν αὐτοῦ

---

4. ἰσχύει c. cd. ed. 5. ψεύσεται cum Dahl. legendum. Cf. Prol. I, 3, a. 6. ἐκούφωται c. cd. ed. Fort. emendandum κεκούφισται. Cf. Gen. VIII, 8. 11. 7. ἔγνω cod. et ed. Recte jam Dahl. 8. δόλον cod. Emendationem Vill. recepimus. 10. ἀφροσύνῃ cod. Cf. Dahl. 14. αὐτῆς (1) cod., non ἑαυτῆς ut ed. 16. πτήσει c. cd. ed. 18. γνῶσιν (ut ed.) corr. γνώσει cod. 24. στέφανος c. cd. ed. τῶν σοφῶν] ita cum Dahl. scribendum duximus pro cod. δὲ σοφῶν. Sed fieri potuit ut δὲ ex altero membro librarii culpa in priorem inreperet, ita ut legendum sit στέφος σοφῶν κτλ., ac dein ἀπαιδευσία δὲ (וְאִוֶּלֶת pro 'אִ multi codd.) κτλ.

τελέσει ἐλπίς. [27] ὁ φόβος τοῦ ὀντωτοῦ φλέψ ζωῆς, ὥστε ἀπέχεσθαι ἀπὸ σκανδαλήθρων μόρου. [28] ἐν πλήθει λεὼ τιμαὶ βασιλέως, ἐν δὲ ἀλάῳ ἐπιτριβὴ πενίας. [29] ἡ μακροθυμία πολυσύνετος, βραχύπνους δὲ ὑψοῖ ἀπαιδευσίαν. [30] ζωὴ σαρκῶν καρδία θεραπευτική, θρίψ δὲ ὀστῶν ὁ φθόνος. [31] ὁ βιαζόμενος πτωχὸν ὀνειδίζει τῷ ποιητῇ αὐτοῦ, δοξάζει δὲ αὐτὸν ὁ οἰκτείρων ἐνδεῆ. [32] ἐν τῇ κακίᾳ αὐτοῦ ὠσθήσεται ἀσεβής, πέποιθε δὲ ἐν τῷ θανάτῳ αὐτοῦ δίκαιος. [33] ἐν καρδίᾳ συνετῇ εὑρεθήσεται σοφία, μέσον δὲ ἀφρόνων γνωσθήσεται. [34] δικαιοσύνη ὑψώσει ἔθνος, ἔλεος δὲ λαῶν ἁμαρτία. [35] βούλημα βασιλέως δούλῳ νοήμονι, θυμὸς δὲ αὐτοῦ

XV. τελέσει τῷ αἰσχύνοντι. [1] ἀπόκρισις ἁπαλὴ στρέψει χόλον, λόγος δὲ λυπηρὸς ἐπαρεῖ θυμόν. [2] γλῶττα σοφῶν ἀγαθυνεῖ γνῶσιν, στόμα δὲ ἀφρόνων φθέγξεται ἀπαιδευσίαν. [3] ἐν ἅπαντι τόπῳ ὀφθαλμοὶ τοῦ ὀντωτοῦ, καθορῶντες τοὺς κακοὺς καὶ τοὺς χρηστούς. [4] θεραπευτικὴ γλῶττα ξύλον ζωῆς, λοξότης δ' ἐν αὐτῇ συντριβὴ ἐν πνεύματι. [5] ὁ ἀπαίδευτος μυσάξεται παιδείαν πατρὸς ἑαυτοῦ, φυλάσσων δὲ ἔλεγχον πολυμηχανήσει. [6] δόμος δικαίου κράτος πολύ, ἐν δὲ προσόδῳ ἀσεβοῦς ὄλεθρος. [7] χείλη σοφῶν σκορπιοῦσι γνῶσιν, καρδία δ' ἀφρόνων οὐχ οὕτως. [8] θυσία ἀσεβῶν βδέλυγμα τῷ ὀντωτῇ, προσευχὴ δ' εὐθέων βούλημά οἱ. [9] μύσος τῷ ὀντωτῇ ὁδὸς ἀσεβοῦς, διώκοντα δὲ δικαιοσύνην φιλήσει. [10] παιδεία κακὴ τῷ παραλιμπάνοντι ἀτραπόν, ὁ μισῶν ἔλεγχον τεθνήξεται. [11] ᾅδης καὶ ἀπώλεια ἀντικρὺ τοῦ ὀντωτοῦ, μᾶλλον οὖν καρδίαι ἀνθρώπων. [12] οὐ φιλήσει παίκτης ἐλέγχοντά ἑ, πρὸς σοφοὺς οὐ χωρήσει. [13] καρδία χαίρουσα ἀγαθυνεῖ πρόσωπον, ἐν δὲ λύπῃ καρδίας πνεῦμα τετυπός. [14] καρδία συνετοῦ ζητήσει γνῶσιν, στόμα δὲ ἀφρόνων ποιμανεῖ ἀπαιδευσίαν. [15] πᾶσαι αἱ ἡμέραι τοῦ πένητος κακαί,

---

27. σκανδαλίθρων cod. et ed. 28. τιμαὶ (הַדְרַת)] Dahl. „Puncta pluralia ob oculos habuisse videtur“. Minime. Cf. not. ad V, 11. Prol. II, 2, b. 29. μακροθυμία] אֹרֶךְ אַפַּיִם pro אֶרֶךְ אַפּ' (cf. XV, 18. XVI, 32)? An consulto abstr. pro concr. posuit (Dahl.)? Cf. Eccl. VII, 8. 33. εὑρεθήσεται ex εὐνηθήσεται („quod imaginem vocis Hebraeae תָּנוּחַ egregie exprimit“) corruptum esse Dahl. opinatur. Praetulerim ἀφεθήσεται (cf. Deut. V, 14. XXVI, 10 cet.).

XV. 1. ἐπαιρεῖ c. cd. ed. 2. φθέγξεται] יָפִיחַ (cf. XIV, 5) pro יַבִּיעַ (cf. I, 23)? Item v. 28. 4. ἐν αὐτῷ cod. 9. μῦσος c. cd. ed. Item v. 26. 14. στόμα] lect. marg. exprimit (Chethib ופני).

χρηστὴ δὲ καρδία ἑστίασις ἐς ἀεί. [16]κρεῖττον ὀλίγον ἐν φόβῳ τοῦ ὀντωτοῦ ταμιείου πολλοῦ, θόρυβος δ' ἐν αὐτῷ. [17]κρείττων ἐδωδὴ λαχάνου, ὅπου ἀγάπη δὲ ἐκεῖ, ὑπὲρ βοῦν φάτνης, μῖσος δ' ἐν αὐτῷ. [18]ἀνὴρ ὀργίλος συνάψει μάχην, μακρόθυμος δὲ κατασιγάσει δίκην. [19]ὁδὸς ὀκνηροῦ καταφραγμὸς σκόλοπος, ἀτραπὸς δὲ εὐθέων ὑψωμένη. [20]υἱὸς σοφὸς τέρψει πατέρα, ἄφρων δ' ἄνθρωπος περιορᾷ τὴν μητέρα αὐτοῦ. [21]ἡ ἀπαιδευσία τέρψις τῷ καρδίας ἐνδεεῖ, ἀνὴρ δὲ συνετὸς εὐθυνεῖ ἀπιέναι. [22]παῦσαι λογισμοὺς ἐν οὐκ ἀπορρήτῳ, ἐν δὲ πλήθει βουλευτῶν ἐγερεῖ. [23]χαρὰ τῷ ἀνδρὶ ἐν τῇ ἀποκρίσει τοῦ στόματος αὐτοῦ, λόγος δὲ ἐν καιρῷ αὐτοῦ τί χρηστός. [24]τρίβος ζωῆς ἐς τὰ ἄνω τῷ νοήμονι, ἵνα ἀπέχῃ ἀπὸ ᾅδου κάτω. [25]δόμον ὑπερηφάνων ἀφελκήσει ὁ ὀντωτής, στήσει δὲ ὅρον χήρας. [26]μύσος τῷ ὀντωτῇ ἔννοιαι κακοῦ, καθαρὰ δὲ ῥήματα ἡδύτητος. [27]ὁ ὀλλὺς τὸν οἶκον ἑαυτοῦ ἁρπάζει ἅρπαγμα, ὁ δὲ μισῶν δῶρα ζήσεται. [28]καρδία δικαίων μελετήσει ἀποκρίνεσθαι, στόμα δ' ἀσεβῶν φθέγξεται κακίας. [29]πόρρω ὁ ὀντωτὴς τῶν ἀσεβῶν, προσευχὴν δὲ τῶν δικαίων πεύσεται. [30]ἀπὸ φωτὸς ὀμμάτων τερφθήσεται καρδία, ἀκοὴ χρηστὴ λιπανεῖ ὀστοῦν. [31]οὖς ἀκοῦον ἔλεγχον ζωῆς, μέσον τῶν εὐθέων μενεῖ. [32]ὁ ἀφηνιάζων παιδείας βδελύττεται τὴν ψυχὴν ἑαυτοῦ, ὁ δ' ἀκούων ἔλεγχον κτᾶται καρδίαν. [33]φόβος τοῦ ὀντωτοῦ παιδεία σοφίας, πρὸ μέντοι δόξης ταπείνωσις. XVI. [1]τῷ ἀνθρώπῳ διατάγματα καρδίας, παρὰ

15. χρηστῇ δὲ καρδίᾳ? ἑστίασις cod. Cf. not. ad Gen. XXVI, 30. 16. δ' ἐν] δ' addidimus invito codice. 17. ὅπου videtur ejiciendum, si quidem, uti conjicio, primo ὅπου ἀγάπη posuit, tum correxit ἀγάπη δὲ ἐκεῖ. Cf. Prol. I, 2, g. φάτνης] אֲבוּס pro אֵבוּס? Cf. XIV, 4. 18. ὀργῖλος cod. 19. καταφραγμὸς] Dahl. „Non dubito quin καθὰ φραγμὸς scripserit autor". An voluit κατὰ φραγμὸν (cf. XXIV, 31)? 20. δὲ ἄνθρ. c. cd. ed. 21. ἐνδενεῖ (typ. vitio?) c. cd. Mor. 22. παῦσαι] πόδες corrupte cod (הָפֵר). Cf. Lev. XXVI, 15. 44. Num. XXX, 13. 16 cet. Facilior conjectura esset πάρες (πρόες?). Verum ita nusquam פָּרַר reddit. 25. ἀφελκύσει? Cf. II, 22. 28. δικαίων] legit צַדִּיקִים (ita cod. Kenn. 192) pro צַדִּיק. Item LXX (non Hieron.). 30. ἀπὸ φωτὸς ὀμμ. τερφθήσεται] מֵאוֹר pro מְאוֹר; sed pro יְשַׂמַּח certo non legit יִשָּׂמַח (Dahl.). Cf. XXVII, 9. Thr. II, 17. 31. τῶν εὐθέων] הַיְשָׁרִים (cf. v. 19. XVI, 17 cet.) pro חֲכָמִים 32. παιδείαν c. cd. ed. κτᾶται cod., non κρᾶται ut Mor. tradidit.

τοῦ ὀντωτοῦ δὲ ἀπόκρισις γλώττης. [2] πᾶσαι ὁδοὶ ἀνδρὸς καϑαροῦ ἐν ὄμμασίν οἱ, καταρτίζει δὲ πνεύματα ὁ ὀντωτής. [3] περίστρεψον πρὸς τὸν ὀντωτὴν τὰ ἔργα σου, καὶ καταρτιοῦνται αἱ ἔννοιαί σου. [4] πᾶν εἴργασται ὁ ϑεὸς πρὸς ἀπόκρισιν αὐτοῦ, ἔτι τε τὸν ἀσεβῆ εἰς ἡμέραν κακώσεως. [5] βδέλυγμα τῷ ὀντωτῇ ὁ μετέωρος τὴν καρδίαν, χεὶρ τῇ χειρί, οὐκ ἀϑωωϑήσεται. [6] ἐν ἐλέῳ καὶ ἀληϑείᾳ συγγνωσϑήσεται πλημμέλημα, ἐν δὲ φόβῳ ϑεοῦ ἀπόστηϑι κακοῦ. [7] ἐν τῷ ϑέλειν τῷ ὀντωτῇ ὁδοὶ ἀνδρός, ἔτι τοῖς ἐχϑροῖς αὐτοῦ ἀποτίσει ξὺν αὐτῷ. [8] κρεῖττον ὀλίγον ἐν δικαιοσύνῃ, πλήϑους εἰσφορῶν ἐν οὐ κρίσει. [9] καρδία ἀνϑρώπου λογιεῖται τὴν ὁδὸν αὐτοῦ, ὁ δ' ὀντωτὴς καταρτιεῖ τὸ διάβημα αὐτοῦ. [10] μαντεία ἐπὶ χειλῶν βασιλέως, ἐν κρίσει οὐ πταίσει τὸ στόμα αὐτοῦ. [11] σταϑμὸς καὶ ζυγὰ κρίσεως τῷ ὀντωτῇ, ἔργον αὐτοῦ πάντες λίϑοι βαλαντίου. [12] μύσαγμα βασιλεῦσι ποιεῖν ἀσέβειαν, ἐν γὰρ δικαιοσύνῃ καταρτισϑήσεται ϑᾶκος.

[13] Θέλησις βασιλέων χείλη δίκαια, καὶ διαλεγόμενον εὐϑέα φιλήσει. [14] χόλος βασιλέως ἄγγελος ϑανάτου, καὶ ἀνὴρ σοφὸς ἱλεώσεται αὐτόν. [15] ἐν φωτὶ προσώπου βασιλέως ζωή, ϑέλημα αὐτοῦ ὡς παχὺ περιβόλαιον. [16] κτῆσαι σοφίαν ὡς κρεῖττον χρυσοῦ, κτήσασϑαί τε σύνεσιν αἱρετώτερον ἀργύρου. [17] δίοδος εὐϑέων ἀφεστάναι κακοῦ, ὁ φυλάττων τὴν ψυχὴν ἑαυτοῦ τηρεῖ τὴν ὁδὸν ἑαυτοῦ. [18] πρὸ ἐπιτριβῆς ἔπαρσις, καὶ πρὸ προσκοπῶν μετεώρησις πνεύματος. [19] κρείττων ταπεινὸς τὸ πνεῦμα ξὺν πένησιν ὑπὲρ μέρος λείας σὺν ὑπερηφάνοις. [20] ὁ νουνεχὴς ἐπὶ λόγῳ εὑρήσει χρηστόν, ὁ δὲ ϑαρρῶν τῷ ὀντωτῇ μακάριος. [21] τῷ σοφῷ τὴν καρδίαν κληϑήσεται συνετός, γλυκύτης τε χειλῶν προσϑήσει λῆμμα. [22] ψλέψ ζωῆς νοῦς τῷ δεσπότῃ αὐτοῦ, παιδεία δὲ τῶν ἀπαιδεύτων ἡ ἀπαιδευσία.

XVI. 2. καϑαραὶ (cf. XXI, 2)? An recte Dahl. „Refert זַךְ ad אִישׁ, quoniam numero non respondet voci דַּרְכֵי“? 4. ϑεὸς] אֱלֹהִים pro יְהוָֹה 5. ὁ μετέωρος] כָּל־ om. 12. καταρτιϑήσεται cod. et ed. Cf. XII, 3. ϑάκος cod. Cf. Gen. XLI, 40. Prol. I, 4, c. 14. ἄγγελος] מַלְאַךְ pro מַלְאֲכֵי. An legendum ἄγγελοι (Dahl.)? 15. περιβόλαιον] מַלְבּוּשׁ pro מַלְקוֹשׁ 16. κτῆσαι] קְנֵה (ita octo codd. Ross., alii duo a pr.) pro קְנֹה? Cf. Hieron. *(posside)*. 18. πρὸ σκοπῶν cod., πρὸ σκώλων conj. C. J. Facere non potui quin Dahlerum sequerer (cf. IV, 19. Lev. XIX, 14 cet.), nisi quod προσκοπῆς (כִּשָּׁלוֹן) legendum esse puto. μετεώρισις? 19. ὑπὲρ μέρος] מֵחֵלֶק pro מֵחַלֵּק

[23] καρδία σοφοῦ νοήσει τὸ στόμα αὐτῆς, ἐπί τε τῶν χειλῶν αὐτῆς προσθήσει λῆμμα. [24] ψῆττα μέλιτος ῥήματα ἡδύτητος, γλυκύτης τῇ ψυχῇ καὶ θεραπεία τῷ ὀστῷ.
[25] Ἔστιν ὁδὸς εὐθεῖα ἐνώπιον ἀνδρός, τὸ δ' ἔσχατον αὐτῆς ὁδοὶ θανάτου. [26] ψυχὴ μογοῦντος ἐμόγησεν αὐτῷ, ἐπεὶ κύπτει ἐπ' αὐτὸν τὸ στόμα αὐτοῦ. [27] ἀνὴρ φαῦλος ὀρύττει κακίαν, κἀπὶ τοῖς χείλεσιν αὐτοῦ ὡς πῦρ πρῆθον. [28] ἀνὴρ διαστροφῶν πέμψει μάχην, καὶ πεφλυαγμένος διΐστησι χιλίαρχον. [29] ἀνὴρ φρόνιμος πλανήσει τὸν φίλον αὐτοῦ καὶ ἀποίσει αὐτὸν εἰς ὁδὸν οὐ χρηστήν. [30] μύων ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐννοεῖν διαστροφάς, νεύων χείλεσιν αὐτοῦ ἐτέλεσε κακίαν. [31] στέφος καλλονῆς πολιά, ἐν ὁδῷ δικαιοσύνης εὑρεθήσεται. [32] κρείττων ὁ μακρόθυμος τοῦ ἰσχυροῦ, καὶ κυριεύων ἐν τῷ πνεύματι αὐτοῦ καταλαμβάνοντος πόλιν. [33] ἐν κόλπῳ ῥιφήσεται ὁ κλῆρος, καὶ πρὸς τοῦ ὀντωτοῦ πᾶσα ἡ κρίσις αὐτοῦ. XVII. [1] κρείττων βλωμὸς ξηρός, ἐν αὐτῷ δὲ γαλήνη, οἴκου πλήρους ἱερείων ἔριδος.
[2] Οἰκέτης νουνεχὴς δεσπόσει υἱοῦ καταισχύνοντος, καὶ μέσον ἀδελφῶν μεριεῖ κλῆρον. [3] πυρωτὴς τοῦ ἀργύρου καὶ χώνη τοῦ χρυσοῦ, καὶ ἐταστὴς τῶν καρδιῶν ὁ ὀντωτής. [4] ἀπὸ κακοῦ ἀκροώμενος ἐπὶ χείλους οὐδενείας, ψεῦδος ὁπλίζει ἐπὶ γλώττης ἐπιτριβῶν. [5] καταμωκώμενος πτωχοῦ ὀνειδίζει τῷ ποιητῇ αὐτοῦ, χαίρων ἐπιτριβῇ οὐκ ἀθωωθήσεται. [6] στέφανος γέρουσιν υἱεῖς υἱῶν, καλλονὴ δὲ τοῖς υἱέσιν οἱ πατέρες αὐτῶν. [7] οὐχ ἁρμόζει τῷ ἄφρονι χεῖλος περιττόν, πόσῳ μᾶλλον τῷ εὐεργέτῃ χεῖλος ψευδές;
[8] Λίθος χαρίεις τὸ δῶρον ἐν ὄμμασι τοῦ κυρίου αὐτοῦ, πρὸς πᾶν ὅπερ κλινεῖ συνήσει. [9] ὁ καλύπτων ἔγκλημα ζητεῖ ἀγάπην, ὁ ἀλ-

---

23. αὐτῆς (ῆς factum ex οὐ, non „superscriptum est ου" ut Vill. indicat) — αὐτῆς] αὐτοῦ — αὐτοῦ?· 24. ψῆττα] Vill. „An ψεκάς?" Dahl. mavult ψιττία. At nihil emendandum est. Cf. Exod. XII, 39. Lev. VIII, 26. Num. VI, 15 cet. 28. πεφυλαγμένος cod. et ed. Si cum Dahl. malis πεφρυαγμ. (נִרְגָּז pauci codd. Kenn.; cf. XXIX, 9. Exod. XV, 14), nihil obstat nisi quod inde haud ita facile πεφυλαγμ. gigni poterat. 29. φρόνιμος] חָכָם (ita cod. Kenn. 95 a pr., Ross. 34) pro חָמָס αὐτοῦ c. cd. ed. 30. ἐν τοῖς ὀφθ.] nescio unde ἐν sumpserit (עֵינָיו). Cf. Dahl. ἐτέλεσα cod.
XVII. 1. πλήρης cod. 2. δεσπόσει] δ' ἀπόσει cod. Cf. Vill. 4. ἀπὸ κακοῦ] מֵרַע pro מֵרַע οὐδενίας cod. Cf. VI, 12.

λοιῶν ἐν λόγῳ διΐστησι χιλίαρχον. [10]ἀνεῖ ἀπειλὴ τῷ συνιέντι, ὑπὲρ τὸ τύπτειν τὸν ἄφρονα ἑκατόν. [11]πλὴν ὁ ἀντάρτης ζητήσει κακόν, καὶ ἄγγελος ἀπηνὴς πεμφθήσεται εἰς αὐτόν. [12]ὑπαντῆσαι ἄρκον ἠτεκνωμένην εἰς ἄνδρα, καὶ μὴ μωρὸν ἐν τῇ ἀπαιδευσίᾳ αὐτοῦ. [13]ἀμειβομένῳ κακίᾳ ἀντὶ χρηστότητος, οὐκ ἐκλείψει κακία ἀπὸ τοῦ οἴκου αὐτοῦ. [14]ἀφιεὶς ὕδατα ἀρχὴ μάχης, καὶ πρὸ τοῦ συγχυθῆναι τὴν ἔριν ἄφεσις. [15]ὁ δικαιῶν ἀσεβῆ καὶ ὁ καταδικάζων δίκαιον, βδέλυγμα τῷ ὀντωτῇ καὶ ἄμφω.

[16]Διατί τόδε τὸ τίμημα ἐν τῇ χειρὶ τοῦ ἄφρονος, ὠνήσασθαι σοφίαν, καὶ καρδία οὐκ ἔστι; [17]ἐν παντὶ καιρῷ φιλεῖ ὁ φίλος, ἀλλ' ἀδελφὸς τῇ θλίψει γεννηθείη. [18]ἀνὴρ ἐνδεὴς καρδίας κροτεῖ παλάμῃ, συγχεῖ σύγχυσιν ἐνώπιον τοῦ φίλου οἱ. [19]ὁ φιλῶν ἔγκλημα φιλεῖ ἔριν, ὁ ὑψῶν τὴν πύλην αὐτοῦ ζητεῖ ξυντριμμόν.

[20]Ὁ σκολιὸς τὴν καρδίαν οὐχ εὑρήσει χρηστόν, ὅ τε διεστραμμένος ἐν τῇ γλώττῃ αὐτοῦ πεσεῖται εἰς κάκωσιν. [21]γεννᾷ ὁ ἄφρων εἰς ἄλγος ἑαυτῷ, οὔτε χαιρήσει πατὴρ ἄνου. [22]καρδία χαίρουσα ἀγαθυνεῖ θεραπείαν, πνεύματι δὲ τετυπότι ξηρανθήσεται ὀστοῦν. [23]δῶρον πρὸς κόλπου ἀσεβὴς λήψεται, κλίνειν ἀτραποὺς κρίσεως. [24]σὺν προσώπῳ συνιέντος σοφία, ὀφθαλμοὶ δὲ ἄφρονος εἰς ἄκρον γῆς. [25]ὀργὴ τῷ πατρί οἱ υἱὸς μωρός, καὶ πικρία τῇ τεκούσῃ αὐτόν. [26]ἔτι ζημιοῦν τὸν δίκαιον οὐ χρηστόν, πλήττειν τοὺς εὐεργέτας ἐπ' εὐθύτησιν. [27]ὁ κωλύων τοὺς λόγους αὐτοῦ γινώσκει γνῶσιν, τίμιος τὸ πνεῦμα ἀνὴρ συνέσεως. [28]ἔτι ἀπαίδευτος σιγῶν

XVIII. σοφὸς λογισθήσεται, βύων τὰ χείλη αὐτοῦ ὁ συνετός. [1]εἰς ὄρεξιν ζητήσει ὁ ἀφωρισμένος, ἐν πάσῃ ὑπάρξει μιγήσεται. [2]οὐκ ἐθελή-

---

10. ἀνεῖ (ν factum ex ρ ut videtur)] ἀνεῖται (i. e. *remittitur*)? An legendum ὀνεῖ (ab ὀνέω = ὀνίνημι; cf. Dahl.)? Huic conjecturae Hieron. favet *(plus proficit)*. Cf. Del. ad h. l. 12. ἄρκον] sic cod., Vill. nescio quo jure corrigit ἄρκτον. Cf. Mor. in Add. ἠτεκνωμένον c. cd. ed. 13. κακίᾳ cod., non κακίαν ut ed. αὐτῆς cod. et ed. 15. ἄμφω] suff. om. (שְׁנֵיהֶם). Cf. XX, 10. 12. XXIV, 22 cet. 16. καρδίαν cod. et ed. In mente habuit (καρδίαν) οὐκ ἔχει οὐκ ἔτι c. cd. ed. 21. ἑαυτοῦ corr. ἑαυτῷ cod. ἄνου, quamquam lineam superinductam non habet, compendium esse putans ἀνθρώπου Vill. legit atque edidit. 22. ξηρανθήσεται] תְּיַבֵּשׁ pro תְּיַבֶּשׁ. Item LXX. 26. εὐθύτησι c. cd. ed. Unde fieri poterat ut et C. Tub. et Dahl. de εὐθύτητι (יֹשֶׁר) cogitarent. Cf. Prol. II, 2, b. 27. τίμιος] lect. marg. (יְקַר) exprimit, quam plures codd. in textu habent (Cheth. וקר). Cf. Hieron.

σει ἄφρων εἰς σύνεσιν, εἰ μὴ ἐν τῷ φανεροῦσϑαι τὴν καρδίαν ἑαυτοῦ. [3] ἀφικνουμένου ἀσεβοῦς ἀφικνεῖται καὶ μύσος, καὶ σὺν ἀτιμίᾳ ὄνειδος. [4] ὕδατα βαϑέα λόγοι στόματος ἀνδρὸς, χειμάρρους βλύζων ἡ φλὲψ τῆς σοφίας.

[5] Αἴρειν πρόσωπον ἀσεβοῦς οὐ χρηστὸν, ὥστε ἐκκλίνειν τὸν δίκαιον ἐν κρίσει. [6] χεῖλη μωροῦ ἐλεύσονται εἰς ἔριν, καὶ τὸ στόμα αὐτοῦ πληγαῖς βοήσει. [7] στόμα μωροῦ ϑραυσμὸς αὐτῷ, χεῖλη δὲ αὐτοῦ παγὶς τῇ ψυχῇ οἱ. [8] λόγοι προσποιουμένου ὡς μαλϑακιζόμενοι, αὐτοὶ δὲ καταβήσονται ἐς ταμιεῖα γαστρός. [9] ἔτι ὁ κεχαυνωμένος ἐν τῇ ἐργασίᾳ ἑαυτοῦ ἀδελφός ἐστι τοῦ ἀρχιφϑορέως. [10] πύργος ἰσχυρὸς τοὔνομα τοῦ ὀντωτοῦ, ἐν αὐτῷ δραμεῖται ὁ δίκαιος καὶ στηριεῖται. [11] ὄλβος πλουσίου πόλις ἰσχύος αὐτοῦ, ὡς τείχει τε ἐρεισϑήσεται ἐν φαντασίᾳ αὐτοῦ. [12] πρὸ ϑραυσμοῦ μετεωριεῖται καρδία ἀνδρὸς, πρό τε δόξης πραότης. [13] ὁ ἀποκρινόμενος λόγον πρὶν ἂν ἀκούσειεν, ἀπαιδευσίαν ἔχει καὶ αἰσχύνην. [14] πνεῦμα ἀνδρὸς ἐπαρκέσει τῇ νόσῳ αὐτοῦ, πνεῦμα δὲ πεπληγὸς, τίς οἴσει αὐτό; [15] καρδία νουνεχὴς κτήσεται γνῶσιν, καὶ οὖς σοφῶν ζητήσει γνῶσιν. [16] δῶρα ἀνδρὸς πλατυνεῖ αὐτῷ, ἐνώπιόν τε μεγάλων ἀναπαύσει αὐτόν. [17] δίκαιος ὁ πρῶτος ἐν τῇ δίκῃ αὐτοῦ, ἔρχεται δὲ ὁ φίλος ἑαυτοῦ καὶ ἤτασεν αὐτόν. [18] μάχας παύσει ὁ κλῆρος, καὶ μέσον κραταιῶν διαστελεῖ. [19] ἀδελφὸς πλημμεληϑεὶς ὑπὲρ πόλιν ὀχυρὰν, καὶ μάχαι ὡς μοχλὸς μεγάρου. [20] πρὸς καρποῦ στόματος ἀνδρὸς κορεσϑήσεται ἡ κοιλία αὐτοῦ, τῆς προσόδου τῶν χειλέων αὐτοῦ κορεσϑήσεται. [21] μόρος καὶ βίος ἐν χειρὶ γλώττης, καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἔδεται ὁ καρπὸς αὐτῆς. [22] εὗρε γυναῖκα, εὗρε χρηστὸν, ἐξήνεγκέ τε ϑέλημα πρὸς τοῦ ὀντωτοῦ. [23] δεήσεις διαλέξεται πτωχὸς, πλούσιος δὲ ἀποκρινεῖται κραταιῶς. [24] ἀνὴρ φίλων ὥστε ἀλαλάζειν, ἔστι δὲ φιλῶν κολλᾶσϑαι ὑπὲρ ἀδελφοῦ.

XVIII. 5. ὥστε (ὥστ' c. cd. ed.) κλίνειν? Cf. XVII, 23. Exod. XXIII, 2. Thr. III, 35 cet. 11. ἐρεισϑήσεται] Dahl. „Legisse videtur נִשְׂגָּב (cf. v. 10) omisso ה in fine vocis, nisi ad קִרְיַת retulit". 16. δῶρα] Dahl. „An potius δῶρον, vel δωρεά (מַתָּן)?" Cf. XIX, 6. ἀναπαύσει] idem „Non a נָחָה derivare videtur verbum hoc (יַנְחֶנּוּ) sed a נוּחַ" (cf. XXI, 16. Eccl. VII, 9 cet.) et „tum alia puncta voci substravisse putandus erit". Immo יַנִּיחֶנּוּ. Cf. Exod. XVI, 34. 24. ὥστε ἀλαλάζειν] לְהִתְרֹעֵם nescio qua ratione pro לְהִתְרוֹעֵעַ C. T. supponit. Recte Dahl. „Refert ad radicem רוּעַ". Cf. Num. X, 7. 9 cet.

XIX. [1] κρείττων πτωχὸς πορευόμενος ἐν τελειότητι αὐτοῦ ὑπὲρ στρεβλὸν τὰ χείλη, καίτοι ἐκεῖνος ἄφρων. [2] ἔτι ἐν ἀγνωσίᾳ ψυχῇ οὐ χρηστὸν, ὠκύς τ' ἐν τοῖς πόδεσσιν ἁμαρτάνει. [3] ἀφροσύνη ἀνδρὸς σκολιώσει τὴν ὁδὸν ἑαυτοῦ, ἐπὶ δὲ τὸν ὀντωτὴν ὀργιεῖται ἡ καρδία αὐτοῦ. [4] πλοῦτος προστίϑησι φίλους πολλοὺς, πένης δὲ ἀπὸ τῶν φίλων αὐτοῦ χωρισϑήσεται. [5] μάρτυς ψευδὴς οὐ καϑαρϑήσεται, καὶ φϑεγγόμενος ψεύδη οὐκ ἀπαλλαγήσεται. [6] πολλοὶ λιτανεύσουσι πρόσωπον ἐλευϑερίου, καὶ πᾶς ὁ φίλος ἀνδρὶ δωρεᾶς. [7] πάντες οἱ ἀδελφοὶ τοῦ πτωχοῦ ἐμίσησαν αὐτὸν, πόσῳ μᾶλλον ἀπὸ τοῦ φίλου αὐτοῦ μακρυνοῦσιν ἀπ' αὐτοῦ, διώκοντος λόγους οὐκ αὐτούς; [8] κτώμενος καρδίαν φιλεῖ τὴν ψυχὴν ἑαυτοῦ, ὁ τηρῶν σύνεσιν τῷ εὑρίσκειν χρηστόν ἐστι. [9] μάρτυς ψευδὴς οὐ καϑαρϑήσεται, καὶ φϑεγγόμενος ψεύδη ἀπολεῖται. [10] οὐ πρέπει τῷ μωρῷ ἡδονὴ, πόσῳ μᾶλλον τῷ δούλῳ ἡγεμονεύειν ἐν ἄρχουσι;

[11] Νοῦς ἀνϑρώπου μηκυνεῖ τὸν ϑυμὸν ἑαυτοῦ, καὶ καλλονή οἱ διαβῆναι ὑπὲρ ἔγκλημα. [12] βρυχηϑμὸς σκύμνου ϑυμὸς βασιλέως, καὶ ὡς δρόσος ἐπὶ χλόην ἡ εὐδοκία αὐτοῦ. [13] ἐπιτριμμὸς τῷ πατρί οἱ υἱὸς ἄφρων, καὶ σταγὼν συνεχὴς δικασία γυναικός. [14] δόμος καὶ ὄλβος κληρονομία πατέρων, παρὰ δὲ τοῦ ὀντωτοῦ γυνὴ νουνεχής. [15] ὄκνος ῥίψει κάρον, καὶ ψυχὴ δολία λιμώξει.

[16] Ὁ τηρῶν ἐντολὴν τηρεῖ τὴν ψυχήν οἱ, περιορῶν δὲ τὰς ὁδούς οἱ ϑανατωϑήσεται. [17] δανείζει τῷ ὀντωτῇ ὁ χαριζόμενος πτωχῷ, καὶ τὴν ἀντίτισιν ἑαυτοῦ διαλύσεταί οἱ. [18] παίδευε τὸν υἱόν σου, ἔστι γὰρ ἐλπὶς, καὶ πρὸς τὸ ϑανατοῦν αὐτὸν μὴ ἄρῃς τὴν ψυχήν σου.

[19] Τὸ μεγεϑύνειν ϑυμὸν αἴρει ζημείαν, εἰ γὰρ ἀπαλλάξειας, ἔτι

XIX. 1. τὰ χείλη] suff. om. (שְׂפָתָיו). An legit שְׂפָתַיִם (ita pauci codd.)? 2. ψυχὴ cod. Legendum fort. ψυχῆς 3. ἑαυτοῦ] l. αὐτοῦ. Idem mendum inesse videtur v. 11. 4. ἀπὸ τῶν φίλων αὐ.] מֵרֵעֵהוּ pluraliter. Cf. Job. XLII, 10. 5. ψευδῆ c. cd. ed. 7. ἀπὸ τοῦ φίλου αὐτοῦ] inconsiderate (מֵרֵעֵהוּ). Ceterum invito codice ed. sic distinguit: μακρυνοῦσιν; ἀπ' αὐτοῦ διώκ. 12. βρυχηϑμὸς σκύμνου] Dahl. „Sine dubio excidit ὡς ante σκύμνου, absorptum a proxime praecedentis vocis syllaba ultima“ (cf. XVI, 18. XX, 2). Nisi vero oscitanter כְּפִיר pro כַּכְּפִיר legit. 15. κάρον] κάρου ed. Codicis scriptura ambigua. Male Vill. „An κάρος“. Cf. Dahl. 16. ϑανατωϑήσεται] textus lect. (יוּמָת) exprimit (Kerî יָמוּת). Item Syr. Hier. 19. μεγεϑύνειν] lect. marg. (גְּדָל־) reddit (Chethîb גרל־). Item Theodot. ζημείαν] sic pro ζημίαν cod.

προσθήσεις. [20]πυθοῦ βουλὴν δέξῃ τε παιδείαν, ὡς σοφισθείης ἐν ἐσχάτῳ σου. [21]πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἥ τε βουλὴ τοῦ ὀντωτοῦ, αὕτη κυρωθήσεται. [22]ἔφεσις ἀνδρὸς ὁ ἔλεος αὐτοῦ, καὶ κρείττων πτωχὸς ἀνδρὸς ψευδοῦς. [23]δέος τοῦ ὀντωτοῦ εἰς ζωήν, κεκορεσμένος δὲ μενεῖ, οὐκ ἐπισκεφθήσεται δεινόν. [24]ἔκρυψεν ὁ ὀκνηρὸς τὴν χεῖρά οἱ ἐν τῷ κόλπῳ, κἄτι πρὸς τὸ στόμα οἱ οὐ στρέψει ταύτην. [25]ἐμπαίκτην τύψεις, καὶ νήπιος πολυμηχανήσει, ἤλεγξέ τε τὸν νοήμονα, συνήσει γνῶσιν. [26]ὁ σκυλεύων πατέρα φυγαδεύσει μητέρα, υἱὸς καταισχύνων καὶ ἀτιμῶν. [27]παῦσον, υἱέ μου, ὡς ἀκούεις παιδείαν, ὡς ἐπιλανθάνοις ῥημάτων γνώμης. [28]μάρτυς φαῦλος παίξει κρίσιν, στόμα δὲ ἀσεβῶν καταπίεται οὐδαμινόν. [29]ἡτοιμάκαται τοῖς ἐμπαίκταις κρίσεις, καὶ μάστιγες τοῖς νώτοις τῶν ἀφρόνων. [1]παίκτης ὁ οἶνος, ταράκτρια συρμαία, ὅστισοῦν πλανώμενος ἐν αὐτῷ οὐ σοφισθήσεται. [2]βρυχηθμὸς ὡς σκύμνου δεῖμα βασιλέως, χολούμενος αὐτῷ ἁμαρτάνει τῇ ψυχῇ οἱ. [3]δόξα ἀνδρὶ καθῆσθαι ἀπ' ἔριδος, πᾶς δὲ ἄφρων μιγήσεται. [4]ἀπὸ χειμῶνος ὀκνηρὸς οὐκ ἀροτριάσει, ζητήσει τε ἐν θέρει, καὶ οὐδὲν ἔσται. [5]ὕδατα βαθέα βουλὴ ἐν καρδίᾳ ἀνδρός, ἀνὴρ τε συνέσεως ἀνέλξει ταύτην. [6]πολὺς ἄνθρωπος καλέσει ἄνδρα ἐλέους αὐτοῦ, ἄνδρα δὲ ἀληθείας τίς εὑρήσει; XX.

[7]Πορευομένου ἐν τελειότητι αὐτοῦ δικαίου, μακάριοι οἱ υἱεῖς αὐτοῦ μετ' αὐτόν. [8]βασιλεὺς καθεζόμενος ἐπὶ θρόνου δίκης σκορπίζει ἐν ὄμμασιν αὐτοῦ πᾶν κακόν. [9]τίς ἐρεῖ· ἐλάμπρυνα τὴν καρδίαν μου, ἐκάθηρα ἀπὸ τῆς ἁμαρτίας μου; [10]λίθος καὶ λίθος, μέδιμνος καὶ μέδιμνος, μύσος τοῦ ὀντωτοῦ καὶ ἄμφω αὐτώ. [11]ἔτι ἐν παιδιαῖς αὐτοῦ γνωσθήσεται παῖς, εἰ λαμπρὸν καὶ εἰ εὐθὲς

---

24. κἄτι] κἂν cod. et ed. 25. πολυμηχανήσει ex XV, 5 reposuimus pro τοίνυν ποιήσει, quod corrupte cod. praebet. Dahl. conj. τὸν νοῦν (vel τὸ νοεῖν) ποιήσει ἤλεγξε] ἐλέγξῃ Dahl. Mallem ἔλεγξον (cf. IX, 8), si mendum esset. 27. ἀκούεις consulto (pro ἀκούοις) posuisse interpretem Dahl. putat, ut hujusmodi sententiam exprimeret: „*Cessa, quum audis acumen, ut obliviscaris verba sensum obvolventia*". ἐπιλανθάνοις] non est cur לִשְׁכֹּחַ (pro לִשְׁגּוֹת) supponatur (C. T.). Sed emendandum fort. ἐπιλανθάνοιο. Cf. Lev. IV, 13. Num. XV, 22. 29. ἡτοίμαται, codicis scripturam ἡτοιμάκαται esse non nescius, Vill. edidit. Illa autem nobis videbatur reponenda. Cf. Thr. I, 4. μάστιγες cum Dahl. pro μάστιγα (cod. et ed.) dedimus.

XX. 2. βρυχθμὸς cod. et ed. Cf. XIX, 12. 10. αὐτῷ cod.

τὸ ἔργον αὐτοῦ. [12] οὖς ἀκούει καὶ ὀφϑαλμὸς ὁρᾷ, ὁ ὀντωτὴς ἐποίησε καὶ ἄμφω αὐτά. [13] μὴ φιλήσῃς ὕπνον, μήπως ἀποκληρωϑῇς· ἄνοιξον τοὺς ὀφϑαλμούς σου, κορέσϑητι ἄρτου. [14] κακὸν, κακὸν, ἐρεῖ ὁ κτώμενος· ἄπεισι δὲ ἑαυτῷ, τότε καυχήσεται. [15] ἔστι χρυσὸς καὶ πλῆϑος λιϑίδων, σκεῦος δὲ τίμιον χείλη φρονήσεως. [16] λάβε ϑοἰμάτιον αὐτοῦ, ἠγγύηται τὸν ξένον, καὶ χάριν τῶν ἀλλοτρίων ἐνεχύρασον αὐτόν. [17] ἡδὺς ἀνδρὶ ἄρτος ψεύδους, καὶ μεταταῦτα πλησϑήσεται τὸ στόμα αὐτοῦ κάχληκος. [18] λογισμοὺς εἰς βουλὴν κατασκευάσεις, καὶ ἐν μηχαναῖς ποίησον πόλεμον. [19] ἀποκαλύπτων ἀπόρρητον πορεύεται καταμηνυτὴς, καὶ τῷ ἀπατεῶνι τοῖς χείλεσιν οὐχ ἡδὺς ἔσται.

[20] Βλασφήμῳ πατρὸς ἑαυτοῦ μητρός ϑ᾽ ἑαυτοῦ, σβεσϑήσεται ὁ λύχνος αὐτοῦ ἐν μέλανι σκότους. [21] κληρονομία ϑαμβοῦσα ἐν πρώτοις, καὶ τοὔσχατον αὐτῆς οὐκ εὐλογηϑήσεται. [22] μὴ φῇς· ἀποτίσω κακόν· περίμεινον τὸν ὀντωτὴν, καὶ δώσει σοι. [23] μύσος τοῦ ὀντωτοῦ λίϑος καὶ λίϑος, καὶ ζυγὰ δόλου ἥκιστα χρηστόν. [24] παρὰ τοῦ ὀντωτοῦ τὰ διαβήματα τοῦ ἀνδρὸς, καὶ ἄνϑρωπος τίς συνήσει τὴν ὁδὸν αὐτοῦ; [25] σκανδάληϑρον ἀνϑρώπου καταπίεται ἅγιον, καὶ μετὰ τάδε εὐχὰς ἐτάζειν. [26] σκορπίζει ἀσεβεῖς βασιλεὺς σοφὸς, καὶ στρέψει ἐπ᾽ αὐτοὺς τροχόν. [27] λύχνος ὁ ὀντωτὴς πνοῇ ἀνϑρώπου, ἐτάζων πάντα τὰ ταμιεῖα τῆς γαστρός. [28] ἔλεος καὶ ἀλήϑεια φυλάξουσι βασιλέα, στηρίξει τ᾽ ἐν τῷ ἐλέῳ τὸν ϑρόνον αὐτοῦ. [29] καλλονὴ τῶν νεανίδων ἡ ἰσχὺς αὐτῶν, εὐπρέπεια τοῖς γέρουσι πολιά. [30] μώλωπες τραύματος λάμψουσιν ἐν κακῷ, καὶ πληγαὶ

---

12. αὐτά] l. αὐτῷ ut v. 10. 16. ϑοιμάτιον cod. τὸν ξένον] כִּי־ om. An legendum γὰρ ξένον? Cf. XXI, 7. XXVII, 13. τῶν ἀλλοτρίων] textus lect. (נכרים) exprimit (Chethîb נָכְרִיָּה). Item Hieron. ἐνχύρωσον cod. et ed. Cf. l. c. Deut. XXIV, 6. 17 cet. 17. μετὰ ταῦτα cod. Cf. Gen. VI, 4. Prol. I, 4, d. 18. κατασκευάσεις] תְּכוֹנֵן vel תָּכִין pro תִּכּוֹן? Cf. XII, 19. XXI, 29. 19. ἀπαταιῶνι cod. Cf. Gen. XXVII, 12. 20. ἐν μέλανι] lect. marg. (בֶּאֱשׁוּן) reddit (Chethîb באישון; cf. VII, 2. 9. Deut. XXXII, 10 cet.). Vid. Dahl. 21. ϑαμβοῦσα] rursus lect. marg. (מְבֹהֶלֶת) praetulit, quam quidem permulti codd. in textu habent (pro מבחלת). 22. δώσει] legendum sine dubio σώσει (וְיֹשַׁע). 23. λίϑος ὡς λίϑος cod. Cf. v. 10. Deut. XXV, 13. 24. τίς] l. τί (מַה). 27. πνοὴ cod. et ed. Cf. Dahl. πάντη cod. et ed. 29. νεανίδων] l. νεανιῶν (בַּחוּרִים) vel νεανίσκων (cf. Num. XI, 28. Ruth III, 10 cet.). 30. λάμψουσιν] lect. marg. (תַּמְרוּק) ante oculos habuisse videtur (Chethîb תמריק). Cf. Del. ad h. l.

τῶν ταμιείων τῆς γαστρός. [1] διανομαὶ ὑδάτων καρδία βασιλέως XXI. ἐν τῇ χειρὶ τοῦ ὀντωτοῦ, πρὸς πᾶν ὃ βούλοιτο κλινεῖ αὐτό. [2] πᾶσα ὁδὸς ἀνδρὸς εὐθεῖα ἐν ὄμμασίν οἱ, καθίστησι καρδίας ὁ ὀντωτής. [3] τὸ ποιεῖν δικαιοσύνην καὶ κρίσιν ἥγηται τῷ ὀντωτῇ ὑπὲρ θυσίαν. [4] ὕψος ὀμμάτων καὶ πλάτος καρδίας, νέωμα ἀσεβῶν ἁμαρτία. [5] διανοήματα σπουδαίου μόνον εἰς περίττευμα, πᾶς δὲ σπεύδων μόνον εἰς ἔλλειμμα·

[6] Ἐργαζόμενος ἀποθηκῶν ἐν γλώττῃ ψευδεῖ, μάταιον ὥσται ζητοῦσι μόρον.

[7] Ἀπόρρητον ἀσεβῶν δεδίξεται σφᾶς, ἀπεῖπαν τὸ ποιεῖν κρίσιν. [8] διαστροφωτάτη ὁδὸς ἀνδρὸς καὶ ἀλλόκοτος, τοῦ δὲ καθαροῦ εὐθὲς τὸ ἔργον. [9] κρεῖττον τὸ καθῆσθαι ἐπὶ γωνίας ὑπαίθρου γυναικὸς δικάσματος καὶ δόμου κοινωνοῦ. [10] ψυχὴ ἀσεβοῦς ἐφίεται κακοῦ, οὐ χαρίεις ἔσται πρὸ τῶν ὀμμάτων αὐτοῦ φίλος οἱ. [11] κολαζομένου βωμολόχου σοφισθήσεται νήπιος, ἐπὰν δὲ νοήσειεν ὁ σοφός, λήψεται γνῶσιν.

[12] Νουνεχὴς δίκαιος οἴκῳ ἀσεβοῦς, σκολιοὶ ἀσεβεῖς εἰς κακόν. [13] ὁ κλίνων οὖς ἑαυτοῦ ἀπὸ κραυγῆς πένητος· ἔτι αὐτὸς βοήσει, καὶ οὐκ ἀποκριθήσεται. [14] δόμα λαθραῖον κάμψει θυμὸν, καὶ δῶρον ἐν κόλπῳ χόλον κραταιόν. [15] τέρψις τῷ δικαίῳ ποιεῖν κρίσιν, καὶ ἐξαλοιφὴ τοῖς ἐργαζομένοις τὸ φαῦλον.

[16] Ἄνθρωπος πλανώμενος ἀφ' ὁδοῦ τοῦ νοεῖν ἐν ἐκκλησίᾳ τεθνηκότων ἀναπαύσεται. [17] ἀνὴρ ἐλλείμματος φιλεῖ τέρψιν, ὁ φιλῶν οἶνον καὶ ἔλαιον οὐ πλουτιεῖται. [18] ἴλασμα δικαίου ἀσεβής, ἀντί τε εὐθέων ἀντάρτης. [19] κρεῖττον τὸ καθῆσθαι ἐν τῇ ἐρήμῳ γυναικὸς ὀχλήσεων καὶ ὀργῆς. [20] ταμιεῖον ἐφετοῦ καὶ ἐλαίου ἐν

XXI. 2. καθίστησί ;τε c. cd. ed. Legendum fort. καὶ ἵστησι (וְתֹכֵן) *et pendit.* 3. ἥγηται (sic) cod., non ἧληται ut ed. Itaque non opus est conjectura Vill. ἥρηται (cf. VIII, 10). 6. ψευδῆ cod. ὥσται, non ἔωσται, cod. 7. ἀπόρρητον] סֹד (סוֹד) pro שֹׁד. Cf. XI, 13. XXIV, 2. τὸ] l. γὰρ (כִּי). 11. κολαζωμένου cod. ἐπᾶν cod. Item XXIII, 16 et saepius. Cf. not. ad Exod. XXI, 7. 13. κλίνων] l. κλείων (אֹטֵם). Cf. XVII, 28. 14. κάμψει cod., non καλύψει ut ed. 15. ἐξαλοιφὴ] cf. not. ad X, 29. 16. ἀναπαύσεται corr. ἀναπαύεται (ut ed.) cod., sed vix ex mente auctoris. Cf. Eccl. VII, 9. Prol. II, 2, c. 17. ἐλλείματος cod. Cf. v. 5. 19. ἐν τῇ ἐρήμῳ] l. ἐν γῇ ἐρ. (בְּאֶרֶץ־מִדְבָּר). Cf. Deut. XXXII, 10

χώρῳ σοφοῦ, ἄφρων δὲ ἄνϑρωπος καταπίεται αὐτόν. [21] διώκων δικαιοσύνην καὶ ἔλεον εὑρήσει ζωὴν, δικαιοσύνην καὶ δόξαν. [22] πόλιν ἀνδρείων ἀνέβη ὁ σοφὸς, καὶ κάτεισι κράτος πεποιϑήσεως. [23] ὁ τηρῶν τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶττάν οἱ τηρεῖ ἀπὸ ϑλίψεων τὴν ψυχήν οἱ. [24] ἀκρατὴς ϑρασὺς, βωμολόχος τοὔνομά οἱ· ποιεῖ ἐν ϑυμῷ ἀκρασίαν. [25] ἔφεσις ὀκνηροῦ ϑανατώσει αὐτὸν, ἠνήναντο γὰρ αἱ χεῖρες αὐτοῦ ποιεῖν. [26] πάσῃ τῇ ἡμέρᾳ ὀρεχϑήσεται ὄρεξις, δίκαιος δὲ δώσει καὶ οὐ κωλύσει. [27] ϑυσία ἀσεβῶν βδέλυγμα, πόσῳ μᾶλλον δόλῳ ἄξει αὐτήν; [28] μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ δὲ ἀκούων ἐς ἀεὶ διαλεχϑήσεται. [29] ἐκράτυνεν ἀνὴρ ἀσεβὴς ἐν προσώπῳ αὐτοῦ, καὶ ὁ εὐϑὴς, ἐκεῖνος καταρτιεῖ τὴν ὁδόν οἱ. [30] οὐκ ἔστι σοφία οὐδὲ σύνεσις οὔτε βουλὴ ἐναντίον τοῦ ὀντωτοῦ.

[31] Ἵππος ἑτοιμάζεται ἡμέρᾳ πολέμου, τοῦ δὲ ὀντωτοῦ ἡ σωτηρία.

XXII. [1] αἱρετώτερον ὄνομα πλούτου πολλοῦ, ἀργύρου καὶ χρυσοῦ χάρις βελτίων. [2] πλούσιος καὶ πτωχὸς συνηντήϑησαν· ποιεῖ πάντας σφᾶς ὁ ὀντωτής. [3] ἔννους τεϑέαται κάκωσιν καὶ ἐκρύβη, ἄφρονες δὲ παρέβησαν καὶ ἐζημίωνται. [4] τέλος πραότητος ὁ φόβος τοῦ ὀντωτοῦ, πλοῦτος καὶ δόξα καὶ ζωή. [5] ἄκανϑαι παγίδες ἐν ὁδῷ στρεβλοῦ, ὁ τηρῶν τὴν ψυχήν οἱ πόρρω ἔσται αὐτῆς. [6] ἄρξαι τῷ νέῳ ἐπὶ τῆς ὁδοῦ αὐτοῦ, κἂν γὰρ γηράσαι οὐ λείψει ἀπ' αὐτῆς. [7] πλούσιος ἐν πένησιν ἄρξει, καὶ δοῦλος κιχρᾶται ἀνδρὶ κιχρῶντι. [8] ὁ σπείρων ἀνομίαν ἀμήσεται φαῦλον, ἥ τε ῥάβδος τοῦ ϑυμοῦ αὐτοῦ οἰχήσεται. [9] τὸ χρηστὸν ὄμμα, αὐτὸ εὐλογηϑήσεται· ἔδωκε γὰρ ἐκ τοῦ ἄρτου οἱ τῷ πτωχῷ. [10] ἔξελε παίκτην, καὶ ἐξελεύσεται μάχη, παύσει τε δίκη καὶ ἀτιμία. [11] ὁ φιλῶν καϑαίρειν καρδίαν, χάρις τὰ χείλη οἱ, φίλος αὐτῷ βασιλεύς. [12] τὰ ὄμματα

---

20. αὐτό? 22. κάτεισι] וַיֵּרֶד pro וַיֹּרֶד? 27. δόλῳ] excidisse videtur ἐν ante (בְּזִמָּה). 28. διαλεχϑήσεται] יְדַבֵּר (יְכַבֵּר?) perperam pro יְדַבֵּר C. T. supponit. Cf. Gen. XLIV, 7. 18 cet. 29. καταρτιεῖ] textus lect. (יָכִין) exprimit (Kerî יָבִין), et mox lect. marg. (דַּרְכּוֹ pro דרכיו). ὁδόν οἱ] οἱ factum ex αὐ[τοῦ].

XXII. 5. αὐτῆς] sic cod., non αὐτοῦ ut ed. Legendum ut videtur αὐτῶν (מֵהֶם), nisi forte ad ὁδῷ retulit. Sed ῆς et ῶν saepe confudisse librarium constat. Cf. Prol. I, 3, a. 6. γηράσαι] Vill. γηράσῃ corrigi jubet, Dahl. γηράσει reponi mavult; sed codicis scriptura videbatur servanda. 8. ἀμήσεται cod. Cf. Prol. I, 4, c. οἰχήσηται cod. et ed. Cf. Thr. IV, 17. 11. καϑαίρειν] textus lect. (טהור־) exprimit (Kerî טְהָר־).

τοῦ ὀντωτοῦ ἐτήρησαν γνῶσιν, ἐσκολίωσέ τε λόγους ἀντάρτου. [13] ἔφη ὁ ὀκνηρός· λέων ἔξω, μέσον τῶν πλατειῶν φονευθήσομαι. [14] λάκκος βαθὺς στόμα ξένων, κεχολωμένος τῷ ὀντωτῇ πεσεῖται ἐκεῖ. [15] ἀφροσύνη δέδεται ἐν καρδίᾳ νέου, ῥάβδος παιδείας ἀποστήσει αὐτὴν ἀπ' αὐτοῦ. [16] ἀποστερεῖ πένητα ὡς πληθύνοι αὐτῷ· δίδωσι τῷ πλουσίῳ, πλὴν εἰς ἔνδειαν. [17] κλῖνον τὸ οὖς σου καὶ πυθοῦ λόγους σοφῶν, καὶ τὴν καρδίαν σου θήσεις τῇ γνώσει μου. [18] ὅτι ἡδέα ὅταν τηρήσῃ αὐτὰ ἐν τῇ κοιλίᾳ σου· κατευθυνοῦνται ἅμα ἐπὶ τῶν χειλέων σου· [19] ὡς εἴη ἐπὶ τοῦ ὀντωτοῦ ἡ πεποίθησίς σου, ἐγνώρισά σοι σήμερον, ἔτι σύ. [20] ἆρ' οὐκ ἔγραψά σοι τρισμέγιστα ἐν βουλεύμασι καὶ γνώσει, [21] ὡς γνωρίσαιμί σοι τελειότητα ῥήματος ἀληθείας, ὥστε στρέφειν ῥήματα ἀληθείας τῷ πέμποντί σε; [22] μὴ ἁρπάσῃς πτωχὸν, ὅτι πτωχός ἐστι, καὶ μὴ ἐπιτρίψῃς πένητα ἐν πύλῃ· [23] ὁ γὰρ ὀντωτὴς δικάσει τὴν δίκην αὐτοῦ, καὶ βιάσεται τοὺς βιαζομένους αὐτὸν ψυχῇ. [24] μὴ φιλιωθῇς σὺν θυμώδει, καὶ ἀνδρὶ χόλων μὴ συνέλθῃς, [25] μήποτε μάθῃς τὰς ἀτραποὺς αὐτοῦ καὶ λάβῃς ῥόπτρον τῇ ψυχῇ σου. [26] μὴ τελέσῃς ἐν δουποῦσι παλάμῃ, ἐν τοῖς ἐγγυωμένοις δάνεια. [27] ἐὰν μὴ ἔχῃς ἀποτίσαι, τοῦ χάριν λήψεται τὴν στρωμνήν σου ὑποκάτωθέν σου; [28] μὴ μεταθῇς ὅρον αἰῶνος, ὃν ἐποίησαν οἱ πατέρες σου. [29] τεθέασαι ἄνδρα ταχὺν ἐν τῇ ὑπηρεσίᾳ αὐτοῦ· ἐνώπιον βασιλέων στήσεται, οὐ στήσεται ἐνώπιον ἐσκοτωμένοις. XXIII. [1] ὅτι καθεδῇ τῷ σιτεῖσθαι σὺν ἄρχοντι, τῷ συνιέναι σύνες ἅτταπερ ἐνώπιόν σου, [2] καὶ θήσεις μαχαίριον ἐν ἑστιάσει σου, εἴπερ κύριος ψυχῆς εἴης· [3] μὴ ὀρεχθῇς τῶν καρυκευμάτων αὐτοῦ, ἔστι δ' ἄρτος

---

13. λεῶν cod. 14. ξένων] sic cod. et ed. Sed femininum sine dubio voluit (זָרוֹת). An legendum ξένης (LXX παρανόμου; cf. XXIII, 33 et ad v. 5)? κεχολομένος cod. ὀντωτῇ] ὀντῇ cod. Quod lapsum calami non esse, nescio quo jure Dahl. contendere potuerit. 16. αὐτῷ c. ed. ed. 21. γνωρίσαιμί σοι] γνωρίμη μίσοι corrupte cod. Emendationem Vill. praeivit. ῥήματος] exspectaveris ῥημάτων (אִמְרֵי). 23. τὴν δίκην αὐτοῦ (רִיבָם)] cf. Prol. II, 3, h. 27. ἔχῃς cod., non ἔχῃ ut ed. 28. αἰῶνα cod. Cf. XXIII, 10. Gen. XLIX, 26 cet. 29. ἐσκοτωμένοις] l. ἐσκοτωμένων (Dahl.) vel ἐσκοτισμένων (C. T.; cf. Exod. X, 15. Thr. IV, 8. V, 17 cet.). Constanter enim (si recte VIII, 9 ἐνώπια pro ἐνώπιον legendum notavimus) praepositioni ἐνώπιον genitivum jungit.

XXIII. 1. καθεδῆται σιτ. corrupte cod. et ed., neque ex usu translatoris probabiliter Dahl. καθεδῇ τοῦ σιτ. Cf. Deut. XI, 13. XV, 5 cet.

ψευδῶν. [4] μὴ μέγει πλουτίζεσθαι, ἀπὸ συνέσεώς σου παῦσαι. [5] ἄρα πετάσεις τὰ ἔμματά σου εἰς αὐτὸν, καὶ οὐκ ἔστι; τῷ ποιητῇ γὰρ ποιήσει ἐπ' αὐτῷ πτέρυγας, ὡς ἀετὸς πτήσεται τοῖς οὐρανοῖς. [6] μὴ σιτηθῇς ἄρτον κακοῦ τὸ ὄμμα, μηδὲ ἱμείρου τῶν καρυκευμάτων αὐτοῦ· [7] ὡς γὰρ ἐμέτρησεν ἐν ψυχῇ οἱ, οὕτως ἐστίν· ἔσθιε καὶ πίνε, ἐρεῖ σοι, ἡ δὲ καρδία οἱ οὐ σὺν σοί. [8] τὴν ἄκολόν σου ἐδήδοκας, ἐμέσεις αὐτὴν, καὶ κατείρησας τοὺς λόγους σου τοὺς ἡδεῖς. [9] ἐν ὠσὶν ἄφρονος μὴ διαλέγου, μυσάξεται γὰρ τοῦ νοῦ τὰ ῥήματά σου. [10] μὴ σὺ μεταθῇς ὅρον αἰῶνος, καὶ εἰς ἀγροὺς ὀρφανῶν μὴ ἀφίκῃ· [11] ὁ γὰρ αὐτῶν ῥύστης κραταιὸς, αὐτὸς δικάσει τὴν δίκην αὐτοῦ σὺν σοί. [12] ἄγαγε τῇ παιδείᾳ τὴν καρδίαν σου, καὶ τὰ ὦτά σου ῥήμασι γνώσεως. [13] μὴ ἐπισχῇς ἀπὸ νέου παιδείαν· ὅτι γὰρ τύψεις αὐτὸν ἐν σκήπτρῳ, οὐ τεθνήξεται. [14] σὺ ἐν σκήπτρῳ τύψεις αὐτὸν, τὴν δὲ ψυχὴν αὐτοῦ τοῦ ᾅδου ἀπαλλάξεις. [15] υἱεῦ ἐμὲ, εἰ σοφὴ ἡ καρδία σου, εὐφρανεῖται ἡ ἐμὴ καρδία ἔτι ἐμοί· [16] χαιρήσουσιν οἱ νεφροί μου ἐπὰν διαλέγοιντο τὰ χείλη σου εὐθύτητας. [17] μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλοῖς, ἀλλ' ἐν τῷ δέει τοῦ ὀντωτοῦ πάσῃ τῇ ἡμέρᾳ· [18] εἰ γὰρ εἴη τελευταῖον, καὶ ἡ ἐλπίς σου οὐκ ὀλοθρευθήσεται. [19] πυθοῦ σὺ, υἱεῦ ἐμὲ, καὶ σοφίσθητι, καὶ ἴθυνῶ ἐν ὁδῷ τὴν καρδίαν σου. [20] μὴ τελέσῃς ἐν πόταις οἴνου, ἐν τοῖς βοροῖς κρεῶν σφίσιν· [21] ὁ γὰρ πότης καὶ κρεωβόρος ἀποκληρωθήσεται, καὶ ῥήγματα περιβαλεῖ νυσταγμός. [22] ἄκουσον τοῦ πατρός σου, αὐτὸς ἐγέννησέ σε, καὶ μὴ περιίδῃς, ὅτι γραῦς ἐστι, τὴν μητέρα σου. [23] ἀλήθειαν ὤνησαι καὶ μὴ πράσῃς, σοφίαν καὶ παιδείαν καὶ σύνεσιν. [24] χαρᾷ χαιρήσει πατὴρ

---

5. πετάσεις] formam activam verbi πέταμαι ab eo fictam esse, ut Hif. (הֲתָעִיף) exprimeret, recte, ut videtur, Dahl. opinatur. ποιητῇ] ποιεῖν vel ποιῆσαι (cf. Deut. XXVIII, 1 etc.)? An עָשֹׂה legit pro עָשֹׂה (Dahl.)? ἐπ' αὐτῷ] l. ἑαυτῷ πτήσεται] lect. marg. (יָעוּף) sequitur (Chethîb ועיף). οὐρανοῖς] συνοῦσι cod. Errorem jam Vill. sustulit. 8. κατείρησας] κατήρειξας vel καθήρησας (שִׁחַתָּ)? vix κατέφθειρας. An recte Mueller (cf. Dahl. ad h. l.) hoc sensu κατείρησας (κατείρηκας?) eum adhibuisse putat: „*abdicabis* (abdicabas?) *te a verbis tuis suavibus*“? 9. ἐν ὠσὶν] ita duce textu Hebr (בְּאָזְנֵי) reponendum duximus pro ἐν νῷ γὰρ quod cod. praebet. 11. αὐτοῦ] l. αὐτῶν (רִיבָם). Nam quomodo ad ὅρον hoc pronomen referre potuerit (Dahl.) non intelligo. 19. ἴθυνῶ] sic cod., non ἴθυνε ut ed. At sane imperativum exspectaveris (וְאַשֵּׁר). 22. ἐγέννησα cod.

δικαίου, καὶ γεγεννηκὼς σοφὸν εὐφρανεῖταί οἱ. [25]τερφθήσεται ὁ πατήρ σου καὶ ἡ μήτηρ σου, χαιρήσει τε ἡ τεκοῦσά σε. [26]δός, υἱεῦ ἐμέ, τὴν καρδίαν σου ἐμοί, καὶ τὼ ὄμματέ σου ὁδοὺς βουλέσθωσαν. [27]βόθυνος γὰρ βαθὺς πόρνη, καὶ φρέαρ στενὸν ἀλλοτρία. [28]ἔτι αὕτη καθ' ἁρπαγὴν λοχήσει, καὶ ἀντάρτας εἰς ἄνθρωπον προσθήσει. [29]τίνι αἶ, τίνι φεῦ; τίνι διαπληκτισμοί, τίνι λῆρος, τίνι τραύματα μάτην; τίνι ἐρυθρότης ὀμμάτων; [30]τοῖς διατρίβουσιν ἐπὶ τῷ οἴνῳ, τοῖς ἀφικνουμένοις ἐτάζειν κέρασμα. [31]μὴ θεῶ οἶνον ὅτι ἐρυθρανεῖται, ὅτι δώσει ἐν ποτηρίῳ τὸ ὄμμα οἱ, πορευθήσεται ἐν εὐθύτησι. [32]τὸ τελευταῖον αὐτοῦ ὡς ὄφις δήξεται, ὡς βασιλίσκος τε φαρμάξει· [33]τὼ ὀφθαλμώ σου ὄψεσθον ἀλλόκοτον, ἡ καρδία τε σὴ διαλέξεται διαστροφά, [34]τελέσεις τε ὡς κοιμώμενος ἐν καρδίᾳ θαλάττης, καὶ ὡς καθεύδων ἐν κρατὶ νεώς. [35]ἔτυψάν με, οὐκ ἤλγησα, ἐμαστιξάν με, οὐκ ἔγνων· πότε διυπνισθήσομαι; προσθήσω, ζητήσω αὐτὸν ἔτι. [1]μὴ ζήλου ἄνδρας κακίας καὶ μὴ ἱμείρου συνεῖναι σφίσι· [2]λῃϊσμὸν γὰρ μελετήσει ἡ καρδία σφῶν, καὶ μόχθον τὰ χείλη σφῶν διαλέξονται. [3]ἐν σοφίᾳ δομηθήσεται οἶκος, καὶ τῇ συνέσει καταρτισθήσεται, [4]ἔν τε γνώσει ταμιεῖα πλησθήσονται πάσης περιουσίας τιμίας καὶ ἡδείας. [5]ἀνὴρ σοφὸς ἐν κράτει, καὶ ἀνὴρ γνώσεως ὑπὲρ κραταιὸν ἰσχύος· [6]ἐν γὰρ μηχαναῖς ποιήσεις σαυτῷ πόλεμον, καὶ σωτηρία ἐν πλήθει βουλευτοῦ. [7]μετέωροι τῷ ἄφρονι αἱ ἐπιστῆμαι, ἐν πύλῃ οὐ διαρεῖ τὸ στόμα αὐτοῦ. [8]τὸν λογιζόμενον κακῷ, αὐτὸν κύριον δόλων ὀνομάσουσιν. [9]λογισμοὶ ἀφροσύνης ἁμαρτία, καὶ μύσος ἀνθρώπου φλήναφος. [10]ἐνέδωκας ἐν ἡμέρᾳ θλίψεως, βραχεῖα ἡ ἰσχύς σου. [11]ῥῦσαι εἰλημμένους εἰς θάνατον, κλονουμένους τε εἰς

XXIV.

24. καὶ — εὐφρ.] lect. marg. (וְיוֹלֵד — יִשְׂמַח) sequitur (Chethîb וישׂ׳ — יולד). 26. ὁδούς] sive excidit μου, sive דְּרָכִים legit pro דְּרָכַי (Dahl.). βουλέσθωσαν] textus lect. (תרצנה) reddidit (Kerî תִּצֹּרְנָה). Item Symm. (non LXX, nec Hier.). 29. αἶ, non αἶ, cod. 33. ἀλλόκοτον] plur. exspectaveris (זָרוֹת); sed etiam LXX sing. habent (cf. XXII, 14). Cum plerisque interpretibus plur. fem. de rebus intellexisse videtur. 34. νεώς] sic aperte cod. Miror κάλως in editione Vill. legi. Cf. Mor.

XXIV. 5. ὑπὲρ κραταιὸν] מֵאַמִּיץ pro מְאַמֶּץ. Item anonymus in Hexaplis. Cf. LXX. Syr. Trg. 7. αὐτοῦ c. cd. ed. 8. κακῷ] κακῶσαι (cf. Gen. XXXI, 7) vel κακοῦν (cf. Lev. V, 4)? An לְרָעָה legit pro לְהָרֵעַ? 9. λογισμοὶ] זִמּוֹת pro זִמַּת

φόνον, εἰ κωλύσαις. [12] ἐπὰν φαίης· ἰδοὺ οὐκ ἔγνωμεν τόδε· ἆρ' οὐχ ὁ κατασκευάζων καρδίας, αὐτὸς συνήσει; καὶ ὁ τηρῶν τὴν ψυχήν σου, αὐτὸς ἔγνω καὶ ἀμείψεται τὸν ἄνϑρωπον κατὰ τοὖργον αὐτοῦ; [13] φάγε, τέκνον ἐμὸν, μέλι, χρηστὸν γὰρ, καὶ κηρίον γλυκὺ ἐπὶ τοῦ λάρυγγός σου. [14] τῇδε γίνωσκε σοφίαν τῇ ψυχῇ σου· εἰ εὖρες, καὶ ἔστι τελευταῖον καὶ ἡ ἀπεκδοχή σου οὐκ ὀλοϑρευϑήσεται. [15] μὴ ἐνέδρευε, ἀσεβὲς, τῷ χώρῳ τοῦ δικαίου, μὴ ληΐζου τὸν σηκὸν αὐτοῦ· [16] ἑπτάκις γὰρ πεσεῖται ὁ δίκαιος καὶ ἐγήγερται, ἀσεβεῖς δὲ προσκόψουσιν ἐν κακῷ. [17] ἐπὰν πίπτοι ἐχϑρός σου μὴ χαῖρε, ἐπάν τε προσκόπτοι μὴ ἀγαλλέσϑω ἡ καρδία σου· [18] μήποτε ϑεάσηται ὁ ὀντωτὴς, καὶ πονηρὸν ἐν ὀφϑαλμοῖς αὐτοῦ, καὶ στρέψῃ ἐπάνωϑεν αὐτοῦ τὸν ἑαυτοῦ ϑυμόν. [19] μὴ ἐρίζῃ ἐν κακωταῖς, μὴ ζήλου ἐν ἀσεβέσιν· [20] οὐ γὰρ τελέσει ὕστερον τῷ πονηρῷ, λύχνος ἀσεβῶν σβεσϑήσεται. [21] φοβοῦ τὸν ὀντωτὴν, υἱεῦ ἐμὲ, καὶ τὸν βασιλέα, σὺν τοῖς μισοῦσι μὴ φύρου· [22] ἄφνω γὰρ ἐγερεῖται ὁ ἐπιτριμμὸς σφῶν, καὶ τὴν τύψιν ἀμφοῖν αὐτοῖν τίς οἶδεν;

[23] Ἔτι ταῦτα τοῖς σοφοῖς. ἐπιγινώσκειν πρόσωπον ἐν κρίσει οὐ χρηστόν. [24] τὸν λέγοντα τῷ ἀσεβεῖ· δίκαιος εἶ, βλασφημήσουσιν αὐτὸν λαοὶ, ϑυμωϑήσονταί οἱ δῆμοι· [25] τοῖς δὲ ἐλέγχουσιν ἡδυνεῖται, καὶ ἐπὶ σφᾶς ἀφίξεται εὐλογία χρηστοῦ. [26] χεῖλη φιλήσει ἀμειβόμενος λόγοις εὐϑέσι. [27] κατεύϑυνον ἔξω τὴν ἐργασίαν σου, καὶ διόρισαι αὐτὴν ἐν ἀγρῷ σοι· μεταταῦτα καὶ δομήσῃ τὸν δόμον σου.

[28] Μὴ τέλει μάρτυς μάτην ἐς τὸν φίλον σου, καὶ ἆρ' ἐπλάνησας ἐν τοῖς χείλεσί σου; [29] μὴ φῇς· καϑάπερ ἐποίησέ μοι ποιήσω οἱ, ἀντιτίσω ἑκάστῳ κατὰ τοὖργον αὐτοῦ. [30] ἐπ' ἀγροῦ ἀνδρὸς ὀκνηροῦ διέβην, καὶ ἐπ' ἀμπελῶνος ἀνϑρώπου ἐνδεοῦς καρδίας· [31] καὶ

---

12. συνήσει] ἀνήσει cod. Cf. I, 2. 6. II, 5. 9 cet. 13. φάγε, non φαγὲ, cod. Cf. Prol. I, 4, c. 17. ἀγαλλιέσϑω c. ed. ed. 21. μισοῦσι] שׂוֹנְאִים pro שׂוֹכִים 22. τὴν τύψιν cod., non τὸν τύψον ut ed. 23. ἔτι pro cod. ἔστι (ita et ed.) reponere non dubitavimus (גם). De litera initiali cf. Prol. II, 1, b. 27. διώρισαι cod. et ed. μεταταῦτα] cf. Prol. I, 4, d. δομήσει cod. Emendationem jam Vill. habet, sed, ut saepius, tacite factam. 29. ἑκάστῳ] לְאִישׁ pro לָאִישׁ. Item Hieron.

ἰδοὺ ἀνέβη ὅλος κνίδας, ἐκάλυψαν τὸ πρόσωπον αὐτοῦ ἴρυγγοι, καὶ ὁ φραγμὸς τῶν λίθων αὐτοῦ καθήρηται. [32] τεθέαμαί τ' ἐγώ, θείην τὴν καρδίαν μου, εἶδον, ἔλαβον παιδείαν· [33] ὀλίγον ὕπνων, ὀλίγον νυσταγμῶν, ὀλίγον περιπλοκῶν χειρῶν ὥστε ἀνακλίνεσθαι. [34] ἐλεύσεται δὲ βαδίζουσα ἡ πτωχεία σου, καὶ ἡ ἔνδειά σου ὡς ἀνὴρ ἀσπίδος.

[1] Ἔτι αὗται παραβολαὶ τοῦ σελομῶντος, ἃς μετήνεγκαν οἱ ἄνδρες τοῦ ἠζεκίου τοῦ βασιλέως ἰεούδου. [2] δόξα θεοῦ κρύπτειν λόγον, δόξα τε βασιλέων ἐτάζειν λόγον. [3] οὐρανοὶ ὕψει καὶ γῆ βάθει, καὶ καρδίας βασιλέων οὐκ ἔστιν ἔρευνα. [4] ἀφελεῖν ἰοὺς ἀπ' ἀργύρου, καὶ ἐξῆλθε τῷ χωνευτῇ σκεῦος· - [5] ἀφελεῖν ἀσεβῆ ἐπίπροσθεν βασιλέως, ... [6] μὴ τιμῶ ἐνώπιον βασιλέως, ἔν τε τόπῳ μεγάλων μὴ στῇς· [7] ὅτι κρεῖττον εἰπεῖν σοι· ἀνάβα ἐνθάδε, ὑπὲρ τὸ ταπεινοῦν σε ἐνώπιον εὐεργέτου ὃν τεθέανται οἱ ὀφθαλμοί σου. [8] μὴ ἐξέλθῃς εἰς πλῆθος ταχῦναι, μήποτε τί ποιήσεις ἐν τῷ ἐσχάτῳ αὐτῆς, ἐπὰν καταισχύνει σε ὁ φίλος σου; [9] τὴν δίκην σου δίκασον ξὺν τῷ φίλῳ σου· τοίνυν ἀπόρρητον ἄλλο μὴ ἀποκαλύψῃς, [10] μήποτε ὀνειδίσῃ σοι ὁ ἀκούων, καὶ τὴν ῥῆσίν σου οὐκ ἀποστρέψεις. [11] μῆλα χρυσᾶ ἐν μορφώμασιν ἀργύρου, λόγος ῥηθεὶς ἐπὶ τῶν τροχῶν αὐτοῦ. [12] ἐνώτιον χρυσοῦν καὶ κόσμος ἀπυροχρύσου, ἐλέγχων σοφὸν ἐπ' ὠτὸς ἀκροωμένου. [13] ὡς ψύχος χιόνος γ' ἐν ἡμέρᾳ θέρους, πρέσβις ἀληθὴς τῷ πέμποντι αὐτὸν, καὶ τὴν ψυχὴν τῶν

XXV.

31. κνίδας] κνίδαι Vill., κνίδαις Dahl. Sed scriptura codicis ex usu translatoris, constructionem Hebr. imitando effingentis, defendi potest. Cf. Thr. III, 48. ἐκάλυψαν] כִּסּוּ pro כֻּסּוּ. Item Syr. Trg. Hier. ἴρυγγοι] l. ἥρυγγοι. 32. τεθέαμαι] τέθημαι cod. et ed. 33. ὀλίγον (3)] ὀλίγων cod. et ed. Cf. VI, 10.

XXV. 4. χωνευτῇ] ῇ factum ex ῷ 5. ἐπίπρ. βασιλ. itemque totus v. sq., excepta una voce στῇς, in ras., ita quidem ut tres lineae in duarum linearum spatio scriptae sint. Videlicet librarium pro ἐπίπρ. βασιλέως antecepisse ἐνώπ. βασ. (v. 6). Postea erratum intellexit, sed alterum versus 5 membrum omisit. 7. ὃν (τεθέανται)] οὐ cod. Recte ed. 8. εἰς πλῆθος] לָרֹב pro לָרִב. Item Symm. ταχύναι cod. μήποτέ τι c. cd. ed. Itaque non opus est emendatione ποιήσῃς (Dahl.). Sensus hic esse videtur: *ne dicatur: quid facies . . .?* καταισχύνοι? 9. ἄλλῳ Dahl. conj. Potius ἄλλου. Sed ἄλλο ferri potest. 11. αὐτοῦ] αὐτῆς cod. 12. σοφὸς? ἐπ' ὠτὸς] ἐπ' αὐτὸς cod. 13. ψύχος, non ψῦχος, cod. Cf. Gen. VIII, 22. χιόνος τ' cod. πρέσβυς c. cd. ed. Cf. XIII, 17.

δεσποτῶν αὐτοῦ ἐπιστρέψει. [14] νέφη καὶ πνεῦμα, καὶ ὄμβρος ἥκιστα, ἀνὴρ καυχώμενος ἐν δώρῳ ψευδεῖ. [15] ἐν μακροθυμίᾳ κηληθήσεται ἡγεμών, γλῶττά τε ἁπαλὴ συντρίψει ὀστοῦν. [16] μέλι εὗρες, φάγε τὸ ἀρκοῦν σοι, μήποτε κορεσθῇς αὐτοῦ καὶ ἐμέσῃς αὐτό. [17] ἀκρίβωσον τὸν πόδα σου ἀπὸ τοῦ οἴκου τοῦ φίλου σου, μήποτε κορεσθῇ σου καὶ μισήσῃ σε. [18] ῥαιστὴρ καὶ ξίφος καὶ βέλος τεθηγός, ἀνὴρ ἀποκρινόμενος ἐν τῷ φίλῳ οἱ μαρτυρίαν ψευδῆ. [19] ὀδοὺς ξυντετριμμένος καὶ ποὺς παρειμένος, πεποίθησις ἀντάρτου ἐν ἡμέρᾳ θλίψεως. [20] ἀφαιρούμενος περιβόλαιον ἐν ἡμέρᾳ κρύους, ὄξος ἐπὶ νίτρου, ἐπᾴδων ἐν ᾄδουσιν ἐπὶ καρδίας κακῶν.

[21] Εἰ πεινῴη ὁ μισῶν σε, θρέψον αὐτὸν ἄρτῳ, καὶ εἰ διψῴη, πότισον αὐτὸν ὕδατι· [22] ἄνθρακας γὰρ σὺ αἴρεις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὁ ὀντωτὴς ἀντιτίσει σοι. [23] πνεῦμα ἄρκτων ὠδινεῖ ὄμβρον καὶ πρόσωπον τεθυμωμένον γλῶτταν κρυφίου. [24] κρεῖττον καθῆσθαι ἐπὶ γωνίας ὑπαίθρου γυναικὸς ὀχλήσεων καὶ οἴκου κοινωνοῦ. [25] ὕδατα ψυχρὰ ἐπὶ ψυχῆς ἀσθματούσης καὶ ἀκοὴ χρηστὴ ἀπὸ γῆς ἀποστήματος. [26] πηγὴ πατουμένη καὶ φλέψ ὀλέθρου, δίκαιος σεσαλευκὼς ἐνώπιον ἀσεβοῦς. [27] ἐσθίειν μέλιτος ἄγαν οὐ χρηστόν, ἔρευνά τε δόξαν αὐτῶν δόξα. [28] πόλις καθῃρημένη ἀτείχιστος, ἀνὴρ οὐκ ἔχων ἐπίσχεσιν τοῦ πνεύματος ἑαυτοῦ.

XXVI. [1] ὡς χιὼν ἐν θέρει καὶ ὡς ὑετὸς ἐν ἀμητῷ, οὕτως οὐ πρέπει τῷ ἄφρονι δόξα. [2] ὡς στρουθὸς τῷ ἀποχωρεῖν, ὡς χελιδὼν τῷ ἵπτασθαι, τῇδε κατάρα προῖκα οὐκ ἐλεύσεται. [3] ἱμάσθλη τῷ ἵππῳ, φορβειά τε τῷ ὄνῳ, καὶ ῥάβδος τοῖς νώτοις τῶν ἀφρόνων. [4] μὴ ἀποκρίνου τῷ ἄφρονι κατὰ τὴν ἀπαιδευσίαν οἱ, μήποτε ἰσωθῇς αὐτῷ καὶ σύ. [5] ἀποκρινῶ τῷ ἄφρονι κατὰ τὴν ἀπαιδευσίαν αὐτοῦ,

---

17. ἀκρίβωσον] חָקֹר pro הֹקַר? 19. συντετρ. c. cd. ed. θάρσος ἀντάρτου ed. Sed in codice nihil nisi ἀντάρτου. Verbum πεποίθησις ex XIV, 26. XXII, 19 restituimus. 20. ἐπᾴδων] καὶ ᾄδων (וְשָׁר)? ἐν ᾄδουσιν] בַּשָּׁרִים pro בַּשִּׁרִים (Eichh.). κακῆς (רָע)? 25. ἀσθμαζούσης? 27. δόξαν] δόξας c. cd. ed. Sed emendandum videtur δόξης (cf. v. 3). Alioqui (si חָקַר vel חֵקֶר pro חֵקֶר legerit) pro ἔρευνα legendum ἐρευνᾷ

XXVI. 1. ἀμητῷ cod. Cf. Prol. I, 4, c. 2. οὐκ] textus lect. (לא) exprimit (Kerî לוֹ). Item LXX. 3. τοῖς νώτοις] Dahl. „Legit fort. לגוי (pro לְגֵו), quemadmodum LXX, qui vero substratis aliis punctis ἔθνει vertunt.“ Minime. Cf. X, 13. XIX, 29. Prol. II, 2, b. 5. ἀποκρίνου (עֲנֵה) vel ἀποκρινῇ?

μήποτε τελέσῃ σοφὸς ἐν ὀφθαλμοῖς αὐτοῦ. [6] ἐκτέμνει πόδας ἀδικίας ἄνους, πέμπων λόγους δι' ἄφρονος. [7] ἐπάρατε κνήμας χωλοῦ καὶ παραβολὴν ἐν στόματι μωρῶν. [8] ὡς σύνδεσμος λίθου ἐν λιθάδι, οὕτως ὁ διδοὺς τοῖς ἄφροσι τιμήν. [9] ἄκανθα ἀνέβη εἰς χεῖρα μεθύοντος, παραβολή τε εἰς στόμα ἀφρόνων. [10] ἄρχων πλάττει πάντα, καὶ μισθοῦται μωρὸν καὶ μισθοῦται ὡς παραβάτης. [11] ὥσπερ κύων στρέφεται ἐπ' ἔμετον ἑαυτοῦ, ἄφρων παλιννοστεῖ εἰς τὴν μωρίαν ἑαυτοῦ. [12] τεθέασαι ἄνδρα σοφὸν ἐν ὄμμασιν ἑαυτοῦ, ἐλπὶς τοῖς ἄφροσιν ὥσπερ αὐτῷ. [13] ἔφη ὀκνηρός· πάνθηρ ἐν τῇ ὁδῷ, λέων μέσον τῶν πλατειῶν. [14] ἡ θύρα δινηθήσεται ἐπὶ θαιροῦ, καὶ ὀκνηρὸς ἐπὶ τῆς κλίνης ἑαυτοῦ. [15] ἔκρυψεν ὁ ὀκνηρὸς τὴν ἑαυτοῦ χεῖρα ἐν χύτρᾳ, κέκμηκεν ὡς στρέψειεν αὐτὴν ἐπὶ τὸ στόμα οἱ. [16] σοφὸς ὁ ὀκνηρὸς ἐν ὀφθαλμοῖς οἱ ὑπὲρ ἑπτὰ ἀνταποκρινομένους ἡδύ. [17] κατισχύει ἐν ὠσὶ κύνα διϊὼν κεχολωμένος ἐπὶ δίκην μὴ ἑαυτοῦ. [18] ὡς ἐξεστὼς ὁ βάλλων φλόγας, βέλη καὶ θάνατον· [19] οὕτως ἀνὴρ ἠπάτησε τὸν φίλον ἑαυτοῦ καὶ ἔφη· ἆρ' οὐ παίζω ἐγώ; [20] ἐν ἥκιστα ξύλοις σβεσθήσεται πῦρ, καὶ ἐν μὴ γογγυστῇ σιγήσει διαπληκτισμός. [21] κάρβων εἰς ἄνθρακας καὶ ξύλα ἐς πῦρ, καὶ ἀνὴρ μαχῶν εἰς τὸ ἀνάψειν ἔριν.

[22] Λόγοι γογγυστοῦ ὡς ἁπαλοί, ἐκεῖνοι δὲ κατέβησαν θαλάμοις γαστρός. [23] ἄργυρος ἰοῖς περιειλημμένος ἐπ' ὀστράκου, χείλη καίοντα καὶ καρδία πονηρά. [24] ἐν τοῖς χείλεσιν ἑαυτοῦ γνωριεῖ ὁ μισῶν, καὶ ἐντὸς ἑαυτοῦ θήσεται δόλον. [25] ὅτι χαριεῖται τῇ φωνῇ

τελέσει cod. αὐτοῦ (2)] αὑτοῦ c. cd. ed. 6. ἄνους ex οἰνόεις corruptum esse C. Tub. putat. Potius ex οἰνὰς. Nisi forte שֹׁתֶה cum שֹׁטֶה confudit. 8. τοῖς ἄφροσι] plur. pro sing. (לִכְסִיל). Item v. 12. 10. ὡς παραβάτης] l. τοὺς παραβάτας (עֹבְרִים). Cf. Dahl. et Del. ad h. l. 11. ἐμετὸν c. cd. ed. 12. ὥσπερ] l. ἧπερ (cf. XXIX, 20. Eccl. II, 13. VI, 8). Vix pro מִמֶּנּוּ in exemplo suo כָּמֹהוּ (Dahl.) habuit. 14. θαιροῦ] suff. om. (צִירָהּ). 15. ἐκέκμηκεν c. cd. ed. στρέψειαν cod. 16. ἀνταποκρινόμενος cod. 20. ἐὰν μὴ γογγυστῇ cod. et ed. Cf. Dahl. ad XVIII, 8. 21. εἰς ἄνθραξι cod. et ed. Apparet auctorem primo לְגֶחָלִים ἄνθραξι vertisse, postea correxisse εἰς ἄνθρακας, priore scriptura non omnino deleta. Cf. Prol. I, 3, b. ἐς (πῦρ) cod., non καὶ ut ed. 23. περιειλημένος (cf. Exod. XXVI, 29. XXXVI, 34 cet.)? 24. ἑαυτοῦ — ἑαυτοῦ] ἑαυτῆς — ἑαυτῆς cod. et ed. γνωριεῖ] l. γνωριεῖται (יִנָּכֵר). Cf. Dahl. ad XX, 11.

ἑαυτοῦ, μὴ πιστεύσῃς αὐτῷ· ἑπτὰ γὰρ βδελυρίαι ἐν τῇ καρδίᾳ ἑαυτοῦ. [26] σκεπασϑήσεται μῖσος ἐν ἐρημίᾳ, ἀποκαλύψεις κακίαν αὐτοῦ ἐν ἐκκλησίᾳ. [27] ὀρύττων βόϑρον εἰς αὐτὸν πεσεῖται, καὶ κυλίει λίϑον, πρὸς αὐτὸν ὑποστρέψει. [28] γλῶττα ψευδὴς μισήσει τοὺς ἐπιτριμμοὺς αὐτῆς, καὶ στόμα μαλϑακὸν ποιήσει ὥσμα.

XXVII. [1] μὴ ἐπικαυχοῦ τῇ ἡμέρᾳ τῇ αὔριον, οὐ γὰρ εἴσῃ τί τέξεται ἡ ἡμέρα. [2] ἐπαινεσάτω σε ξένος καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ χείλη σου. [3] βάρος λίϑου καὶ ἄρμα τῆς ἄμμου, ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοῖν σφοῖν. [4] ὠμότης, χόλος καὶ ποντισμὸς ϑυμοῦ, τίς τε στήσεται ἐνώπιον φϑόνου; [5] κρείττων ἔλεγχος πρόδηλος φιλίας κεκρυμμένης. [6] πιστὰ τραύματα φιλοῦντος, συνωμίχλωνται δὲ φιλήματα μισοῦντος. [7] ψυχὴ κεκορεσμένη μυσάξεται κηρίον, ψυχῇ δὲ λιμωττούσῃ πᾶν πικρὸν γλυκύ.

[8] Ὡς ὄρνεον πλανώμενον ἀπὸ νοσσιᾶς, οὕτως ἀνὴρ πλανούμενος ἀπὸ τοῦ τόπου αὐτοῦ. [9] μύρῳ καὶ ϑυμιάματι εὐφραινεῖται καρδία, καὶ γλυκύτητι τοῦ φίλου αὐτοῦ ἀπὸ βουλῆς ψυχῆς.

[10] Φίλον σου καὶ φίλον πατρός σου μὴ παρῇς, καὶ οἴκαδε τοῦ ἀδελφοῦ σου μὴ ἀφίκῃ ἐν ἡμέρᾳ δυστυχήματός σου· κρείττων γείτων ἐγγὺς ἀδελφοῦ πόρρω. [11] σοφὸς ὁ υἱός μου, κάτέρφϑη ἡ καρδία μου, ἀποκρινοῦμαί τε τοῖς ὀνειδίζουσί μοι λόγον. [12] περίφρων εἶδε κάκωσιν, κέκρυπται· ἄνους διῆλϑον, ἐζημίωνται. [13] λάβε ϑοἰμάτιον αὐτοῦ, ἠγγύηται γὰρ ὀϑνεῖον, καὶ χάριν ἀλλοτρίας ἐνεχύρασον αὐτόν. [14] εὐλογοῦντι τὸν φίλον αὐτοῦ ἐν φωνῇ μεγάλῃ ἐν ἕῳ τῷ ὀρϑρίζειν, βλασφημία λογισϑήσεταί οἱ. [15] σταγὼν συνε-

25. ἑαυτοῦ (1)] ἑαυτῆς cod. et ed. ἑαυτοῦ (2)] l. αὐτοῦ. 26. ἀποκαλύψεις] תְּגַלֶּה pro תִּגָּלֶה (C. Tub.).

XXVII. 1. ἐπικαυχοῦ, non ἐπικαυχῶ, cod. Cf. Gen. XXX, 1. 2. ξένος, quod codici deest, recte jam Vill. hoc loco (זָר; cf. XI, 15. XIV, 10 cet.) inseruerat. Si malis ὀϑνεῖος (cf. v. 13), nihil est quod repugnet. 3. ἄρμα cod. et ed. At sine dubio ab ἀείρω (נֵטֶל) derivatum est. ἄμμου ed., fort. etiam cod. Cf. Gen. XXII, 17 etc. 4. ὠμότης χόλου? 6. συνωμίχλωνται cod. Cf. Del. ad h. l. 8. πλανώμενον — πλανούμενος] codicis scripturam retinuimus. νοσσιᾶς] suff. om. (קִנָּהּ), quod vix pro terminatione feminina accepit (Dahl.). 9. εὐφραινεῖται] יְשֹׂמַּח (non יְשַׂמַּח ut Dahl. vult; cf. XXIII, 15. 24 cet.) pro יְשַׂמַּח 10. γείττων cod. Cf. Exod. III, 22 etc. 11. σοφὸς] חָכָם pro חֲכַם κατέρφϑη (sic) cod. (וְשָׂמַח pro וְשַׂמַּח), non καὶ τέρφϑω ut ed. nec κατέρϑη ut Mor. legit. 14. ἐν ἑαυτῷ (ὀρϑρ.) cod., ἐν ὄρϑρῳ Vill. conj., ἐν ἑωϑινῷ Dahl. Cf. Gen. XIX, 27 etc.

χῆς ἐν ἡμέρᾳ ὑετοῦ, γυνή τε ὀχληρὰ ἴσεται. [16] οἱ κρύπτοντες αὐτὴν, ἔκρυψε πνεῦμα, καὶ ἔλαιον δεξιᾶς αὐτοῦ καλέσει. [17] σίδηρος ἐν σιδήρῳ ὀξυνεῖται, ἀνήρ τε ὀξυνεῖ πρόσωπον φίλου αὐτοῦ. [18] ὁ φυλάττων συκῆν ἔδεται καρπὸν αὐτῆς, τηρῶν τε τὸν δεσπότην αὐτοῦ δοξασθήσεται. [19] ὡς ὕδωρ τοῦ προσώπου τῷ προσώπῳ, οὕτως ὁ ἄνθρωπος τῷ ἀνθρώπῳ. [20] ᾅδης καὶ ἀπώλεια οὐ κορέσονται, καὶ ὄμματα ἀνθρώπου οὐ κορέσονται. [21] χωνευτήριον τῷ ἀργύρῳ καὶ χώνη τῷ χρυσῷ, καὶ ἀνὴρ στόματι τοῦ ἐπαινοῦντος αὐτόν. [22] ἐὰν συντρίψῃς τὸν ἄνουν ἐν ὅλμῳ μέσον τῶν πτισανῶν ἐν ὑπέρῳ, οὐ λείψει ἀπ' αὐτοῦ ἡ ἄνοια αὐτοῦ. [23] τῷ εἰδέναι εἴσῃ τὸ πρόσωπον τοῦ ποιμνίου σου, θὲς τὴν καρδίαν σου εἰς τὸ ποίμνιόν σου· [24] οὐ γὰρ ἐς αἰῶνα ἰσχὺς, μὴ στέφανος εἰς γενεὰν καὶ γενεάν. [25] ἀνεκαλύφθη χόρτος ἐφάνη τε βοτάνη καὶ συνήχθησαν χόρτοι ὀρέων· [26] πρόβατα τῇ περιβολαίᾳ σου, καὶ τίμημα ἀγροῦ τράγοι, [27] καὶ ἀρκοῦν γάλακτος αἰγῶν τῷ ἄρτῳ σου, εἰς ἄρτον οἴκου σου καὶ ζωὴν τῶν νεανίδων σου. XXVIII. [1] ἔφυγον, καὶ οὐδεὶς διώκει ἀσεβῆ· δίκαιοι δὲ, ὡς σκύμνος θαρρήσει. [2] ἐν ἀμπλακήματι γῆς πολλοὶ ἄρχοντες αὐτῆς, καὶ ἐν ἀνθρώπῳ συνιέντι, γινώσκοντι, τῇδε μηκυνεῖ. [3] ἀνὴρ πτωχὸς καὶ ἀποστερητὴς πτωχῶν, ὄμβρος ἐλατὴρ, οὐκ ἔστι δ' ἄρτος. [4] παριέντες νόμον ἐπαινέσουσιν ἀσεβῆ, τηροῦντες δὲ νόμον συμπλακήσονται. [5] ἄνδρες κακοῦ οὐ ξυνήσουσι κρίσιν, ζητηταὶ δὲ τοῦ ὀντωτοῦ ξυνήσουσι πάντα. [6] κρείττων πτωχὸς πορευόμενος ἐν τελειότητι αὐτοῦ, σκολιοῦ τ'ς ὁδοὺς, καίτοι ἐκεῖνος πλούσιος. [7] τηρεῖ νόμον υἱὸς συνιεὶς, ποιμαίνων τε κρεωβόρους καταισχυνεῖ τὸν πατέρα ἑαυτοῦ. [8] ὁ πληθύνων τὸν ὄλβον ἑαυτοῦ ἐν τόκῳ καὶ

---

15. ἴσεται] recte, ut videtur, ἰσοῦται (נִשְׁתָּוָה) Vill. emendat. 17. φίλον cod. 19. ὁ ἄνθρωπος] לֵב om. 21. χωνὴ cod. et ed. Cf. XVII, 3. τοῦ ἐπαινοῦντος] מְהַלְלוֹ pro מַהֲלָלוֹ. Item LXX Syr. Trg. Hier. 22. ὅλμῳ, non ὄλμῳ, cod. Cf. Prol. I, 4, c. 23. εἴσῃ] εἴσοι cod. Cf. Gen. XV, 13. τὸ ποίμνιόν σου] לְעֶדְרֶךָ pro לַעֲדָרִים. Item Syr. Cf. LXX (σαῖς ἀγέλαις), Hier. (*tuosque greges*). 24. μὴ] l. μῶν (אִם pro וְאִם duo codd. Kenn.). Cf. Gen. XVII, 17. XVIII, 21 cet. 26. τῇ περιβολῇ vel τῷ περιβολαίῳ?

XXVIII. 1. δ' ὡς c. cd. ed. 3. πτωχῶν] πτωχῶ cod. 4. συμπλακήσονται] excidit αὐτοῖς (בָּם), sc. τοῖς ἀσεβέσι 6. τὰς ὁδοὺς] דְּרָכִים pro דְּרָכַיִם. Cf. Prol. II, 2, b. 7. ποιμαίνων τὲ cod. (cf. Prol. I, 4, b). Item v. 11 πένης τὲ, v. 14 σκληρύνων τὲ, v. 18 ἐστρεβλ. τὲ. Fort. omnibus his locis δὲ pro τε legendum.

πλεονασμῷ, τῷ ἐλεοῦντι πτωχοὺς συνάξει αὐτόν. [9] τοῦ ἀφαιροῦντος τὸ οὖς αὐτοῦ ἀπὸ τοῦ ἀκούειν τοῦ νόμου, ἔτι ἡ προσευχὴ αὐτοῦ μύσος. [10] πλανῶν εὐθεῖς ἐν ὁδῷ κακῇ, ἐν φθορᾷ ἑαυτοῦ πεσεῖται, τέλειοι δὲ κληρώσονται χρηστόν.

[11] Σοφὸς ἐν ὄμμασιν ἑαυτοῦ ἀνὴρ πλούσιος, πένης τε συνιεὶς ἐτάσει αὐτόν. [12] ἐν τῷ χαίρειν δικαίους πολλὴ ἡ καλλονή, ἐν δὲ τῷ ἀνεγείρεσθαι ἀσεβεῖς ἐτασθήσεται ἄνθρωπος.
[13] Σκέπων τὰ ἀμπλακήματα ἑαυτοῦ οὐκ εὐοδώσεται, ὁμολογῶν δὲ καὶ ἀφιεὶς οἰκτειρήσεται. [14] μακάριος ἀνὴρ δεδιὼς συνεχῶς, σκληρύνων τε τὴν καρδίαν αὐτοῦ πεσεῖται εἰς κακόν.
[15] Λέων βρυχώμενος καὶ ἄρκτος ἐπιοῦσα, δεσπόζων ἀσεβὴς λεὼ πτωχοῦ. [16] ἡγεμὼν ἐνδεὴς συνέσεων πληθυνεῖ ἀποστερήσεις, μισῶν κέρδος μηκυνεῖ ἡμέρας. [17] ἄνθρωπος βιαστὴς ἐν αἵματι ψυχῆς ἄχρι βόθρου φεύξεται· μὴ ἐπερεισθεῖεν αὐτῷ. [18] πορευόμενος τέλειος σωθήσεται, ἐστρεβλωμένος τε τὰς ὁδοὺς πεσεῖται ἐν μιᾷ. [19] δουλεύων τῇ γῇ αὐτοῦ χορτασθήσεται ἄρτου, διώκων δὲ κενὰ κορεσθήσεται πτωχείας. [20] ἀνὴρ πίστεων ἄρχων εὐλογιῶν, σπεύδων δὲ πλουτίζεσθαι οὐκ ἀθωωθήσεται. [21] ἐπιγινώσκειν πρόσωπον οὐ χρηστὸν, ἐπί τε βλωμοῦ ἄρτου ἀλιτανεῖ ἀνήρ. [22] θαμβεῖται εἰς πλοῦτον ἀνὴρ κακὸς τὸν ὀφθαλμὸν, οὔτε εἴσεται ὅτι ἔνδεια ἐλεύσεταί οἱ. [23] ἐλέγχων ἄνθρωπον κατόπιν ἐμοῦ χάριν εὑρήσει ὑπὲρ τὸν μαλθακίζοντα γλῶσσαν. [24] ὁ ἁρπάζων τὸν πατέρα αὑτοῦ καὶ τὴν μητέρα αὑτοῦ καὶ φάσκων· οὐκ ἔστιν ἁμαρτία, κοινωνός ἐστι ἀνδρὶ φθορεῖ. [25] πλατὺν συνάψει μάχην, πεποιθὼς δὲ ἐπὶ τὸν ὀντωτὴν λιπανεῖται. [26] ὁ πεποιθὼς τῇ ἑαυτοῦ καρδίᾳ μωρός ἐστιν, ὅ τε πορευόμενος ἐν σοφίᾳ, ἐκεῖνος ἀπαλλαγήσεται. [27] τῷ

8. καὶ πλεονασμῷ] lect. marg. (וְתַרְבִּית) exprimit (Chethîb ובתרבית). 9. αὐτοῦ (1)] αὑτοῦ c. cd. ed. Cf. v. 6. 14. 19. 24 cet. 12. ἐν ἑαυτῷ χαίρειν cod. et ed. Cf. XXIX, 2. πολλὴ] πολλοὺς cod. Emendationem Vill. recepimus. 13. εὐοδωθήσεται c. cd. ed. 16. πληθυνεῖ] יָרֶב pro וְרַב μισῶν] lect. marg. (שֹׂנֵא) reddit (Cheth. שנאי). 17. ἐπερασθεῖ ἐν αὐτῷ cod. (cf. V, 5. XI, 16), ἐπερεισθῇ ἐν αὐ. Vill. probante Dahlero. 18. τὰς ὁδοὺς (דְּרָכַיִם)] cf. not. ad v. 6. 21. ἀλιπανεῖ cod. et ed. Cf. Thr. III, 42. 24. αὑτοῦ (bis) cod., non αὐτοῦ ut ed. Item v. 27. 25. πλατὺν] sic cod., non πλατὺς ut ed. Legendum puto πλατύνους (רְחַב־נֶפֶשׁ; cf. Prol. II, 2, h); vix πλατὺς τὴν ψυχὴν (Dahl.). Cf. Symm. πλατύψυχος συνάξει cod. et ed. Cf. XV, 18. XXIX, 22. 26. ὅ τε] l. ὁ δὲ

χορηγοῦντι πτωχῷ οὐκ ἔστιν ἔλλειμμα, ὁ δὲ μύων τοὺς ὀφϑαλμοὺς αὐτοῦ ἄρχων καταρῶν. [28] ἐπὰν ἐγείροιντο · ἀσεβεῖς κρυβήσεται ἄνϑρωπος, ἐπὰν δὲ ἀπολλύοιντο αὐτοὶ πληϑυνοῦσιν οἱ δίκαιοι. [1] ἀνὴρ ἐλεγμῶν σκληρύνων αὐχένα παραυτίκα συντριβήσεται καὶ οὐδενὸς ἰωμένου. **XXIX.** [2] ἐν τῷ πληϑύνεσϑαι δικαίους εὐφρανϑήσεται ὁ λεώς, δεσπόζοντος δὲ ἀσεβοῦς στενάξει λεώς. [3] ἀνὴρ ἀγαπῶν σοφίαν εὐφρανεῖ τὸν πατέρα αὐτοῦ, ποιμαίνων τε πόρνας ἀπολεῖ περιουσίαν. [4] βασιλεὺς ἐν κρίσει στήσει γῆν, ἀνὴρ δὲ ἐράνων καϑελεῖ αὐτήν. [5] ἀνὴρ ϑωπεύων ἐπὶ τοῦ ἑταίρου οἱ, δίκτυον ἐκτείνει ἐπὶ τῶν διαβημάτων αὐτοῦ. [6] ἐν παραβάσει ἀνδρὸς κακοῦ σκάνδαλον, δίκαιος δὲ ἀλαλάξει αἰῶνα. [7] οἶδε δίκαιος δίκην πτωχῶν, ασεβὴς οὐ συνήσει γνῶσιν. [8] ἄνδρες παιδιᾶς παγιδιοῦσι πόλιν, σοφοὶ δὲ ἀποστρέψουσι ϑυμόν. [9] ἀνὴρ σοφὸς κρίνεται σὺν ἀνδρὶ μωρῷ, καὶ φρυάξεται καὶ γελάσει, καὶ ἥκιστα παῦλα. [10] ἄνδρες αἵματος μισοῦσι γνῶσιν, εὐϑεῖς δὲ, συνάξουσι τὴν ψυχὴν αὐτῶν. [11] πᾶν τὸ πνεῦμα αὐτοῦ ἐξάγει ὁ ἄφρων, ὁ δὲ φρόνιμος κατόπιν αἰνέσει αὐτό. [12] δεσπότου ἀκροωμένου λόγων ψεύδους, πάντες οἱ ὑπηρέται αὐτοῦ ἀσεβεῖς. [13] πτωχὸς καὶ ἀνὴρ συντριμμῶν ξυνηντήϑησαν, φωτίζει τοὺς ὀφϑαλμοὺς ἀμφοτέρων ὁ ὀντωτής. [14] βασιλεὺς κρίνει ἐν ἀληϑείᾳ πένητας, ὁ ϑρόνος αὐτοῦ ἐς αἰῶνα καταρτισϑήσεται. [15] σκῆπτρον καὶ ἔλεγχος δώσει σοφίαν, καὶ νέος πεμφϑεὶς καταισχύνει τὴν μητέρα αὐτοῦ. [16] ἀρχόντων ἀσεβῶν πληϑυνεῖται ἀμπλακία, δίκαιοί τε ἐν τῷ πτώματι σφῶν ὄψονται. [17] παίδευε τὸν υἱόν σου, καὶ ἀναπαύσει σε καὶ δώσει σπατάλας τῇ ψυχῇ σου.

---

27. χορηγ.] ο factum ex ω   ἔλλειμα cod. Cf. XXI, 5.

XXIX. 6. αἰῶνα] vox manifesto corrupta. Exspectaveris καὶ χαιρήσει (וְשָׂמֵחַ) aut (si וְ non reddidit) χαίρων (Dahl.). Cf. XV, 13. XVII, 5. 22 cet. An voluit γαίων? 9. παύλα cod. Cf. Prol. I, 4, c. 10. γνῶσιν] legit דַּעַת (ita cod. Kenn. 2) pro תָּם t. rec. συνάξουσι] יְבַקְשׁוּ videtur cum יְקַבְּצוּ confudisse. Cf. XIII, 11. XXVIII, 8 cet. τὴν ψυχὴν αὐτῶν (נַפְשׁוֹ)] cf. Prol. II, 2, b. 11. αἰνέσει] Vill. „Lege εὐνάσει.“ Acutissime. Sed scripturam codicis alii tuentur loci, ubi שַׁבַּח itidem αἰνέω reddit. Cf. Eccl. IV, 2. VIII, 15. Dan. II, 23 cet. 12. λόγων] plur. pro sing. (דָּבָר). Item Trg. Hier. 13. ξυνηρτήϑησαν cod. et ed. Cf. XXII, 2. 14. καταρτισϑήσεται ex XII, 3. XVI, 12 reposuimus. Cod. κατασϑήσεται et in margine adscriptum γρ. στ

[18] Ἐν οὐ θεωρίᾳ ἀπομακρυνθήσεται λεὼς, ὁ δὲ τηρῶν νόμον μακάριός ἐστιν. [19] ἐν λόγοις οὐ παιδευθήσεται οἰκέτης· συνήσει γὰρ, οὐκ ἔστι μέντοι ἀπόκρισις. [20] τεθέασαι ἄνδρα ἐπειγόμενον ἐν ταῖς ὁδοῖς αὐτοῦ, ἐλπὶς τῷ ἄφρονι ἤπερ ἐκείνῳ. [21] τέρπει ἀπὸ νεότητος τὸν οἰκέτην αὐτοῦ, καὶ τοὔσχατον αὐτοῦ τελέσει γόνωσις. [22] ἀνὴρ θυμοῦ συνάψει μάχην, καὶ ἄρχων χόλου δεσπότης ἀμπλακίας. [23] ὑπερηφανία ἀνθρώπου ταπεινώσει αὐτὸν, καὶ ταπεινὸς τὸ πνεῦμα στηριεῖ δόξαν. [24] μερίζων μετὰ κλέπτου μισεῖ τὴν ψυχὴν αὐτοῦ, κατάραν ἀκούσεται, καὶ οὐκ ἀνήγγειλε. [25] τρόμος ἀνθρώπου δώσει σκανδάληθρον, θαρρῶν δὲ τῷ ὀντωτῇ ἐρεισθήσεται. [26] πολλοὶ ζητοῦσι πρόσωπον δεσπότου, παρὰ δὲ τοῦ ὀντωτοῦ κρίσις ἀνδρός. [27] μύσος δικαίων ἀνὴρ ἀνομίας, μύσος τε ἀσεβοῦς εὐθὴς τὴν ὁδόν.

XXX. [1] Λόγοι ἀγούρου υἱέως ἰακέως τοῦ μασάου. φησὶν ὁ ἀνὴρ τῷ ἠτιέλῳ, τῷ ἠτιέλῳ· καὶ συνήσομαι. [2] ὅτι ἄφρων εἰμὶ ὑπὲρ ἄνδρα, καὶ οὐκ ἔστι σύνεσις ἀνδρός μοι· [3] οὔτε ἔμαθον σοφίαν, καὶ γνῶσιν ἁγίων εἴσομαι. [4] τίς ἀνέβη τοὺς οὐρανοὺς καὶ κατέβη; τίς συνήγαγε πνεῦμα ἐν κοτύλαις ἑαυτοῦ; τίς ἔδησεν ὕδατα ἐν περιβολαίῳ; τίς ἤγειρε πάντα τὰ πέρατα τῆς γῆς; τί τοὔνομά οἱ καὶ τί τοὔνομα τοῦ υἱοῦ αὐτοῦ, ὅτι εἴσῃ; [5] πᾶς λόγος τοῦ θεοῦ κεχωνευμένος, ἀσπὶς ἐστι τοῖς πεποιθόσιν αὐτῷ. [6] μὴ προσθῇς ἐπὶ τοῖς λόγοις αὐτοῦ, μήποτε ἐλέγξῃ σε καὶ ψεύσῃ. [7] δύο ἤτημαι παρὰ σοῦ, μὴ κωλύσῃς ἀπ' ἐμοῦ πρὶν τεθναίην· [8] μάταιον καὶ λόγον ψεύδους πόρρω ποίησον ἀπ' ἐμοῦ, πτωχείαν καὶ πλοῦτον μὴ δῷς μοι, θρέψον με ἄρτῳ τοῦ τύπου μου, [9] μήποτε κορεσθῶ καὶ ἀρνήσωμαι καὶ εἴπω· τίς ὁ ὀντωτής; καὶ μήποτε πτωχεύσω καὶ κλέψω καὶ λάβωμαι τοῦ ὀνόματος τοῦ θεοῦ μου. [10] μὴ καταμηνύσῃς

---

20. ἐν ταῖς ὁδοῖς] בִּדְרָכָיו pro בִּדְבָרָיו 21. τέρπει] Vill. „Lege τρέφει." At recte jam C. J. monuit, verbum τέρπω Hebraeo פִּנֵּק magis respondere quam τρέφω 24. ἀναγγελεῖ (יַגִּיד)? Cf. XII, 17. Eccl. VI, 12 cet.

XXX. 1. συνήσομαι] codicis scripturam non mutavi, quamquam pro certo habeo legendum esse δυνήσομαι (וְאֻכָל; cf. אוּכַל Gen. XIX, 19. Num. XXII, 6. 11) ut apud Theod. Assentitur C. Tub. 4. οὐρανούς] ὁρμοὺς (hoc accentu) corrupte cod. Emendationem jam Vill. habet. ἔδησεν duce eodem pro cod. ἐδόμησεν reponere non dubitavi (cf. Exod. XII, 34). Itidem fere Theod. (ἐνέδησεν). 8. θρέψον (ut recte jam conj. Dahl.) cod., non θέρψον ut ed. 9. ἀρνήσωμαι] ω factum ex ο

δοῦλον πρὸς τὸν δεσπότην αὐτοῦ, μήποτε καταράσηταί σοι καὶ ἁμάρτῃς. [11]γενεά, τὸν πατέρα αὐτῆς βλασφημήσει καὶ τὴν μητέρα αὐτῆς, οὐκ εὐλογηθήσεται· [12]γενεὰ καθαρὰ ἐν ὄμμασιν αὐτῆς, ἀπὸ δὲ τοῦ ὄνθου ταύτης οὐ λέλουται· [13]γενεά, τί ὕψωνται τὰ ὄμματα αὐτῆς, αἵ τ' αὐτῆς κόραι ἐπαίροιντο· [14]γενεὰ ξίφους οἱ ὀδόντες αὐτῆς, ἐσθίουσί θ' αἱ μύλαι ταύτης ὡς ἔδοιεν πένητας ἐκ τῆς γῆς καὶ πτωχοὺς ἀπ' ἀνθρώπου.

[15]Τῇ βδέλλᾳ δύο θυγατέρες· δὸς δός. τρία τάδε οὐ κορεσθήσονται, τέσσαρα οὐκ εἶπον· πλοῦτος. [16]ᾅδης καὶ ἐποχὴ νηδύος, γῆ οὐ κορέννυται ὑδάτων καὶ πῦρ οὐκ εἶπε· πλοῦτος. [17]ὀφθαλμὸς καταμωκήσεται πατρὸς καὶ περιόψεται ὡς ὑπακούοι μητρί, ὀρύξαιεν αὐτὸν κόρακες φάραγγος καὶ φάγοιεν ἂν υἱεῖς ἀετοῦ.

[18]Τρία ταῦτα ἐθαυμάσθησαν ὑπ' ἐμοῦ, καὶ τέσσαρα, οὐκ ἔγνων αὐτά· [19]ὁδὸς τοῦ ἀετοῦ ξὺν οὐρανοῖς, ὁδὸς ὄφεως ἐπὶ πέτρας, ὁδὸς νεὼς ἐν καρδίᾳ θαλάττης καὶ ὁδὸς ἀνδρὸς ἐν κόρῃ. [20]οὕτως ὁδὸς γυναικὸς μοιχαλίδος· ἐδήδοκε καὶ ἀπέμαξε τὸ στόμα αὐτῆς καὶ ἔφη· οὐκ εἴργασμαι φαῦλον. [21]ὑπὸ τρισὶ κλονεῖται γῆ, καὶ ὑπὸ τέσσαρσιν οὐ δυνήσεται αἴρειν· [22]ὑπὸ οἰκέτῃ ὅταν βασιλεύσῃ, καὶ ἄφρονι ὅτε πλησθήσεται ἄρτου· [23]ὑπὸ μισουμένῃ ὅταν ἀχθῇ, καὶ θεραπαίνῃ ὅταν κληρονομήσῃ τὴν ἑαυτῆς δεσπότιν.

[24]Τέτταρά εἰσι σμικρὰ τῆς γῆς, καὶ ταῦτα σοφὰ σεσοφισμένα· [25]οἱ μύρμηκες, λαὸς οὐ κραταιὸς, καὶ ἡτοίμασαν ἐν τῷ θέρει τὸν ἄρτον αὐτῶν· [26]ἐχῖνοι, λαὸς οὐκ ἰσχυρὸς, καὶ ἔθεντο ἐν σκοπέλῳ τὸν οἶκον ἑαυτῶν· [27]βασιλεὺς οὐκ ἔστι τῇ ἀκρίδι, καὶ ἐξῆλθεν ἐκτέμνουσα ἅπαν· [28]χελιδὼν ἐν χερσὶ κρατηθήσεται, αὕτη δὲ ἐν μεγάροις βασιλέως.

---

11. εὐλογηθήσεται] יְבֹרַךְ pro יְבָרֵךְ. **Cf. III, 33 et Gen. XLVIII, 20. 14.** ξίφους] **immo** ξίφη (חֲרָבוֹת). **15.** βδέλλᾳ, **non** βδέλλῃ, **cod. 17.** φάγοιεν ἂν] **l.** φάγ. αὐτὸν (וְיֹאכְלוּהָ). **19.** ξὺν οὐρανοῖς] **l.** ἐν οὐρ. (בַּשָּׁמַיִם). **Ita emendandum esse ipse codex praecipere videtur, quum non** ξὺν οὐνοις **(quo compendio alibi utitur) exhibeat, sed** ξῦνοις **22.** πλησθήσεται] **non minus apte ac** κορεσθήσεται (יִשְׂבַּע). **Cf. XII, 11. 14. XIV, 14 cet. 23.** μισουμένης **c. cd. ed.** ἀχθῇ] **sc.** πρὸς γάμον **κ.** ὑπὸ θεραπαίνης **c. cd. ed. itemque** ἑαυτοῦ **pro** ἑαυτῆς **28.** κρατηθήσεται] תְּתַפֵּשׂ pro תְּתַפֵּשׂ βασιλέως] **ς factum ex ν prius scripto.**

[29] Τρία εἰσὶν ἀγαθύνοντα διάβημα, καὶ τέτταρα ἀγαθύνουσιν ὥστε πορεύεσθαι· [30] λὶς ἰσχυρὸς ἐν κτήνει, καὶ οὐ στραφήσεται ἀφ' ὡντινωνοῦν· [31] λαγωοκύων ψοιῶν ἢ τράγος, καὶ βασιλεὺς ἀδιάδεκτος ξὺν ἑαυτῷ· [32] εἴπερ ἐμώρανας ἐν τῷ ἐπαίρεσθαι, καὶ εἴπερ ἐλογίσω· χεὶρ τῷ στόματι. [33] ὁ γὰρ ἀμέλγων γάλα ἐξοίσει βούτυρον, ἀμέλγων τε μυκτῆρα ἐξοίσει αἷμα, ἀμέλγων δὲ θυμὸν ἐξοίσει ἔριν.

XXXI. [1] Λόγοι λεμουέλου βασιλέως, ἆρμα, οὓς ἐπαίδευσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. [2] τί, υἱέ μου; καὶ τί, υἱὲ τῆς γαστρός μου; καὶ τί, υἱὲ τῶν εὐχῶν μου; [3] μὴ δῷς ταῖς γυναιξὶ τὴν δύναμίν σου, καὶ τὰς σὰς ὁδοὺς ἀπομάττειν βασιλέας. [4] μηδαμῶς τοῖς βασιλεῦσι, λεμοέλε, μηδαμῶς τοῖς βασιλεῦσι πίνειν οἶνον, καὶ τοῖς ἡγουμένοις ἥκιστα συρμαία· [5] μήποτε πίῃ καὶ ἐπιλάθηται τοῦ τετυπωμένου, καὶ ἀμείψει δίκην ὡντινωνοῦν υἱῶν ταπεινότητος. [6] δίδοτε οἶνον τῷ ἀπολλυμένῳ, καὶ οἶνον τοῖς πικροῖς τὴν ψυχήν· [7] πίεται καὶ ἐπιλήσεται τῆς πτωχείας αὐτοῦ, καὶ τοῦ κόπου αὐτοῦ οὐκ ἔτι μνησθήσεται. [8] δίαρον τὸ στόμα σου τῷ βωβῷ εἰς δίκην πάντων τῶν υἱῶν τοῦ μεταβάλλειν. [9] ἄνοιξον τὸ στόμα σου, κρῖνον δικαιοσύνην καὶ δίκην τάλανος καὶ πτωχοῦ.

[10] Γυναῖκα ἀρετῆς τίς εὑρήσει; πόρρω ὑπὲρ λιθίδας ἡ ταύτης πρᾶσις. [11] πέποιθεν αὐτῇ ἡ καρδία τοῦ συνεύνου, καὶ λεία οὐκ ἐλλείψει. [12] ἔτισεν αὐτῷ χρηστὸν καὶ οὐ κακὸν πάσαις ἡμέραις τῆς ζωῆς αὐτῆς. [13] ἐζήτησεν ἔριον καὶ λῖνα, ἐποίησέ τε κατὰ

---

29. ὥστε πορεύεσθαι] לָלֶכֶת pro לָלֶכֶת? Cf. XV, 21 cum Eccl. I, 7. Lev. XVIII, 4 cet. 30. λὶς cod., non λῖς ut ed. 31. λαγωοκύων ψοιῶν] Dahl. mavult λάγως ὠκειῶν ψυῶν. Sed cf. Del. ad h. l. Prol. I, 3, B, c.

XXXI. 1. ἆρμα, non ἅρμα, cod. Cf. Prol. I, 4, c. 4. λεμοέλε, non λεμου. (ut v. 1), cod. ἥκιστα] Dahl. „Accipit אֵי pro אַיִן, adeoque marginis lectionem (Chethîb או) exprimit.“ 5. ἐπιλάθητε cod. ἀμείψῃ? Sed cf. XXV, 10 etc. 6. οἶνον (1)] exspectaveris συρμαίαν (שֵׁכָר). Cf. v. 4 etc. πικροῖς cod., non ψυχροῖς ut ed. 8. τῷ βωβῷ εἰς δίκην] ita edendum duxi pro τῷ βεβαδιεῖς (βεβάδι εἰς [?] Mor.) δίκην, quod satis corrupte cod. praebet. Nescio unde Vill. hauserit κωφῷ. Cf. Exod. IV, 11. Dan. X, 15. 10. πράσις cod. Cf. Prol. l. c. 11. τοῦ συνεύσου] suff. om. (בַּעְלָהּ). 12. ἔτισεν (non ἔτι σὺν ut ed.) αὐτὴ (αὐτῇ ed.) cod. Cf. Dahl. 13. λῖνα, non λίνα, cod. Cf. Prol. l. c.

θέλημα, κατὰ στόμα ταύτης. [14]ἐτέλεσεν ὡς νῆες ἐμπόρου, πόρρωθεν ἄξει τὸν ἄρτον ἑαυτῆς. [15]ἐγήγερται ἔτι νυκτὸς καὶ ἔδωκεν ἐδωδὴν τῷ οἴκῳ ταύτης καὶ τύπον ταῖς νεάνισιν αὐτῆς. [16]ἐσκέψατο ἀγρὸν καὶ ἔλαβεν αὐτὸν, ἀπὸ καρποῦ τῶν παλαμῶν αὐτῆς ἐφύτευσεν ἀμπελῶνα. [17]ἔζωσεν ἐν κράτει τὴν ὀσφὺν ἑαυτῆς καὶ κατίσχυσε τοὺς βραχίονας ἑαυτῆς. [18]ἐγεύσατο ὅτι χρηστὴ ἡ ἐμπορεία· οὐ σβεσθήσεται ἐν νυκτὶ ὁ λύχνος αὐτῆς. [19]τὰς χεῖρας αὐτῆς ἔπεμψεν εἰς τὸν σφόνδυλον, καὶ αἱ παλάμαι ταύτης ἠρείσθησαν ἀτράκτῳ. [20]τὴν παλάμην αὐτῆς ἤνοιξε τῷ πένητι, καὶ τὼ χεῖρε ταύτης ἔπεμψε τῷ πτωχῷ. [21]οὐ φοβηθήσεται τῷ οἴκῳ ταύτης ἀπὸ χιόνος, πᾶς γὰρ ὁ οἶκος αὐτῆς ἐνδεδυμένος ἐστὶν ἐρυθρά. [22]κόσμια ἐποίησεν ἑαυτῇ, λῖνον, πορφύραν τὸ ταύτης ἔνδυμα. [23]ἔγνωσται ἐν πύλαις ὁ εὐνέτης αὐτῆς, ἐπὰν καθέζοιτο ξὺν τοῖς γέρουσι τῆς γῆς. [24]σινδόνα ἐποίησε καὶ ἔπρασε, καὶ ζῶσμα ἔδωκε τῷ κεναανίῳ. [25]κράτος κάλλος θ' ἡ ταύτης περιβολὴ, καὶ γελάσει ἡμέρᾳ τῇ ἐσχάτῃ. [26]τὸ στόμα ταύτης διῆρεν ἐν φρονήσει, καὶ νόμος ἐλέους ἐπὶ τῆς γλώττης αὐτῆς. [27]καθορᾷ τὰς διόδους τοῦ οἴκου ταύτης, καὶ ἄρτον ὄκνου οὐκ ἔδεται. [28]ἀνέστησαν οἱ υἱεῖς αὐτῆς καὶ ἐμακάρισαν αὐτὴν, ὁ ἀνὴρ αὐτῆς καὶ ἐπῄνεσεν αὐτήν· [29]πολλαὶ θυγατέρες ἐποίησαν ἀρετὴν, σὺ δὲ ἀνέβης ὑπὲρ ἁπάσας ἐκείνας. [30]ψεῦδος ἡ χάρις καὶ ματαιότης τὸ κάλλος, γυνὴ φοβουμένη τὸν ὀντωτὴν, ἐκείνη ἐπαινεθήσεται. [31]δότε οἱ πρὸς τοῦ καρποῦ ταῖν χεροῖν αὐτῆς, καὶ ἐπαινεσάντων αὐτὴν ἐν ταῖς πύλαις τὰ ταύτης ἔργα.

κατὰ στόμα] כְּפִידָהּ pro כְּפִיהָ 18. ἐμπορεία (l. ἐμπορία)] suff. om. (סַחְרָהּ). 19. τὸν σφόνδυλον cod. Ed. τὸν om. 20. τὰ (χεῖρε) c. cd. ed. 22. λῖνον] cf. v. 13. 23. καθέξοιτο cod. 24. κεναν. corr. κεναανίῳ cod. 26. διῆραι cod. Vix praetuleris διήρατο (Vill.) vel διῆραι (Dahl.). Cf. v. 8. XXIV, 7 cet. 29. θυγατέρες] θυγατέραις cod. et paullo inferius ἀρεστὴν pro ἀρετὴν 31. αὐτῆς] αὐτοῦ cod. Recte jam ed.

I. Ἀλλ' ἐτέλεσεν ἐν ταῖς ἡμέραις τοῦ κρίνειν τοὺς κριτάς, ὑπῆρξέ τε λιμὸς ἐν τῇ γῇ· καὶ ἀπῆλθεν ἀνὴρ ἐκ δόμου ἄρτου τοῦ ἰεούδου παροικῶν ἐν τοῖς ἀγροῖς τοῦ μωάβου, ἐκεῖνος ἥ τε ξύνευνος αὐτοῦ καὶ δύο υἱὼ αὐτοῦ. [2] ὄνομα δὲ τῷ ἀνδρὶ ἐλιμέλχος, καὶ ὄνομα τῇ γυναικὶ ναομὶν, καὶ ὄνομα τοῖν δυοῖν υἱοῖν αὐτοῦ μααλὼν καὶ χιλιὼν, ἐφραταῖοι ἐκ δόμου ἄρτου τοῦ ἰεούδου· ἀφίκοντό τε εἰς τοὺς ἀγροὺς τοῦ μωάβου καὶ ὑπῆρξαν ἐκεῖ. [3] τέθνηκε δ' ἐλιμέλχος ὁ εὐνέτης τῆς νααμῖνος, καὶ περιλέλειπται κείνη καὶ τὼ δύο κείνης υἱώ. [4] ἠγαγέσθην θ' ἑαυτοῖν γυναῖκε μωαβίτιδε· ὄνομα τῇ μιᾷ ἀρφὰ, καὶ ὄνομα τῇ δευτέρᾳ ῥούθη· ἐκαθέσθησάν τ' ἐκεῖ ὡς δέκα ἔτεσιν. [5] ἀπέθανον δ' ἔτι ἄμφω αὐτὼ, μααλὼν καὶ χιλιών· καὶ περιλέλειπται ἡ γυνὴ ἀπ' ἀμφοῖν τοῖν τέκνοιν αὐτῆς καὶ τοῦ ἀνδρὸς αὐτῆς. [6] ἀνέστη τε αὕτη καὶ τὰ νύμφα ταύτης καὶ ἐκαθέσθη ἐν τοῖς ἀγροῖς τοῦ μωάβου· ἐπύθετο γὰρ ἐν ἀγρῷ τοῦ μωάβου ὅτι ἐπεσκέψατο ὁ ὀντωτὴς τὸν λεὼν ἑαυτοῦ ὡς δοίη σφίσιν ἄρτον. [7] ἐξῆλθεν οὖν ἀπὸ τοῦ τόπου ᾧ ἦν ἐκεῖ, καὶ τὰ δύο νύμφα ταύτης ξὺν αὐτῇ· καὶ ἀπῆλθον ἐν ὁδῷ ὡς νοστήσαιεν πρὸς τὴν γῆν τοῦ ἰεούδου. [8] ἔφη δὲ ναομὶν ταῖν δυοῖν νύμφαιν αὐτῆς· ἄπιτον παλιννοστήσατον ἑκατέρα οἴκαδε τῆς μητρὸς αὐτῆς· ποιήσειεν ὁ ὀντωτὴς ξὺν ὑμῖν ἔλεον, καθάπερ ἐποιήσατον ξὺν τοῖς τεθνηκόσι καὶ ξὺν ἐμοί· [9] δοίη ὁ ὀντωτὴς σφῶϊν καὶ εὕροιτε ἀνάπαυσιν ἑκατέρα οἴκοι ἑκατέρας. ἐφίλησέ τε σφώ· καὶ ἠράτην τὴν φωνὴν σφῶϊν καὶ ἐκλαυσάτην· [10] εἰπέ-

---

I. 1. ἐτέλησεν cod. et ed. ἰεούδου] ἰεούλου cod. itemque v. sq. παροικῶν] legendum videtur παροικεῖν (לָגוּר). Vix ex παροικήσων gigni poterat παροικῶν 3. τέθνϊκε cod. et paullo inferius εὐνέτης 4. ἑαυτοῖν] ἑαυτὴν cod., ἑαυτοῖς ed. 6. καὶ ἐκαθέσθη ἐν τοῖς ἀγροῖς] quasi וַתֵּשֶׁב בִּשְׂדֵי scriptum esset, non וַתָּשָׁב מִשְּׂדֵי 8. αὐτῆς c. cd. ed. Cf. not. ad Gen. XXXIV, 5. 9. ἠραίτην cod.

την τε αὐτῇ· ὅτι ξὺν σοὶ ὑποστρέψομεν εἰς τὸν λεών σου. [11] ἔφη δὲ νααμίν· παλιννοστήσατον, ϑυγατέρες μου· διατί ἀπελεύσεσϑον ξὺν ἐμοί; ἆρ' ἔτι μοι υἱεῖς ἐν τοῖς ἐγκάτοις μου, καὶ τελέσουσι σφῶϊν εἰς εὐνέτας; [12] παλιννοστήσατον, ϑυγατέρε μου, ἄπιτον· ἐγήρασα γὰρ ἀπὸ τοῦ εἶναι ἀνδρί· ἀλλ' ἔφην· ἔστι μοι ἐλπίς, ἔτι ὑπῆρξα τῇ νυκτὶ ἀνδρί, καὶ ἔτι ἐγέννησα υἱεῖς· [13] ἆρα σφᾶς περιμενεῖτε μέχρις ἂν μεγαλυνϑεῖεν; ἆρα σφῶϊν ἐπισχεϑήσεσϑον ὥστε μὴ τελεῖν ἀνδρί; μή, ϑυγατέρε μου· πικρὸν γάρ μοι μᾶλλον ἢ σφῶϊν, ὅτι ἐξῆλϑέ μοι χεὶρ τοῦ ὀντωτοῦ. [14] ἠράτην τε τὰ φωνὰ καὶ ἐκλαυσάτην ἔτι· ἐφίλησε δ' ἀρεφὰ τὴν ἑκυρὰν ἑαυτῆς, ἡ δὲ ῥούϑη κεκόλληταί οἱ. [15] ἔφη τε· ϑεῶ ὑπέστρεψεν ἡ εἰνάτηρ σου πρὸς τὸν λεὼν ἑαυτῆς καὶ πρὸς τοὺς ϑεοὺς ἑαυτῆς, ὑπόστρεψον κατόπιν τῆς εἰνάτερός σου. [16] ἔφη δὲ ῥούϑη· μὴ ἀπάντα μοι καταλιπεῖν σε ὡς ὑποστρέψαιμι ὀπίσωϑέν σου, ἐπεὶ πρὸς ἅτταπερ ἀπελεύσῃ ἀπελεύσομαι, καὶ ἐν ᾧ μενεῖς μενῶ· ὁ λεώς σοῦ λεὼς μοῦ, καὶ ὁ ϑεός σοῦ ϑεός μοῦ· [17] ἐν ᾧ τεϑνήξῃ τεϑνήξομαι, κἀκεῖ ταφήσομαι· τῇδε ποιήσειεν ὁ ὀντωτής μοι καὶ τῇδε προσϑείη, ὅτι ὁ ϑάνατος χωριεῖ μεταξὺ μοῦ καὶ μεταξὺ σοῦ. [18] τεϑέαται γοῦν ὅτι ἐστήριζεν αὕτη ἀπιέναι ξὺν αὐτῇ, καὶ ἔπαυσε διαλεγομένη πρὸς αὐτήν. [19] ἀπηλϑέτην τε ἄμφω σφὼ μέχρις ἀφικέσϑην εἰς δόμον ἄρτου. ἐτέλεσέ τ' ἐπεὶ ἀφικέσϑην εἰς δόμον ἄρτου, ἐϑορύβησέ τε πᾶσα ἡ πόλις ἐπὶ σφῶϊν, καὶ εἶπον· μῶν αὕτη ἐστὶν ἡ νααμίν; [20] ἔφη τε πρὸς αὐτάς· μὴ καλεῖτέ με ναamῖνα, καλεῖτέ με πικράν· ἐπίκρανε γὰρ ὁ κραταιός με ἐπιεικῶς. [21] ἐγὼ πλήρης ἀπῆλϑον, κενὴν δὲ ἐπανήνεγκέ με ὁ ὀντωτής· ἀνϑότου καλέσετέ με ναamῖνα, καίτοι ὁ ὀντωτὴς ἀποκέκριται εἰς ἐμέ, καὶ ὁ κραταιὸς ἐκάκωσέ με; [22] ὑπέστρεψεν οὖν ναamὶν καὶ ἡ ῥούϑη ἡ μωαβίτις ἡ νύμφη ταύτης ξὺν αὐτῇ, ἡ ὑποστρέψασα ἀπὸ τῶν ἀγρῶν τοῦ μωάβου· καὶ τάδε ἀφικέσϑην δόμονδε ἄρτου ἐν ἀρχῇ ἀμητοῦ

---

10. αὐτῇ] αὐτὴν cod. 11. ϑυγατέρες] l. ϑυγατέρε ut vv. sqq. 12. παλιννοστήσετον cod. et ed. Cf. v. 8. 11. 13. ἐπισχεστήσεσϑον cod. et ed. 14. τὰ φωνὰ] suff. om. (קוֹלָן). 15. ὑπέστρεψον cod. 16. ἀπάντα] εἰ πάντα cod., ἀπαντῆσαι Vill. in marg. ἅτταπερ ἀπελεύσῃ] ἅττα παραπελ. cod. et ed. 21. ἀνϑότου] codicis scripturam retinuimus. Cf. Prol. I, 4, d. 22. ὑπέστρεψεν cod., non ὑπέστρεψαν ut ed. μωαβίτις, non μωαβῖτις, cod. Cf. II, 2. Num. XXV, 6. δόμονδε] δόμον ἐξ cod., δόμον ed. Cf. Prol. I, 3, a. ἀμητοῦ] cf. Gen. VIII, 22 etc.

II. κριϑῆς. [1] τῇ δὲ ναμῖνι ἔγνωστο τῇ γυναικὶ ἀνὴρ ἰσχυρὸς τὴν δύναμιν ἐν τῇ γενεᾷ τοῦ ἐλιμελέχου, καὶ τοὔνομά οἱ βόαζος. [2] εἶπε δὲ ῥούϑη ἡ μωαβίτις πρὸς ναμῖνα· ἀπελεύσομαι δὴ ἐς ἀγρὸν καὶ συλλέξω ἐν ἀστάχυσιν κατόπιν οὗ ἂν εὕροιμι χάριν ἐν ὄμμασίν οἱ. ἔφη τε ταύτῃ· ἄπιϑι, ϑύγατερ. [3] ἀπῆλϑέ τε καὶ ἀφίκετο καὶ συνέλεξεν ἐν ἀγρῷ κατόπιν τῶν ἀμώντων· ξυνέβη δὲ συμβεβηκυῖα ταύτῃ ἡ μερὶς τοῦ ἀγροῦ τοῦ βοάζου τοῦ ἐκ τῆς γενεᾶς ἐλιμελέχου. [4] καὶ αὐτίκα βόαζος ἀφικνεῖται ἐκ δόμου ἄρτου κἄφη τοῖς ἀμῶσιν· ὁ ὀντωτὴς καὶ ξὺν ὑμῖν. καὶ ἔφησαν αὐτῷ· εὐλογήσαι σε ὁ ὀντωτής. [5] ἔφη τε βόαζος τῷ νέῳ αὐτοῦ τῷ ἐφεστῶτι τοῖς ἀμητῆρσι· τίνος ἡ παῖς ἥδε; [6] καὶ ἀποκέκριται ὁ νέος ὁ ἐφεστὼς τοῖς ἀμητῆρσι καὶ ἔφη· παῖς μωαβίτις ἐστὶν ἡ στραφεῖσα ξὺν ναμῖνι ἐξ ἀγροῦ τοῦ μωάβου· [7] καὶ ἔφη· συλλέξω δὴ καὶ συνάξω ἐν τοῖς δράγμασι κατόπιν τῶν ἀμώντων· ἀφῖκταί τε καὶ ἔστη ἔκτοτε τῇ ἕῳ καὶ ἄχρι τουνῦν· αὕτη κάϑησις ταύτῃ οἴκοι ὀλίγη. [8] εἶπε δὲ βόαζος πρὸς τὴν ῥούϑην· ἆρ' οὐκ ἤκουσας, ϑύγατερ ἐμοῦ; μὴ ἀπέλϑῃς συλλέγειν ἐν ἀγρῷ ἑτέρῳ, ἔτι τε οὐ διαβήσῃ ἐντεῦϑεν, καὶ ἐνταῦϑα κολληϑήσῃ ξὺν ταῖς νέαις μου. [9] οἱ ὀφϑαλμοί σου ἐν τῷ ἀγρῷ ὃν ἀμήσουσι, καὶ ἀπελεύσῃ κατόπιν αὐτῶν· ἆρ' οὐκ ἐκέλευσα τοῖς νέοις χωρὶς τοῦ ἐγγίζειν σε; καὶ διψήσεις, ἀπελεύσῃ τε πρὸς τὰ ἀγγεῖα καὶ πίῃ ἐξ ὧν ἀντλήσαιεν οἱ νέοι. [10] ἔπεσεν οὖν ἐπὶ πρόσωπον ἑαυτῆς καὶ προσεκύνησεν αὐτὸν ἐς γῆν καὶ εἶπε πρὸς αὐτόν· τοῦ χάριν εὗρον χάριν ἐν ὄμμασί σοι ὡς ἐπιγνοίης με, καίτοι ἐγὼ ξένη τελῶ; [11] καὶ ἀποκέκριται βόαζος εἶπέ τε ταύτῃ· ἀγγελίᾳ ἤγγελταί μοι πᾶν ὅπερ ἐποίησας ἑκυρᾷ τῇ σῇ μετὰ τὸ τεϑνάναι τὸν ἄνδρα σου· καὶ παρῆκας τὸν πατέρα σου καὶ τὴν μητέρα σου καὶ τὴν γῆν τῆς

κριϑῆς] correxerim κριϑῶν, sed illud et II, 23. III, 2. 15. 17 legitur, atque שְׂעֹר (pro שְׂעֹרִים) cod. Kenn. 152 exhibet (sc. scripturae compendio).

II. 1. τῇ γυναικὶ] male (לְאִישָׁהּ). ἐν τῇ γενεᾷ] בְּמִשְׁפַּחַת pro 'מִמִּ. 2. ϑυγάτερ hic et saepius cod. 4. ὑμῖν cod., non ἡμῖν ut ed. ἔφησαν] ἔφησεν cod. Recte jam ed. εὐλογῆσαι cod. 6. ἐξ ἀγροῦ] מִשְּׂדֵה (ita multi codd. Kenn. et Ross.) pro מִשְּׂדֵי (cf. I, 6). Item LXX. 7. τουνῦν] τοῦ νῦν cod. Cf. Gen. XLVI, 33. Exod. IX, 18. 8. ἐνταῦϑα] ἐν τῷ cod., ἐν τούτῳ ed. Cf. Gen. XXII, 5. Exod. II, 12. 9. αὐτῶν] αὐτῆς cod. (ἐγγίζειν) σε] l. σου vel σοι ἀντλήσειεν c. cd. ed. 10. (ὄμμασί) σοι] sic cod., non σου ut ed. Cf. v. 13 etc. 11. ἐποίησα cod.

πατρίδος σου, καὶ ἀπῆλϑες πρὸς λεὼν ὃν οὐκ ἔγνως χϑὲς πρότριτα. [12] τελειώσαι ὁ ὀντωτὴς τοὔργόν σου, καὶ τελοίη τὸ μίσϑωμά σου τέλειον πρὸς τοῦ ὀντωτοῦ τοῦ ϑεοῦ τοῦ ἰσραέλου, ᾧ ἀφῖξαι πεποιϑέναι ὑπὸ ταῖς αὐτοῦ πτέρυξιν. [13] ἔφη τε· εὕροιμι χάριν ἐν ὄμμασί σοι, κύριέ μου· παρεμυϑήσω γάρ με ὅτι διείλεξαι ἐπὶ τῆς καρδίας τῆς σῆς οἰκέτιδος, ἐγὼ δὲ οὐκ εἴην κατὰ μίαν τῶν σῶν ϑεραπαινίδων. [14] ἔφη τε ταύτῃ βόαζος· τῷ καιρῷ τῆς τροφῆς ἔγγιζε ξυνεχῶς καὶ ἔδῃ ἀπὸ τοῦ ἄρτου καὶ βαπτιεῖς τὸν βλωμόν σου ἐν τῷ ὄξει. ἐκαϑέσϑη τοίνυν ἀπὸ πλευρᾶς τῶν ἀμώντων, ἐχορήγησέ τ' αὐτῇ τὸν δίπυρον, ἐδήδοκέ τε καὶ κεκόρεσται καὶ πεπερίσσευται. [15] καὶ ἀνέστη συλλέγειν· ἐκέλευσε δὲ βόαζος τοῖς παισὶν αὐτοῦ τῷ φάναι· ἔτι μέσον τῶν δραγμάτων συλλεγέτω, καὶ μὴ καταισχύνετε ταύτην· [16] ἔτι τε ἄφεσιν ἀφήσετε ταύτῃ ἀπὸ τῶν κωμύϑων καὶ ἀφήσετε, καὶ συλλέξει, καὶ οὐκ ἀπειλήσετε ταύτῃ. [17] συνέλεξε δὲ ἐν τῷ ἀγρῷ μέχρι τῆς ἑσπέρας, ἐρράβδισέ ϑ' ἃ συνέλεξε, καὶ ὑπῆρξεν ὡς μέδιμνος κριϑῶν. [18] ἦρέ τε καὶ ἀφῖκται εἰς τὴν πόλιν· ἤϑρησέ ϑ' ἡ πενϑερὰ ταύτης ὃ συνέλεξεν· ἐξήνεγκέ τε κᾄδωκεν αὐτῇ ὃ ἐπερίσσευσεν αὐτῇ ἀπὸ τοῦ ταύτης κόρου. [19] καὶ εἶπεν αὐτῇ ἡ πενϑερὰ ταύτης· ποῦ συνέλεξας σήμερον καὶ πῇ ἐποίησας; εἴη ὁ ἐπιγινώσκων σε εὐλογητός. ἀνήγγειλεν οὖν τῇ ἑκυρᾷ ταύτης ὡς ἐποίησε ξὺν αὐτῷ, καὶ εἶπε· τοὔνομα τοῦ ἀνδρὸς οὗ ἐποίησα ξὺν αὐτῷ σήμερον βόαζος. [20] εἶπέ τε νααμὶν τῇ νύμφῃ ταύτης· εὐλογητὸς ἐκεῖνος τῷ ὀντωτῇ, ὃς οὐκ εἴασε τὸν ἔλεον αὐτοῦ ξὺν τοῖς ζῶσι καὶ ξὺν τοῖς τεϑνηκόσιν. ἔφη τε ταύτῃ νααμίν· ἐγγὺς ἡμῖν ὁ ἀνήρ, ἀπὸ τῶν ἐλευϑερούντων ἡμᾶς ἐστιν. [21] ἔφη τε ῥούϑη ἡ μωαβίτις· ἔτι ὅτι ἔφη πρός με· ξὺν τοῖς παισὶ τοῖς ἐμοῖς κολληϑήσῃ μέχρις ἂν τελευτήσαιεν ξύμπαντα τὸν ἀμητὸν τὸν ἐμόν. [22] ἔφη τοίνυν ἡ νααμὶν πρὸς ῥούϑην τὴν νύμφην αὐτῆς· ἀγαϑόν, ϑύγατερ, ὅτι ἐξελεύσῃ ξὺν ταῖς παι-

---

πρότρινα cod. Ita emendandum esse jam Vill. in margine indicavit. Cf. Gen. XXXI, 2. Exod. V, 8 cet. 13. ὅτι διείλεξαι] ἀντιδιείλεξαι (non καὶ ἀντιδ. ut ed.) cod. Exspectaveris καὶ ante ὅτι (וְכִי). 14. ξυνεχῶς] alibi ἐνταυϑοῖ vel ἐνϑαδὶ reddit הֲלֹם. Cf. Gen. XVI, 13. Exod. III, 5 cet. 17. ἐρράβδισε] codicis scripturam servavimus. Ed. ἐράβδισε 18. ἐξήνεγκέν τε c. ed. ed. ἐπερίσσευσεν αὐτῇ] sic Hiphil exprimit (הוֹתִרָה). Cf. Deut. XXVIII, 11. XXX, 9. 19. ὡς] ἃ vel ᾧ? 21. τελευτήσειαν c. ed. ed. 22. ἀγαϑὸν] ita recte, ut videtur, pro cod. ἀγαϑὴ ed.

σὶν αὐτοῦ, καὶ οὐ ξυναντήσουσί σοι ἐν ἀγρῷ ἑτέρῳ. 23 κεκόλληται τοίνυν ταῖς νεάνισι τοῦ βοάζου ὡς συλλέγειν μέχρι τοῦ τελευτῆσαι τὸν ἀμητὸν τῆς κριϑῆς καὶ τὸν ἀμητὸν τοῦ πυροῦ. ἐκάϑισέ

III. τε ξὺν τῇ πενϑερᾷ ἑαυτῆς. 1 ἔφη δὲ ταύτῃ ναamὶν ἡ ταύτης πενϑερά· ϑύγατερ ἐμή, ἆρ᾽ οὐ ζητήσω σοι ἀνάπαυλαν ἥτις ἀγαϑυνεῖ σοι; 2 νῦν οὖν, ἆρ᾽ οὐ βόαζος τῆς γνωστότητος ἡμῶν, ᾧ ἐτέλεσας ξὺν ταῖς νεάνισιν αὐτοῦ; αὐτίκα αὐτὸς λικμᾶται τὴν ἅλω τῆς κριϑῆς τῇ νυκτί. 3 λούσῃ τοίνυν καὶ χρίσῃ κἀπιϑήσεις τὰ περιβόλαιά σου σαυτῇ, καταβήσῃ τ᾽ ἐς τὴν ἅλω· μὴ γνωσϑῇς τῷ ἀνδρὶ μέχρις ὅτου τελέσειεν αὐτὸς ἐσϑίων καὶ πίνων. 4 ὑπάρξει δ᾽ ἐπὰν αὐτὸς ἀνακλίνοιτο, γνώσῃ τε τὸν τόπον ᾧ ὃν ἀνακλίνοιτο ἐκεῖ, καὶ ἐλεύσῃ ἀνακαλύψεις τε τὰ ποδικά οἱ καὶ ἀνακλινῇ· κἀκεῖνος ἀγγελεῖ σοι ἅτταπερ ποιήσεις. 5 ἔφη δὲ πρὸς αὐτήν· ὅσα ἂν εἴποις ποιήσω. 6 κατέβη γοῦν ἐς τὴν ἅλω, κἀποίησε καϑόσαπερ ἐκέλευσεν αὐτῇ ἡ ἑκυρὰ ταύτης. 7 ἔφαγέ τε βόαζος καὶ ἔπιε, καὶ ἠγάϑυνεν ἡ καρδία οἱ, καὶ ἔρχεται ἀνακλιϑῆναι ἐν ἄκρῳ τοῦ ϑημῶνος. ἦλϑεν οὖν λάϑρα καὶ ἀνεκάλυψε τὰ πρὸς ποσίν οἱ καὶ ἀνακέκλιται. 8 τοίνυν ἐτέλεσεν ἐν μεσονυκτίῳ, καὶ τέϑηκται ὁ ἀνὴρ καὶ κέκλιται, αὐτίκα τε γυνὴ ἐκάϑευδε πρὸς ποσίν οἱ. 9 καὶ ἔφη· τίς εἶ; καὶ εἶπεν· ἐγὼ ῥούϑη ἡ ϑεράπαινά σου· τενεῖς οὖν τὰς πτέρυγάς σου ἐπὶ τῆς ϑεραπαίνης σου, λυτρωτὴς γὰρ εἶ. 10 καὶ εἶπεν· εὐλογητὴ σὺ τῷ ὀντωτῇ, ϑύγατερ ἐμή· ἠγάϑυνας τὸν ἔλεόν σου τὸν ὕστερον ὑπὲρ τὸν πρῶτον, τῷ μὴ ἀπελϑεῖν κατόπιν τῶν νεανίσκων, εἴτε πένητος εἴτε πλουσίου. 11 νῦν οὖν, ϑύγατερ ἐμή, μὴ δείσῃς· ὅσα ἐρεῖς ποιήσω σοι· γινώσκει γὰρ πᾶσα πύλη τοῦ λεώ μου ὅτι γυνὴ ἀρετῆς εἶ. 12 νῦν οὖν ὡς ὄντως ὅτιπερ εἰ λυτρωτὴς εἴην, ἀλλ᾽ ἔτι ἔστι λυτρούμενος ἐγγίων ἐμοῦ. 13 μεῖνον τὴν νύκτα, καὶ τελέσει ἐν ἕῳ, εἴπερ λυτρῷτό σε,

---

23. ἐκάϑησε cod.

III. 4. ἀττάπερ cod. Cf. not. ad Lev. IX, 5. 5. εἴποις] non exprimit אֵלַי, quod Masora in marg. (קרי ולא כתיב) addit. 6. καϑόσαπερ] sic cod. (cf. Prol. I, 4, d), non καϑάπερ ut ed. 7. τῆς ϑημῶνος cod. Videtur de ϑημωνία (cf. Cant. VII, 2) cogitasse. ἀνεκάλυψε] ἀνεκάμψε cod. Errorem (cf. v. 4) Vill. correxit. 11. ϑύγατερ] sic hoc loco ipse cod. itemque v. 16. 18. Cf. not. ad II, 2. 12. ὅτιπερ εἰ] contra Masoram, quae אם post כִּי scribendum quidem, sed non legendum esse notat. 13. λυτρῶτο cod. Cf. IV, 4 sq. Gen. VI, 19 sq. cet.

χρηστὸν, λυτρούσϑω· κἂν μὴ βούληται λυτροῦσϑαί σε, λυτρώσομαί σε ἐγὼ, ζῇ ὁ ὀντωτής. ἀνακέκλισο μέχρις ἕω. [14]καὶ ἀνακέκλιται πρὸς ποσίν οἱ μέχρι τῆς ἕω· καὶ ἀνέστη πρὶν ἂν ἐπιγνοίη ἀνὴρ τὸν ἑαυτοῦ ἑταῖρον. καὶ εἶπε· μὴ γνωσϑείη ὅτι ἀφῖκται ἡ γυνὴ εἰς τὴν ἅλω. [15]εἰπέ τε· δὸς τὴν ἄμπυκα τὴν ἐπὶ σοῦ καὶ καϑέξῃ ταύτην· κατέσχε γοῦν αὐτὴν, καὶ ἐμέτρησεν ἓξ κριϑῆς, ἔϑηκέ τε ἐπ' αὐτῆς, καὶ ἀφῖκται εἰς τὴν πόλιν. [16]ἦλϑέ τε πρὸς τὴν ἑκυρὰν ἑαυτῆς, καὶ ἔφη· τίς εἶ, ϑύγατερ ἐμή; ἤγγειλεν οὖν αὐτῇ ὅσα ἐποίησεν αὐτῇ ὁ ἀνήρ. [17]ἔφη τε· ἓξ τῆς κριϑῆς ταύτης ἔδωκέ μοι, ἐπείπερ ἔφη πρός με· μὴ ἀφίκῃ κενὴ πρὸς τὴν σὴν ἑκυράν. [18]ἔφη γοῦν· καϑέζου, ϑύγατερ ἐμὴ, μέχρις ἂν γνοίης ὅπως πεσεῖται τὸ πρᾶγμα· οὐκ ἠρεμήσει γὰρ ὁ ἀνὴρ, ἀλλὰ τελευτήσει τὸ πρᾶγμα σήμερον. [1]βόαζος δὲ ἀνέβη ἐς τὴν πύλην ἐκαϑέσϑη τε ἐκεῖ, καὶ αὐτίκα ὁ λυτρούμενος διῄει ὃν ἔλεγε βόαζος. ἔφη τοίνυν· παράκλινον καϑέσϑητι ἐνϑαδὶ, ὦ τὰν σιωπητέ. παρέκλινε τοίνυν καὶ ἐκαϑέσϑη. [2]καὶ δὴ ἔλαβε δέκα ἄνδρας πρὸς τῶν γερόντων τῆς πόλεως ἔφη τε· καϑέσϑητε ὡδί. καὶ ἐκαϑέσϑησαν. [3]ἔφη τοίνυν τῷ λυτρουμένῳ· τὴν μερίδα τοῦ ἀγροῦ τὴν τοῦ ἀδελφοῦ ἡμῶν ἐλιμελέχου ἔπρασε νααμὶν ἡ ὑποστρέψασα ἀπὸ τοῦ ἀγροῦ τοῦ μωάβου, [4]ἐγὼ δὲ ἔφην· φανερώσω τοῖς ὠσί σου τῷ φάναι· κτῶ ἐνώπιον τῶν καϑεζομένων καὶ ἔμπροσϑεν τῶν γερόντων τοῦ λεώ μου· εἰ λυτρῷο, λυτροῦ· καὶ εἰ μὴ λυτρῷο, ἄγγειλόν μοι, καὶ εἴσομαι· οὐ γάρ ἐστιν εἰ μὴ σὺ ὃς λυτρῷτο, κἀγὼ μετὰ σέ. καὶ ἔφη· ἐγὼ λυτρώσομαι. [5]τοίνυν ἔφη βόαζος· ἐν ἡμέρᾳ τοῦ κτᾶσϑαί σε τὸν ἀγρὸν πρὸς χειρὸς τῆς νααμῖνος, καὶ πρὸς ῥούϑης τῆς μωαβίτιδος τῆς ξυνεύνου τοῦ τεϑνηκότος ἐκτήσω, ὡς ἐγείραις ὄνομα τοῦ τεϑνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ. [6]καὶ ἔφη ὁ λυτρούμενος· οὐχ ἕξω λυτρώσασϑαι ἐμαυτῷ, μήποτε φϑείρω τὴν κληρονομίαν μου· λύτρωσαι σαυτῷ σὺ τὴν ἐμὴν λύτρωσιν, οὐ γὰρ δυνήσομαι λυτρώσασϑαι. [7]καὶ τόδε ἐπίπροσϑεν ἐν τῷ

IV.

15. καϑέξε cod. et ed. An voluit κάτασχε (cf. Exod. IV, 4)? αὐτὴν] ἑαυτὴν cod. 17. πρός με] אֵלַי non omittit. Cf. v. 5. ἀφήκῃ cod.

IV. 1. ὦ τὰν (non τᾶν ut ed.) σιώπη τὲ cod. Cf. not. Vill. „Sic interpretatus est אַלְמֹנִי (פְּלֹנִי), pro quo dicere debuisset ὦ δεῖνα“. 3. (ἀπὸ) τοῦ ἀγροῦ] τὸν ἀγρὸν cod. 4. τοῖς ὠσί σου] אָזְנֶיךָ (ita cod. Ross. 108 a pr.) pro אָזְנְךָ λυτρῷτο] λυτρῶσο cod., λυτρῷο ed.

ἰσραέλῳ ἐπὶ τῆς λυτρώσεως καὶ ἐπὶ τῆς ἀμοιβῆς, ὡς βεβαιωθῇ πᾶν πρᾶγμα, ὑπελύσατο ὁ ἀνὴρ τὸ ὑπόδημά οἱ καὶ ἔδωκε τῷ ἑαυτοῦ ἑταίρῳ· καὶ αὕτη ἐστὶν ἡ μαρτύρησις ἐν ἰσραέλῳ. [8] καὶ εἶπεν ὁ λυτρούμενος τῷ βοάζῳ· κτῶ σαυτῷ. καὶ ἀπελύσατο τὸ ὑπόδημά οἱ. [9] καὶ εἶπε βόαζος τοῖς γέρουσι καὶ παντὶ τῷ λεῷ· μάρτυρες ὑμεῖς σήμερον ὅτι ἐκτησάμην ξύμπαντα τὰ τοῦ ἐλιμελέχου καὶ ξύμπαντα τὰ τοῦ μααλῶνος καὶ χιλιῶνος ἀπὸ χειρὸς νααμῖνος· [10] ἔτι τε ῥούθην τὴν μωαβίτιν τὴν γυναῖκα τοῦ μααλῶνος ἐκτησάμην ἐμαυτῷ εἰς γυναῖκα ὡς ἐγείραιμι ὄνομα τῷ τεθνηκότι ἐπὶ τῆς κληρονομίας αὐτοῦ, καὶ οὐκ ὀλοθρευθήσεται τοὔνομα τοῦ τεθνηκότος ἐκ τοῦ λεὼ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἀπὸ τῆς πύλης τοῦ τόπου αὐτοῦ· μάρτυρες ὑμεῖς σήμερον. [11] εἶπον οὖν πᾶς ὁ λεὼς ὁ ἐν τῇ πύλῃ καὶ οἱ γέροντες· μάρτυρες· δοίη ὁ ὀντωτὴς τὴν γυναῖκα τὴν ἐρχομένην πρὸς τὸν οἶκόν σου κατὰ τὴν ῥαέλην καὶ κατὰ τὴν λέαν, τὰ δομησαμένα ἄμφω σφὼ τὸν οἶκον τοῦ ἰσραέλου, καὶ ποίησον δύναμιν ἐν ἐφραθᾷ, καὶ κάλεσον ὄνομα ἐν βεθλεέμῳ· [12] τελέσειέ τε ὁ οἶκός σου κατὰ τὸν οἶκον περέσου ὃν ἔτεκε θάμαρ τῷ ἰεούδῃ, ἀπὸ τοῦ σπέρματος ὃ δώσει ὁ ὀντωτὴς ἀπὸ τῆς νεάνιδος τησδί. [13] ἔλαβε τοίνυν βόαζος τὴν ῥούθην, καὶ ὑπῆρξέν οἱ εἰς γυναῖκα· ἀφῖκταί τε πρὸς αὐτήν, καὶ ἔδωκεν ὁ ὀντωτὴς αὐτῇ κύησιν, καὶ ἔτεκεν υἱόν. [14] εἶπον οὖν αἱ γυναῖκες πρὸς νααμῖνα· εὐλογητὸς ὁ ὀντωτὴς ὃς οὐκ ἔπαυσέ σοι λυτρούμενον σήμερον· κληθήσεται δὲ τοὔνομά οἱ ἐν ἰσραέλῳ, [15] καὶ τελέσει σοι εἰς ἐπιστρέφοντα ψυχὴν καὶ εἰς τὸ τρέφειν τὴν πολιάν σου· ἡ γὰρ σὴ νύμφη ἡ ἀγαπήσασά σε τέτοκεν αὐτόν, ἥτις ἐστί σοι κρείττων ἑπτὰ υἱέων. [16] ἔλαβε δὲ νααμὶν τὸ παιδίον καὶ ἔθηκεν αὐτὸ ἐν τῷ κόλπῳ ταύτης, καὶ ἐγένετό οἱ εἰς τροφόν. [17] ἐπεκάλεσάν τε αὐτὸ αἱ γειτονεύουσαι ὄνομα τῷ φάσκειν· τέτεκται υἱὸς τῇ νααμῖνι. καὶ ἐκάλεσαν τοὔνομά οἱ ὠβέδης. οὗτός ἐστι

---

7. ὡς βεβαιωθῇ] nescio unde passivum habeat (לְקַיֵּם). 9. τοῦ μααλῶνος καὶ χιλιῶνος (χιλῶνος ed.)] τοῦ μααλῶνος καὶ μααλῶνος cod. Legisse videtur לְמַחְלוֹן וְכִלְיוֹן (ita tres codd. Kenn., unus Ross.) pro לְכִלְיוֹן וּמַחְלוֹן. Cf. I, 2. 5. 10. ἐκ τοῦ λεὼ] מֵעַם pro מֵעִם 12. δώσει] excidit σοι (לְךָ ante יְהוָה praebet cod. Kenn. 102). 14. σοι bis scriptum est in codice. 16. τροφόν] ita Villoisonio duce edidimus pro τροφήν quod in codice est. 17. (ἐπεκάλεσάν) τ' c. cd. ed. itemque v. sq. (αὗται) δ'

πατὴρ ἰσαΐνος τοῦ πατρὸς δαυίδου. [18] αὗται δὲ αἱ γενέσεις τοῦ περέσου· ὁ πέρεσος ἐγέννησε τὸν ἑσρῶνα· [19] ἑσρὼν δὲ ἐγέννησε τὸν ῥάμην· ῥάμης δὲ ἐγέννησε τὸν ἀμινάδαβον· [20] καὶ ἀμινάδαβος ἐγέννησε τὸν νaασῶνα· ναασὼν δὲ ἐγέννησε τὸν σαλμᾶνα· [21] καὶ σαλμὼν ἐγέννησε τὸν βόαζον· βόαζος δὲ ἐγέννησε τὸν ὠβέδην· [22] ὠβέδης δὲ ἐγέννησε τὸν ἰσαΐνα· καὶ ἰσαῒν ἐγέννησε τὸν δαυίδην.

18. ἑσρῶνα cod. At v. sq. ipse ἑσρὼν exhibet.

I. Ὠδὴ τῶν ᾠδῶν τῶν τοῦ σελομῶντος. 2 φιλήσειέ με πρὸς φιλήματος στόματος αὐτοῦ· κρείττους γὰρ οἱ σοὶ ἔρωτες οἴνου. 3 τῇ ὀδμῇ τὰ μύρα σου χρηστὰ, μύρον κενωθήσῃ τοὔνομά σοι· διὸ κόραι ἠγάπησάν σε. 4 ἕλκε με κατόπιν σου, δραμούμεθα. ἤγαγέ με ὁ βασιλεὺς τοῖς ταμιείοις ἑαυτοῦ. ἀγαλλιάσομεν χαιρήσομέν τ' ἐν σοί, μνησθησόμεθα τῶν ἐρώτων σου μᾶλλον οἴνου· εὐθύτητες ἠγάπησάν σε. 5 μέλαινά εἰμι καὶ ὡραία, θυγατέρες ἱερουσαλάμης, ἐν ταῖς σκηναῖς κηδάρης, κατὰ τὰς δέρρεις τοῦ σελομῶντος. 6 μηδαμῶς ὁρᾶτέ με, ὅτι εἰμὶ κατάκορος, οἷς κατεῖδέ με ὁ ἥλιος. υἱοὶ τῆς μητρός μου κεχόλωνταί μοι, ἔθεντό με φυλάττουσαν τοὺς ἀμπελῶνας· τὸν ἀμπελῶνά μου τὸν ἐμαυτοῦ οὐκ ἐφύλαξα. 7 ἄγγειλόν μοι, ὃν φιλεῖ ἡ ψυχή μου, πῶς ποιμανεῖς; πῶς σηκώσεις ἐν μεσημβρίᾳ; τοῦ γὰρ χάριν τελέσω ὡς ἐκνεύουσα ἐπὶ τὰ ποίμνια τῶν κοινωνῶν σου; 8 ἢν μὴ εἰδῇς σαυτὴν, ἡ ὡραία ἐν γυναιξὶν, ἔξελθε σαυτῇ εἰς τὰς πτέρνας τοῦ ποιμνίου, καὶ ποίμαινε τὰς σὰς ἐρίφους ἐπὶ τῶν κατοικιῶν τῶν ποιμένων. 9 τῇ ἵππῳ μου ἐν τοῖς ὀχήμασι τοῦ παρεῶνος ὡμοίωσά σε, φίλη μοι. 10 ὡραίωνται αἱ σιαγόνες σου ἐν λιθοταξίαις, ὁ αὐχήν σου ἐν ὁρμαθοῖς. 11 εὐθεσίας χρυσοῦ ποιήσομέν σοι ξὺν στίγμασι τοῦ ἀργύρου. 12 ἄχρις οὗπερ ὁ βασιλεὺς ἐν τῇ ἀνακλίσει ἑαυτοῦ, τὸ

I. De scriptione Cantici cf. Prol. II, 1, c. 3. κενωθήσῃ] l. κενωθήσεται; nisi forte תּוּרַק perperam pro secunda persona habuit. 4. τοῖς ταμιείοις cod., non τοῦ ταμιείου ut ed. 5. ὡραῖα hic et saepius c. cd. ed. ἐν ταῖς σκηναῖς] בְּאָהֳלֵי (ut codd. Ross. 379. 380) pro 'כְּאָ 6. κατάκορος] recte monet Vill. ortam esse vocem e κόρος (i. e. *niger*). Cf. Etymol. Magn. p. 529 s. v. κόραξ. 8. σαυτὴν] legendum fort. σαυτῇ. Certe hoc paullo inferius reponendum erat pro cod. σαυτοῦ, quod ed. retinuit. Cf. II, 10 sqq. Gen. XII, 1. XXII, 2 cet. 9. φίλη μοι] φίλημα cod. Cf. v. 15. II, 2 cet. 10. ὁρμαθοῖς cod. 11. ποιήσομεν] πλήσομεν cod. Recte jam Vill. in marg.

νάρδον μου ἔδωκε τὴν ὀδμὴν ἑαυτοῦ. [13]σύνδεσμος τοῦ μόσχου ὁ ἐρώμενός μοι ἐμαυτῇ, μεταξὺ τῶν μαστῶν μου μενεῖ. [14]βότρυς τοῦ φοίνικος ὁ ἐρώμενός μοι ἐμοί, ἐν τοῖς ἀμπελῶσιν ὅμοιος ἐρίφῳ. [15]ἰδοὺ σὺ καλή, φίλη μοι, ἰδοὺ σὺ καλή· τὰ ὄμματά σου περιστεραί. [16]ἰδοὺ σὺ καλός, ἐρώμενέ μοι, ἔτι ἡδύς· ἔτι ἡ στρωμνὴ ἡμῶν τέθηλεν· [17]οἱ δοκοὶ τῶν οἴκων ἡμῶν κέδροι, οἱ διάδρομοι ἡμῶν πύξων. [1]ἐγὼ ῥόδον τοῦ σάρωνος, κρίνον τῶν κοιλάδων. II. [2]ὡς κρίνον μέσον τῶν ἀκανθῶν, οὕτως ἡ φίλη μοι μέσον τῶν θυγατέρων. [3]ὡς μηλέα ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ὁ ἐρώμενός μοι μέσον τῶν υἱῶν. ἐν τῇ σκιᾷ αὐτοῦ ἤραμαι καὶ ἐκαθέσθην, καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς τῷ λάρυγγί μου. [4]ἤνεγκέ με πρὸς τὸν οἶκον τοῦ οἴνου; καὶ ἡ σημαία οἱ ἐπ' ἐμοῦ ἀγάπη. [5]στηρίξατέ με ἐν βικοῖς, κρατύνατέ με ἐν μήλοις, ἐπεὶ νοσῶ ἀγάπην ἐγώ. [6]ἡ εὐώνυμος αὐτοῦ ὑπὸ τῇ κεφαλῇ μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιβαλεῖ με. [7]ὥρκισα ὑμᾶς, θυγατέρες ἱερουσαλάμης, ἐν ταῖς δορκάσιν ἢ ἐν ταῖς ἐλάφοις τοῦ ἀγροῦ, εἰ διεγείραιτε καὶ εἰ διαναστήσαιτε τὴν φιλοῦσαν ἄχρις ἂν ἐθέλοι. [8]φωνὴ τοῦ ἐρωμένου μοι· θεῶ οὗτος ἀφικνεῖται πηδῶν ἐπὶ τῶν ὀρῶν, θέων ἐπὶ τῶν λόφων. [9]ἔοικεν ὁ ἐρώμενός μοι δορκάδι ἢ νεβρῷ τῶν ἐλάφων. θεῶ ὅδε ἵσταται κατόπιν τοῦ τοίχου ἡμῶν, ἐποπτεύει πρὸς τῶν θυρίδων, βλαστάνει πρὸς τῶν φωτοφόρων. [10]ἀποκέκριται ὁ ἐρώμενός μοι καὶ ἔφη μοι· ἔγειραι σαυτῇ, φίλη μοι, ὡραία μοι, καὶ ἄφιξό μοι· [11]θεῶ γὰρ ὁ χειμὼν διέβη, ὁ ὄμβρος παρήμειψε καὶ ἀπῆλθεν ἑαυτῷ· [12]τὰ λείρια πεφήνασιν ἐν τῇ γῇ· ὁ καιρὸς τῆς τομῆς πέφθακε, φωνή τε τῆς τρυγόνος ἤκουσται ἐν τῇ γῇ ἡμῶν· [13]ἡ συκῆ προὔτεινε τοὺς ταύτης φήληκας, καὶ αἱ ἄμπελοι ὄμφακα ἔδοσαν ὀδμῆς. ἔγειραι σαυτῇ, φίλη μοι, καλή μοι, καὶ ἄφιξαι σαυτῇ. [14]περιστερά μου ἐν ταῖς τρώγλαις τῆς πλακός, ἐν τῷ λαθραίῳ τῆς κλίμακος, δεῖξόν μοι τὴν ὄψιν σου, ἀκούτισόν μοι

---

14. ἐρίφου c. cd. ed. 16. σὺ καλή, ἐρωμένη μοι cod., nec aliter ed. Sed ex masculino ἡδύς intelligitur, mendum esse librarii, non ipsius interpretis.

II. 3. ἤραμαι] legendum ἤρασμαι (חִמַּדְתִּי). 5. βικοῖς, non βίκοις, cod. 7. διεγείρατε cod. et ed. τὴν φιλοῦσαν] quasi הָאֹהֶבֶת scriptum esset (cf. Gen. XXV, 28) vel הָאֲהֵבָה, non הָאַהֲבָה. Item III, 5. VIII, 4 (cf. v. 7). 10. ἄφιξό μοι] ita cod., non ἄφιξο σοί ut ed. Confudisse videtur לָךְ cum לִי, deceptus praecedente לְכִי (וּלְכִי־לָךְ). Cf. v. 13.

τὴν φωνήν σου· ἡ γὰρ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία. [15] συλλάβετε ἡμῖν ἀλώπεκας, ἀλώπεκας μικρὰς φθειρούσας ἀμπελῶνας καὶ τῶν ἀμπελώνων ἡμῶν τὸν ὄμφακα. [16] ὁ ἐραστής μου ἐμοὶ κἀγὼ αὐτῷ, ὁ νεμόμενος ἐν κρίνοις. [17] ἄχρις ἂν φυσηθῇ ἡ ἡμέρα καὶ φύγοιεν αἱ σκιαί, ὑπόστρεψον, εἴκασον σαυτόν, ἐρώμενέ μοι, τῇ δορκάδι ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τῶν ὀρῶν τῆς με-
III. ρίδος. [1] ἐπὶ τῆς κλίνης ἐμοῦ νύκτωρ ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησά ἑ καὶ οὐχ εὗρον αὐτόν. [2] ἐγεροῦμαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησά ἑ καὶ οὐχ εὗρον αὐτόν. [3] εὗρόν με οἱ φύλακες οἱ περιϊόντες ἐν τῇ πόλει· ὃν ἠγάπησεν ἡ ψυχή μου τεθέασθε; [4] ὡς ὀλίγῳ ᾧ παρῆλθον ἀπὸ σφῶν, ἄχρις ὅτουπερ εὗρον ὃν ἐφίλησεν ἡ ψυχή μου· ἐδραξάμην αὐτοῦ, καὶ οὐκ ἐάσαιμι αὐτόν, ἄχρις ὅτου ἤνεγκά ἑ πρὸς τὸν οἶκον τῆς μητρός μου καὶ πρὸς τὸν κοιτῶνα τῆς κυησάσης με. [5] ὥρκισα ὑμᾶς, θυγατέρες ἱερουσαλάμης, ἐν ταῖς δορκάσιν ἢ ἐν ταῖς ἐλάφοις τοῦ ἀγροῦ, εἰ ἐγείροιτε καὶ εἰ ἀναστήσαιτε τὴν φιλοῦσαν ἄχρις ἂν ἐθέλοι. [6] τίς ἥδε ἀνιοῦσα πρὸς τῆς ἐρήμου ὡς φοίνικες καπνοῦ, τεθυμιαμένη μόσχῳ καὶ λιβάνῳ πρὸς πάσης κόνεως ἀρώματος; [7] θεῶ τὴν κλίνην αὐτοῦ, τοῦ σελομῶντος· ἑξήκοντα ἀνδρεῖοι κύκλῳ ταύτης πρὸς τῶν ἀνδρείων τοῦ ἰσραέλου· [8] πάντες ἐσπασμένοι ξίφος, δεδιδαγμένοι πόλεμον· ἑκάστῳ τὸ ξίφος αὐτοῦ ἐπὶ τοῦ μηροῦ οἱ ἀπὸ φόβου ἐν νυξίν. [9] φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς σελομῶν ἀπὸ ξύλων τοῦ λεβανῶνος· [10] τοὺς στύλους αὐτοῦ ἐποίησεν ἀργύρου, τὸ κατάστρωμα αὐτοῦ χρυσοῦ, τὸ ὄχημα αὐτοῦ πορφύρας· τὸ μέσον αὐτοῦ ἐστρωμένον ἀγάπῃ πρὸς τῶν θυγατέρων τῆς ἱερουσαλάμης. [11] ἔξιτε καὶ θεᾶσθε, θυγατέρες σιῶνος, ἐν τῷ βασιλεῖ σελομῶνι, ἐν τῇ στέψει ᾗ ἔστεψεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ

---

16. ὁ ante νεμόμενος postmodo (sub linea) add. cod. Ed. om. 17. ἐρωμένω cod. νεβρῷ] νευρῷ cod. Cf. v. 9. VIII, 14.

III. 4. ἔασαί μϊ cod. Legendum fort. εἴασα 5. ἀναστήσητε cod. et ed. Cf. II, 7, ubi praeterea [δι]εγείραιτε rectius videtur scriptum esse quam hic ἐγείροιτε 6. ὡς φοίνικες] כְּתִמְרוֹת (defective multi codd.) pro כְּתִימְרוֹת. Hoc vocabulum idem quod תָּמִיר significare opinatur. 9. ἑαυτῷ cod., non αὐτῷ ut ed. 11. θεᾶσθε] ita (וּרְאֶינָה) reponendum duximus pro cod. ἐξᾶσθε. Vill. in marg. θεάσασθε. Cf. Exod. X, 10. XXXV, 30. σελομῶνι] sic cod. Cf. I, 1. 5. Prov. I, 1 cet.

γαμβρείας αὐτοῦ καὶ ἐν ἡμέρᾳ εὐφροσύνης τῆς καρδίας αὐτοῦ. [1]αὐτίκα σὺ καλή, φίλη μου, αὐτίκα σὺ καλή· οἱ ὀφθαλμοί σου **IV.** περιστεραὶ ἀπὸ τῶν ἔσωθεν τῆς χαιτίδος σου· αἱ τρίχες σου ὡς τὸ ποίμνιον τῶν αἰγῶν αἳ ὤρθρισαν ἀπὸ τοῦ ὄρους τοῦ γιλεάδου. [2]οἱ ὀδόντες σου ὡς ποίμνιον τῶν ἰσοτμήτων τῶν ἀναβασῶν ἀπὸ τῆς λούσεως, τῶν ξυμπασῶν διδυματόκων, ἄτεκνος δ' ἥκιστ' ἐν αὐταῖς. [3]ὡς μῖτος ὁ κόκκινος τὰ χεῖλη σου καὶ ὁ διάλογός σου ὡραῖος, ὡς τὸ ῥῆγμα τῆς ῥόας ὁ κρόταφός σου χάριν τοῦ προβοστρύχου σου. [4]ὡς ὁ πύργος τοῦ δαυίδου ὁ αὐχήν σου, ᾠκοδομημένος εἰς ἐπάλξεις χιλίας· ἡ ἀσπὶς ἤρτηται ἐπ' αὐτοῦ, πάντα τὰ σάκη τῶν κραταιῶν. [5]τὼ δύο μαστώ σου ὡς δύο νεβρὼ διδύμω δορκάδος τὼ νεμομένω ἐν κρίνοις. [6]ἔστ' ἂν φυσήσειεν ἡ ἡμέρα καὶ φύγοιεν αἱ σκιαί, ἀπελεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τοῦ μόσχου καὶ πρὸς τοὺς λόφους τοῦ λιβάνου. [7]ὅλη σὺ καλή, φίλη μου, καὶ μῶμος ἥκιστα ἐν σοί. [8]ξὺν ἐμοὶ ἀπὸ τοῦ λεβανῶνος, νύμφη, ξὺν ἐμοὶ ἀπὸ τοῦ λεβανῶνος ἄφιξαι· πορεύσῃ ἀπὸ κρατὸς ἀμανοῦ, ἀπὸ κρατὸς σενίρου καὶ ἑρμῶνος, ἀπὸ καταδύσεων λεόντων, ἀπὸ τῶν ὀρῶν τῶν παρδάλεων. [9]ἐκαρδίωσάς με, ἀδελφή μου νύμφη, ἐκαρδίωσάς με ἐν ἑνὶ ἀπὸ τῶν ὀμμάτων σου, ἐν ἑνὶ ὅρμῳ ἀπὸ τοῦ αὐχένος σου. [10]τί κεκάλλυνται οἱ ἔρωτές σου, ἀδελφή μου νύμφη· τί ἠγάθυναν οἱ ἔρωτές σου ὑπὲρ οἶνον καὶ ἡ ὀδμὴ τῶν μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα. [11]κηρίον στάζουσι τὰ χεῖλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τῇ γλώττῃ σου, καὶ ὀδμὴ τῶν ἐνδυμάτων σου ὡς ὀδμὴ τοῦ λεβανῶνος. [12]κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. [13]αἱ σαὶ ἐκπομπαὶ παράδεισος ῥοιῶν μετὰ καρποῦ ἐξαιρέτων, φοινίκων ξὺν νάρδοις· [14]νάρδον καὶ κρόκος, κάλαμος καὶ κινάμωμον ξὺν πᾶσι ξύλοις λιβάνου, μόσχος καὶ ξυλαλόη ξὺν πᾶσι τοῖς κεφα-

---

IV. 2. ἥκιστα c. cd. ed. **3.** μῖτος, non μίτος, cod. Cf. Prol, I, 4, c. **4.** πῦργος cod. At V, 13. VIII, 10 ipse πύργοι praebet. εἰς ἐπάλξεις χιλίας] אֶלֶף repugnante distinctione Masoretica cum תַלְפִּיּוֹת junxit. **5.** νευρὼ rursus vitiose cod. κρίνοις] κρίνῃ cod. Cf. II, 16. V, 13 cet. **8.** ἀφῖξαι cod. et ed. Cf. II, 13. ἑρμῶνος cod. et ed. Cf. Deut. III, 9. IV, 48 cet. καταδύσεων] ita Villoisonio suasore sanavimus corruptam codicis scripturam κατὰ δύων (non καταδυῶν ut ed.). **10.** κεκάλυνται cod. Cf. VII, 2. 7. **12.** κῆπος (2)] גַּן (ita permulti codd.) pro גַּל t. rec. Item LXX. **14.** νάρδον cod., non νάρδος ut ed.

λαίοις τῶν ἀρωμάτων. [15]πηγὴ παραδείσων, φρέαρ ὑδάτων ζώντων καὶ ῥεόντων ἀπὸ τοῦ λεβανῶνος. [16]ἔγειραι ἀπαρκτία, ἄφιξό τε νότε, φύσησον τὸν ἐμὸν παράδεισον, ῥεύσαιεν τὰ ἀρώματα αὐτοῦ. ἀφίχθω ὁ ἐραστής μου τῷ παραδείσῳ αὐτοῦ, καὶ φαγέτω καρπὸν τῶν ἐξαιρέτων αὐτοῦ. V. [1]ἀφῖγμαι τῷ κήπῳ μου, ἀδελφή μου νύμφη· συνέλεξα τὸν μόσχον μου ξὺν τῷ ἀρώματί μου, ἔφαγον τοὐμὸν κηρίον ξὺν τῷ μέλιτί μου, ἔπιον τὸν οἶνόν μου ξὺν τῷ γάλακτί μου. φάγετε, φίλοι, πίετε καὶ μεθύσθητε ἔρωσιν. [2]ἐγὼ κοιμῶμαι, καὶ ἡ καρδία μου γρηγορεῖ. φωνὴ τοῦ ἐραστοῦ μου κρούοντος· ἄνοιξόν μοι, ἀδελφή μου, φίλη μου, περιστερά μου, τελεία μου, ὅτι ἡ κεφαλή μου πέπλησται δρόσου καὶ αἱ προτριχίδες μου ψεκάδων νυκτός. [3]ἐκδέδυμαι τὸν ἐμὸν χιτῶνα, πῶς οὖν περιβαλοῦμαι αὐτόν; ἔλουσά μου τὼ πόδε, πῶς οὖν κηλιδώσω; [4]ὁ ἐραστής μου ἔπεμψε τὴν χεῖρά οἱ ἀπὸ τῆς τρώγλης, καὶ αἱ χολάδες μου ἐταράχθησαν ἐπ' αὐτῷ. [5]ἐγήγερμαι ἐγὼ ὡς ἀνοίξαιμι τῷ ἐραστῇ μου, καὶ αἱ χεῖρές μου ἔσταξαν μόσχῳ καὶ οἱ δάκτυλοί μου μόσχῳ ὑπερέχοντι ἐπὶ τῶν κοτυλῶν τῆς κλειδός. [6]ἤνοιξα ἐγὼ τῷ ἐραστῇ μου, καὶ ὁ ἐραστής μου περιῆλθε, διῆλθεν· ἡ ψυχή μου ἐξῆλθεν αὐτοῦ διαλεγομένου, ἐζήτησά ἑ καὶ οὐχ εὗρον αὐτὸν, ἐκάλεσά ἑ, καὶ οὐκ ἀποκέκριταί μοι. [7]εὗρόν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει, ἔτυψάν με, ἔτρωσάν με· ἦραν τὸν βόστρυχόν μου ἄνωθέν μου οἱ φύλακες τῶν τειχῶν. [8]ὥρκισα ὑμᾶς, θυγατέρες ἱερουσαλάμης, ἐὰν εὕρητε τὸν ἐραστήν μου, τί ἀγγελεῖτέ οἱ; ὅτι νοσοῦσα ἀγάπην εἰμί. [9]τί ὁ ἐραστής σου ἀπὸ ἐραστοῦ τῶν καλῶν ἐν γυναιξί; τί ὁ ἐραστής σου ἀπ' ἐραστοῦ, ἐπεὶ τοιῶσδε ὥρκισας ἡμᾶς; [10]ὁ ἐραστής μου διαυγὴς καὶ ἐρυθρὸς, σεσημαιωμένος ἀπὸ μυριάδος. [11]ἡ κεφαλή οἱ καθαρὸς χρυσὸς ἀπυροχρύσου, αἱ προκόμαι οἱ ἀπαιωρήματα, μέλαιναι ὥσπερ κόραξ. [12]οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πηγῶν ὑδάτων, λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώσεως. [13]αἱ

V. 2. Ante ἐγὼ media in linea spatium octo fere literarum vacuum. Item v. 4 ante ὁ ἐραστής. Cf. Prol. II, 1, c. πέπλησται cod., non πέπληται ut ed. Cf. Eccl. VIII, 11. 3. κηλιδώσω] pron. om. (אֲטַנְּפֵם). 6. περιῆλθεν c. cd. ed. 9. τῶν καλῶν] vix ita recte cod. (הַיָּפָה). Legendum τῆς καλῆς, vel potius ἡ καλή. Cf. I, 8. VI, I. 11. προκόμαί οἱ (cf. Prol. I, 4, b) cod., non προκομαί οἱ ut ed. μέλαινες cod. et ed.

σιαγόνες αὐτοῦ ὡς πρασιὰ τοῦ ἀρώματος, πύργοι ἀρωματιστῶν· τὰ χεῖλη αὐτοῦ κρίνα στάζοντα μόσχον ὑπερβαίνοντα. [14] αἱ χεῖρες αὐτοῦ κεκυκλωμέναι χρυσῷ, πεπληρωμέναι ὑακίνθου· αἱ χολάδες αὐτοῦ ἔργον ὀδόντος περιειλημμένον σαπφείροις· [15] τὰ σκέλη αὐτοῦ κίονες θυρῶν μαρμάρου τεθεμελιωμένοι ἐπὶ πυλῶν ἀπυροχρύσου, ἡ ὄψις αὐτοῦ ὡς λεβανὼν, ἐξηρημένος ὡς κέδροι. [16] ἡ φάρυγξ αὐτοῦ γλυκασμοὶ, καὶ ὅλος αὐτὸς ἐφέσεις. οὗτος ὁ ἐραστής μου καὶ οὗτος ὁ φίλος μου, θυγατέρες ἱερουσαλάμης. [1] ποῖ ἀπῆλθεν ὁ ἐραστής σου, καλὴ ἐν γυναιξί; ποῖ ἔκλινεν ὁ ἐραστής σου; καὶ ζητήσομεν αὐτὸν ξὺν σοί. [2] ὁ ἐραστής μου κατέβη ἐπὶ τὸν παράδεισον ἑαυτοῦ ἐπὶ τὰς πρασιὰς τοῦ ἀρώματος, ὡς νέμοιτο ἐν ὀρχάτοις καὶ ὡς ξυλλέγοι κρίνα. [3] ἐγὼ τῷ ἐραστῇ μου καὶ ὁ ἐραστής μου ἐμοὶ, ὁ νεμόμενος ἐν κρίνοις. [4] καλὴ σὺ, φίλη μου, ὡς τιρεσὰ, ὡραία ὡς ἱερουσαλάμη, φοβερὰ ὡς σεσημαιωμέναι. [5] στρέψον τὸν σὸν ὀφθαλμὸν ἀπέμπροσθέν μου, οἵτινες ἐκράτυνάν με. αἱ τρίχες σου ὡς τὸ ποίμνιον τῶν αἰγῶν αἳ ὤρθρισαν ἀπὸ τῆς γιλάδης. [6] οἱ ὀδόντες σου ὡς τὸ ποίμνιον τῶν ἀμνάδων τῶν ἀναβασῶν ἀπὸ τῆς λούσεως, τῶν ἁπασῶν αὐτῶν διδυματόκων, ἄτεκνος δὲ οὐκ ἔστιν ἐν αὐταῖς. [7] ὡς τὸ ῥῆγμα τῆς ῥόας ὁ κρόταφός σου χάριν τῆς προχαιτίδος σου. [8] ἑξήκοντά εἰσιν αἱ βασιλίδες καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεάνιδες ἀναρίθμητοι· [9] μία ἐστὶν ἡ περιστερά μου, τελεία μου, μία ἐστὶ τῇ μητρὶ αὐτῆς, καθαρά ἐστι τῇ τετοκυίᾳ ταύτην. τεθέανται ταύτην θυγατέρες καὶ ἐμακάρισαν αὐτὴν, βασιλίδες καὶ παλλακαὶ, καὶ ᾔνεσαν αὐτήν. [10] τίς ἤδὶ ἡ παρακύπτουσα ὡς ἑωσφόρος, ὡραία ὡς σελήνη, καθαρὰ ὡς ἥλιος, φοβερὰ ὡς σεσημαιωμέναι; [11] πρὸς τὸν ὄρχατον τῆς καρύας κατέβην ἰδεῖν ἐν τοῖς δένδρεσι τοῦ χειμάρρου, ἰδεῖν ἆρ᾽ ἤνθησεν ἡ ἄμπελος, ἐκαλύκωσαν αἱ ῥοιαί. [12] οὐκ ἔγνων, ἡ ψυχή μου ἔθετό με· ὀχήματα τοῦ λεώ μου τοῦ ἐλευθερίου. [1] ὑπόστρεφε ὑπόστρεφε, σουλαμίτις· ὑπόστρεφε ὑπόστρεφε, καὶ ὀψόμεθα εἰς σέ.

(Margin: VI. at verse 1; VII. at verse 1)

13. ἀρωματιστῶν] legendum puto ἀρωματισμῶν (מֶרְקָחִים). Cf. Exod. XXX, 23, ubi ita בֹּשֶׂם vertit. 14. κεκυκλωμέναι] ita, ut videtur, cod., non κεκρικωμέναι ut Vill. legit, nisi quod υ ex ρι correctum est. περιειλημμένον cod. et ed. Cf. Exod. XXVII, 17. 15. τεθεμελιωμέναι c. cd. ed.
VI. 3. νεμώμενος cod. 5. τὸν σὸν ὀφθαλμὸν] sing. pro plur. (עֵינַיִךְ). Cf. IV, 9. 11. πρὸς] π minio superpictum. Cf. Prol. l. c.

τί ὄψεσθε ἐν τῇ σουλαμίτιδι; ὡς θίασον στρατοπέδων. [2] τί κεκάλλυνται τὰ πέλματά σου ἐν τοῖς ὑποδήμασι, θύγατερ ἐλευθερίου· αἱ περιοχαὶ τῶν μηρῶν σου ὥσπερ κοσμήματα, ἔργον χειρῶν τεχνίτου. [3] ὁ ὀμφαλός σου ῥάντιστρον ἑκάτης, οὐδαμῶς ἐπιλείψει ἡ κρᾶσις· ἡ γαστήρ σου θημωνία πυρῶν ἐγκεκλεισμένη κρίνοις· [4] τὼ δύω μαστώ σου ὡς δύο νεβρὼ διδύμω δορκάδος. [5] ὁ αὐχήν σου ὡς πύργος τοῦ ὀδόντος· τὼ ὀφθαλμώ σου κολυμβήθρα ἐν ἐσεβῶνι ἐπὶ τῆς πύλης τῆς θυγατρὸς τῶν πολλῶν· ὁ μυκτήρ σου ὡς ὁ πύργος τοῦ λεβανῶνος ὁ ἐρῶν πρόσωπον δαμασκοῦ· [6] ἡ κεφαλή σου ἐπὶ σαυτῇ ὡς ὁ κάρμηλος καὶ ἡ ἀκροτριχὶς τῆς κεφαλῆς σου ὡς πορφύρα τοῦ βασιλέως τοῦ δεσμωτοῦ ἐν διαδρόμοις. [7] τί κεκάλλυνσαι καὶ τί ἥδυνσαι, ἡ φιλοῦσα ἐν ἡδοναῖς; [8] ἠδὶ ἡ ἡλικία σου ὡμοίωται φοίνικι καὶ οἱ μαστοί σου βότρυσιν. [9] εἶπον· ἀναβήσομαι εἰς τὸν φοίνικα, δράξομαι τῶν πτόρθων αὐτοῦ· καὶ τελεσάντων δὴ οἱ μαστοί σου ὡς οἱ βότρυες τῆς ἀμπέλου καὶ ἡ ὀδμὴ τοῦ μυκτῆρός σου ὡς μῆλον, [10] καὶ ὁ λάρυγξ σου ὡς ὁ οἶνος ὁ χρηστός· ἀπιὼν τῷ ἐραστῇ μου εἰς εὐθύτητας, φθεγγόμενος χείλεσι παλαιῶν. [11] ἐγὼ τῷ ἐραστῇ μου, καὶ ἐπ᾽ ἐμοῦ ἡ ἔφεσις αὐτοῦ. [12] δεῦρο ἐραστά μου, ἐξέλθωμεν εἰς πεδίον, μείνωμεν ἐν ἀγροῖς· [13] ὀρθρίσωμεν εἰς τοὺς ἀμπελῶνας, θεασώμεθα εἴπερ ἀνθήσειεν ἡ ἄμπελος, ἀνοίξειε τὸν ὄμφακα, κεχαλύκοιντο αἱ ῥόαι· ἐκεῖ δώσω τοὺς ἔρωτάς μου σοί. [14] οἱ μανδραγόραι ἔδοσαν ὀδμήν, καὶ ἐπὶ τῶν πυλῶν ἡμῶν πάντα τὰ ἐξαίρετα, καινὰ καὶ παλαιά· τὸν ἔρωτά μου ἔκρυψά σοι. VIII. [1] τίς δοίη σε ὡς ἀδελφόν μοι, θήλασμα μαστῶν μητρός μου; εὕροιμί σε ἔξω, φιλήσαιμί σε, ἔτι οὐ μυσά-

---

VII. 3. ἑκάτης] ita aperte cod. Perperam Pfannkuche (cf. Eichhorn, *Allgem. Bibl. d. bibl. Litteratur* VII, p. 200 sqq.) scripturam codicis addubitans legi vult εἱρκτῆς. Sine dubio cum Kimchio הַסַּהַר de luna intellexit translator itaque pro luna deam lunarem substituit (cf. Dahler, Animadversiones etc. Praefatio p. VIII et XIV). Nescio an audacius sit conjicere, eum ἑκάτης μυχόν in mente habuisse. Cf. loca quae ex Plutarcho in *Real-Encyclopaedie der classischen Alterthumswissenschaft* ed. Pauly t. III, p. 1086 allegantur. κράσις cod. Cf. Prol. I, 4, c. ἐγκεκλεισμένη cod., non ἐκκλεισμ. ut ed. 4. νευρὼ cod. Cf. II, 17. 5. πῦργος (bis) cod. Cf. not. ad IV, 4. ἑσβῶνι c. cd. ed. 9. μῆλον] l. μήλων (כַּתַּפּוּחִים). 10. παλαιῶν] יְשָׁנִים (cf. v. 14) pro יְשֵׁנִים 13. ῥοαί cod. Si malis ῥοιαί (ita ed.), nihil obstat. Cf. IV, 3. VI, 7. VIII, 2 cum IV, 13. VI, 11.

VIII. 1. (δοίη) σ᾽ c. cd. ed. itemque μητρὸς μοῦ (sic etiam v. sq.).

ξονταί με. [2] ὁδηγήσω σε, ἄξω σε οἴκαδε τῆς μητρός μου, διδάξεις με· ποτιῶ σε ἐκ τοῦ οἴνου τοῦ ἀρώματος, ἀπὸ τοῦ ἀκράτου τῆς ῥόας μου. [3] ἡ ἀριστερά οἱ ὑπὸ τῇ κεφαλῇ μου, καὶ ἡ δεξιά οἱ περιπλακήσεταί με. [4] ὥρκωσα ὑμᾶς, θυγατέρες ἱερουσαλάμης· τί ἐγερεῖτε τί τ' ἐρεθιεῖτε τὴν ἀγαπῶσαν ἄχρις ἂν ἐθέλοι; [5] τίς ἡδί, ἄνεισιν ἀπὸ τῆς ἐρήμου, κεκμηκυῖα ἐπὶ ἐραστῇ ταύτης; ὑπὸ τῇ μηλέᾳ ἤγειρά σε· ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνησεν ἡ τετοκυῖά σε. [6] θές με ὡς σφραγῖδα ἐπὶ τῆς καρδίας σου, ὡς σφραγῖδα ἐπὶ τοῦ βραχίονός σου· ὅτι κραταιὰ ὡς ὁ θάνατος ἡ ἀγάπη, σκληρὰ ὡς ὁ ᾅδης ἡ ζηλοτυπία· οἱ ἄνθρακες αὐτῆς ὡς ἄνθρακες πυρὸς φλογίζοντος τοῦ ὀντωτοῦ. [7] ὕδατα πολλὰ οὐ δυνήσονται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ οὐ ποντιοῦσι ταύτην. εἰ δοίη ἀνὴρ ξύμπασαν τὴν περιουσίαν τοῦ οἴκου αὐτοῦ ἐν ἀγάπῃ, περιοράσει περιωραθήσεταί οἱ. [8] ἀδελφὴ ἡμῖν μικρὰ, καὶ μαστοὶ ταύτῃ οὐκ εἰσί. τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν ἐν ἡμέρᾳ ᾗ διαλεχθήσεται ἐν αὐτῇ; [9] εἴπερ τεῖχος εἴη, οἰκοδομήσομεν ἐπ' αὐτῆς τοῖχον ἀργύρου· καὶ εἰ θύρα εἴη, στηρίξομεν ἐπ' αὐτῆς σανίδα κέδρου. [10] ἐγὼ τεῖχος, καὶ οἱ μαστοί μου ὡς πύργοι· τότε ἐτέλεσα ἐν ὄμμασίν οἱ ὡς εὑρίσκουσα εἰρήνην. [11] ἀμπελὼν ὑπῆρξε τῷ σελομῶντι ἐν τῷ δεσπότῃ τοῦ ὄχλου· ἔδωκε τὸν ἀμπελῶνα τοῖς φύλαξιν, ἕκαστος οἴσει ἐν τῷ καρπῷ αὐτοῦ χιλίους ἀργυροῦς. [12] ὁ ἀμπελών μου ὁ ἐμοῦ ἐνώπιόν μου· οἱ χίλιοι σοί, σελομῶν, καὶ οἱ διακόσιοι τοῖς φυλάττουσι τὸν καρπὸν αὐτοῦ. [13] ἡ καθεζομένη ἐν παραδείσοις, ξύντροφοι ἀκροῶνται τῆς φωνῆς σου· ἀκούτισόν μοι. [14] φεῦγε, ἐραστέ μου, καὶ ὁμοιοῦ σαυτῷ δορκάδι ἢ νεβρῷ τῶν ἐλάφων ἐπὶ τῶν ὀρῶν τῶν ἀρωμάτων.

---

5. κεκμηκυία cod. et paullo inferius τετοκυία. Similiter et alibi (cf. not. ad Num. XXIII, 28. XXXI, 17). At Ruth II, 3 συμβεβηκυῖα scriptum est. 6. σφραγίδα (ut ed.) corr. σφραγῖδα (bis) cod. Vix versa vice. Cf. Exod. XXVIII, 11. 36 cet. τὴν καρδίαν corr. τῆς καρδίας cod. ὡς ἄνθρακες] ὡς de suo addidit (רִשְׁפֵּי). 7. περιορασθήσεται c. cd. ed. Exspectaveris pluralem activi (יָבוּזוּ). Cf. v. 1. 9. οἰκοδομήσωμεν cod. 11. ἀργυρούς cod. et ed. Cf. Gen. XX, 16. XLV, 22 cet. 13. ἀκούτισόν] ἀκουτιών cod. et ed. Cf. II, 14. 14. ἐραστέ] l. ἐραστά ut VII, 12. νεβρῷ] β factum ex υ prius scripto. Cf. II, 17.

I. Λόγοι τῆς ἐκκλησιαστρίας τοῦ υἱέως δαυίδου τοῦ βασιλέως ἐν ἱερουσαλάμῃ. [2] ματαιότης ματαιότητος, εἶπεν ἡ ἐκκλησιάστρια, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. [3] τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ τῷ κόπῳ αὐτοῦ ᾧ μοχθοίη ὑπὸ τῷ ἡλίῳ; [4] γενεὰ ἀπέρχεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς αἰῶνα ἵσταται· [5] ἀνατελεῖ τε ὁ ἥλιος καὶ δυνεῖ ὁ ἥλιος, καὶ πρὸς τὸν τόπον αὐτοῦ τείνει ἀνατέλλων ἐκεῖνος ἐκεῖ. [6] ἄπεισι πρὸς νότον καὶ κυκλοῖ πρὸς ἄρκτον, κυκλοῦν κυκλοῦν ἄπεισι τὸ πνεῦμα, καὶ ἐπὶ τῶν κύκλων αὐτοῦ ὑποστρέφει τὸ πνεῦμα. [7] πάντες οἱ χείμαρροι ἀπίασι πρὸς τὴν θάλατταν, καὶ ἡ θάλαττα οὐκ ἔστι πλήρης· πρὸς τὸν τόπον ὃν οἱ χείμαρροι ἀπίασιν, ἐκεῖσε αὐτοὶ ὑποστρέφουσιν ὡς ἀπέρχοιντο. [8] πάντα τὰ πράγματα μογῶσιν, οὐ δυνήσεται ἀνὴρ διαλέγεσθαι· οὐ κορεσθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, οὐδὲ πλησθήσεται οὖς ἐκ τοῦ ἀκούειν. [9] τί ὃ ὑπῆρξεν; ἐκεῖνο ὃ ἔσται· καὶ τί ὅπερ ἐγένετο; ἐκεῖνο ὃ γενήσεται· καὶ οὐκ ἔστιν ὁτιοῦν καινὸν ὑπὸ τῷ ἡλίῳ. [10] ἔστι πρᾶγμα ὅπερ ἐρεῖ· θεῶ τουτὶ καινόν ἐστιν· ἤδη ὑπῆρξε τοῖς αἰῶσιν ὃ ὑπῆρξε πρὸ ἡμῶν. [11] οὐκ ἔστι μνήμη προτέρων, ἔτι τοῖς ὑστέροις ἃ τελέσουσιν, οὐκ ἔσται σφίσι μνήμη παρὰ τοῖς ἐσομένοις ὕστερον. [12] ἐγὼ ἡ ἐκκλησιάστρια ὑπῆρξα βασιλεὺς ἐπὶ τοῦ ἰσραέλου ἐν τῇ ἱερουσαλάμῃ· [13] καὶ ἔδωκα τὴν καρδίαν μου ὡς ζητοίη καὶ ἐρευνῴη ἐν σοφίᾳ ἐφ' ὁτουοῦν ὃ γέγονεν ὑπὸ τοῖς οὐρανοῖς· ἐκείνην ἀφορμὴν κακὴν ἔδωκεν ὁ θεὸς τοῖς υἱεῦσι τοῦ ἀνθρώπου ὡς ταλαιπωροῖεν ἐν αὐτῇ. [14] τεθέαμαι ξύμπαντα τὰ ἔργα τὰ γεγονότα ὑπὸ τῷ ἡλίῳ, καὶ ὅρα τὰ πάντα

I. 3. περίσσεια] sic cod., non περισσεία ut ed. Cf. II, 11. Gen. XLIX, 3 cet. 5. ἀνατέλων cod. 6. κύκλων] κυκλώων cod. Emendationem Vill. recepimus. 8. πάντα τὰ πράγματα] πάντες οἱ λόγοι τὰ πράγματα cod. et ed. Videtur primo כָּל־הַדְּבָרִים reddidisse πάντες οἱ λόγοι, tum correxisse πάντα τὰ πράγματα, id quod librarius socors non recte intellexit. Cf. Prol. I, 2, f. μογῶσιν] l. μογοῦσιν (cf. Thren. I, 12. III, 32 sq.).

ματαιότης καὶ ἔφεσις πνεύματος. [15]τὸ σκολιὸν οὐ δυνήσεται κατευθῦναι, ἔνδειά τε οὐ δυνήσεται μετρηθῆναι. [16]διείλεγμαι ἐγὼ ξὺν τῇ καρδίᾳ μου τῷ φάσκειν· ἐγὼ ἰδοὺ ἐμεγέθυνα καὶ προσέθηκα σοφίαν ὑπὲρ πάνθ' ὃς ὑπῆρξε πρὸ ἐμοῦ ἐν τῇ ἱερουσαλάμῃ, καὶ ἡ καρδία μου τεθέαται καταπολὺ σοφίαν καὶ γνῶσιν· [17]καὶ ἔδωκα τὴν καρδίαν μου ὡς εἰδείη σοφίαν καὶ γνῶσιν, παραφροσύνην καὶ νόησιν· ἔγνων ὅτι καὶ τοῦτό ἐστιν ἀναπόλησις πνεύματος. [18]ἐν γὰρ πλήθει σοφίας πολλὴ ὀργὴ, καὶ προσθήσει γνῶσιν, προσθήσει ἄλγος. [1]ἔφην ἐγὼ ἐν τῇ καρδίᾳ μου· δεῦρο δὴ χεθῶ εἰς χαρὰν, καὶ θέασαι ἐν ἀγαθῷ· καὶ θεῶ ἔτι ἐκεῖνο ματαιότης. [2]τῷ γέλωτι ἔφην· παραφροσύνη, καὶ τῇ εὐφροσύνῃ· τί τόδε ἐποίησεν; [3]ἐσκεψάμην ἐν τῇ καρδίᾳ μου ὡς ἕλκοιμι ἐν οἴνῳ τὴν σάρκα μου, καὶ τὴν καρδίαν μου ὡδήγουν εἰς σοφίαν καὶ ὡς δράττοιτο εὐφροσύνης, ἄχρις ἂν ἴδοιμι τί τόδε τὸ ἀγαθὸν τοῖς υἱέσι τοῦ ἀνθρώπου ὃ ποιοῖεν ὑπὸ τοῖς οὐρανοῖς τῷ ἀριθμῷ τῶν ἡμερῶν τῆς ζωῆς αὐτῶν. [4]ἐμεγέθυνα τὰ ἔργα μου, ἐδομησάμην ἐμαυτῷ οἴκους, ἐφύτευσα ἐμαυτῷ ἀμπελῶνας· [5]ἐποίησα ἐμαυτῷ ὀρχάτους καὶ παραδείσους, ἐφύτευσά τε ἐν αὐτοῖς ξύλον ἅπαντος καρποῦ· [6]ἐποίησα ἐμαυτῷ κολυμβήθρας ὑδάτων ὡς ἄρδοιμι ἐξ αὐτῶν δρυμὸν φύοντα ξύλα· [7]ἐκτησάμην οἰκέτας καὶ οἰκέτιδας, καὶ οἰκογένεια ὑπῆρξέ μοι, ἔτι κτῆσις βοὸς καὶ προβάτου ἐπιπολὺ ἐτέλεσέ μοι ὑπὲρ πᾶσαν ὅση ὑπῆρξε πρὸ ἐμοῦ ἐν ἱερουσαλάμῃ· [8]ξυνήγαγον ἐμαυτῷ ἔτι ἄργυρον καὶ χρυσὸν, καὶ σφετερισμὸν βασιλέων καὶ τῶν πόλεων· ἐποίησα ἐμαυτῷ ᾄδοντας καὶ ᾀδούσας, καὶ ἡδονὰς τῶν υἱῶν τοῦ ἀνθρώπου, σύστημα καὶ συστήματα· [9]ἐμεγέθυνά

II.

---

15. κατευθύναι cod. 16. ἰδοὺ cod., non ἰδοῦ ut ed. ἐν τῇ ἱερουσαλάμῃ] בִּירוּשָׁלָםִ (ita multi codd.) pro עַל־יְר'. Item LXX. κατὰ πολὺ cod. et ed., at vix ita scripsit translationis auctor. Cf. Prol. I, 4, d. 17. νόησιν] potius ἄνοιαν (וְשִׂכְלוּת). Nimirum non legit per ס ut multi codd. et edd. Cf. II, 12 sq. cet.

II. 1. χεθῶ] quasi אֶנַּסְּכָה scriptum esset, non אֲנַסְּכָה. In multis codd. ס sine Dagesch legitur. 3. εὐφροσύνης] ita ed. Contra Morell. ἀφροσύνης codici tribuit. Dubitari potest, quum litera α prope accedat ad siglum quo ευ exprimi solet. Fort. etiam hic per שׂ legit (בְּשִׂכְלוּת pro בִּס' cod. Kenn. 129, alii duo a pr.). Cf. LXX. 7. ἐπιπολὺ] ἐπεὶ πολὺ cod. et ed. (הַרְבֵּה). Cf. I, 16. V, 6. 11 cet. ὅση ὑπῆρξε] שֶׁהָיְתָה (ita multi codd.) pro שֶׁהָיוּ

τε καὶ προσέθηκα ὑπὲρ πάντα ὑπάρξαντα πρὸ ἐμοῦ ἐν ἱερουσαλάμῃ· ἔτι ἡ σοφία μου ἔστη μοι· [10] καὶ πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου οὐκ ἐπέσχον ἀπ' αὐτῶν, οὔτε ἐκώλυσα τὴν καρδίαν μου ἀφ' ἧστινοσοῦν εὐφροσύνης· ἡ γὰρ καρδία μου ἔχαιρεν ἐν ἅπαντι μόχθῳ μου, καὶ τοῦτο ἔφυ μερίς μοι ὑπὲρ πάντα τὸν μόχθον μου. [11] ἀπέβλεψά τε ἐγὼ εἰς πάντα τὰ ἔργα μου ἃ ἐποίησαν αἱ χεῖρές μου, καὶ εἰς τὸν μόχθον ᾧ ἐμόγησα ὡς ποιήσαιμι, καὶ θεῶ τὰ πάντα ματαιότης καὶ κάκωσις πνεύματος, καὶ ἥκιστα περίσσεια ὑπὸ τῷ ἡλίῳ. [12] ἠτένισά τε ἐγὼ ὡς ἴδοιμι σοφίαν καὶ παραφροσύνας καὶ ἀφροσύνην· τί γὰρ ὁ ἄνθρωπος ὁ ἐλευσόμενος μετὰ τὸν βασιλέα, ὃν ἤδη ἐποίησαν αὐτόν; [13] καὶ εἶδον ἐγὼ ὅτι ἔστιν ὑπεροχὴ τῇ σοφίᾳ ἤπερ τῇ ἀφροσύνῃ κατὰ τὴν ὑπεροχὴν τοῦ φωτὸς ἀπὸ τοῦ σκότους. [14] τῷ σοφῷ οἱ ὀφθαλμοὶ ἑαυτοῦ ἐν τῇ κεφαλῇ οἱ, ὁ δὲ ἄφρων ἐν σκότει ἄπεισι· ἔγνων ἔτι ἐγὼ ὅτι συμβεβηκὸς ἓν συμβήσεται τοῖς ξύμπασιν αὐτοῖς. [15] καὶ ἔφην ἐγὼ ἐν τῇ καρδίᾳ μου· κατὰ τὸ συμβεβηκὸς τῷ ἄφρονι ἔτι ἐμοὶ συμβήσεται, καὶ διατί ἐσοφίσθην ἐγὼ τότε μᾶλλον; καὶ ἔφην ἐν τῇ καρδίᾳ μου ὅτι καὶ τοῦτο ματαιότης. [16] ἐπεὶ οὐκ ἔστι μνήμη τῷ σοφῷ μετὰ τοῦ ἄφρονος ἐς αἰῶνα, ἐφῷ ἤδη ταῖς ἡμέραις ταῖς ἐρχομέναις ξύμπας ἐπιλέληςται· καὶ πῶς τεθνήξεται ὁ σοφὸς ξὺν τῷ μωρῷ; [17] καὶ ἐμίσησα τὴν βιοτήν, ὅτι κακὸν ἐπ' ἐμοὶ τοὔργον τὸ ὑπὸ τῷ ἡλίῳ, ὅτι τὸ πᾶν ματαιότης καὶ κάκωσις πνεύματος. [18] ἐμίσησά τε ἐγὼ ξύμπαντά μου τὸν κόπον ὃν ἐμόγουν ὑπὸ τῷ ἡλίῳ, ἐπεὶ καταλείψω αὐτὸν ἀνθρώπῳ ἐσομένῳ μετ' ἐμέ· [19] καὶ τίς οἶδεν, σοφὸς ἔσται ἢ μωρός; δεσπόσει μέντοι ἐν παντὶ τῷ μόχθῳ μου ᾧ ἐμόγησα καὶ ἐφρόνησα ὑπὸ τῷ ἡλίῳ. ἔτι τόδε ματαιότης. [20] καὶ περιέσχον ἐγὼ περιϊδεῖν τὴν καρδίαν μου ἐπὶ παντὶ τῷ κόπῳ ᾧ κέκμηκα ὑπὸ τῷ ἡλίῳ. [21] ἔστι γὰρ ἄνθρωπος ᾧπερ ὁ κάματος αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν καθαρότητι, καὶ τῷ ἀνθρώπῳ ὃς οὐκ ἐμόγησεν ἐν αὐτῷ, δώσει αὐτὸν μερίδα οἱ·

---

10. ἐν ἅπαντι] בְּכָל (ita tres codd. Kenn.) pro מִכָּל. Item LXX. 11. (ἀπέβλεψά) τ' (ut ed.) corr. τε cod. 15. διατί cod., non διὰ τί ut ed. 16. ἐφῷ] codicis scripturam servavimus. Cf. Gen. VI, 3. Num. XIV, 31 cet. 17. τοὔργον τὸ κτλ.] om. שֶׁנַּעֲשָׂה 19. σοφὸς postulante textu Hebr. (הֶחָכָם) jam Vill. addiderat invito codice, qui post οἶδεν (in fine lineae) statim ad ἔσται procedit. 21. αὐτὸν] sic cod., non αὐτῷ ut ed. (cf. Mor.). Legendum fort. αὐτὸ

καὶ τόδε ματαιότης καὶ κακία πολλή. [22] τί γὰρ τυγχάνει τῷ ἀνθρώπῳ ἐν παντὶ τῷ καμάτῳ αὐτοῦ καὶ ἐν τῇ μελέτῃ τῆς καρδίας αὐτοῦ οἷς ἐκεῖνος κέκμηκεν ὑπὸ τῷ ἡλίῳ; [23] πάσαις γὰρ ταῖς ἡμέραις αὐτοῦ ἄλγη καὶ ὀργὴ ἡ ἀφορμὴ αὐτοῦ, κἂν νυκτὶ οὐχ ὕπνωσεν ἡ καρδία οἱ· ἔτι τόδε ματαιότης ἐστίν. [24] οὐκ ἔστι χρηστὸν ἐν ἀνθρώπῳ, ὡς ἔδοιτο καὶ πίοι καὶ διδάξειε τῇ ψυχῇ οἱ χρηστὸν ἐν τῷ μόχθῳ αὐτοῦ· ἔτι τόδε τεθέαμαι ἐγὼ ὅτι ἐκ χειρὸς τοῦ θεοῦ ἐστι. [25] τίς γὰρ ἔδοιτο καὶ τίς σπεύσειεν ἔξω ἐμοῦ; [26] τῷ γὰρ ἀνθρώπῳ τῷ χρηστῷ ἐνώπιον αὐτοῦ ἔδωκε σοφίαν καὶ γνῶσιν καὶ χαρμονήν, τῷ δὲ ἁμαρτωλῷ ἔδωκεν ἀφορμὴν ὡς ξυνάγοι καὶ ξυναθροίζοι, ὥστε διδόναι τῷ χρηστῷ ἐνώπιον τοῦ θεοῦ. ἔτι τόδε ματαιότης καὶ κάκωσις πνεύματος. [1] τοῖς πᾶσι III. χρόνος, καὶ καιρὸς παντὶ θελήματι ὑπὸ τοῖς οὐρανοῖς.

[2] Καιρὸς τῷ τίκτειν καὶ καιρὸς τῷ θνήσκειν, καιρὸς τῷ φυτεύειν καὶ καιρὸς τῷ ἐκριζοῦν πεφυτευμένον· [3] καιρὸς τῷ φονεύειν καὶ καιρὸς τῷ θεραπεύειν, καιρὸς τῷ καθαιρεῖν καὶ καιρὸς τῷ δομεῖσθαι· [4] καιρὸς τῷ κλάειν καὶ καιρὸς τῷ γελᾶν, καιρὸς πενθεῖν καὶ καιρὸς ὀρχεῖσθαι· [5] καιρὸς τῷ ῥίπτειν λίθους καὶ καιρὸς ἀθροίζειν λίθους, καιρὸς τῷ περιβάλλειν καὶ καιρὸς τῷ ἀφεστάναι τοῦ περιβάλλειν· [6] καιρὸς τῷ ζητῆσαι καὶ καιρὸς τῷ ἀποβάλλειν, καιρὸς τῷ φυλάττειν καὶ καιρὸς τῷ ῥίπτειν· [7] καιρὸς τῷ ῥηγνύναι καὶ καιρὸς τῷ ῥάπτειν, καιρὸς τῷ σιγᾶν καὶ καιρὸς τῷ διαλέγεσθαι· [8] καιρὸς τῷ φιλεῖν καὶ καιρὸς τῷ μισεῖν, καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης. [9] τίς περίσσεια τῷ ποιοῦντι ἐν οἷς ἐκεῖνος μογεῖ; [10] τεθέαμαι τὴν ἀφορμὴν ἣν ἔδωκεν ὁ θεὸς τοῖς υἱέσι τοῦ ἀνθρώπου ὡς ταλαιπωροίη ἐν αὐτῇ. [11] ξύμπαν ἐποίησεν ὡραῖον ἐν καιρῷ αὐτοῦ· ἔτι τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ σφῶν, ἄνευ τοῦ ὅτι οὐχ εὑρήσει ὁ ἄνθρωπος τὸ ἔργον ὃ ἐποίησεν ἀπ' ἀρχῆς καὶ μέχρι τέλους. [12] ἔγνων ὅτι οὐδὲν χρηστὸν ἐν αὐτοῖς, εἰ μὴ τὸ εὐφραίνεσθαι καὶ τὸ ποιεῖν χρηστὸν ἐν τῇ βιοτῇ οἱ· [13] ἔτι τε πᾶς ἄνθρωπος ὃς ἔδεται καὶ

23. κἂν perperam cod. 26. συναθροίζοι c. cd. ed.

III. De scriptione hujus capitis cf. Prol. II, 1, c. 4. κλάειν] sic, non κλαίειν, cod. 9. περίσσεια] hic et ipse Vill. accentum codicis servavit. Cf. not. ad I, 3. 10. ταλαιπωροίη] nonne ταλαιπωροῖεν? An transitive intellexit לַעֲנוֹת, omisso pronomine αὐτοὺς (sc. τοὺς υἱεῖς τοῦ ἀνθρώπου)? 11. ὃ ἐποίησεν] excidit ὁ θεὸς (אֲשֶׁר־עָשָׂה הָאֱלֹהִים). ἀπαρχῆς cod. et ed.

πίεται καὶ ὄψεται χρηστὸν ἐν παντὶ τῷ κόπῳ αὐτοῦ, δῶρον τοῦ θεοῦ ἐστιν. [14] ἔγνων ὅτι πᾶν ὃ ποιήσειεν ὁ θεὸς, ἐκεῖνο τελέσει ἐς αἰῶνα, ἐπ' αὐτοῦ οὐκ ἔστι προσθεῖναι καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν· ὁ θεὸς ἐποίησεν ἵνα φοβῶνται ἀπέμπροσθεν αὐτοῦ. [15] τί ὅπερ ὑπῆρξεν ἤδη ἐστὶ, καὶ ὅπερ ἐς τὸ εἶναι ἤδη ὑπῆρξε, καὶ ὁ θεὸς ζητήσει τὸ ἀπεληλαμένον. [16] ἔτι τε εἶδον ὑπὸ τῷ ἡλίῳ τόπον τῆς κρίσεως, ἐκεῖ ὁ ἀσεβὴς, καὶ τόπον τῆς δικαιοσύνης, ἐκεῖ ὁ ἀσεβής. [17] ἔφην ἔγωγε ἐν τῇ καρδίᾳ μου· τὸν δίκαιον καὶ τὸν ἀσεβῆ κρινεῖ ὁ θεός· καιρὸς γὰρ παντὶ θελήματι καὶ ἐπὶ παντὶ τῷ ἔργῳ ἐκεῖ. [18] ἔφην ἐγὼ ἐν τῇ καρδίᾳ μου ἐπὶ τοῦ λόγου τῶν υἱῶν τοῦ ἀνθρώπου καθαίρειν αὐτοὺς τὸν θεὸν, καὶ ὁρᾶν ὅτι αὐτοὶ κτῆνος εἰσὶν ἑαυτοῖς. [19] ξυμβεβηκὸς γὰρ τοῖς υἱέσι τοῦ ἀνθρώπου συμβεβηκὸς τῷ κτήνει, καὶ συμβέβηκὸς ἓν σφίσιν· ὡς τὸ θνήσκειν τοῦδε, οὕτω τὸ θνήσκειν τοῦδε, καὶ πνεῦμα ἓν τοῖς πᾶσι· καὶ ὑπεροχὴ τῷ ἀνθρώπῳ ὑπὲρ τὸ κτῆνος ἥκιστά ἐστιν, ἐπεὶ τὰ πάντα ματαιότης. [20] ἅπαν ἄπεισιν εἰς τόπον ἕνα· ἅπαν ὑπῆρξεν ἀπὸ τοῦ χοὸς καὶ ἅπαν ὑποστρέφει πρὸς τὸν χοῦν. [21] τίς οἶδε τὸ πνεῦμα τῶν υἱῶν τοῦ ἀνθρώπου ἆρα ἄνεισιν ἐκεῖνο ἄνω; καὶ τὸ πνεῦμα τοῦ κτήνους ἆρα κάτεισιν ἐκεῖνο κάτω εἰς τὴν γῆν; [22] ἤθρησά τε ὅτι οὐδέν ἐστι χρηστότερον ᾧ χαιρήσει ὁ ἄνθρωπος ἐν τοῖς ἔργοις αὐτοῦ, ἐκεῖνο γὰρ μερὶς αὐτοῦ· ἐπεὶ τίς ἄξει αὐτὸν ἰδεῖν εἰς ὅπερ τελέσει μετ' αὐτόν; IV. [1] ὑπέστρεψά τε ἐγὼ καὶ εἶδον ξύμπαντας τοὺς ἀπεστερημένους οἳ ποιοῦνται ὑπὸ τῷ ἡλίῳ, καὶ αὐτίκα δάκρυ τῶν ἀπεστερημένων, καὶ οὐκ ἔστι σφίσι παρήγορος· ἀπὸ δὲ χειρὸς τῶν ἀποστερούντων αὐτοὺς ἰσχὺς, καὶ οὐκ ἔστι σφίσι παραμυθούμενος. [2] τοίνυν ἐπαινῶ τοὺς νεκροὺς οἳ ἤδη τεθνάσιν ὑπὲρ τοὺς ζῶντας οἵπερ εἰσὶ ζῶντες ἔτι, [3] καὶ κρείττων ὃς οὔπω ὑπῆρξεν, ὃς οὐ τεθέαται τὸ ἔργον τὸ κακὸν ὃ γίνεται ὑπὸ τῷ ἡλίῳ. [4] ἤθρησά τε ἐγὼ ξύμπαντα μόχθον καὶ ξύμπασαν

---

16. ὁ ἀσεβὴς (1)] הָרָשָׁע pro הָרָשַׁע (item LXX). Similiter in fine versus, ubi forma pausali (הָרָשָׁע) deceptus esse videtur. Cf. VIII, 8. 22. χρηστότερον ᾧ χαιρήσει] haud mediocriter falsus est (טוֹב מֵאֲשֶׁר יִשְׂמַח). Scribendum erat χρηστὸν εἰ μὴ ὅτι *(nisi quod)* κτλ. Cf. v. 12.

IV. 1. ἀπεστερημένους] ἀποστ. cod. et ed. 2. τεθνάσιν, non τεθνᾶσιν, cod. Cf. Gen. VII, 22. Exod. IV, 19 cet. ζῶντες ἔτι,] perperam in codice comma ante ἔτι positum, atque similiter in ed. (ζῶντες. [3] ἔτι). 3. κρείττων] מִשְּׁנֵיהֶם om.

καθαρότητα ἔργου, ὅτι ἔστι ζῆλος ἀνδρὸς ἀπὸ τοῦ ἑταίρου οἱ· καὶ τοῦτο ματαιότης ἔφεσίς τε πνεύματος. [5] ὁ ἄφρων περιβάλλει τὼ χεῖρέ οἱ καὶ ἐσθίει τὴν σάρκα ἑαυτοῦ. [6] κρεῖττον πλήρωμα κοτύλης ἀναπαύλας πληρώματος κοτυλῶν κόπου καὶ κακώσεως πνεύματος. [7] στραφήσομαι δ' ἐγὼ καὶ ὄψομαι ματαιότητα ὑπὸ τῷ ἡλίῳ. [8] ἔστιν εἷς καὶ οὐκ ἔστι δεύτερος, ἔτι υἱὸν καὶ ἀδελφὸν οὐκ ἔχει, καὶ οὐκ ἔστιν ἄκρον παντὶ τῷ μόχθῳ αὐτοῦ, ἔτι ὁ ὀφθαλμὸς αὐτοῦ οὐ κορεσθήσεται πλούτου· καὶ τίνι ἐγὼ μογῶ καὶ ἀφαιρῶ τὴν ψυχήν μου ἀπὸ χρηστότητος; ἔτι τοδὶ ματαιότης καὶ ἀφορμὴ κακή ἐστι. [9] κρείττονε τὼ δύο τοῦ ἑνός, οἵπερ ἴσχουσι μισθὸν χρηστὸν ἐν τῷ καμάτῳ σφῶν· [10] ἢν γὰρ πέσητον, ὁ εἷς ἐγερεῖ τὸν κοινωνὸν αὐτοῦ· αἲ δὲ αὐτῷ τῷ ἑνί, ὃς πεσεῖται καὶ οὐκ ἔστι δεύτερος ὡς ἐγείρειεν αὐτόν. [11] ἔτι εἴπερ ἀνακλίνοισθον δύο, καὶ θερμανθήσεται αὐτοῖς· τῷ δὲ ἑνὶ πῶς θερμανθείη; [12] καὶ εἴπερ δυναστεύοι αὐτῷ τῷ ἑνί, τὼ δύο σταθήσεσθον ἐναντίως αὐτῷ· μῖτος δ' ὁ τετριπλωμένος οὐκ ἐν τάχει ῥαγήσεται. [13] κρεῖττον παιδίον πτωχὸν καὶ φρόνιμον βασιλέως γέροντος καὶ ἄφρονος, ὃς οὐκ ἔγνω νουθετεῖσθαι ἔτι· [14] ἐκ γὰρ τοῦ οἴκου τῆς εἱρκτῆς ἐξῆλθεν ὡς βασιλεύσειεν, ὅτι ἔτι ἐν τῇ βασιλείᾳ αὐτοῦ γεγέννηται πτωχός. [15] τεθέαμαι ξύμπαντας τοὺς πορευομένους ὑπὸ τῷ ἡλίῳ σὺν τῷ παιδὶ τῷ δευτέρῳ, ὃς στήσεται ἀντ' αὐτοῦ. [16] οὐκ ἔστιν ἄκρον ὁτῳοῦν λεῷ, ὁτῳοῦν γεγονότι πρὸ αὐτῶν, ἔτι οἱ μεταγενεῖς οὐ χαιρήσουσιν ἐν αὐτῷ· καὶ τοῦτο γὰρ ματαιότης καὶ ἀναπόλησις πνεύματος. [17] φύλαττε τὸν πόδα σου ἐπὰν ἀπέρχοιο πρὸς τὸν δόμον τοῦ θεοῦ, καὶ ἔγγιζε ἀκούειν ὑπὲρ τὸ διδόναι τοὺς ἄφρονας θυσίαν· οὐ γὰρ ἴσασι κακοποιεῖν. V. [1] μὴ ταραχθῆς ἐπὶ τοῦ στόματός σου, καὶ ἡ καρδία σου μὴ ἐπειξάσθω ἐξενεγκεῖν λόγον ἐνώπιον τοῦ θεοῦ· ὁ γὰρ θεὸς ἐν τοῖς οὐρανοῖς, καὶ σὺ ἐπὶ τῆς γῆς· ὅθεν τελείτωσαν οἱ λόγοι σου ὀλίγοι. [2] ἔρχεται γὰρ τὸ ὄναρ ἐν πλήθει ἀφορμῶν καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων. [3] ἐπὰν

---

6. κρεῖττον] κρείττων cod. **Emendationem jam Vill. habet.** πληρώματος cod., non πληρωμάτων ut ed. 7. ὑπὸ] ὑπὲρ cod. 10. αἲ] αἱ cod., οὐαὶ ed. Cf. Thr. V, 16. 11. ἀνακλίνοισθον, non ἀνακλινοίσθην, cod. Cf. Gen. II, 25. XIII, 6 cet. 12. μῖτος] hoc accentu utitur. Cf. Cant. IV, 3. 14. γεγέννηται cod., non γεγένηται ut ed. 17. καὶ ἔγγιζε] quasi וְקָרֹב scriptum esset, non וְקָרוֹב. Consentiunt Syr. Trg. Ar. Hier.

εὔχοιο εὐχὴν τῷ ϑεῷ, μὴ ὑπερτίϑεσο ἀποτιννύναι αὐτήν· οὐ γάρ ἐστι ϑέλημα ἐν ἄφροσιν. ἅτταπερ εὔξαιο ἀπότισον. [4] βέλτιον ὅτι οὐκ εὔξῃ τοῦ ὅτι εὔξῃ καὶ οὐκ ἀποτίσεις. [5] μὴ δῷς τὸ στόμα σου ὡς ἁμαρτάνειν ποιῇ τὴν σάρκα σου, καὶ μὴ φῇς ἐνώπιον τοῦ ἀγγέλου· λήϑη ἐστί. τοῦ χάριν ὀργιεῖται ὁ ϑεὸς ἐπὶ τῇ φωνῇ σου καὶ φϑερεῖ τὰ ἔργα τῶν χειρῶν σου; [6] ἐν γὰρ πλήϑει ὀνείρων καὶ ματαιοτήτων καὶ λόγοι πολλοί· τὸν γὰρ ϑεὸν εὐλαβοῦ. [7] εἴπερ βιάζοιτο πτωχόν, καὶ ἁρπαγὴν κρίσεως καὶ δικαιοσύνης ἴδοις ἐν τῇ ἐπαρχίᾳ, μὴ ϑαυμάσῃς ἐπὶ τῷ ϑελήματι· μετέωρος γὰρ ὑπεράνω μετεώρου φυλάττει, καίτοι ὑψηλοὶ ἐπ' αὐτοῖς. [8] καὶ περίσσεια γῆς ἐν ἅπασίν ἐστι· βασιλεὺς ἐν ἀγρῷ .... [9] φιλῶν ἄργυρον οὐ κορεσϑήσεται ἀργύρου, καὶ ὃς φιλεῖ ἐν ὄχλῳ οὐκ εἰσφορᾶς. ἔτι τόδε ματαιότης. [10] ἐπὰν πληϑύνοιτο ἡ χρηστότης ἐπληϑύνϑησαν οἱ ἐσϑίοντες αὐτήν· καὶ τίς ἀρέσκεια τοῖς κυρίοις αὐτῆς, εἰ μὴ ὅρασις τῶν ὀμμάτων αὐτῶν; [11] γλυκὺς ὁ ὕπνος τοῦ ἐργάτου εἴτε ὀλίγον εἴτε πολὺ ἔδοιτο, ὁ δὲ κόρος τῷ πλουσίῳ, οὐκ αὐτὸς ἀφίησιν αὐτῷ ὡς καϑεύδοι. [12] .... εἶδον ὑπὸ τῷ ἡλίῳ πλοῦτον πεφυλαττομένον τοῖς δεσπόταις αὐτοῦ εἰς κάκωσιν ἑαυτοῦ, [13] ἀπώλετό τε ὁ πλοῦτος ἐκεῖνος ἐν ἀφορμῇ κακῇ· γεγέννηκέ τε υἱόν, καὶ οὐκ ἔστιν ἐν χειρί οἱ ὁτιοῦν. [14] ὥσπερ ἐξῆλϑεν ἀπὸ νηδύος τῆς μητρὸς αὐτοῦ, γυμνὸς στραφήσεται ὡς ἀπέρχοιτο καϑὼς ἀφικνεῖται· καὶ ὁτιοῦν οὐκ ἀροῖ ἐν τῷ μόχϑῳ οἱ ὃς ἀπελεύσεται ἐν τῇ χειρὶ αὐτοῦ. [15] ἔτι τε τόδε κάκωσις νοσοῦσα· πᾶν

V. 3. αὐτήν] ἀκοὴν corrupte cod. Recte ed. εὔξαιο] ἄξαιο cod. itemque v. sq. ἄξῃ (bis) pro εὔξῃ. Ita emendandum esse jam Vill. in marg. notavit. 5. τὰ ἔργα] מַעֲשֵׂי (ita quinque codd. Kenn., tres Ross.) pro מַעֲשֵׂה. Item LXX. 7. βιαζοιτο c. ed. ed. At substantivum exspectaveris (עֹשֶׁק). Cf. VII, 7. Lev. V, 23. ἴδοις in codice omissum ultro addidimus (תִּרְאֶה). 8. περίσεια cod. (cf. I, 3). ἐν ἀγρῷ] δοῦλός ἐστιν de suo Vill. addidit. Praeferam (καὶ) εἴργασται (cf. Deut. XXI, 4) vel γεωργεῖται (נֶעֱבָד). 9. φιλῶν codici deest (אֹהֵב). Ed. ἀγαπῶν. Cf. Prov. XVII, 19 etc. εἰσφορᾶ cod., εἰσφορά ed. 10. πληϑύνειτο cod. αὐτῆς] αὐτῶν cod. et ed. 11. αὐτὸς] αὐτὸν cod. 12. Librarii negligentiâ, ut videtur, nonnulla exciderunt (יֵשׁ רָעָה חוֹלָה). πεφυλαττομένον] sic cod. Legendum aut πεφυλαγμένον aut φυλαττόμενον 14. γυμνὸς στραφήσεται] refragante codice in ed. comma post γυμνὸς positum. ἀροῖ cod., non ἀρεῖ ut ed. Cf. Prol. II, 2, c. ὃς (ὃ?) ἀπελεύσεται] non agnovisse videtur formam jussivam Hiph. (שֶׁיֹּלֵךְ). Cf. Exod. XIV, 21. Deut. XXVIII, 36. 15. κάκωσις] κάκωντας cod., κακὸν ed. Cf. v. 12. XII, 1.

καθάπερ ἀφικνεῖται, οὕτως ἀπελεύσεται, καὶ τίς περίσσειά οἱ ὃς μογήσει ἐς ἄνεμον; [16] ἔτι πάσαις ταῖς ἡμέραις αὐτοῦ ἐν σκότει ἔσεται καὶ ὀργῇ πολλῇ καὶ νόσῳ αὐτοῦ καὶ χόλῳ. [17] θεῶ ὅπερ εἶδον ἐγὼ χρηστὸν, ὅπερ ὡραῖον· ἐσθίειν καὶ πίνειν καὶ βλέπειν χρηστότητα ἐν παντὶ τῷ κόπῳ αὐτοῦ ᾧ μογήσειεν ὑπὸ τῷ ἡλίῳ τῷ ἀριθμῷ τῶν ἡμερῶν τῆς ζωῆς αὐτοῦ ὃν ἔδωκεν αὐτῷ ὁ θεός· ἐκεῖνο γὰρ μερὶς αὐτοῦ. [18] ἔτι παντὶ τῷ ἀνθρώπῳ ᾧ παρέσχεν αὐτῷ ὁ θεὸς πλοῦτον καὶ περιουσίας, κἀδεσπότωσεν αὐτὸν φαγεῖν ἀπ' αὐτοῦ καὶ ἆραι τὴν μερίδα αὐτοῦ καὶ εὐφρανθῆναι ἐν τῷ κόπῳ οἱ· τοῦτο δῶρον τοῦ θεοῦ ἐστιν. [19] οὐ γὰρ ἄγαν μνησθήσεται τῶν ἡμερῶν τῆς ζωῆς αὐτοῦ, ἐπεὶ ὁ θεὸς ἀποκρίνεται ἐν εὐφροσύνῃ τῆς καρδίας αὐτοῦ. VI. [1] ἔστι κάκωσις ἣν εἶδον ὑπὸ τῷ ἡλίῳ, καὶ πολλή ἐστιν ἐπὶ τοῦ ἀνθρώπου· [2] ἄνδρα ᾧ δοίη αὐτῷ ὁ θεὸς πλοῦτον καὶ περιουσίαν καὶ δόξαν, καὶ οὐκ ἔστιν ἐνδέον τῇ ψυχῇ οἱ πρὸς πάντων ὧν ἂν ἐπιθυμοίη, καὶ οὐκ ἐποίησεν αὐτὸν δεσπότην ὁ θεὸς φαγεῖν αὐτοῦ, ἐπεὶ ἀνὴρ ἀλλότριος ἔδεται αὐτόν· ἔτι τόδε ματαιότης καὶ νόσος κακή ἐστιν. [3] ἐὰν γεννήσῃ εἰς ἑκατὸν, καὶ ἔτεσι πολλοῖς βιώσῃ, καὶ πολὺ ᾧ τελέσρυσιν αἱ ἡμέραι τῶν ἐτῶν αὐτοῦ, καὶ ἡ ψυχὴ αὐτοῦ οὐ χορτασθήσεται ἀπὸ τῆς χρηστότητος, ἔτι τε ταφὴ οὐχ ὑπῆρξεν αὐτῷ, ἔφην· κρεῖττον αὐτοῦ τὸ ἔκτρωμα· [4] εἰς γὰρ ματαιότητα ἔρχεται καὶ εἰς σκότος ἀπελεύσεται καὶ ἐν σκότει τοὔνομά οἱ καλυφθήσεται· [5] ἔτι τὸν ἥλιον οὐ τεθέαται οὔτε ἔγνω· ἀνάπαυλα τῷδε ἀπὸ τοῦδε. [6] καὶ εἰ ἔζησε χιλίοις ἔτεσι δὶς καὶ χρηστότητα οὐ τεθέαται, ἆρ' οὐ πρὸς τόπον ἕνα πᾶν ἄπεισι; [7] πᾶς κάματος τοῦ ἀνθρώπου εἰς τὸ στόμα αὐτοῦ, ἔτι τε ἡ ψυχὴ οὐκ ἐμπλησθήσεται. [8] τί γὰρ περιττὸν τῷ σοφῷ ἤπερ τῷ ἄφρονι; τί τῷ πένητι, γινώσκει ἀπιέναι ἀντικρὺ τῆς ζωῆς; [9] κρείττων ὄψις ὀφθαλμῶν τοῦ ἀπιέναι ψυχήν· ἔτι τόδε ματαιότης καὶ κάκωσις πνεύματος. [10] ὅτιπερ ὑπῆρξεν, ἤδη κέκληται τοὔνομά οἱ, καὶ ἔγνωσται ὅ ἐστιν ἄνθρωπος, καὶ οὐ

---

16. ἔσεται] lapsus calami procul dubio pro ἔδεται (יְאַכֵּל). Cf. VI, 2 etc. 18. περιουσίας] sic cod., non περιουσίαν ut ed. At ita fort. corrigendum. Cf. VI, 2. κἀδεσπέτωσεν cod. Cf. Prol. II, 2, e.

VI. 5. ἀπὸ τοῦδε] vix aliter reddidit מִזֶּה, certe non ἀπὸ τοῦ τῷδε, quod cod. exhibet et Vill. retinuit. Cf. Eccl. VII, 19. 8. γινώσκει] supplendum ὃς. An ita interpungendum: τί τῷ πένητι; γινώσκει — ζωῆς.? 10. ἔγνωται cod.

δυνήσεται δικάσασθαι ξὺν ἐκείνῳ ὅς ἐστι κραταιότερος αὐτοῦ. [11] εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα· τί περιττὸν τῷ ἀνθρώπῳ; [12] τίς γὰρ οἶδεν ὅ τι χρηστὸν τῷ ἀνθρώπῳ ἐν τῇ βιοτῇ, τῷ ἀριθμῷ τῶν ἡμερῶν τοῦ βίου τῆς ματαιότητος αὐτοῦ, καὶ ποιήσει αὐτὰς ὡς σκιάν; ἐπεὶ τίς ἀγγελεῖ τῷ ἀνθρώπῳ ὅ τι τελέσει μετ' αὐτὸν ὑπὸ τῷ ἡλίῳ; VII. [1] ἄμεινόν ἐστιν ὄνομα μύρου χρηστοῦ καὶ ἡ ἡμέρα τοῦ καιροῦ τῆς ἡμέρας τοῦ γεγεννῆσθαι αὐτόν. [2] κρεῖττον ἀπιέναι πρὸς οἶκον πένθους τοῦ ἀπιέναι πρὸς οἶκον πότου· ἐν ᾧπέρ ἐστι τέλος παντὸς ἀνθρώπου, καὶ ὁ ζῶν δώσει πρὸς τὴν καρδίαν αὐτοῦ. [3] κρείττων ὀργὴ γέλωτος, ἐν γὰρ κακώσει προσώπου ἀγαθυνεῖ καρδία. [4] καρδία σοφῶν ἐν οἴκῳ πένθους, καρδία δὲ ἀφρόνων ἐν οἴκῳ πότου. [5] κρεῖττον ἀκούειν ἐπιτίμησιν σοφοῦ ἀνδρὸς ἀκούοντος ᾠδὴν ἀφρόνων. [6] ὡς γὰρ φωνὴ τῶν ἀκανθῶν ὑπὸ τῷ λέβητι, οὕτω τὸ γελᾶν τοῦ ἄνου. ἔτι τόδε ματαιότης. [7] ὅτι ἡ ἀποστέρησις ἐκστήσει σοφὸν, καὶ ἀπολέσει τὴν καρδίαν δῶρον. [8] κρεῖττον τοὔσχατον τοῦ πράγματος τῆς ἀρχῆς αὐτοῦ· κρεῖττον μῆκος πνεύματος μετεωρότητος πνεύματος. [9] μὴ σπεῦδε ἐν τῷ πνεύματί σου ὡς ὀργίζοιο, ὀργὴ γὰρ ἐν κόλπῳ μωρῶν ἀναπαύσεται. [10] μὴ φῇς· τί ὑπῆρξεν ὅτι αἱ ἡμέραι αἱ πρότεραι ἐτέλεσαν ἀμείνους τούτων; οὐ γὰρ ἀπὸ σοφίας ἐζήτησας περὶ τουτουΐ. [11] χρηστὴ σοφία μετὰ κληρονομίας, καὶ μᾶλλον τοῖς ὁρῶσι τὸν ἥλιον· [12] ἐν γὰρ τῇ σκιᾷ τῆς σοφίας, ἐν τῇ σκιᾷ τοῦ ἀργύρου, καὶ περίσσεια γνώσεως τῆς σοφίας ζωώσει τὸν δεσπότην αὐτῆς. [13] θεῶ τὸ ἔργον τοῦ θεοῦ· τίς γὰρ δυνήσεται κατευθῦναι ὅπερ ἐσκολίωσεν ἐκεῖνος; [14] ἐν ἡμέρᾳ ἀγαθῆς τέλει ἐν ἀγαθῷ, καὶ ἐν

VII. 1. καιροῦ] scribendum erat θανάτου (הַמָּוֶת; cf. VIII, 8) vel μόρου (cf. Prov. VII, 27. XIII, 14 cet.). 4. πότου] legit מִשְׁתֶּה (ita codd. Kenn. 30. 147) pro שִׂמְחָה t. rec. 6. ἄνου] ἀνθρώπου ed. In schedis meis me non notavisse fateor, utrum ita scriptum sit in codice an per compedium ἄνου. Certe ἄνου (vel ἄφρονος) restituendum est (הַכְּסִיל). Cf. IV, 17. Prov. XVII, 21. XXVI, 6. 10. πρότεραι] πρότεροι cod., πρότερον ed. τουτουΐ] τουτουσί cod. et ed. 11. κληρονομίαν c. cd. ed. 12. περίσσεια] cf. I, 3. 13. κατευθῦναι] ita scribendum duximus pro manco κα quod in codice est (לְתַקֵּן). Vill. „Lege κατορθοῦν." Cf. I, 15. ἐσκολίωσεν ἐκεῖνος;] repugnante codice Vill. signum interrogationis post ἐσκολίωσεν posuit, ita ut v. sq. inciperet ἐκεῖνος ἐν κτλ. 14. ἀγαθῆς] l. ἀγαθῇ vel ἀγαθοῦ (טוֹבָה).

ἡμέρᾳ κακώσεως θεῶ, ἔτι τήνδε ἀντικρὺ τῇσδε ἐποίησεν ὁ θεός, ἐπὶ λόγῳ ἵνα μὴ εὕρῃ ὁ ἄνθρωπος μεθ' ἑαυτὸν ὁτιοῦν. [15]τὰ ξύμπαντα εἶδον ἐν ταῖς ἡμέραις τῆς ματαιότητός μου· ἔστι δίκαιος ἀπολλύμενος ἐν τῇ δικαιοσύνῃ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μηκύνων ἐν τῇ κακίᾳ αὐτοῦ. [16]μὴ τύγχανε ὢν δίκαιος ἄγαν καὶ μὴ σοφίζου περιττῶς· τοῦ χάριν ἀπορήσεις; [17]μὴ ἀσέβει λίαν καὶ μὴ τύγχανε ὢν ἄνους· τοῦ χάριν τεθνήξῃ ἐν οὐ καιρῷ σου; [18]ἀγαθόν ἐστιν ὅπερ δράξῃ αὐτοῦ, ἔτι τε ἀπὸ τοῦδε μὴ παρῇς τὰς χεῖράς σου· ὁ γὰρ φοβούμενος τὸν θεὸν ἐξελεύσεται ξύμπασι τούτοις. [19]ἡ σοφία κρατυνεῖ τὸν σοφὸν ὑπὲρ δέκα ἡγεμόνας οἳ ὑπῆρξαν ἐν τῇ πόλει. [20]ὅτι ἄνθρωπος οὐδεὶς δίκαιος ἐν τῇ γῇ, ὃς ποιήσει χρηστὸν καὶ οὐχ ἁμαρτήσει. [21]ἔτι πᾶσι τοῖς λόγοις οὓς διαλέξοιντο μὴ δίδου τὴν καρδίαν σου, οἷς οὐ πεύσῃ τὸν οἰκέτην σου βλασφημοῦντά σε· [22]ὅτι καὶ πολλάκις ἔγνω ἡ καρδία σου, ᾗ καὶ σὺ ἐβλασφήμησας ἑτέρους. [23]πᾶν τόδε ἐπείρασα ἐν σοφίᾳ. εἶπον· σοφιοῦμαι, ἐκείνη δ' ἀφίστατό μου. [24]πόρρω ὅπερ ὑπῆρξε καὶ βαθὺ βαθύ, τίς εὑρήσει αὐτό; [25]ἐκύκλωσα ἐγὼ τῇ καρδίᾳ μου .... καὶ ζητεῖν σοφίαν καὶ λογισμόν, εἰδέναι τε ἀσέβειαν ἀφροσύνην καὶ τὴν ἀφροσύνην παραφροσύνην. [26]καὶ εὑρίσκω πικροτέραν θανάτου τὴν γυναῖκα, ἥτις ἐστὶν ἀμφίβληστρα καὶ δίκτυα ἡ καρδία ταύτης, εἱρκτὴ αἱ χεῖρες αὐτῆς· ὁ χρηστὸς ἐνώπιον τοῦ θεοῦ ἀπαλλαγείη ταύτης, καὶ ὁ ἁμαρτάνων συλληφθήτω ταύτῃ. [27]θεῶ τοδὶ εὗρον, ἔφη ἡ ἐκκλησιάστρια, μίαν εἰς μίαν εὕροιμι λογισμόν. [28]ὃν ἔτι ἐζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον· ἄνθρωπον ἕνα ἀπὸ χιλίων εὗρον, καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐχ εὗρον. [29]μόνον ὅρα τουτὶ εὗρον, ὡς ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον εὐθύν· αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς. VIII. [1]τίς ὁ σοφός; καὶ τίς οἶδεν ἑρμηνείαν λόγου; σοφία ἀνθρώπου φωτιεῖ

21. οἷς] ὡς Vill. conj. Temere (אֲשֶׁר). Cf. VIII, 11. 14 cet. 24. βαθὺ semel scriptum est in codice, jure alterum jam a Villoisonio suppletum (וְעָמֹק עָמֹק). Haesitasse videtur ipse librarius, qui ad hunc versum lineolam in margine apposuit (cf. Prol. I, 3, b). 25. τῇ καρδίᾳ μου] לִבִּי (ita cod. Ross. 893) aut אֶת־לִבִּי (ita codd. Kenn. 99. 253) pro וְלִבִּי t. rec. (בְּלִבִּי permulti codd.). Post μου excidisse videntur haec: εἰδέναι καὶ ἐρευνῆσαι (לָדַעַת וְלָתוּר). Cf. I, 13. 26. ἀμφίβληστα cod. 27. εὕροιμι] l. ὡς εὕρ. (לִמְצֹא). 29. (αὐτοὶ) δὲ] σὲ cod.

VIII. 1. ὁ σοφός] rursus ὡς excidit (כְּהֶחָכָם).

τὸ πρόσωπον αὐτοῦ, καὶ κράτος τοῦ προσώπου αὐτοῦ μισηθήσεται. [2] ἐγώ· στόμα βασιλέως τήρει, καὶ ἐπὶ λόγου ὅρκου τοῦ θεοῦ. [3] μὴ θαμβοῦ ἀπὸ προσώπου οἱ, ἀπελεύσῃ, μὴ στῇς ἐν λόγῳ κακῷ· πάντα γὰρ ὅσα θελήσει ποιήσει. [4] ὅπου λόγος βασιλέως ἐξουσία, καὶ τίς ἐρεῖ οἱ· τί ποιήσεις; [5] φυλάττων κέλευσμα οὐκ εἴσεται πρᾶγμα δεινὸν, καιρὸν δὲ καὶ κρίσιν εἴσεται καρδία σοφοῦ. [6] παντὶ γὰρ βουλήματί ἐστι καιρὸς καὶ κρίσις, ἐπεὶ ἡ κακία τοῦ ἀνθρώπου ἐπλήθυνεν ἐπ' αὐτοῦ· [7] οὐ γὰρ τυγχάνει γινώσκων ὅ τί ποτε ἔσται, ἐν ᾧ γὰρ ἔσται τίς ἀγγελεῖ αὐτῷ; [8] οὐδείς ἐστιν ἄνθρωπος ἄρχων τοῦ πνεύματος ὡς εἴρξειε τὸ πνεῦμα, οὐκ ἔστι τε ἡγουμενεία ἐν τῇ ἡμέρᾳ τοῦ θανάτου, οὔτε ἐστὶ ξιφουλκία ἐν τῷ πολέμῳ, οὔτε ἀπαλλάξει ἀσέβεια τὸν κύριον ἑαυτῆς. [9] ξύμπαν τόδε ἑώρακα καὶ τῷ διδόναι τὴν ἐμὴν καρδίαν παντὶ ἔργῳ ὃ γενήσεται ὑπὸ τῷ ἡλίῳ τῷ καιρῷ ᾧ ἐκυρίευσεν ὁ ἄνθρωπος ἐπὶ τοῦ ἀνθρώπου εἰς δεινὸν αὐτοῦ· [10] κἂν τῷδε τεθέαμαι ἀσεβεῖς τεθαμμένους, ἔδυνάν τε, καὶ ἀπὸ τόπου ἁγίου ἀπελεύσονται καὶ ἐπιλησθήσονται ἐν πόλει ᾗ τῇδε ἐποίησαν. καὶ τοῦτο ματαιότης. [11] οἷς οὐ γίνεται πρᾶγμα, ἔργον τῆς κακίας ταχέως, διὸ πέπλησται ἡ καρδία τῶν υἱῶν τοῦ ἀνθρώπου ἐν αὐτοῖς ὡς ποιοῖεν κακόν. [12] ὅστις ἀλιτραίνει, ποιεῖ κακὸν ἑκατοντάκις καὶ μηκύνει εἰς αὐτό· ὅτι ἔτι γινώσκων εἰμὶ ὃ τελέσει χρηστὸν τοῖς δεδιόσι τὸν θεὸν, οἳ δείσουσιν ἀπέμπροσθεν αὐτοῦ· [13] καὶ χρηστὸν οὐκ ἔσται τῷ ἀσεβεῖ, καὶ οὐ μηκύνεῖ ἡμέρας, ὡς σκιὰ, ὃς οὐκ ἔστι δεδιὼς ἀπέμπροσθεν τοῦ θεοῦ. [14] ἔστι μάταιον ὃ γέγονεν ἐπὶ τῆς γῆς, οἷς εἰσι δίκαιοι ὧν ἅπτεται σφῶν κατὰ τοὔργον τῶν ἀσεβῶν, εἰσί τε ἀσεβεῖς ὧν ἅπτεται σφῶν κατὰ τοὔργον τῶν δικαίων· ἔφην ὅτι καὶ τόδε ματαιότης. [15] ἐπῄνεσά τ' ἐγὼ τὴν εὐφροσύνην, οἷς οὐκ ἔστι χρηστὸν τῷ ἀνθρώπῳ ὑπὸ τῷ ἡλίῳ, εἰ μὴ τὸ ἐσθίειν καὶ πίνειν καὶ χαίρειν· κἀκεῖνο κολληθήσεταί οἱ ἐν τῷ κόπῳ αὐτοῦ ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ ἃς ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τῷ ἡλίῳ. [16] ὡς ἔδωκα τὴν καρδίαν μου εἰδέναι σοφίαν καὶ ὁρᾶν τὴν ἀφορμὴν

μισηθήσεται] quasi יְשֻׂנֵּא (cf. Prov. XIV, 17. 20) scriptum esset, non יְשֻׁנֶּא (Kerî יְשֻׁנֶּה). Item LXX. 3. ποιήσει] πλήσει cod. et ed. 6. βουλήματι cod., non βουλεύματι ut ed. 7. ἐν ᾧ] בַּאֲשֶׁר pro 'כַּאֲ (ἀγγελεῖ) αὐτῷ in codice omissum Vill. addidit nosque retinuimus (יַגִּיד לוֹ). 11. πρᾶγμα ἔργου? πέπληται cod. et ed. Cf. IX, 3 etc.

τὴν γινομένην ἐπὶ τῆς γῆς, ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὕπνον ἐν ὀφϑαλμοῖς αὐτοῦ οὐκ ἔστιν ὁρῶν· [17] εἶδον οὖν ξύμπαν ἔργον τοῦ ϑεοῦ ὅτι οὐχ ἕξει ὁ ἄνϑρωπος εὑρεῖν τὸ ἔργον ὃ γεγένηται ὑπὸ τῷ ἡλίῳ· ἐν ᾧ μογήσει ὁ ἄνϑρωπος ὡς ζητοίη, καὶ οὐχ εὑρήσει· ἔτι δὲ εἴπερ φαίη ὁ σοφὸς εἰδέναι, οὐχ ἕξει εὑρεῖν. [1] ὅτι **IX.** ξύμπαν τόδε ἔδωκα πρὸς τὴν καρδίαν μου, καὶ καϑάραι ξύμπαν τόδε· ὡς οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ οἱ οἰκέται σφῶν ἐν χειρὶ τοῦ ϑεοῦ. ἔτι ἀγάπην καὶ μῖσος οὐκ οἶδεν ὁ ἄνϑρωπος· τὰ πάντα ἐνώπιον αὐτῶν. [2] τὰ πάντα καϑὼς τοῖς πᾶσι· συμβεβηκὸς ἓν τῷ δικαίῳ καὶ τῷ ἀσεβεῖ, τῷ χρηστῷ καὶ καϑαρῷ καὶ τῷ μεμιασμένῳ, καὶ τῷ ϑύοντι καὶ τῷ μὴ ϑύοντι· ὡς τῷ χρηστῷ οὕτω τῷ ἁμαρτάνοντι, τῷ ὀμνύντι καϑάπερ τῷ τὸν ὅρκον δεδιότι. [3] τόδε δεινὸν ἐν παντὶ ὅπερ γέγονεν ὑπὸ τῷ ἡλίῳ, συμβεβηκὸς γὰρ ἓν τοῖς πᾶσιν· ἔτι τε ἡ καρδία τῶν υἱῶν τοῦ ἀνϑρώπου πέπληισται φαύλου, καὶ παραφροσύνη ἐν τῇ καρδίᾳ σφῶν ἐν τῇ ζωῇ σφῶν, καὶ μετ' αὐτοὺς πρὸς τοὺς νεκρούς. [4] τίς γὰρ ὃς ἐξαιρεϑήσεται πρὸς πάντας τοὺς ζῶντας; ἔστι ϑάρρος .... κρεῖττόν ἐστι τοῦ λέοντος τοῦ νεκροῦ. [5] οἱ γὰρ ζῶντες ἴσασιν ὅτι τεϑνήξονται, οἱ δὲ νεκροὶ οὐκ ἴσασιν ὁτιοῦν, οὔτε ἐστὶν ἔτι σφίσι μισϑός, ὅτι ἐπελήσϑη ἡ μνήμη σφῶν· [6] ἔτι ἡ φιλία σφῶν ἔτι τὸ μῖσος σφῶν ἔτι ὁ ζῆλος σφῶν ἤδη ἀπώλετο, καὶ μερὶς οὐκ ἔστι σφίσιν ἔτι ἐς αἰῶνα ἐν παντὶ ὃ γεγένηται ὑπὸ τῷ ἡλίῳ. [7] ἄπιϑι φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου καὶ πίε ἐν καρδίᾳ χρηστῇ τὸν οἶνόν σου· ἤδη γὰρ ἠϑέλησεν ὁ ϑεὸς τὰ ἔργα σου. [8] ἐν παντὶ καιρῷ εἶεν τὰ ἱμάτιά σου λευκά, καὶ μύρον ἐπὶ τῆς κεφαλῆς σου μὴ ἐλλειπέτω. [9] ϑέασαι τὴν βιοτὴν ξὺν τῇ γυναικὶ ἣν ἠγάπησας πάσαις ταῖς ἡμέραις τῆς ζωῆς τῆς ματαιότητός σου, ἃς ἔδωκέ σοι ὑπὸ τῷ

IX. 1. καϑάραι, non καϑᾶραι, cod. Cf. Num. VIII, 21. καὶ οἱ οἰκέται σφῶν] וְעַבְדֵיהֶם (cf. Deut. XII, 12) pro וַעֲבָדֵיהֶם 2. μεμιασμένῳ] μεμισημένῳ cod. et ed. Ita emendandum esse (וְלַטָּמֵא) recte jam monuit Spohn (*Der Prediger Salomo aus dem Hebr. aufs neue übers.* p. XXIV). Cf. Num. XIX, 17. 3. ἐν παντὶ ὅπερ] ἐν πᾶσιν ὅπερ cod. et ed. (cf. v. 6). Si malis ἐν πᾶσιν ἅπερ (Spohn l. c.), nihil obstat nisi quod rarissime neutr. plur. cum sing. verbi componit. Cf. Prol. II, 2, b. παραφροσύνης cod. et ed. 4. ἔστι ϑάρρος] ὅτι ὁ κύων ζῶν de suo (ex LXX) Vill. addidit. Cod. hiat (כִּי־לְכֶלֶב חַי om.). κρεῖττόν ἐστι] ἔστι κρεῖττον ἔστι cod. 5. ἐστὶν ἔτι] ἔστιν ἔστι cod., ἔστι ed. Cf. v. sq.

ἡλίῳ, πάσαις ταῖς ἡμέραις τῆς ματαιότητός σου· αὕτη γὰρ ἡ μερίς σου ἐν τῇ βιοτῇ καὶ ἐν τῷ μόχθῳ σου ὃν σὺ μογεῖς ὑπὸ τῷ ἡλίῳ. [10] πᾶν ὅπερ ἂν εὕροι ἡ χείρ σου ποιεῖν, ἐν τῇ ἰσχύϊ σου ποίει· οὐ γάρ ἐστιν ἔργον καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν τῷ ᾄδῃ, ὅποι σὺ ἄπει ἐκεῖσε.

[11] Ἐστράφην καὶ τεθεᾶσθαι ὑπὸ τῷ ἡλίῳ ὅτι οὐ τοῖς ἐλαφροῖς ὁ δρόμος οὐδὲ τοῖς ἰσχυροῖς ὁ πόλεμος, ἔτι τε οὐ τοῖς σοφοῖς ἄρτος, οὔτε αὖθις τοῖς ξυνετοῖς πλοῦτος, οὔτε πάλι τοῖς εἰδόσι χάρις· καιρὸς γὰρ καὶ συνάντημα συμβήσεται πᾶσι. [12] πρὸς τοῖσδε γὰρ οὐκ εἴσεται ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, ὡς ἰχθύες οἳ συλλαμβάνονται ἐν δικτύῳ κακῷ, καὶ ὡς ὄρνεα τὰ συνειλημμένα ἐν παγίδι· ὡς αὐτὰ παγιδευθήσονται οἱ υἱεῖς τοῦ ἀνθρώπου καιρῷ κακῷ, ἐπὰν ἐπιπέσοι σφίσιν ἐξαίφνης. [13] ἔτι τόδε τεθέαμαι· σοφία ὑπὸ τῷ ἡλίῳ, καὶ μεγάλη ἐστὶ πρός με· [14] πόλις μικρά, καὶ ἀνδρῶν ἐν αὐτῇ ὀλίγων· ἐλεύσεται δὲ βασιλεὺς μέγας καὶ κυκλώσει ταύτην, καὶ δομήσεται ἐπ' αὐτῇ πολιορκήματα μεγάλα· [15] εὑρήσει τε ἐν αὐτῇ ἄνδρα πένητα σοφόν, καὶ ἀπαλλάξει αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἄνθρωπος οὐκ ἐμνήσθη τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. [16] ἔφην οὖν ἐγώ· κρείττων ἐστὶ σοφία ἰσχύος, καὶ ἡ σοφία τοῦ πένητος ἡ περιεωραμένη καὶ οἱ λόγοι αὐτοῦ οἱ μὴ ἀκουόμενοι. [17] λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται ὑπὲρ βοὴν ἡγεμονευομένου ἐν ἄφροσι. [18] κρείττων σοφία σκευῶν παρατάξεως· καὶ ἁμαρτάνων εἷς ἀπολεῖ χρηστότητα πολλήν.

X. [1] .... μυρεψοῦ· τιμιωτέρα τῆς σοφίας καὶ τῆς δόξης ἀφροσύνης ὀλίγον. [2] καρδία σοφοῦ εἰς δεξιὰν αὐτοῦ, καρδία δὲ ἄφρονος εἰς εὐώνυμον αὐτοῦ. [3] ἔτι τε ἐν τῇ ὁδῷ ἐπὰν ὁ ἄφρων πορεύοιτο, ἡ καρδία οἱ ἐνδεῖ, καὶ φήσει πᾶσιν· ἄφρων ἐστίν.

---

11. τετεθέασθαι cod., τεθέασθαι ed. An voluit τεθέαμαι vel τῷ θεᾶσθαι (וְרָאֹה)? Cf. Exod. III, 7. ἐλαφροῖς] ἀδελφοῖς ed. Sed ipse Vill. suspicatus erat legendum esse uti edidimus, id quod Morelli e codice confirmavit. 12. εἴσεται] εἴανται cod. Emendationem jam Vill. (in marg.) habet. Cf. X, 14. παγῖδι cod. Cf. Prov. XXII, 5. αὐτὰ cod., non αὐτοὶ ut ed. 14. ὀλίγων cod., non ὀλίγον ἐλεύσεται δὲ] אֵלֶיהָ om. πολιορκήματα] מְצוֹרִים (cf. Deut. XX, 20) pro מְצוֹדִים. Per ר cod. Ross. 10, cod. 476 a pr. 16. περιωραμένη c. cd. ed. 17. ἡγεμονευόμενος cod.

X. 1. Linea tota in codice vacua. Quae sequitur incipit verbo μυρεψοῦ (זְבוּבֵי מָוֶת יַבְאִישׁ יַבִּיעַ שֶׁמֶן om.).

[4] εἰ τὸ πνεῦμα τοῦ ἡγουμένου ἀναβαίη ἐπὶ σέ, τὸν τόπον σου μὴ παρῇς, ἐπεὶ θεραπεύων ἀφήσει ἁμαρτωλοὺς μεγάλους. [5] ἔστι κακία, εἶδον ὑπὸ τῷ ἡλίῳ, ὡς λήθη ἣ ἔξεισιν ἀπὸ τοῦ ἄρχοντος. [6] δέδοται ἡ ἀφροσύνη εἰς ὕψη πολλά, καὶ πλούσιοι ἐν χθαμαλῷ καθεδοῦνται. [7] τεθέαμαι δούλους ἐπὶ ἵππων, καὶ ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς. [8] ὀρύττων βόθυνον εἰς αὐτὸν πεσεῖται, καὶ καθαιροῦντα ὅρον δήξεται αὐτὸν ὄφις. [9] μεταίρων λίθους ἀλγήσει ἐν αὐτοῖς, ῥηγνὺς ξύλα θερμανεῖται ἐν αὐτοῖς. [10] ἐὰν ναρκῇ ὁ σίδηρος, κἀκεῖνος μὴ τὸ πρόσωπον στίλβῃ, καὶ δυνάμεσι κραταίωται· μᾶλλον μέντοι ἤρεσεν ἡ σοφία. [11] ἐὰν δάκνῃ ὁ ὄφις ἐν οὐκ ἐπῳδῇ, οὐκ ἔστι μέντοι περίσσεια τῷ κυρίῳ γλώττης. [12] λόγοι στόματος σοφοῦ χάρις, τὰ χείλη ἄφρονος καταπίεται αὐτόν· [13] ἀρχὴ τῶν λόγων τοῦ στόματος αὐτοῦ ἀφροσύνη, καὶ τοὔσχατον τοῦ στόματος αὐτοῦ παραφροσύνη κακή· [14] ὅ τε ἄφρων πληθυνεῖ λόγους. οὐκ εἴσεται ὁ ἄνθρωπος ὅ τι τελέσει, καὶ ὅπερ ὑπάρξει ἀπὸ τῶν κατόπιν αὐτοῦ τίς ἀγγελεῖ οἱ; [15] ὁ κόπος τῶν ἀφρόνων κοπώσειεν ἐκεῖνον, ὃς οὐκ οἶδεν ἀπιέναι πρὸς πόλιν. [16] αἴ σοι γῆ ἧ ὁ βασιλεύς σου ὁ νέος, καὶ οἱ ἄρχοντές σου ἐν ἕῳ φάγονται. [17] μακαρία σὺ γῆ ἧ ὁ βασιλεύς σου υἱὸς ὀθνείων, καὶ οἱ ἄρχοντές σου ἐν καιρῷ φάγονται, ἐν ἰσχύϊ καὶ οὐκ ἐν πόσει. [18] ἐν ὄκνοις ταπεινωθήσεται ἡ στέγη, καὶ ἐν χθαμαλώσει χειρῶν στάξει ὁ οἶκος. [19] πρὸς τὸ γελᾶν ποιοῦσιν ἄρτον, καὶ οἶνος εὐφρανεῖ τοὺς ζῶντας, ὁ δ' ἄργυρος ἀποκρινεῖται τοῖς πᾶσιν. [20] ἔτι ἐν γνώσει σου βασιλέα μὴ βλασφημήσῃς, καὶ ἐν τοῖς οἰκίσκοις τῆς κοίτης σου μὴ βλασφημήσῃς πλούσιον· ἐπεὶ ὄρνις οὐρανοῦ ἀποίσει τὴν φωνήν, καὶ πτερυγωτὸν ἀγγελεῖ τὸν λόγον. XI. [1] πέμπε τὸν ἄρτον σου ἐπὶ τῶν ὑδάτων, ἐν γὰρ τῷ πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν. [2] δίδου μερίδα τοῖς ἑπτὰ καὶ ἔτι τοῖς ὀκτώ, οὐ

4. ἐπὶ δὲ cod.; Vill. in textu ἐπὶ σὲ edere non ausus est. Cf. Prol. I, 3, a. ἁμαρτωλοὺς] חוֹטְאִים pro חֲטָאִים? Consentiunt LXX. Aqu. Symm. Theod. Hieron. 10. ναρκῇ] sic cod. (non ναρκεῖ ut ed.), fort. pro ναρκῷ (ναρκώῃ) vel ναρκᾷ (cf. paullo inferius στίλβῃ et v. sq. δάκνῃ). 11. περίσσεια, non περισσεία, cod. Cf. I, 3. 16. αἴ] sic cod. (cf. Thr. V, 16), non οὐαί ut ed., nec αἶ (ita IV, 10) ut Mor. ait. 17. ὀθνείων] legendum fort. ἐντίμων, vel potius ἠθείων; nisi forte חוֹרִים cum הַגֵּרִים confudit. 20. ἀποίσει] οι correctum videtur ex ει (an versa vice? Non liquet). Certe non edendum erat ἀπείσει, neque emendandum ἀφήσει (Vill.).

γὰρ εἴσῃ ἥτις τελέσει κακία ἐπὶ τῆς γῆς. [3] ἐὰν πλησϑῶσιν αἱ νεφέλαι ὄμβρου, ἐπὶ τῆς γῆς κενωϑήσονται· κἂν πέσῃ ξύλον ἐν τῷ νότῳ κἂν ἐν τῷ ἀπαρκτίᾳ, τόπος οἷ πεσεῖται τὸ ξύλον, ἐκεῖ τελέσει. [4] ὁ τηρῶν πνεῦμα οὐ σπερεῖ, καὶ ὁρῶν ἐς νεφέλας οὐ ϑεριεῖ. [5] καϑάπερ οὐκ οἶσϑα τίς ἡ ὁδὸς τοῦ πνεύματος, ὡς ὀστᾶ ἐν τῇ γαστρὶ τῆς πλήρους, οὕτως οὐκ εἴσῃ τὸ ἔργον τοῦ ϑεοῦ, ὃς ποιήσειεν ἅπαντα. [6] ἐν ἕῳ σπεῖρε τὸν σπόρον σου, καὶ τῇ ἑσπέρᾳ μὴ παρῇς τὰς χεῖράς σου· οὐ γὰρ οἶσϑα ὁποῖον κατευϑυνεῖ, πότερον τουτὶ ἢ τουτί, κἂν ἄμφω σφὼ ὡς τὸ ἓν χρηστώ. [7] γλυκύ τε τὸ φῶς, καὶ χρηστὸν τοῖς ὀφϑαλμοῖς τὸ ὁρᾶν τὸν οὐρανόν· [8] εἰ γὰρ ἔτεσι πολλοῖς βιῴη ὁ ἄνϑρωπος, ἐν ἅπασιν εὐφραινεῖται, καὶ μνησϑήσεται τῶν ἡμερῶν τοῦ σκότους· ἐπεὶ πολλαὶ τελέσουσι πᾶσαι ὅσαις ἀφικνεῖται τὸ μάταιον. [9] ἥδου, νεανίσκε, ἐν τῇ παιδιότητί σου, καὶ ἀγαϑυνεῖς τὴν καρδίαν σου ἐν ταῖς ἡμέραις τῆς νεανισκότητός σου, καὶ ἀπέρχου εἰς ὁδοὺς τῆς καρδίας σου καὶ ἐς ὄψεις τῶν ὀφϑαλμῶν σου· καὶ γίνωσκε ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ ϑεὸς ἐς τὴν κρίσιν. [10] ἄφελέ τε ϑυμὸν ἀπὸ τῆς σῆς καρδίας, καὶ διαβίβασον κακίαν ἀπὸ τῆς σαρκός σου· XII. ἡ γὰρ παιδιότης καὶ ἡ νεότης, ματαιότης. [1] καὶ μέμνησο τοῦ ποιητοῦ σου ἐν ταῖς ἡμέραις τῆς νεανισκότητός σου, ἄχρις ὅτου μὴ ἀφίκωνται αἱ ἡμέραι τῆς κακώσεως καὶ φϑάσωσιν ἔτη οἷς ἐρεῖς· οὐκ ἔστι μοι ἐν αὐτοῖς βούλημα· [2] ἄχρις ἂν μὴ σκοτισϑῇ ὁ ἥλιος καὶ τὸ φῶς, ἡ σελήνη τε καὶ τὰ ἄστρα, καὶ στραφῶσι τὰ νέφη μετὰ τὸν ὄμβρον· [3] ἐν τῇ ἡμέρᾳ ᾗ ἱδρώσουσιν οἱ φύλακες τοῦ οἴκου, καὶ σκολιωϑῶσιν οἱ ἄνδρες τῆς δυνάμεως καὶ ἀργήσωσιν αἱ ἀλήϑουσαι ἐπεὶ ὠλίγωνται, καὶ σκοτισϑῶσιν αἱ ὁρῶσαι διὰ τῶν καταρρακτῶν· [4] καὶ κλεισϑῶσιν αἱ πύλαι πρὸς τὴν ἀγορὰν ἐν τῷ τεταπεινῶσϑαι τὴν φωνὴν τῆς ἀλήσεως, καὶ ἐγερϑῇ εἰς φωνὴν ὁ ὄρνις, καὶ κύψωσιν ἅπασαι αἱ ϑυγατέρες τῶν ᾠδῶν.

XI. 3. ἐὰν πλησϑῶσιν] ita emendandum duximus cod. ἐμπλησϑῶσιν. Ed. εἰ ἐμπλ. 7. τὸν οὐρανόν] הַשָּׁמַיִם pro הַשֶּׁמֶשׁ 8. βιῴη] codicis scripturam servavimus. Cf. Gen. VII, 3. IX, 14 cet. 9. ἀγαϑυνεῖς cod., non ἀγαϑυνῇς ut ed.

XII. 2. τὰ ἄστρα] sic. Cf. Hom. Il. ϑ, 555 etc. 3. ἱδρώσωσιν? καταρακτῶν c. cd. ed. 4. ἐγερϑεῖ (non ἠγερϑεῖ ut ed.) cod. τῶν ᾠδῶν] l. τῆς ᾠδῆς (הַשִּׁיר). Cf. Prol. l. c.

[5] ἔτι ἀπὸ μετεώρου φανήσονται, καὶ ἐπιτριμμοὶ ἐν τῇ ὁδῷ· καὶ ἀνϑήσει τὸ ἀμύγδαλον, καὶ φορτισϑῇ ὁ πάρνοψ, καὶ παύσῃ ἡ ὄρεξις· ἄπεισι γὰρ ὁ ἄνϑρωπος πρὸς τὸν οἶκον τοῦ αἰῶνος αὐτοῦ, καὶ πενϑῶσιν ἐν ἀγορᾷ οἱ πενϑοῦντες· [6] ἄχρις ἂν μὴ μακρυνϑῇ ὁ σχοῖνος ὁ ἀργυροῦς καὶ ϑραυσϑῇ τὸ στέφος τὸ χρυσοῦν καὶ ξυντριβῇ ὁ πρόχους ἐπὶ τῆς ἀναβλύσεως, καὶ ϑραύσωμεν τὸν κύκλον πρὸς τῷ βόϑρῳ· [7] καὶ στραφῇ ὁ χοῦς ἐπὶ τὴν γῆν ὥσπερ ὑπῆρξε, καὶ τὸ πνεῦμα στραφῇ πρὸς τὸν ϑεὸν ὃς ἔδωκεν αὐτό. [8] ματαιότης ματαιοτήτων, ἔφη ἡ ἐκκλησιάστρια, τὰ πάντα ματαιότης. [9] καὶ περιττὸν ὅτι ὑπῆρξεν ἡ ἐκκλησιάζουσα σοφός· ἔτι ἐδίδαξε γνῶσιν τὸν λαόν, καὶ ὠτοϑέτησε καὶ ἠρεύνησε, κατέστησε παραβολὰς πολλάς. [10] ἐζήτησεν ἡ ἐκκλησιάζουσα εὑρεῖν λόγους βουλήματος καὶ γεγραμμένην εὐϑύτητα, λόγους ἀληϑείας. [11] λόγοι σοφῶν ὥσπερ βουπλῆγες καὶ ὥσπερ ἧλοι πεφυτευμένοι, δεσπόται ξυναγμάτων δέδονται πρὸς ποιμένος ἑνός. [12] μᾶλλόν τε τῶνδε, υἱέ μου, ἐνήχησο· ποιεῖν δέλτους πολλὰς οὐκ ἔστιν ἄκρον, καὶ τὸ μελετᾶν ἄγαν μόγησις σαρκός. [13] τὸ τέλος τοῦ λόγου πάντες ἀκούσωμεν· τὸν ϑεὸν πτοοῦ καὶ τὰ κελεύσματά οἱ φύλαττε· τοδὶ γὰρ πᾶς ὁ ἄνϑρωπος. [14] ἐπεὶ ξύμπαν ἔργον ὁ ϑεὸς ἄξει εἰς κρίσιν ἐπὶ παντὶ κεκαλυμμένῳ, εἴπερ χρηστὸν καὶ εἴπερ πονηρόν.

---

5. φανήσονται] יֵרָאוּ (defective multi codd.) pro יִירָאוּ. Similiter LXX (ὄψονται). ἐπίτριμμοι ed. Sine ullo accentu cod. Cf. Prov. VI, 15. XIX, 13 cet. ἀνϑήσει] l. ἀνϑήσῃ πάρνοψ] sic pro πάρνωψ cod. καὶ πενϑῶσιν] וְסָפְדוּ (ita codd. Kenn. 77. 117. 125. 227) pro וְסָבְבוּ
9. ὠτοϑέτησε] scriptura in initio vocis paene omnino evanuit, sed vix ὠτιϑ. (ita ed.) legendum. Cf. Deut. I, 45. XXVII, 9 cet.

I. Πῶς ἐκαθέσθη καταμόνας ἡ πόλις ἡ δέσποινά μοι λεὼ, ὑπῆρξεν ὡς χήρα ἡ δέσποινά μοι ἐν ἔθνεσιν, ἡ ἄρχουσά μοι ἐν χώραις ὑπῆρξεν εἰς δασμόν.

[2] Τῷ κλαίειν κλαύσοιτο νύκτωρ, τό τ' αὐτῆς δάκρυ ἐπὶ τῆς αὐτῆς παρειᾶς. οὐκ ἔχει παρήγορον ἀπὸ πάντων τῶν αὐτὴν φιλούντων· πάντες οἱ φίλοι ταύτης ἀντῆραν εἰς αὐτὴν, ὑπῆρξαν ταύτῃ εἰς ἐχθρούς.

[3] Ἀπῴκισται ἰεούδας ἀπὸ ταλαιπωρίας ἀπό τε πλήθους δουλείας· αὐτὸς ἐκαθέσθη ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν· πάντες οἱ διώκοντες αὐτὸν ἔφθασάν ἑ μέσον τῶν ὁρισμῶν.

[4] Αἱ ὁδοὶ σιῶνος πενθοῦσιν ἀπὸ μηδαμῶς ἰόντων πανηγύρει· πᾶσαι αἱ ταύτης πύλαι ἠφανίκαται, οἱ αὐτῆς ἱερεῖς στενάζονται, αἱ ταύτης παρθένοι κεκμήκασιν, αὕτη δὲ πικρίαν ἴσχει.

[5] Ἐτέλεσαν οἱ στενωταὶ ταύτης εἰς κεφαλὴν, οἱ ταύτης ἐχθροὶ ἀνεπαύσαντο· ὁ γὰρ ὀντωτὴς ἐμόγωσεν αὐτὴν ἐπὶ τῷ πλήθει τῶν αὐτῆς ἐγκλημάτων· τὰ βρέφη ταύτης ἀπῆλθον ἐν αἰχμαλωσίᾳ ἐπίπροσθεν στενωτοῦ.

[6] Κάξῆλθεν ἀπὸ τῆς θυγατρὸς σιῶνος πᾶσα καλλονή· ἐτέλεσαν οἱ ταύτης ἄρχοντες ὡς ἔλαφοι μὴ εὑρόντες νομὴν, ἀπῆλθόν τ' ἐν ἀδυναμίᾳ πρόσθεν διώκοντος.

[7] Ἐμνήσθη ἱερουσαλάμη τῶν ἡμερῶν τῆς ἑαυτῆς ταλαιπωρίας καὶ τῆς ἑαυτῆς πικρίας· πάντα τὰ ταύτης ἐφετὰ ἅττ' ἴσχεν ἀφ'

I. 3. αὐτὸν] ita pro cod. αὐτὴν ed. Femininum hic certe non adhibuit (רֹדְפֶיהָ) postquam supra αὐτὸς (הִיא) scripsit. 5. ἐμόγησεν cod. et ed. Vera lectio ex v. 12. III, 32 sq. cognosci poterat. Etenim ad Hiphil הוֹגָה reddendum verbum illud μογόω ipse sibi finxit translator. Cf. Prol. II, 2, e. 6. καλλονή] pron. om. (הֲדָרָהּ). νομὴν cod., non νομὸν ut ed. 7. ἴσχεν] exspectaveris ἦσαν (הָיוּ).

ἡμερῶν προτέρων, ἐν τῷ πεσεῖν τὸν αὐτῆς λεὼν ἐν χειρὶ στενωτοῦ, οὐδεὶς δ' ἐπίκουρος ταύτῃ· τεϑέανται ταύτην στενωταί, ἐγέλασαν ἐπὶ ταῖς αὐτῆς παύλαις.

[8]Ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλάμη, διόπερ εἰς μεταφορὰν ἐτέλεσε· πάντες οἱ δοξάζοντες αὐτὴν ἐφαύλισαν αὐτήν, εἶδον γὰρ τὴν ταύτης ἀσχημοσύνην· αὕτη δ' ἐστενάχϑη κάστράφη ὀπίσω.

[9]Ὁ ταύτης μιασμὸς ἐν τοῖς αὐτῆς κρασπέδοις· οὐκ ἐμνήσϑη τοῦ ἑαυτῆς ἐσχάτου, καὶ κατέβη ϑαυμαστῶς· οὐδεὶς παρήγορος αὐτῇ. ϑέασαι, ὀντωτά, τὴν ἐμὴν ταλαιπωρίαν, ὅτιπερ ἐμεγάλυνεν ὁ ἐχϑρός.

[10]Τὴν ἑαυτοῦ χεῖρα ἔτεινε στενῶν ἐπὶ πάσας τὰς αὐτῆς ἐφέσεις· εἶδε γὰρ ἔϑνη, ἦλϑον εἰς τὰ ταύτης ἱερὰ ἅπερ ἐκέλευσας· οὐκ ἀφίξονται εἰς ἐκκλησίαν σοι.

[11]Πᾶς ὁ ταύτης λεὼς ἐστονωμένοι ζητοῦσιν ἄρτον, ἔδοσαν τὰ σφῶν ἐφετὰ εἰς βρῶμα ὡς στρέψαιεν ψυχήν. ἴδε, ὀντωτά, ἀτένισόν τε· καὶ γὰρ ὑπῆρξα φαύλη. [12]Οὐ πρὸς ὑμᾶς, πάντες διϊόντες ὁδῷ· ἀτενίσατε καὶ ϑεάσασϑε εἰ ἔστιν ἄλγος κατὰ τοὐμὸν ἄλγος ὅ τι ἠτίαταί μοι, ᾧ ἐμόγωσεν ὁ ὀντωτὴς ἐν ἡμέρᾳ ὀργῆς τοῦ ϑυμοῦ οἱ. [13]Ὑψόϑεν ἔπεμψε πῦρ εἰς τὰ ὀστᾶ τἀμὰ εἰς ἰαρδένην· ἔτεινε δίκτυον τοῖς ἐμοῖς ποσίν, ἔστρεψέ με κατόπιν, ἔδωκέ με φρούδην, πάσῃ τῇ ἡμέρᾳ ἀλγοῦσαν.

[14]Ἐγρηγορήϑη ὁ ζυγὸς τοῦ ἐγκλήματός μου ἐν χειρί οἱ· ξυμπλακήσονται, ἀνέβησαν ἐπὶ τὸν ἐμὸν αὐχένα· προσέκοψε τὴν ἐμὴν ἰσχύν, ἔδωκέ με οὑμὸς δεσπότης ἐν χερσίν, οὐ δυνήσομαι ἐγερϑῆναι.

[15]Ἐπάτησε πάντας τοὺς ἰσχυρούς μου οὑμὸς δεσπότης μέσον ἐμοῦ, ἐκάλεσε κατ' ἐμοῦ πανήγυριν ξυντρίψαι τοὺς ἐμοὺς νεανίσ-

---

10. εἶδε γὰρ ἔϑνη, ἦλϑον] refragante codice ed. sic distinguit: εἶδε γάρ· ἔϑνη ἦλϑον 11. ἐστονωμένοι] suspiceris mendum esse pro ἐστεναγμένοι. Sed ἐστόνωμαι iterum v. 21 legitur. ἔδωσαν cod. 12. ἐμόγωσεν (cf. not. ad v. 5)] cave addas με (הוֹגָה). 13. ἄπ' (sic) ἰαρδένην cod. Non mediocriter lapsus est (וַיִּרְדֶּנָּה) interpres, at certo neque ἄπ' neque ἀπ' (ita ed.) scripsit. 14. ἐγρηγορήϑη] ita scribendum duximus pro cod. ἐγρηγορήση· Ed. ἐγρηγόρησεν. Ceterum et LXX discrimen inter שָׂקַד et שָׁקַד non agnoverunt. τοῦ ἐγκλήματός μου] פְּשָׁעִי pro פְּשָׁעַי

χους· ληνὸν ἐπάτησεν ούμὸς δεσπότης τῇ παρθένῳ θυγατρὶ ἰεούδᾳ.

[16] Ἐπὶ τούτοις ἐγὼ κλαίω, ὀφθαλμὸς ἐμὸς, ὀφθαλμὸς ἐμὸς κάτεισιν ὕδωρ· ἀπέστη γάρ μου παραμυθούμενος, στρέφων ψυχὴν ἐμήν. ὑπῆρξαν οἱ ἐμοὶ υἱεῖς φροῦδοι, καὶ γὰρ ἐκρατύνθη ὁ ἐχθρός.

[17] Ἔτεινε σιὼν ἐν χερσὶν αὐτῆς, οὐδεὶς παρήγορος ταύτῃ. ἐκέλευσεν ὁ ὀντωτὴς εἰς ἰακῶβον· κύκλῳ οἱ οἱ στενωταί οἱ, ὑπῆρξεν ἱερουσαλάμη εἰς μέταρσιν μέσον αὐτῶν.

[18] Δίκαιός ἐστιν ὁ ὀντωτής· τῷ γὰρ αὐτοῦ στόματι ἀντῆρα. ἀκούσατε δὴ, πάντες λαοὶ, θεάσασθέ τε τοὐμὸν ἄλγος· αἱ ἐμαὶ παρθένοι οἵ τ' ἐμοὶ νεανίσκοι ἀπῆλθον εἰς ἀνδραποδισμόν.

[19] Ἐβόησα τοῖς ἐμοῖς φίλοις, ἐκεῖνοι ἠπάτησάν με· οἱ ἐμοὶ ἱερεῖς οἵ τ' ἐμοὶ πρεσβύται ἐν τῇ πόλει τεθνάσιν, ἐζήτησαν γὰρ βρῶμα ἑαυτοῖς κἄστρεψαν τὴν ἑαυτῶν ψυχήν.

[20] Θέασαι, ὀντωτὰ, στενὸν γάρ μοι, αἱ ἐμαὶ χολάδες ἐκορκορυγήθησαν, ἔστραπται ἡ ἐμὴ καρδία ἐν μέσῳ μου· τῷ γὰρ ἀνταίρειν ἀντῆρα· ἔξωθεν ἠτέκνωσε ξίφος, οἴκοι ὡς μόρος.

[21] Ἀκούσατε ὅτι ἐστόνωμαι, οὐδεὶς παρήγορός μοι· πάντες οἱ ἐμοὶ ἐχθροὶ ἐπύθοντο τὴν ἐμὴν κάκωσιν, ἥσθησαν, σὺ γὰρ ἐποίησας. ἤνεγκας ἡμέραν, ἐκάλεσας, τελέσουσί θ' ὥσπερ ἐγώ.

[22] Ἀφίκοιτο πᾶσα ἡ σφῶν κακία ἐπίπροσθέν σου, αἰτίασαί τε σφᾶς καθάπερ ᾐτίασαι μὲ ἐπὶ πᾶσι τοῖς ἐμοῖς ἐγκλήμασι· πολλοὶ γὰρ οἱ ἐμοὶ στόνοι, καὶ ἡ ἐμὴ καρδία ἀλγεινή.

II. [1] Πῶς νεφώσειεν ἐν θυμῷ οἱ ὁ ἐμὸς δεσπότης τὴν θυγατέρα σιῶνα· ἔρριψεν ἀπ' οὐρανῶν γῇ τὴν καλλονὴν ἰσραέλου, καὶ οὐκ ἐμνήσθη τοῦ ὑποποδίου τῶν αὐτοῦ ποδῶν ἐν ἡμέρᾳ τοῦ αὐτοῦ θυμοῦ.

---

19. ἐβόησα recte jam pro cod. ἐβόησαν ed. οἱ ἐμοὶ οἱ ἱερεῖς cod. τέθνασιν cod. et ed. Cf. Gen. VII, 22. Exod. IV, 19 cet. 20. ἐκορκορυγήθησαν] vocem frequentem esse apud Aristophanem, Villoison adnotavit. Quod vix de substantivo κορκορυγή dici potest, nequaquam de verbo κορκορυγέω, nisi quod semel (Nub. 386) composito διακορκ. utitur. 21. Ἀκούσατε] שִׁמְעוּ pro שָׁמְעוּ. Item LXX. ἐστόνωμαι] cf. v. 11. ἐκάλεσας] supplendum ἦν, quod addere nimis anxie non ausus est (יוֹם־קָרָאתָ).

[2] Κατέφϑειρεν ὁ όντωτὴς καὶ οὐκ ῴκτίσατο ξύμπαντα τὰ ὡραῖα ἰακώβου, καϑεῖλεν ἐν χόλῳ οἱ τὰ ἰσχυρώματα τῆς ϑυγατρὸς ἰεούδου, ἤγγισε τῇ γῇ, ἐβεβήλωσε τὴν ταύτης βασιλείαν καὶ τοὺς ταύτης ἄρχοντας.
[3] Κατέτεμεν ἐν ὀργῇ ϑυμοῦ πᾶν κέρας ἰσραέλου, ἔστρεψεν ὀπίσω τὴν ἑαυτοῦ δεξιὰν ἀπὸ προσώπου ἐχϑροῦ, ἔκαυσέ τ' ἐν ἰακώβῳ ἐν πυρί, φλὸξ βέβρωκε κύκλῳ.
[4] Ἐπάτησε τὸ τόξον ἑαυτοῦ ὡς ἐχϑρὸς, ἔστη ἡ δεξιά οἱ ὡς στενωτὴς, κἀπέκτεινε πάντ' ἐφετὰ ὀφϑαλμοῦ· εἰς σκηνὴν τῆς ϑυγατρὸς σιῶνος ἔχεεν ὡς πῦρ τὴν ἑαυτοῦ χολήν.
[5] Ἐτέλεσεν οὐμὸς δεσπότης ὡς ἐχϑρὸς, ἔφϑειρεν ἰσραέλον, ἔφϑειρε πάντα τὰ μέγαρα ταύτης, ὤλεσε τὰ ὀχυρώματά οἱ, κἄβαλεν ἐς τὸν δόμον ἰεούδου πένϑησιν καὶ πένϑος.
[6] Κάξεῖλεν ὡς παράδεισον τὴν καλύβην ἑαυτοῦ, ἔφϑειρε τὸν ἑαυτοῦ ξυναγμόν· ἐπέλησεν ὁ όντωτὴς ἐν σιῶνι πανήγυριν καὶ παῦλαν, ἐμυσάξατό τ' ἐν χόλῳ ϑυμοῦ οἱ βασιλέα καὶ ἱερέα.
[7] Ἀπέλασεν ὁ όντωτὴς τὸ ϑυτήριον ἑαυτοῦ, ἐπιλέλησται τῷ ἱερεῖ οἱ, ἔκλεισεν ἐν χειρὶ ἐχϑροῦ τὸ τεῖχος τῶν αὐτῶν μεγάρων· φωνὴν ἔδοσαν οἶκοι τοῦ όντωτοῦ ὡς ἡμέρᾳ πανηγύρεως.
[8] Ἐλογίσατο ὁ όντωτὴς φϑεῖραι τὸ τεῖχος τῆς ϑυγατρὸς σιῶνος· ἔκλινε γραμμὴν, οὐκ ἔστρεψε τὴν ἑαυτοῦ χεῖρα πρὸς τοῦ ὀλλύναι· καὶ πεπένϑηται δύναμις καὶ τεῖχος, ἅμα ἠσϑένησαν.
[9] Ἐβυϑίσϑησαν ἐν γῇ αἱ πύλαι ταύτης, ὤλεσε ξυνέτριψέ τε τοὺς αὐτῆς μοχλούς· ὁ ταύτης βασιλεὺς οἵ τ' αὐτῆς ἄρχοντες ἐν τοῖς ἔϑνεσιν οὐκ ὄντος νόμου, ἔτι οἱ ταύτης προφῆται οὐχ εὗρον ϑεωρίαν πρὸς τοῦ όντωτοῦ.

II. 2. ὁ όντωτὴς] יְהֹוָה (ita plures codd. Kenn.) pro אֲדֹנָי. Item v. 7. 19. 20 cet. ὠκτήσατο (non ἐκτήσατο ut Vill. legit) cod. Cf. v. 17. ὡραῖα] ita quoque LXX נְאוֹת reddiderunt, quasi ad נָאוָה pertineret (cf. Cant. I, 5. II, 14 cet.). ἰσχυρώματα] fort. ὀχυρώματα (cf. v. 5. Num. XXXII, 36 cet.). τὴν ταύτης βασιλ.] ac si מַמְלַכְתָּהּ scriptum esset, non מַמְלָכָה. Assentiunt LXX. 3. ἐν πυρί] בְּאֵשׁ pro כְּאֵשׁ. Cf. v. sq. 5. ἐς τὸν δόμον] בְּבֵית pro בְּבַת 6. ἐπέλησεν] *oblivisci fecit* (Vill.). 7. τῷ ἱερεῖ] l. τοῦ ἱεροῦ (מִקְדָּשׁוֹ). Nusquam ἐπιλανϑάνεσϑαι cum dativo jungit (cf. Gen. XL, 23. Deut. XXIV, 19 cet.). τὸ τεῖχος] sing. pro plur. (חוֹמֹת). Item LXX. αὐτῶν] l. αὐτῆς (אַרְמְנוֹתֶיהָ). Cf. v. 5. 9. ἔτι οἱ κτλ.] invito codice ed. sic distinguit: (νόμου) ἔτι, οἱ κτλ.

[10]Ἐκαθέσθησαν γῆθι, ἐσίγησαν πρέσβυτες θυγατρὸς σιῶνος, ἀνήνεγκαν χοῦν ἐπὶ σφετέρας κεφαλῆς, ἐζώσαντο σάκκους· κατήνεγκαν ἐς γῆν τὴν κεφαλὴν αὐτῶν αἱ παρθένοι ἱερουσαλάμης.
[11]Ὤχοντο ἐν δάκρυσι τὼ ὄμματέ μου, ἐκορκορύγησαν αἱ ἐμαὶ χολάδες, κέχυται εἰς γῆν τοὐμὸν ἧπαρ ἐπὶ τῇ ξυντριβῇ τῆς θυγατρὸς τοῦ ἐμοῦ λεὼ, ἐν τῷ κατηφειᾶν βρέφος καὶ θηλάζον ἐν πλατείαις ἄστεος.
[12]Ταῖς μητράσι σφῶν ἔφησαν· ποῦ σῖτος οἰνός τε; ἐν τῷ κατηφειᾶν αὐτοὺς κατὰ τραυματίαν ἐν πλατείαις πόλεως, ἐν τῷ κεχύσθαι τὴν αὐτῶν ψυχὴν πρὸς κόλπον τῆς αὐτῶν μητρός.
[13]Τί σοι μαρτυροῦμαι τί θ' ὁμοιώσω σοι, ὦ θύγατερ ἱερουσαλάμη; τί ἰσώσω σοι καὶ παραμυθήσομαί σε, παρθένε θύγατερ σιών; μεγάλη γὰρ κατὰ τὴν θάλατταν ἡ σὴ ἐπιτριβή· τίς θεραπεύσει σε;
[14]Οἱ σοὶ προφῆται ἐθεώρησάν σοι ψεῦδος καὶ ῥίπτημα, οὔτ' ἀπεκάλυψαν ἐπὶ τῷ ἀλιτήματί σου ὥστε στρέψαι τὴν σὴν αἰχμαλωσίαν, ἐθεώρησάν τέ σοι ἅρματα ψευδῆ καὶ ἀγλόσματα.
[15]Ἐκρότησαν ἐπὶ σοὶ παλάμας πάντες διϊόντες ὁδῷ, ἐσύριξαν ἐκίνησάν τε κεφαλὴν αὐτῶν ἐπὶ τῇ θυγατρὶ ἱερουσαλάμῃ· ἆρ' ἥδ' ἡ πόλις ἣν φάσκοιεν ὁλότητα κάλλους, γάνος ἁπάσης τῆς γῆς;
[16]Ἤνοιξαν κατὰ σὲ τὸ στόμα σφῶν πάντες ἐχθροί σου, ἐσύριξαν ἔβρυξάν τ' ὀδόντα, εἶπον· κατεφθείραμεν· πλὴν ταύτην τὴν ἡμέραν ἣν περιεμείναμεν αὐτὴν, εὕρομεν, τεθεάμεθα.
[17]Ἐποίησεν ὁ ὀντωτὴς ἃ λελόγισται, ἐτέλεσε τὴν ἑαυτοῦ ῥῆσιν ἣν ἐκέλευσεν ἀφ' ἡμερῶν προτέρων, καθεῖλεν οὔτ' ᾠκτίσατο· κάτέρφθη ἐπὶ σοὶ ἐχθρὸς, ὕψωσε κέρας σῶν στενωτῶν.
[18]Ἐβόησεν ἡ σφῶν καρδία πρὸς δεσπότην τὸν ἐμὸν, τὸ τεῖχος τῆς θυγα-

10. εἰς (γῆν) c. cd. ed. 12. ποῦ] ita recte pro cod. πᾶς ed. 14. ἅρματα cod. et ed. Cf. Num. IV, 19. 24 cet. ἀγλόσματα] ita corrupte cod. (et ed.). Legendum puto ἀπώσματα. Cf. Deut. XXX, 4 (נִדַּחֲךָ ἡ ἄπωσίς σου) etc. 15. ἐκρότησαν] sic ipse cod., non ἐκρίτησαν ut Vill. legit. αὐτῶν c. cd. ed. ἱερουσαλάμη (non -ης ut ed.) cod. Cf. v. 10. 13. 16. κατὰ σὲ] ita ed. Cod. σὲ om. ὀδόντα] sic cod., non ὀδόντας ut Mor. profert. 17. κάτέρφθη] וַיְשַׂמַּח pro וַיְשַׁמַּח. Cf. Prov. XV, 30. XXVII, 9. 11 (aliter X, 1. XV, 20 cet.). στενωτῶν] hoc procul dubio restituendum est pro cod. στεμάτων (ed. στεμμάτων). Cf. v. 4. I, 5. 7.

τρὸς σιῶνος· κατήνεγκαν ὡς χειμάρρουν δάκρυον ἦμαρ καὶ νύκτωρ· μὴ δῷς ἔνδοσιν σαυτῷ, μήτ' ἠρεμείτω κόρη ὄμματός σου.

[19] Ἔγειραι ἀλάλαξον ἐν τῇ νυκτὶ ἐς κρᾶτα φυλακῶν, χέον ὡς ὕδωρ τὴν σὴν καρδίαν ἐνώπιον τοῦ προσώπου τοῦ ὀντωτοῦ, ἆρον πρὸς αὐτὸν τὰς σὰς παλάμας ἐπὶ ψυχῇ τῶν σῶν βρεφῶν τῶν κατηφειώντων ἐν λιμῷ ἐν κρατὶ πασῶν ἐξόδων.

[20] Θέα, ὀντωτά, κατένιζε τίνα ἠτίασαι τῇδε. εἰ ἔδοιντο γυναῖκες τὸν καρπὸν αὐτῶν, τὰ βρέφη τῆς τροφῆς; εἰ ἀποκτανθείη ἐν ἱερῷ τοῦ ὀντωτοῦ ἱερεὺς καὶ προφήτης;

[21] Ἀνακέκλινται τῇ γῇ τῶν ἐξόδων νέος πρέσβυς τε· ἐμαὶ παρθένοι καὶ οἱ ἐμοὶ νεανίσκοι ἔπεσον ἐν ξίφει. ἐφόνευσας ἐν ἡμέρᾳ θυμοῦ σου, ἐκρεωνόμησας, οὐκ ᾠκτίσω.

[22] Βοήσεις ὡς ἡμέρᾳ πανηγύρεως τὰ δείματά μοι κύκλωθεν, οὔθ' ὑπῆρξεν ἐν ἡμέρᾳ τοῦ θυμοῦ τοῦ ὀντωτοῦ ἀπάλλαγμα καὶ περίλειμμα· οὓς ἐπύκτευσα κάθρεψάμην, οὑμὸς ἐχθρὸς ὤλεσεν αὐτούς.

III.

[1] Ἐγὼ ὁ ἀνήρ, τεθέαται τὴν ἐμὴν ταλαιπωρίαν ἐν σκήπτρῳ τῆς ὀργῆς αὐτοῦ. [2] ἐμὲ ὡδήγησεν ἤγαγέ τε σκότει καὶ οὐ φωτί.

[3] Πλὴν εἰς ἐμὲ στραφήσεται, στρέψει τὴν αὐτοῦ χεῖρα πάσῃ τῇ ἡμέρᾳ. [4] Ἔφθειρε σάρκα τὴν ἐμὴν τό τ' ἐμὸν δέρμα, ξυνέτριψε τἀμὰ ὀστᾶ· [5] δεδόμηται ἐπ' ἐμοῦ καὶ περιέσχε κεφαλὴν καὶ μογήσει.

[6] Ἐν σκοτεινοῖς ἐκάθισέ με κατὰ θνητοὺς αἰῶνος.

[7] Ὡροθέτησε κατ' ἐμοῦ, καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνε τὸν ἐμὸν χαλκόν. [8] ἔτι ἐπὰν βοῴην καὶ κραυγάζοιμι, ἔφραξε τὴν ἐμὴν λιτήν.

---

18. κατήνεγκαν] הוֹרִידוּ (cf. v. 10) pro הוֹרִידִי? An legendum κατένεγκον (ita ed.)? 20. εἰ ἀποκτανθείη] in codice post τροφῆς, spatio quatuor fere literarum interjecto, in linea exeunte legitur εἰ, tum linea insequens orditur voce ἀποκτ. Ed. εἰ om. 21. ἐκτίσω cod. Cf. v. 2. 17. III, 43. 22. κύκλοθεν c. cd. ed. At ita alibi (cf. Deut. XII, 10. XXV, 19). αὐτούς] αὐτὰ cod. Recte jam ed.

III. 1. τεθέαται] supplendum ὃς, quod consulto omisit translator (אֲנִי הַגֶּבֶר רָאָה). Cf. Num. XXIII, 8. 5. δεδόμηται] sensu activo. Cf. Gen. XII, 7. Prov. IX, 1. μογήσει] ambigi potest utrum dativus sit substantivi μόγησις (cf. Eccl. XII, 12), an futurum verbi μογέω (וַיִּתְלָאֶה). Cf. Exod. XVIII, 8. Num. XX, 14.

[9] Ὡρίσατο τὰς ἐμὰς ὁδοὺς ἐν λαξείᾳ, τὰς ἐμὰς διόδους ἐσκολίωσεν. [10] Ἄρκος λοχῶν τυγχάνει μοι, λέων ἐν λαθραίοις. [11] τὰς ἐμὰς ὁδοὺς ἐκνεύει κἀδίχασέ με, ἔθηκέ με φροῦδον.

[12] Πεπάτηκε τόξον αὐτοῦ κἄστησέ με ὡς σκοπὸν τῷ βέλει.

[13] Ἤνεγκεν εἰς τοὺς ἐμοὺς νεφροὺς υἱεῖς αὐτοῦ φαρέτρας. [14] ὑπῆρξα γέλως παντὶ τῷ ἐμῷ λεῷ, ᾆσμα σφῶν πάσῃ τῇ ἡμέρᾳ.

[15] Ἐκόρεσέ με ἐν πικρίαις, πέπλισκέ με ἀψινθίου.

[16] Ἔθραυσέ τ' ἐν ψηφίδι τοὺς ἐμοὺς ὀδόντας, ἐνείλησέ με σποδῷ. [17] ἀπέστη τ' ἀπ' εἰρήνης ἡ ἐμὴ ψυχὴ, ἐπιλέλησμαι χρηστότητος.

[18] Ἔφην τ' ὤλετο τοὐμὸν αἷμα ἢ τ' ἐμὴ καραδοκία πρὸς τοῦ ὀντωτοῦ. [19] Μνήσθητι τῆς ἐμῆς ταλαιπωρίας καὶ τῆς ἐμῆς τληπαθείας, ἀψινθίου καὶ δηλητηρίου.

[20] Τῷ μνημονεύειν μνημονεύσεις καὶ κάμψεις ἐπ' ἐμὲ τὴν ἐμὴν ψυχήν. [21] τοῦτ' ἀποστρέψω πρὸς τὴν ἐμὴν καρδίαν, διόπερ ἐλπιῶ. [22] Οἱ ἔλεοι τοῦ ὀντωτοῦ, ὅτι οὐκ ἐτελευτήσαμεν· οὐ γὰρ ἐξέλιπον οἱ αὐτοῦ οἰκτιρμοί, [23] καινοὶ καθ' ἕω· πολλὴ ἡ σὴ πίστις. [24] Μερὶς ἐμὴ ὁ ὀντωτὴς, ἔφη ἡ ἐμὴ ψυχή· διόπερ ἐπελπιῶ ἐπ' αὐτόν.

[25] Χρηστὸς ὁ ὀντωτὴς τοῖς μένουσιν αὐτὸν, εἰς ψυχὴν ζητήσεις αὐτόν· [26] χρηστὸς, περιμενεῖ τε καὶ σιγηλὸς εἰς σωτηρίαν τοῦ ὀντωτοῦ.

[27] Χρηστὸς τῷ ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητί οἱ·

[28] Καθεσθήσεται μόνως καὶ σιγήσει, ἔρριψε γὰρ ἐπ' αὐτοῦ· [29] δώσει εἰς χοῦν τὸ ἑαυτοῦ στόμα· ἴσως ἐστὶν ἐλπίς.

[30] Δώσει τῷ τύπτοντί ἑ κόρρην, κορεσθήσεται ἐν ὀνείδει. [31] Οὐ γὰρ ἀπώσεται ἐς αἰῶνα οὑμὸς

---

9. διόδους recte Mor. ex codice attulit pro ed. ὁδοὺς, sed deinceps ἐσκολίωσεν scriptum est, non ἐκολίωσε (sic) ut ait. 12. πεπάτηκε] „cf. II, 4 ἐπάτησε a πατεῖν *versare*" (Mor.). αὐτοῦ c. cd. ed. 15. πέπλισκε] ita corrupte, ut videtur, pro πεπλήρωκε (הִרְוַנִי) cod. Vix recte Dahl. (ad Prov. XI, 25) πέπλυσκε commendat, „tamquam imperfectum poëticum verbi πλύω, a quo πλύνω tempora sua mutuat, hoc sensu: *proluit, irrigavit me absynthio.*" Cf. Prov. V, 19. VII, 18. ἀψινθίου cod. itemque v. 19. Cum spiritu leni Deut. XXIX, 17. Prov. V, 4. 20. μνημονεύσαις cod. 25. ζητήσεις] sic cod., non ζητήσειε ut ed. 29. δώσει εἰς χοῦν] δώσεις χοῦν cod., δώσει χοῦν ed.

δεσπότης· [32] ἐπεὶ εἴπερ ἐμόγωσε, καὶ ἐλεήσει κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ. [33] Οὐ γὰρ ἐταπείνωσεν ἀπὸ καρδίας ἑαυτοῦ κἀμόγωσεν υἱεῖς ἀνδρός·
[34] Ὥστ' ἐπιτρίψαι ὑπὸ τοῖς αὐτοῦ ποσὶ πάντας δεσμώτας γῆς,
[35] ὥστε κλῖναι κρίσιν ἀνδρὸς ἀντικρὺ προσώπου τοῦ ὑψίστου·
[36] Σκολιοῦν ἄνθρωπον ἐν τῇ αὐτοῦ δίκῃ, ὁ ὀντωτὴς οὐχ ἑώρακε.
[37] Τίς οὗτος· ἔφη, κάτέλεσεν; οὑμὸς δεσπότης οὐκ ἐνετείλατο.
[38] ἀπὸ προσώπου ὑψίστου οὐ προελεύσεται τὰ κακὰ καὶ τὸ χρηστόν.
[39] Τί ψευσθήσεται ἄνθρωπος ζῶν, ἀνὴρ ἐπὶ ταῖς ἁμαρτίαις ἑαυτοῦ; [40] Ἐρευνήσωμεν τὰς ἡμετέρας ὁδοὺς, ἐτάσωμεν, στραφῶμέν τε μέχρι τοῦ ὀντωτοῦ. [41] ἄρωμεν τὴν ἡμῶν καρδίαν πρὸς παλάμας πρὸς θεὸν εἰς οὐρανούς.
[42] Ἡμεῖς ἠλίτομεν κἀντήραμεν, σὺ οὐ ξυνέγνως.
[43] Ἐκάλυψας ἐν θυμῷ κἀδίωξας ἡμᾶς, ἀπέκτεινας, οὐκ ᾠκτίσω. [44] Ἐκάλυψας ἐν νέφει σαυτῷ πρὸς τοῦ διϊέναι προσευχήν. [45] ξύσμα καὶ μύσος ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λεῶν. [46] Ἔχηναν καθ' ἡμῶν τὸ στόμα σφῶν πάντες οἱ ἡμῶν ἐχθροί. [47] φόβος ὄρυγμά θ' ὑπῆρξεν ἡμῖν, ἡ ἄρσις καὶ ξυντριβή.
[48] Μερισμοὺς ὑδάτων καταβήσεται τοὐμὸν ὄμμα ἐπὶ τῷ ξυντριμμῷ τῆς θυγατρὸς τοῦ ἐμοῦ λεώ. [49] Οὑμὸς ὀφθαλμὸς ἐκυλινδόθη, οὔτ' ἠρεμήσει ἀπ' οὐκ ἀποριῶν, [50] ἄχρις ἂν προκύψειε θεάσαιτό θ' ὁ ὀντωτὴς οὐρανόθεν.
[51] Τοὐμὸν ὄμμα ἠτίαται τῇ ἐμῇ ψυχῇ πρὸς πάντων θυγατέρων τοῦ ἐμοῦ λεώ.
[52] Τῷ θηρᾶσθαι ἐθηράσαντό με ὡς ὄρνιν οἱ ἐμοὶ ἐχθροὶ χάριν,
[53] ἔτεμον ἐν βόθρῳ τὴν ἐμὴν ζωὴν κἄρριψαν λίθον εἰς ἐμέ.

---

32. ἐμόγωσε] sic cod. Cf. not. ad I, 5. 36. ὀντωτὴς] יְהֹוָה pro אֲדֹנָי cum multis codd. 38. ἀπὸ προσώπου] מִפְּנֵי pro מִפִּי 39. ψευσθήσεται] similiter Num. XI, 1 reddidit הִתְאוֹנֵן (συκοφαντέω). 42. Inter κἀντήραμεν et σὺ spatium trium fere literarum vacuum. At nihil excidit. 43. ἀπέκτεινας cod., non ἀπόκτεινας (sic) ut ed. 45. μῦσος c. cd. ed. ἔθηκεν cod. Errorem jam Vill. sustulit. 46. ἔχηναν, non κέχ., cod. Cf. Gen. IV, 11. Deut. XI, 6. 47. ἡ ἄρσις] quasi הַשְּׂאֵת scriptum esset, non הַשֵּׁאת. Assentiunt LXX (ἔπαρσις). 49. ἐκυλινδόθη] sic scriptum est. 51. τοῦ ἐμοῦ λεώ] עַמִּי (cf. v. 48 fin.) pro עִירִי

[54] Ἔπλευσαν ὕδατα ὑπὲρ τὴν ἐμὴν κεφαλὴν, ἔφην· ἐκτέτμημαι. [55] Ἐκάλεσα τοὔνομα τὸ σὸν, ὀντωτὰ, ἐκ βοθύνου τῶν κατωτέρων· [56] τὴν ἐμὴν φωνὴν ἐπύθου, μὴ καλύψῃς τὸ σὸν οὖς ἀπὸ τοῦ ἐμοῦ πλατυσμοῦ, τῇ ἐμῇ κραυγῇ.

[57] Ἤγγισας ἐν ἡμέρᾳ ᾗ ἐβόησά σοι, ἔφης· μὴ πτοοῦ.

[58] Ἐδίκασας, δέσποτ' ἐμὲ, τὰς δίκας τῆς ἐμῆς ψυχῆς, ἐρρύσω τὴν ἐμὴν βιοτήν. [59] ἑώρακας, ὀντωτὰ, τὴν ἐμὴν σκολίωσιν· κρῖνον κρίσιν τὴν ἐμήν.

[60] Τεθέασαι πᾶσαν τὴν σφῶν ἐκδίκησιν, πάσας τὰς ἐννοίας σφῶν κατ' ἐμοῦ.

[61] Ἐπύθου τοὔνειδος αὐτῶν, ὀντωτὰ, πάσας τὰς αὐτῶν ἐννοίας κατ' ἐμοῦ, [62] τὰ χείλη τῶν ἐγειρομένων μοι καὶ τὴν μελέτην σφῶν κατ' ἐμοῦ πάσῃ τῇ ἡμέρᾳ. [63] Τὴν καθέδραν σφῶν τήν τ' ἔγερσιν αὐτῶν ἀτένισον· ἐγὼ μελῴδημα σφῶν. [64] ἀντίτισον σφίσι τίσιν, ὀντωτὰ, κατὰ τοὔργον τῶν αὐτῶν χερῶν· [65] δώσεις αὐτοῖς ἀλυσμὸν καρδίας, τὴν σὴν ἀρὰν αὐτοῖς. [66] Διώξεις ἐν θυμῷ κἀξολεῖς αὐτοὺς κάτωθεν τῶν οὐρανῶν τοῦ ὀντωτοῦ.

IV. [1] Πῶς κρυβήσεται ὁ χρυσὸς, ἀμείψει ὁ ἀπυρόχρυσος ὁ χρηστὸς, χεθήσονται οἱ λίθοι τοῦ ἁγίου ἐν κρατὶ πασῶν ἐξόδων.

[2] Υἱεῖς σιῶνος οἱ τίμιοι, οἱ κατατεταγμένοι κατὰ τὸν ἀπυρόχρυσον, πῶς ἐλογίσθησαν εἰς ἀσκοὺς ὀστρακίνους, ἔργον χειρῶν κεραμέως.

[3] Ἔτι δράκων, ἐξήνεγκαν τιτθὸν, ἐθήλασαν σκύλακας αὐτῶν· ἡ θυγάτηρ τοῦ ἐμοῦ λεὼ εἰς ἀπηνῆ, ὡς σειρῆνες ἐν τῇ ἐρήμῳ.

[4] Κεκόλληται γλῶττα θηλάζοντος πρὸς τῇ αὐτοῦ φάρυγγι ἐν δίψει· βρέφη ἐζήτησαν ἄρτον, ὀρέγων οὐκ ἔστιν αὐτοῖς.

[5] Οἱ ἐσθίοντες τὰ ἡδέα ἔπνευσαν ἐν ταῖς ἐξόδοις, οἱ τεθραμμένοι ἐπὶ σκώληκος περιεπλάκησαν ὄνθους.

56. ἀπὸ τοῦ ἐμοῦ πλατυσμοῦ] crediderim eum מֵרְוָחָתִי legisse pro לְרַ', quia insequens לְשַׁוְעָתִי dativo (τῇ ἐμῇ κραυγῇ) reddit. 59. κρίνον cod. Cf. Prov. XXXI, 9. Prol. I, 4, c. 60. κατ' ἐμοῦ] עָלַי (ita multi codd.) pro לִי t. rec. Cf. v. sq.

IV. 3. δράκων] תַּנִּין (Chethîb) pro תַּנִּים (Kerî). ἐξήνεγκαν cod., non ἐξήνεγκεν ut ed. (חָלְצוּ). 4. θηλάζωντος cod.

[6] Κἀμεγαλύνϑη τὸ ἀλίτημα τῆς ϑυγατρὸς τοῦ ἐμοῦ λεὼ ὑπὲρ ἁμαρτίαν ξεδόμης τῆς ἀντεστραμμένης ὥσπερ ἀτόμῳ, οὔτ' ἠσϑένησαν ἐν αὐτῇ χεῖρες. [7] Ἐκαϑάρϑησαν οἱ ταύτης ἀφοριστοὶ ὑπὲρ χιόνα, ἠγνίσϑησαν ὑπὲρ γάλα, ἠρυϑράνϑησαν τὸ ὀστοῦν ὑπὲρ τὰς λίϑους, σάπφειρος ἡ ἀποτομὴ σφῶν. [8] Ἐσκότισται ὑπὲρ μέλαν ἡ ὄψις αὐτῶν, οὐκ ἐπεγνώσϑησαν ἐν ἐξόδοις· κεκόλληται τὸ δέρμα σφῶν ἐπὶ τοῦ σφῶν ὀστοῦ, ἐξήρανται, ἐτέλεσεν ὡς ξύλον.

[9] Βελτίους γεγόνασι τραυματίαι ξίφους τραυματιῶν τοῦ λιμοῦ, ᾧ αὐτοὶ ῥεύσαιεν κεκεντημένοι ὑπὲρ ἔκφυσιν ἀρούρης.

[10] Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν, ὑπῆρξαν εἰς τὸ σιτίζειν αὐτὰς ἐν ἐπιτριβῇ τῆς ϑυγατρὸς τοῦ ἐμοῦ λεώ. [11] Ἐτελεύτησεν ὁ ὀντωτὴς τὸν ἑαυτοῦ χόλον, ἔχεε τὴν ὀργὴν τοῦ ἑαυτοῦ ϑυμοῦ κἀνῆψε πῦρ ἐν σιῶνι, βέβρωκέ τε τοὺς αὐτῆς ϑεμέϑλους.

[12] Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς οἵτινεσοῦν τε κάϑεδροι τῆς οἰκουμένης, ὡς ἐλεύσοιτο στενωτὴς καὶ ἐχϑρὸς ἐς τὰς πύλας ἱερουσαλάμης·

[13] Πρὸς τῶν ἁμαρτιῶν τῶν ταύτης προφητῶν, ἀλιτημάτων τῶν ταύτης ἱερέων, τῶν χεόντων ἐν μέσῳ ταύτης αἷμα δικαίων.

[14] Κεκίνηνται τυφλοὶ ἐν ἐξόδοις, μεμόλυνται ἐν αἵματι, ἐν οἷς οὐκ ἰσχύσουσι, ϑίξουσιν ἐν τοῖς περιβολαίοις αὐτῶν.

[15] Ἐκνεύσατε, μιαρὸν καλέσατε αὐτούς· ἐκνεύσατε ἐκνεύσατε, μὴ ἅψησϑε· ὅτι ἐπετάσϑησαν, ἔτι κεκίνηνται. εἶπον ἐν τοῖς ἔϑνεσιν· οὐ προσϑήσουσι παροικεῖν.

[16] Τὸ πρόσωπον τοῦ ὀντωτοῦ ἐμέρισεν αὐτούς, οὐ προσϑήσει ἀτενίζειν αὐτούς· πρόσωπον ἱερέων οὐκ ἦραν, γέροντάς τ' οὐκ ᾤκτειραν.

[17] Ἔτιπερ ἡμεῖς, οἰχήσονται οἱ ἡμῶν ὀφϑαλμοὶ πρὸς τὴν ἡμῶν

---

7. χίονα cod. Recte χιόνα prima manus Exod. IV, 6. Cf. Num. XII, 10. Prov. XXV, 13 cet. 8. ἐξήρανται cod., non ἐξήραται ut ed. 9. ἀρούρης] cf. Deut. XXXII, 13. 11. τοὺς αὐ. ϑεμέϑλους] sic, non τὰ αὐ. ϑέμεϑλα, cod. 12. οἵτινεσοῦν τε] וְכֹל pro כֹּל (Kerî). In v. 16 vicissim וּזְקֵנִים reddidit (γέροντάς τ'), ubi זְקֵנִים scriptum. 14. ἐν οἷς] ἐνοῖς cod. Cf. Prol. I, 4, d. 15. καλέσατε] קִרְאוּ pro קָרְאוּ. Item LXX.

βοήϑειαν μάτην, ἐν τῇ ἀφοράσει ἡμῶν ἀπείδομεν πρὸς ἔϑνος, οὐ σώσειεν.

[18] Ἐϑηράσαντο τὰς διαβάσεις ἡμῶν πρὸς τοῦ βαδίζειν ἐν ταῖς ἡμῶν πλατείαις. ἤγγισε τὸ τέλος ἡμῶν, πεπλήρωνται αἱ ἡμῶν ἡμέραι· καὶ γὰρ ἀφῖκται τὸ ἄκρον ἡμῶν.

[19] Κουφότεροι ἐτέλεσαν οἱ διῶκται ἡμῶν ἀετῶν οὐρανῶν· ἐπὶ τῶν ὀρέων ἐδίωξαν ἡμᾶς, ἐν τῇ ἐρήμῳ ἐλόχησαν ἡμῖν.

[20] Τὸ πνεῦμα τοῦ μυκτῆρος ἡμῶν, ὁ χριστὸς τοῦ ὀντωτοῦ ξυνείληπται ἐν τοῖς αὐτῶν ϑηράτροις, ᾧ ἔφημεν· ἐν τῇ αὐτοῦ σκιᾷ βιώσομεν ἐν τοῖς ἔϑνεσι. [21] Τέρφϑητι καὶ γεγάννυσο, ϑύγατερ ἐδώμου καϑεζομένη ἐν γῇ οὔσου· κἀπὶ σὲ διαβήσεται τὸ ποτήριον, μεϑυσϑήσῃ καὶ ἀποκαλυφϑήσῃ.

[22] Τετέλεσται τὸ σὸν ἀλίτημα, ϑύγατερ σιὼν, οὐ προσϑήσει μετοικίζειν σε. ἐπεσκέψατο τὸ σὸν ἀλίτημα, ϑύγατερ ἐδώμου, ἀνεκάλυψεν ἐπὶ ταῖς σαῖς ἁμαρτίαις.

V. [1] Μνημόνευσον, ὀντωτὰ, τί ἐτέλεσεν ἡμῖν, ἀτένισον ϑέασαί τε τὸ ἡμέτερον ὄνειδος. [2] ἡ κληρονομία ἡμῶν ἔστραπται εἰς ἀλλοκότους, αἱ οἰκίαι ἡμῶν εἰς ἀλλοτρίους. [3] ὀρφανοὶ ἐτελέσαμεν καὶ οὐκ ὄντος πατρὸς, αἱ ἡμῶν μητέρες ὡς χῆραι. [4] τὸ ὕδωρ ἡμῶν ἐν ἀργύρῳ ἐπίομεν, τὰ ξύλα ἡμῶν ἐν τιμῇ ἥξουσιν. [5] ἐπὶ τῶν ἡμετέρων αὐχένων δεδιώγμεϑα, κεκμήκαμεν, οὐκ ἀφείϑη ἡμῖν· [6] αἴγυπτος ἔδοσαν χεῖρα, ἀσοῦρος κορέσασϑαι ἄρτῳ. [7] οἱ πατέρες ἡμῶν ἥμαρτον, ἥκιστά τ' εἰσίν· ἡμεῖς τὰ σφῶν ἀλιτήματα ἐβαστάσαμεν. [8] δοῦλοι ἦρξαν ἐν ἡμῖν ἀφαιρουμένου μηδενὸς πρὸς τῆς αὐτῶν χειρός. [9] ἐν ψυχῇ ἡμῶν οἴσομεν τὸν ἡμέτερον ἄρτον ἀπὸ προσώπου ξίφους τῆς ἐρήμου.

[10] Τὰ δέρμαϑ' ἡμῶν ὡς κλίβανος ἐμελάνϑησαν ἀπὸ προσώπου κλόνου λιμοῦ. [11] γυναῖκας ἐν σιῶνι ἐταπείνωσαν, παρϑένους ἐν

---

17. ἀφορήσει (ut ed.) corr. ἀφοράσει cod. Vocabulum ab ipso interprete fictum esse videtur ad Hebr. צְפִיָּה reddendum. οὐ σώσειεν] rursus pronomen relativum consulto omisit (אֶל־גּוֹי לֹא יוֹשִׁעַ). Cf. not. ad III, 1. 20. ἔφημεν] sic cod. Cf. Gen. XLII, 31. XLIV, 20 cet. 21. γεγάννυσο, non γεγάνυσο, cod. 22. τετέλεσμαι cod. Recte ed.

V. 6. ἔδοσαν] נָתְנוּ pro נָתַנּוּ. Similiter LXX, nisi quod cum sing. αἴγυπτος sing. praedicati composuerunt (ἔδωκεν). 10. τὰ δέρμαϑ'] עוֹרֵינוּ (ita multi codd.) pro עוֹרֵנוּ .

ταῖς πόλεσιν ἰεούδου. [12] ἄρχοντες ἐν ταῖς σφῶν χερσὶν ἤρτηνται, πρόσωπα γερόντων οὐ τετίμηνται. [13] νεανίσκοι ἀλήθειν ἦραν, νέοι τ' ἐν ξύλοις προσέκοψαν. [14] γέροντες ἀπὸ πύλης ἔπαυσαν, νεανίσκοι ἀπὸ μελῳδίας ἑαυτῶν. [15] ἔπαυσεν ἡ τέρψις τῆς ἡμετέρας καρδίας, ἔστραπται εἰς πένθος ὁ ἡμέτερος θίασος, [16] πέπτωκε τὸ στέφος τῆς ἡμῶν κεφαλῆς. αἴ δὴ ἡμῖν, ὅτι ἡμάρτομεν. [17] ἐπὶ τῷδε ὑπῆρξεν ἄχος τῆς ἡμῶν καρδίας, ἐπὶ τούτοις ἐσκοτίσθησαν τὰ ἡμῶν ὄμματα· [18] ἐπὶ τοῦ ὄρους σιῶνος ὃ πεφρούδωται, ἀλώπεκες ἐβάδισαν ἐν αὐτῷ. [19] Σὺ, ὀντωτὰ, ἐς αἰῶνα καθεδῇ, ὁ σὸς θρόνος εἰς γενεὰν καὶ γενεάν. [20] τοῦ χάριν ἐς ἀΐδιον ἡμῶν ἐπιλήσῃ, παρήσεις ἡμᾶς ἐς μῆκος ἡμερῶν; [21] ἐπίστρεψον ἡμᾶς, ὀντωτὰ, πρὸς σαυτὸν, κἀπιστρεψόμεθα· καίνισον τὰς ἡμῶν ἡμέρας ὡς πάλαι. [22] εἰ γὰρ τῷ μυσάττεσθαι ἡμᾶς ἐμυσάξω, ὤργισαι καθ' ἡμῶν ἄχρι τωνάγαν; ἐπίστρεψον ἡμᾶς.

---

12. ἤρτηνται] ita procul dubio emendandum erat cod. ἤρτυνται. Cf. Gen. XL, 19. Deut. XXI, 22. 13. ἀλήθειν] טְחוֹן male pro inf. cstr. habuit. 16. αἴ, non αἶ, cod. Cf. Eccl. X, 16. 20. ἡμῶν ἐπιλήσῃ cod. Ed. ἡμῶν om. εἰς (μῆκος) c. cd. ed. 22. τωνάγαν] sic cod. Cf. Gen. XXVII, 33 sq. ἐπίστρεψον ἡμᾶς] „Duo verba haec in codice quidem sunt, at linea subsignata, ut ea redundare innotescat ex versu praeced. repetita" (Mor.). Quasi vero forte quadam repetita essent. At sicuti in fine Prophetiae Jesaiae versus ab ultimo proximus addi solebat, ut verbis consolatoriis concluderetur (cf. Delitzsch ad Jes. LXVI, 24), ita quoque in fine Threnorum versus ille 21 repetebatur, ne querelis de ira Dei terminarentur.

I. Ἐν ἔτει τρίτῳ τῇ βασιλείᾳ ἰωϊακίμου τοῦ βασιλέως ἰεούδου ἥκει νεβουχαδνεσὰρ ὁ βασιλεὺς βαβέλης ἱερουσαλάμῃ κἀπολιόρκησε κατ' αὐτῆς. [2]ἔδωκεν οὖν ὁ ὀντωτὴς ἐν χειρί οἱ ἰωϊακίμην τὸν βασιλέα ἰεούδου καὶ μέρος τῶν σκευῶν τοῦ δόμου τοῦ θεοῦ, καὶ ἤνεγκε ταῦτα γῇ σινεάρος δόμῳ τοῦ θεοῦ οἱ· τὰ δὲ σκεύη ἤνεγκε τῷ δόμῳ τοῦ ταμιείου τοῦ θεοῦ οἱ. [3]ἔφη δ' ὁ βασιλεὺς ἀσπενάζῃ τῷ ἀρχιευνούχῳ οἱ ἀγαγεῖν πρὸς τῶν υἱέων ἰσραέλου πρός τε τοῦ σπόρου τῆς βασιλείας καὶ πρὸς τῶν λογάδων [4]παῖδας οἷς οὐκ εἴη ἐν αὐτοῖς ὁστισοῦν μῶμος καὶ εὐειδεῖς, ξυνετούς τ' ἐν πάσῃ σοφίᾳ καὶ εἰδότας εἴδησιν καὶ ξυνιέντας γνῶσιν, οἷς τ' ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν περγάμῳ τοῦ βασιλέως, καὶ διδάσκειν αὐτοὺς βίβλον γλῶττάν τε χασδαίων. [5]ὡρίσατό τ' αὐτοῖς ὁ βασιλεὺς πρᾶγμα ἡμέρας ἐν ἡμέρᾳ οἱ πρὸς τῆς θοίνης τοῦ βασιλέως πρός τε τοῦ οἴνου τῶν πότων οἱ, καὶ τρέφειν αὐτοὺς ἔτεσι τρισίν· ἀπ' ἄκρου δ' αὐτῶν σταῖεν ἐνώπιον τοῦ βασιλέως. [6]ἦν δ' ἐν αὐτοῖς πρὸς τῶν υἱέων ἰεούδου δανιέλος, χανανίας, μισαέλος καὶ ἀζαρίας. [7]κἄθηκεν αὐτοῖς ὁ ἄρχων τῶν σπαδώνων ὀνόματα· κἄθηκε τῷ δανιέλῳ βελτεσασάρ, τῷ δὲ χανανίᾳ σαδράχης, τῷ δὲ μισαέλῳ ματάχης, τῷ δ' αὖ ἀζαρίᾳ ἀβεδνεγώ. [8]κἄθετο δανιέλος ἐπὶ καρδίας ἑαυτοῦ ὡς μὴ μολυνθείη ἐν τῇ σιτήσει τοῦ βασιλέως κἂν τῷ οἴνῳ τῶν πότων αὐτοῦ· τοιγαροῦν ἐζήτησε πρὸς τοῦ ἄρχοντος τῶν σπαδώνων ὡς μὴ μολυνθείη. [9]ἔδωκε δ' ὁ θεὸς δανιέλον εἰς ἔλεον εἴς τ' οἰκτιρμοὺς ἐνώπιον τοῦ ἄρχοντος τῶν σπαδώνων. [10]κἄφη ὁ ἄρχων τῶν εὐνούχων δανιέλῳ· δέδια ἐγὼ τὸν ἐμὸν δε-

---

I. 1. νεβαχαδνεσὰρ cod. et ed. Cf. v. 18. II, 1 cet. αὐτῆς] αὐτῶν cod. Ita emendandum esse jam Vill. in marg. adnotavit (עֲלֶיהָ). 2. ὁ ὀντωτὴς] יְהוּדָה (ita solus cod. Kenn. 245) pro אֲדֹנָי. Cf. IX, 4. 7. ματάχης] l. μεσάχης (מֵישַׁךְ) ut infra (μεσάχας Dorice III, 12 etc.).

σπότην τὸν βασιλέα, ὃς ὡρίσατο τὴν ὑμετέραν ἑστίασιν τά ϑ' ὑμέτερα ποτὰ, ὃς τοῦ χάριν ϑεάσεται τὰ ὑμέτερα πρόσωπα σκυϑρωπότερα τῶν παιδίων τῶν κατὰ τὴν ὁμοιότητα ὑμῶν; ἐμπεδώσετε γοῦν τὴν ἐμὴν κεφαλὴν τῷ βασιλεῖ. [11] ἔφη δὲ δανιελος πρὸς μελεσάρα ὃν ὥρισται ὁ ἄρχων τῶν σπαδώνων ἐπὶ δανιελου, χανανίου, μισαέλου καὶ ἀζαρίου· [12] πείρασον δὴ τοὺς σοὺς οἰκέτας δεκαημέρῳ, δότωσάν ϑ' ἡμῖν πρὸς τῶν ὀσπρίων καὶ φαγόμεϑα, ὕδωρ τε καὶ πιόμεϑα· [13] ὀφϑήσονται δ' ἐνώπιόν σου αἱ ἡμέτεραι ϑέαι ἥ τε ϑέα τῶν παιδίων τῶν ἐσϑιόντων τὴν δαῖτα τοῦ βασιλέως· καϑάπερ οὖν ϑεάσαιο ποίησον σὺν τοῖς σοῖς οἰκέταις. [14] ἤκουσεν οὖν σφίσιν ἐς τὸν λόγον τοῦτον, ἐπείρασέ τ' αὐτοὺς δεκαημέρῳ. [15] πρὸς δ' ἄκρου τοῦ δεκαημέρου ὦπται ἡ σφῶν ϑέα χρηστὴ, ὑγιέστεροί τε τὴν σάρκα παρὰ πάντα τὰ παιδία τὰ ϑοινούμενα τὴν ἑστίασιν τοῦ βασιλέως. [16] ἐτύγχανεν οὖν μελεσὰρ αἴρων τὴν σίτησιν αὐτῶν τόν τ' οἶνον τῶν σφῶν πότων, διδοὺς δ' αὐτοῖς ὄσπρια. [17] τοῖς μέντοι παιδίοις τουτοισὶ, τοῖς τέτταρσιν αὐτοῖς, ἔδωκε σφίσιν ὁ ϑεὸς γνώμην καὶ ξύνεσιν ἐν πάσῃ βίβλῳ σοφίᾳ τε, καὶ δανιελος ξυνῆκεν ἐν πάσῃ ϑεωρίᾳ καὶ ὀνείροις. [18] τῷ δ' ἄκρῳ τῶν ἡμερῶν ᾧπερ εἶπεν ὁ βασιλεὺς ἄγειν αὐτοὺς, ἤγαγε μὲν αὐτοὺς ὁ ἄρχων τῶν σπαδώνων ἐπίπροσϑεν νεβουχαδνεσάρου. [19] διείλεκται δὲ σφίσιν ὁ βασιλεύς· οὔκουν εὕρηται πρὸς πάντων ἐκείνων κατὰ δανιελον, χαναναν, μισαελον καὶ ἀζαρίαν. ἔστησαν οὖν ἐνώπιον τοῦ βασιλέως. [20] πάντα δὲ λόγον σοφίας, ξυνέσεως, ὃν ἐζήτησε πρὸς αὐτῶν ὁ βασιλεὺς, εὗρέ τε σφᾶς δέκα χερσὶν ὑπὲρ πάντας τοὺς γενεϑλιαλόγους, τοὺς ἀστρονόμους τοὺς ἐν ἁπάσῃ τῇ βασιλείᾳ οἱ. [21] κατέλεσε δανιελος μέχρις ἔτους ἑνὸς κορέσου τοῦ βασιλέως.

° [1] Ἐν ἔτει τῷ δευτέρῳ τῆς βασιλείας νεβουχαδνεσάρος ὠνείρωξε νεβουχαδνεσὰρ ὀνείρους· τέτυπε γοῦν τὸ πνεῦμά οἱ καὶ ὁ κείνου ὕπνος τέϑραυσται ἐπ' ἐκείνου. [2] τοιγαροῦν εἶπεν ὁ βασιλεὺς καλέ- II.

---

10. (ἐμπεδώσετε) γοῦν cod., non τοὺς ut ed., nec τε ut Vill. legendum opinatus est. 15. ϑοινούμενα] nonne ϑοινώμενα? 18. (τῷ) δὲ c. cd. ed. νεβουχαδνεσάρου] sic cod. Cf. v. 1. II, 1. III, 1.

II. 1. νεβουχαδνεσὰρ] νεβουχαδνεσάρος repugnante codice ed. At ita II, 46. III, 2. 13 sqq. nomin. scribitur. τέτυπε (וַתִּתְפָּעֶם)] sic v. 3 reddit et Niph. וַתִּפָּעֶם. Melius Gen. XLI, 8 (ἐδούπησε).

σαι τοὺς γενεθλιαλόγους, τοὺς ἀστρονόμους, τούς τε γόητας καὶ τοὺς κασδαίους, ὡς ἀγγείλαιεν τῷ βασιλεῖ τοὺς ὀνείρους ἐκείνου. ἀφίκοντο γοῦν κἄστησαν ἐνώπιον τοῦ βασιλέως. [3]ἔφη τ' αὐτοῖς ὁ βασιλεύς· ὄνειρον ὠνείρωξα, καὶ τέτυπε τοὐμὸν πνεῦμα ὡς εἰδείην τὸν ὄνειρον. [4]διειλέχαται γοῦν οἱ κασδαῖοι τῷ βασιλεῖ ἀραμιστί· ἄνα, ἐς αἰῶνα βίοε· φάθι τὸν ὄνειρον τῷ σῷ οἰκέτῃ, καὶ τὰν ἑρμανείαν ἀγγέλομες. [5]ἀπεκρίνατο ὁ ἄναξ φάτο τε τοῖς κασδαίοισιν· ὁ λόγος ἀποχώρησέ μευ· αἴκεν οὐ γνωρίσατέ μοι τὸν ὄνειρον τήν θ' ἑρμανείαν αὐτοῦ, μελεοκοπήματα πεπράξεσθε, δόμοι θ' ὑμέων διαχώραμα τεθήσονται· [6]αἴκε δὲ τὸν ὄνειρον τάν θ' ἑρμανείαν αὐτοῦ ἀγγείλητε, δωτίνας ξένιά τε καὶ τιμὰν πολλὴν δέξεσθε ἐνωπιόθεν ἐμεῦ· πλὴν τὸν ὄνειρον τάν θ' ἑρμανείαν ἀγγείλατέ μοι. [7]ἀπεκρίναντο αὖθις κἄφασκον· ὁ ἄναξ τὸν ὄνειρον εἰπέτω τοῖς θεράπουσιν ἕο, καὶ τὰν ἑρμανείαν ἀγγελέομες. [8]ἀπεκρίνατο ὁ ἄναξ κἄφα· πρὸς ἀλαθείας οἶδ' ἐγὼν ὅτι τᾷ ὥρᾳ ὑμμέες πιπράσκεσθε, πᾶν πρόσθεν ὅτι τεθέασθε ὡς ἀπῆνθε πρὸς ἐμεῦ ὁ λόγος· [9]αἴκε γὰρ τὸν ὄνειρον οὐ γνωρίσητέ μοι, εἷς ἐστιν ὕμμιν νόμος καὶ λόγος ψεύδεος, καὶ ἐφθορότα ὥρισθε φάναι ἐνώπιόν μευ, ἄχρις ἂν ἁ ὥρα ἀμειφθείη. μόνον τὸν ὄνειρον εἴπετέ μοι, καὶ εἴσομαι ὅτι τὰν ἑρμανείαν αὐτοῦ ἀγγελεῖτέ μοι. [10]ἀπεκρίναντο οἱ κασδαῖοι ἐπίπροσθεν τῶ βασίλεος κἄφασκον· οὐ κυρέοι μέροψ ἐπὶ τᾶς ξηρᾶς ὃς τὸν λόγον τῶ βασίλεος δυνάσεται ἀγγεῖλαι, πᾶν πρόσθεν ὁστισοῦν ὅτι βασίλευς, ἁγεμὼν καὶ ἄρχων λόγον κατὰ τόνδε οὐκ ἤρετο ὀντιναοῦν γενεθλιαλόγον, ἀστρονόμον τε καὶ κασδαῖον· [11]ὅ τε λόγος τὸν ὁ βασίλευς ζατεῖ ἀκριβής, ἕτερός τ' οὐ κυρέει ὃς ταύτας ἀγγελεῖ πρόσθε βασίλεος, πλὴν τῶν θεῶν τῶν ἁ μονὰ ξὺν σαρκὶ ἄκιστα κυρέει. [12]πᾶν πρόσθεν τόδε

---

2. ἀγγείλοιεν c. ed. ed. 3. ὠνείραξα c. cd. ed. 4. διειλέχονται cod. et ed. Cf. Gen. XLV, 15. 27 cet. χασδαῖοι c. cd. ed. ἀγγέλομες] v. 7 ἀγγελέομες 5. τήν] l. τάν ut v. 6 etc. 6. πλὴν] item v. 11. Alibi πλὰν (v. 30. III, 28). 8. κἄφα] alibi κῆφα (v. 12. 15. 20 cet.). ἀλαθείας cod., non ἀλάθειαν ut ed. ὑμμέες] sic cod., itemque v. sq. ὕμμιν πανπρόσθεν (non πάνπροσθεν ut ed.) cod. Sed alibi plerumque disjuncte scriptum est. 10. ἐπίπροσθε τοῦ βασιλέος c. ed. ed., itemque paullo inferius et saepe βασιλεὺς pro βασίλευς κυρέει? Cf. v. 11 etc. ὀντιναοῦν] ὁστιναοῦν cod. et ed. γενεθλιάλογον cod. Cf. v. 27. IV, 4. 11. ταύτας] sic cod. Legendum fort. ταύταν (יַקִּירָה) sc. ἑρμανείαν. Ed. ταυτὸν

ὁ βασιλευς ἐν χόλῳ καὶ ὀργᾷ πολλῇ, κῆφα ὀλέσαι πάντας τὼς σοφὼς βαβέλας. [13]τό τε δόγμα ἐξῆλϑε, καὶ οἱ σοφοὶ ἀπεκτείνοντο· ἐζήτησάν τε δανιέλον τώς τ' αὐτοῦ ξυντρόφως ὡς κτανϑεῖεν.

[14]Τότε δανιέλος ἔστρεψε βουλὰν καὶ γνώμαν ἀριώχῳ τῷ ἀρχικρεωνόμῳ τῶ βασιλεος, ὃς ἐξῆλϑεν ἀποκτεῖναι τὼς σοφὼς βαβέλας, [15]ἀπεκρίνατο κῆφα ἀριώχῳ τῷ ἄρχοντι τῶ βασιλεος· ἐπὶ τῷ τὸ δόγμα ἀκάλυπτον πρὸς τῶν πρόσϑεν τῶ βασιλεος; τότε τὸν λόγον ἐγνώρισεν ἀριώχας τῷ δανιέλῳ. [16]δανιέλος οὖν ἀφῖκται κἀζήτησε ποτὶ τῶ βασιλεος ὡς χρόνος δοϑείη τήνῳ, καὶ τὰν ἑρμανείαν ἀγγεῖλαι τῷ βασιλει.

[17]Τότε δανιέλος οἴκαδέ οἱ ἀπῆνϑε, τῷ τε χανανίᾳ, μισαέλῳ καὶ ἀζαρίᾳ τοῖς ἑαυτοῦ ξυντρόφοις τὸν λόγον ἐγνώρισεν, [18]οἰκτιρμοὺς ζητεῖν ποτὶ τῶν ἐνώπιον τῶ ϑεῶ τᾶν οὐρανᾶν ἐπὶ τῷ ἀπορρήτῳ τῷδ' ὡς μὴ ἀπόλωνται δανιέλος οἵ τε ξύντροφοί οἱ ξὺν τῷ περιλοίπῳ τᾶν σοφᾶν βαβέλας. [19]Τότε τῷ δανιέλῳ ἐν ὁράσει τᾶς νυκτὸς τὸ ἀπόρρητον ἀπεκαλύφϑη· τότε δανιέλος εὐλόγησε τὸν ϑεὸν τᾶν οὐρανᾶν. [20]ἀπεκρίνατο δανιέλος κῆφα· τελοίη τοὔνομα τῶ ϑεῶ εὐλογητὸν ἀπ' αἰῶνος καὶ μέχρις αἰῶνος, ἁ γὰρ σοφία ἅ τε ῥώμα τήνω τελέσει· [21]τῆνός τ' ἀμείβει ὥρας καὶ χρόνως, ἀπάγει βασιλεας κἀγείρει βασιλεας, δίδωσι σοφίαν τοῖς σοφοῖς καὶ γνώμαν τοῖς γιγνώσκουσι ξύνεσιν· [22]τῆνος φανερόει βαϑέα λαϑραῖά τε, ἔγνω τί ἐν τῷ σκότει, φάος τε ξὺν τήνῳ οἰκέει. [23]τίν, ϑεὲ τῶν ἐμῶν πατέρων, ὁμολογέω αἰνέω τ' ἐγὼν, ὅτι σοφίαν ἀλκάν τ' ἔδωκας ἐμίν, νῦν τ' ἐγνώρισάς μοι ἅπερ ἐζήτησα ποτὶ σεῦ· ὅτι τὸν λόγον τῶ βασιλεος ἐγνώρισας ἐμίν. [24]πᾶν πρόσϑεν τοδὶ δανιέλος ἦνϑε ποτ' ἀριώχαν τὸν ὁρίσαϑ' ὁ βασιλευς ὀλέσαι τὼς σοφὼς βαβέλας· ἀπῆνϑε, τῇδέ τ' ἔφα οἱ· τὼς σοφὼς βαβέλας μὴ ὀλέσῃς· ἄξον με πρόσϑεν τῶ βασιλεος, καὶ τὰν ἑρμανείαν τῷ βασιλει ἀγγελέω. [25]τότ' ἀριώχας ἐν ἐπειγωλᾷ εἰσήγαγε δανιέλον πρόσϑεν τῶ βασιλεος, τῇδέ

---

12. πολλῇ] sic cod., non πολλᾷ ut ed. Cf. v. 6. 15. τωνπρόσϑεν ex corr. cod. Disjuncte VII, 10. Cf. Prol. I, 4, d. ἀριώχας cod., non ἀρίωχος ut ed. 18. ποτὶ των ἐνώπιον τῷ ϑεῷ cod. περιλοίπῳ cod., non ἐπιλοίπῳ ut ed. 20. τῷ ϑεῷ c. cd. ed. τήνω cod. (non τήνῳ ut ed.) et v. 21 τῆνος. Aliter v. 16. 22. 23. ἐζήτησα] exspectaveris ἐζητήσαμεν (בְּעֵינָא). 25. ἀρίωχας c. cd. ed.

τ' ἔφα οἱ· ὅτι εὗρον ἄνδρα ποτὶ τῶν υἱέων τᾶς μετοικίας τοῦ ἰεούδου, ὃς τὰν ἑρμανείαν τῷ βασίλει γνωριεῖ. [26] ἀποκέκριται ὁ βασίλευς ἔφα τε δανιέλῳ, τῷπερ ὄνομα βελτεσασάρ· μῶν τὺ δύνασαι γνωρίσαι μοι τὸν ὄνειρον τόνπερ εἶδον καὶ τὰν αὐτῶ ἑρμανείαν; [27] ἀποκέκριται δανιέλος πρόσϑεν τῶ βασίλεος κῆφα· τὸ ἀπόρρητον τόπερ ὁ βασίλευς αἰτέει, ἄκιστα σοφοί, ἀστρονόμοι, γενεϑλιαλόγοι, ἀποτελεσταὶ δυνάσονται ἀγγεῖλαι τῷ βασίλει· [28] ὄντως κυρέει ϑεὸς ἐν πόλοισι φανερόων ἀπόρρητα, κἀγνώρισε τῷ βασίλει νεβουχαδνεσάρῳ τί τόπερ τελέσει ἐν ἐσχάτῳ τᾶν ἡμερᾶν. ὁ τεὸς ὄνειρος αἴ ϑ' ὁράσεις τᾶς σᾶς κεφαλᾶς ἐπὶ τᾶς σᾶς κοίτας ὁδὶ τελέσειε·

[29] Τὺ, ἄνα, αἱ τεαὶ ἔννοιαι ἐπὶ τᾶς τεᾶς κοίτας ἀνέβασαν, τί τόπερ κυρησεῖ μετὰ τόδε; καὶ ὁ φανερόων λαϑραῖα ἐγνώρισε τὶν τί τόπερ κυρησεῖ. [30] κἠγὼν, ἥκιστ' ἐν σοφίᾳ τᾷ οὔσῃ ἐν ἐμὶν μᾶλλον ἢ πᾶσι βιόουσι τὸ ἀπόρρητον τόδ' ἐφανερώϑη μοι, πλὰν ἐπὶ ῥήσει ὡς τὰν ἑρμανείαν τῷ βασίλει γνωρίσαιεν, τάς τ' ἐννοίας τᾶς σᾶς καρδίας γνοίῃ. [31] τὺ, ἄνα, ὁράων ἐτέλεσας, τυΐ γοῦν εἰκὼν μία μεγάλη, εἰκὼν ἁ τοιάδε βουγάϊος ἅ τ' αὐτᾶς αἴγλα περιττὰ, ἡστήκει πρόσϑεν τεῦ, ἁ δ' ὄψις ταύτης δεινά. [32] τᾷ εἰκόνι ταύτᾳ ἁ κεφαλὰ ποτὶ χρυσοῖο χρηστοῖο, τὰ στέρνα ταύτας τοί τε βραχίονες ταύτας ποτ' ἀργύροιο, ἁ ταύτας κοιλία τοί τε μαροὶ ταύτας ποτὶ χαλκοῖο, [33] τὰ κνάμα οἱ ποτὶ σιδάρω, τὼ πόδε οἱ ποτὶ τοῖν ποτὶ σιδάρω καὶ ποτὶ τοῖν ποτὶ ὀστράκω. [34] ὁράων ἐτέλεσας ἄχρις οὗπερ ἐτμάϑη λίϑος ὃς οὐκ ἐν χερσὶ, κἄφλασε τὰν εἰκόνα ποτὶ τὼ πόδε οἱ τῶ σιδάρω καὶ ὀστράκω κἀλέπτυνεν αὐτά. [35] τότε ἐλεπτύνϑησαν ὡσεὶ ὁ σίδαρος τὤστρακον, ὁ χαλκὸς, ὁ ἄργυρος χὠ χρυσὸς, κἀτέλεσαν ὡς ἀνϑέριξ ἀφ' ἅλω ϑέρεος, ἦρέ τ' αὐτὰ πνεῦμα, καὶ ὁστισοῦν χῶρος οὐχ εὕρηται σφίσιν· ὁ δὲ λίϑος ὃς φλάσε τὰν εἰκόνα κύρησεν εἰς ὅρος μέγα κἄπλησε πᾶσαν χϑόνα. [36] ὅδ' ὁ ὄνειρος, τάν ϑ' ἑρμανείαν αὐτοῖο ἐρέομεν πρόσϑεν τῶ βασίλεος. [37] Τὺ

---

29. κυρησεῖ (1)] κυρήσει cod. et ed. Cf. v. 41. 30. ἥκιστ'] sic pro ἄκιστ' (cf. v. 11. 27) cod. ἐμὶν cod., non ἡμῖν ut ed. πλὰν] cf. v. 6. 11. ἐπιρήσει cod. γνοίῃ] l. γνοίης (תִּנְדַּע). 31. ταύτης] l. ταύτας ἡστήκει] sic cod., non ἑστήκει ut ed. Aliter III, 3. 33. τὼ (πόδε) cod., non τοὶ ut ed. 35. χὠ (sic) cod., non χ' ὁ ut ed. φλάσῃ cod., φλάσῃ ed. 36. (τάν) τε c. cd. ed.

βασίλευς, βασίλευς τῶν βασίλεων, ᾧ ὁ ϑεὸς τᾶν οὐρανᾶν βασιλείαν ἰσχυρὰν κραταιάν τε καὶ τιμίαν ἐγγυάλιξέ σοι· [38] κἀν παντὶ ᾧ οἰκέοντι υἱεῖς βροτῶ, ζῶον ἀγροῖο πτανόν τ' οὐρανᾶν δῶκεν ἐν χερί σοι, ἁγεμονέωσέ τέ σε ἐν πάντεσσιν αὐτοῖς· τὺ τελέεις κεφαλὰ ἁ χρυσά. [39] μετὰ σὲ δ' ἐγερέεται βασιλεία ἑτέρα, κατωτέρα σεῦ, βασιλεία τε τρίτη ἑτέρα ἡ χαλκέα τάπερ ἡγεμονευσεῖ ἐν πάσῃ τᾷ χϑονί· [40] βασιλεία δὲ τετάρτη τελέσει κραταιὰ κατὰ σίδαρον· πᾶν πρόσϑεν ὅτιπερ ὁ σίδαρος λεπτύνει τρίβει τε πάντα, καὶ ὡς ὁ σίδαρος ὁ ξυντρίβων, πάντα τάδε λεπτυνεῖ καὶ ξυντριβεῖ. [41] ὅτι δ' ἑώρακας τὼ πόδε καὶ τὼς δακτύλως ἀπ' αὐτῶν ὄστρακον τῶ πλ.............. σίδαρον, βασιλεία διῃρημένη τελεσεῖ, κἄπαὶ τᾶς κραταιότητος τῶ σιδάρου κυρησεῖ ἐν αὐτῇ, πᾶν πρόσϑεν ὅτιπερ ἑώρακας σίδαρον μεμιγμένον ἐν ὀστράκῳ πηλοῦ· [42] καὶ τᾶν δακτύλων τᾶν ποδᾶν ἀπαὶ αὐτᾶν σίδαρον, ἀπαί τ' αὐτᾶν ὄστρακον· ἀπὸ μέρεος τᾶς βασιλείας τελεσεῖ κραταιὰ, καὶ ποτὶ ταύτας κυρησεῖ ξυντριβόμενον. [43] ὅτι τεϑέασαι σίδαρον μεμιγμένον ἐν ὀστράκῳ πηλοῦ, μεμιγμένοι κυρήσοντι ἐν σπόρῳ μερόπων, οὐ μὰν ἔσονται κολλώμενοι ὁδὶ ξὺν τῳδὶ, ἰδοὺ καϑὼς ὁ σίδαρος οὐ μίγνυται ξὺν τῷ ὀστράκῳ. [44] ἐν δὲ ταῖς ἡμέραις τήνων τῶν βασίλεων τήνων ἐγερέει ὁ ϑεὸς τᾶν οὐρανᾶν βασιλείαν ἅπερ ἐς αἰῶνας οὐ φϑαρήσεται, καὶ βασιλεία ἐς λεὼν ἕτερον οὐκ ἀφεϑήσεται· λεπτυνεῖ ὀλεσεῖ τε πάσας ταύτας τὰς βασιλείας, τήνα δ' ἐγέρσεται ἐς αἰῶνας. [45] πᾶν πρόσϑεν ἐπεὶ τεϑέασαι ὅτι παρὰ τῶ ὄρεος ἐτμάϑη λίϑος ὁ μὴ ἐν χερσί, κἀλέπτυνε τὸν σίδαρον, τὸν χαλκὸν, τὤστρακον, τὸν ἄργυρον καὶ τὸν χρυσόν· ὁ ϑεὸς ὁ μέγας ἐγνώρισε τῷ βασίλει τί τὸ ἐσόμενον μετὰ τόδε, ἀλάϑειά τε τὸ ὄναρ πιστή ϑ' ἁ ἑρμανεία τήνω.

[46] Ἐντῳτότε ὁ βασίλευς νεβουχαδνεσάρος ἔπεσεν ἐπὶ πρόσωπον

---

37. βασίλευς (1)] l. βασίλευ ut III, 9 sq. τᾶν οὐρανῶν cod. Cf. v. 18 etc. 38. ᾧ cod., non τῷ ut ed. 40. ὁ ξυντρίβων cod. Ed. ὁ om. 41. αὐτῶν] αὐγῶν cod. τῶ πλ.] post πλ spatium dimidiae fere lineae vacuum. Vill. in marg. τοῦ (l. τῶ) πλάττοντος καὶ ἀπ' αὐτῶν (דִּי־פֶחָר וּמִנְּהֵין). Si hunc locum cum v. 33 et v. 42 conferas, totum corruptum esse intelliges. 42. δακτύλων cod., non δακτυλᾶν ut ed. αὐτᾶν] αὐγᾶν (bis) cod. 43. τωδὶ cod., non τῷδε ut ed. 44. τήνων τῶν] hoc τήνων expungas. καὶ βασιλεία] pronomen om. (וּמַלְכוּתָה). 45. χαλκόν τ', ὤστρακον perperam neque ex codice ed. 46. ἐντῳτότε] codicis scripturam servavimus, nisi quod ι subscripsimus.

ἑαυτοῦ καὶ τῷ δανιέλῳ προσεκύνησε, μείλιγμά τε καὶ ἀναπαύματα ἔφα λείβειν αὐτῷ. [47] ἀπεκρίνατο ὁ βασίλευς τῷ δανιέλῳ κῆφα· ποτὶ τᾶς ἀλαθείας ὅτι ὁ θεὸς ὑμῶν τελέει θεὸς θεᾶν καὶ δεσπότας βασίλεων, φανερῶν τε λαθραῖα, ἐπείπερ δεδύνασαι φανερῶσαι τὸ λαθραῖον τοδί. [48] τόθ' ὁ βασίλευς τὸν δανιέλον ἐμεγάλυνε, δεξιώσεις τε πλείστας μεγάλας ἔδωκε τήνῳ, ἠρχόντωσέ τ' ἐπὶ πάσας τᾶς ἐπαρχίας βαβέλας, ἄρχοντά θ' ἀγεμόνων ἐπὶ πάντων τᾶν σοφᾶν βαβέλας. [49] καὶ δανιέλος ᾐτήσατο ποτὶ τῶ βασίλεος, καὶ κατέστασεν ἐπὶ τᾶς ἐργασίας τᾶς ἐπαρχίας βαβέλης σαδράχαν, μεσάχαν καὶ ἀβεδνεγῶνα, δανιέλον τ' ἐν τᾷ πύλᾳ τῶ βασίλεος.

III. [1] Νεβουχαδνεσὰρ ὁ βασίλευς εἴργασται εἰκόνα χρυσέαν, ὕψους αὐτᾶς πήχεων ἑξήκοντα, εὔρους ταύτας πήχεων ἕξ· ἤγειρε ταύταν ἐν πεδίῳ πρήσεως ἐν τᾷ ἐπαρχίᾳ βαβέλας. [2] καὶ νεβουχαδνεσάρος ὁ βασίλευς πέμψε συναγάγεῖν ὑπάτως, στρατηγώς, ἀρχαγώς, ἀγεμόνας, ἐπάρχως, ταγώς, ἁρμοστὰς καὶ πάντας τὼς ἄρχοντας τᾶς ἐπαρχίας, ἐνθεῖν ἐς τὸν ἐγκαινισμὸν τᾶς εἰκόνος τὰν ἤγειρε νεβουχαδνεσάρος ὁ βασίλευς.

[3] Ἐντῳτότε ξυνάγονται ὕπατοι, στρατηγοί, ἀρχαγοί, ἀγεμόνες, ἔπαρχοι, ταγοί, ἁρμοσταί, πάντες θ' οἱ ἄρχοντες τᾶς ἐπαρχίας ἐς τὸν ἐγκαινισμὸν τᾶς εἰκόνος τὰν ἤγειρε νεβουχαδνεσάρος ὁ βασίλευς, εἰστάκησάν τε ἐνώπιον τᾶς εἰκόνος τὰν ἤγειρε νεβουχαδνεσάρος. [4] τό τε κάρυγμα ἐβόασεν ἐν ἰσχύϊ· ὑμῖν λέγομεν, λαοί, ἔθνη καὶ γλῶτται, [5] ἐν καιρῷ τῷπερ ἀκούσετε φωνὰν κέρως, αὐλῶ, κιθάρας, λύρας, ψαλτῆρος, συμφωνίας καὶ πάντων εἰδᾶν μωσικᾶν, πεσέεσθε καὶ προσκυνάσετε τᾷ εἰκόνι τᾷ χρυσᾷ τὰν ἔστασε ναβουχαδνεσάρος ὁ βασίλευς· [6] ὅστις δ' οὐ πεσέεται καὶ προσκυνασεῖ, ἐν αὐτᾷ τᾷ ὥρᾳ ῥιφήσεται ἐσμέσον τᾶς καμίνω τῶ πυρὸς τῶ καιομένω. [7] πᾶν πρόσθεν τοῦτ' ἐν τήνῳ τῷ καιρῷ, ἐπείπερ ἄκουον

---

47. βασίλεων cod., non βασιλέων ut ed. 48. τὰς (ἐπαρχίας) c. cd. ed., quasi acc. plur. esset, non gen. sing. (pro τῆς, uti πάσας pro πάσης). 49. δανίελος hic et saepius c. ed. ed. βαβέλης] l. βαβέλας ut v. 48 etc.

III. 1. νεβουχαδνεσὰρ] sic cod., at v. 2 sqq. νεβουχαδνεσάρος. Cf. II, 1. 3. ἐν τῷ τότε disjuncte cod. Cf. Prol. I, 4, d. εἰστάκησαν] sic cod. Legendum εἰστάκασαν 5. ἔστασε c. cd. ed. ναβουχαδνεσάρος (sic) cod., non νεβ. ut ed. Item v. 7. 6. ἐσμέσον] sic cod. itemque v. 15 etc. 7. ἄκουον] „Fortasse ἀκούοντες“ Vill. Temere, puto (= ἤκουον).

πάντες οἱ λαοὶ τὰν φωνὰν τῶ κέρως, τῶ αὐλῶ, τᾶς κιϑάρας, τᾶς λύρας, τῶ ψαλτῆρος καὶ παντὸς εἴδως μουσικῶ, πίπτοντες πάντες λαοί, ἔϑνεα καὶ γλῶτται, προσεκύνεον τᾷ εἰκόνι τᾷ χρυσᾷ τὰν ἔστησε ναβουχαδνεσάρος ὁ βασίλευς. [8]πᾶν πρόσϑεν τόδ' ἐν τήνῳ τῷ καιρῷ ἤγγισαν ἄνδρες κασδαῖοι καὶ ἀπῆλϑον καταμανυταὶ τᾶν ἰευδιδᾶν, [9]ἀπεκρίναντο κᾶφασκον νεβουχαδνεσάρι τῷ βασίλει· βασίλευ, ἐς αἰῶνας βίος. [10]τύ, βασίλευ, τέϑεικας βουλὰν ὡς πᾶς βροτὸς ὃς ἀκούσειε τὰν φωνὰν τῶ κέρως, τῶ αὐλῶ, τᾶς κιϑάρας, τᾶς λύρας, τῶν ψαλτήρων, συμφωνίας τε καὶ παντὸς εἴδεος μωσικῶ, πέσῃ καὶ προσκυνάσῃ τᾷ εἰκόνι τᾷ χρυσέᾳ· [11]ὃς δ' ἂν οὐ πέσοι καὶ προσκυνάσειε, ῥιφήσεται ἐσταμέσον τᾶς καμίνω τῶ πυρὸς τῶ καιομένω. [12]ἔασιν ἄνδρες ἰεουδίδαι, τὼς κατέστασας σφέας ἐπὶ τᾶς ἐργασίας τᾶς ἐπαρχίας βαβέλας, σαδράχας, μεσάχας καὶ ἀβεδνεγών· οἱ ἄνδρες οἱδὶ οὐκ ἔϑηκαν ἐπὶ σεῦ, βασίλευ, βουλάν· τῷ τεῷ ϑεῷ οὐ λατρεύοντι τᾷ τ' εἰκόνι τᾷ χρυσέᾳ τὰν ἔστασας οὐ προσκυνέοντι. [13]ἐντῳτότε νεβουχαδνεσάρος ἐν ὀργᾷ χολᾷ τ' ἔφα ἀγαγέην σαδράχαν, μεσάχαν καὶ ἀβεδναγῶνα· ἐντῳτότε οἱ ἄνδρες οἶδε ἤνϑον ἐνώπιον τῶ βασίλεος. [14]ἀπεκρίνατο νεβουχαδνεσάρος κῆφα σφίσι· μῶν ἀλάϑεια, σαδράχα, μεσάχα καὶ ἀβεδναγών, τοῖς ἐμοῖς ϑεοῖς οὐ τυγχάνετε λατρεύοντες καὶ τᾷ εἰκόνι τᾷ χρυσᾷ τὰν ἔστασα οὐ προσκυνέετε; [15]νῦν αἴκε τέλετε μέλλοντες ὡς ἐν τῷ καιρῷ τῷπερ ἀκούσετε φωνὰν κέρατος, φόρμιγγος, κιϑάρας, λύρας, ψαλτήρων, συμφωνίας τε καὶ παντὸς εἴδεος μωσικῶ, πεσέεσϑε καὶ προσκυνησεῖτε τᾷ εἰκόνι τὰν εἴργασμαι· ἀλλ' εἴπερ οὐ προσκυνάσαιτε, ἐν ταύτᾳ τᾷ ὥρᾳ ῥιφήσεσϑε ἐσμέσον τᾶς καμίνω τῶ πυρὸς τῶ καιομένω· καὶ τίς ἐστι ϑεὸς ὃς ἐξελέεται ὑμᾶς πρὸς τᾶν ἐμᾶν χερᾶν; [16]ἀπεκρίναντο σεδράχας, μεσάχας ἀβεδναγών τε κᾶφασαν τῷ βασίλει· νεβουχαδνεσάρ,

---

ἔστησε] l. ἔστασε ut v. 5. 12 cet. 8. (καὶ) ἀπῆλϑον] l. ἀπῆνϑον (cf. II, 8 etc.). Sed mireris eum ita וַאֲכַלוּ reddidisse (וְהֵלְכוּ conj. C. T.). Cf. VI, 25. καταμηνυταὶ c. cd. ed. 10. τοῦ (κέρως) c. cd. ed. 11. ἐσταμέσον] sic cod. τᾶ καιομένη cod. Cf. v. 6. 15. 17 cet. 12. τοῖς τεοῖς ϑεοῖς (ita v. 14) Vill. conj. Sed cf. v. 18. I, 2. 13. ἀβεδναγῶνα] ita, per α in syllaba tertia, etiam v. 14. 16. Cf. v. 12. 19 sqq. ἤνϑον] quasi אֵיתָיו scriptum esset, non הֵיתָיו 14. προσκυνέτετε (sic, non προσκυνήσετε ut cd., nec προσκυνεῖτε ut Mor. ait) cod. 15. τελέτε cod., fort. pro τελέετε πεδέεσϑε cod. 16. σεδράχας] alibi σαδρ. νεβουχαδνεασάρ c. cd. ed.

οὐ χαδόμεϑα ἄμμες ἐπὶ τῷδε τῷ χρήματι ἀμείψασϑαί σοι. [17] ϑεῶ, ἐντὶ ϑεὸς ἀμέων ῷπερ ἄμμες λατρεύομες δυνάμενος ἐξελέσϑαι ἄμμες ποτὶ τῶ καμίνω τῶ πυρὸς τῶ καιομένω, κἄπαὶ τᾶν σᾶν χερᾶν, βασίλευ, ἐξελέεται· [18] εἰ δ' οὐκ, ἐγνωσμένον εἴη σοι, βασίλευ, ὡς τῷ τεῷ ϑεῷ οὐκ ἐσμὲν λατρεύοντες καὶ τᾷ εἰκόνι τᾷ χρυσᾷ τὰν ἔστασας οὐ προσκυνάσομες.

[19] Ἐντωτότε νεβουχαδνεσὰρ πέπλασται χολᾶς ἅ τ' εἰκὼν τῶ προσώπω οἱ ἄμειπται ἐπὶ σαδράχαν, μεσάχαν καὶ ἀβεδνεγῶνα· ἀπεκρίνατο κῆφα· ἀναψῶ τὰν κάμινον ἑνί γ' ἑπτὰ ὑπὲρ τὸ εἰκὸς αὐτὰν ἀνάπτειν. [20] καὶ ἀνδράσι κραταιοῖς ἰσχὺν τοῖς ἐν ταῖς δυνάμεσιν αὐτῶ ἔφα δῆσαι σαδράχαν, μεσάχαν καὶ ἀβεδνεγῶνα, ὡς ῥίψαιεν ἐς τὰν κάμινον τῶ πυρὸς τῶ καιομένω. [21] ἐτωτότε οἱ ἄνδρες οὗτοι ἔδασαν ἐν ταῖς ἄμπυξιν αὐτῶν, ταῖς ἀναξυρίσιν αὐτᾶν ταῖς τ' αὐτᾶν κυρβασίαις καὶ ταῖς αὐτᾶν χλαμύσιν, ἔρριψάν τ' ἐσμέσον τᾶς καμίνω τῶ πυρὸς τῶ καιομένω. [22] πᾶν πρόσϑεν τοδὶ ἀφοῦπερ ὁ λόγος τῶ βασίλεος ἐσκλήρυνεν ἅ τε κάμινος ἤφϑη περιττῶς, ἀνέρας τώσδε τοίπερ ἀνάγαγον σαδράχαν, μεσάχαν καὶ ἀβεδνεγῶνα, κτεῖνε σφέας ὁ σπινϑὴρ τῶ πυρός· [23] οἱ δ' ἀνέρες οἱδὶ οἱ τρεῖς αὐτοὶ σαδεράχας, μεσάχας καὶ ἀβεδενεγὼν ἔπεσον ἐσταμέσον τᾶς καμίνω τῶ πυρὸς τῶ καιομένω δεδεμένοι.

[24] Τότε νεβουχαδνεσὰρ ὁ βασίλευς τέτρομε κἀγήγερται ἐν ἐκϑαμβάσει, ἀπεκρίνατο κῆφα τοῖς ἐϑάδεσιν αὐτῶ· μῶν οὐκ ἀνέρας τρεῖς ἐρρίψαμεν ἐσμέσον τῶ πυρὸς δεδεμένως; ἀπεκρίναντο κἄφασαν τῷ βασίλει· ἀλάϑεια, βασίλευ. [25] ἀπεκρίνατο κῆφα· ϑεῶ ἐγὼν ὁράω ἀνέρας πίσσυρας λελυμένως ἐν μέσῳ τῶ πυρὸς, φϑορὰ δ' οὐ κυρέει ἐν αὐτοῖσι· ὄψις δὲ τῶ τετάρτω ἔοικεν υἱεῖ ϑεᾶν. [26] ἐντωτότε ἤγγισε νεβουχαδνεσὰρ τᾷ πύλᾳ τᾶς καμίνου τῶ πυρὸς τῶ καιομένω, ἀπεκρίνατο κῆφα· σαδράχα, μεσάχα καὶ ἀβεδνεγὼν, οἰκέται αὐτοῦ τῶ ϑεῶ τῶ ὑψίστω, ἔξιτε καὶ ἄφιχϑε. ἐντωτότε ἐξήρχοντο σαδράχας, μεσάχας καὶ ἀβεδνεγὼν

ἄμμες] sic cod., non ἅμμες ut ed. Item v. sq. (bis). 19. (ἅ) τε εἰκων c. cd. ed. ἀναψῶ] infinitivum exspectaveris (אֵזֵמְּלְ). 20. ῥιψαῖεν c. cd. ed. 21. ἐσμέσον] sic cod. itemque v. 23 ἐσταμ. 22. ἀφοῦπερ] sic etiam IV, 23 cod. Cf. Prol. l. c. 23. σαδεράχας] l. σαδράχας et ἀβεδνεγὼν pro ἀβεδεν. 25. τῷ τετάρτῳ c. cd. ed. 26. καμίνου] l. καμίνω et paullo inferius αὐτῶ pro αὐτοῦ. Cf. v. 28. ἀβεδνεγὼν (2)] ἀβδενεγὼν (ut ed.) corr. ἀβδνεγὼν (sic) cod.

ποτὶ τοῦ μέσου τῶ πυρός. [27] συναχθέντες δ' ὕπατοι, στρατηγοί, ἀρχαγοὶ καὶ οἱ ἔθάδες τῶ βασίλεος ἑώρων τὼς ἄνδρας τούτους, ὡς οὐκ ἧρξε τὸ πῦρ ἐν τοῖς σώμασιν αὐτᾶν, θρίξ τε κεφαλᾶν αὐτᾶν οὐχ ἄσθη αἵ τ' ἄμπυκες αὐτᾶν οὐκ ἠλλοίωνται, ὀδμή τε πυρὸς οὐ διέβα ἐς αὐτώς. [28] ἀπεκρίνατο νεβουχαδνεσάρος κῆφα· εὐλογητὸς ὁ θεὸς αὐτᾶν σαδράχω, μεσάχω καὶ ἀβεδνεγῶνος, ὃς ἔπεμψε τὸν ἄγγελον αὐτῶ κάξείρετο τὼς οἰκέτας αὐτῶ τοὶ τεθαρράκασιν ἐπ' αὐτὸν, καὶ τὸν λόγον τῶ βασίλεος ἄμειψαν κἄδοσαν τὰ σώματ' αὐτᾶν, ὡς μὴ λατρεύσωσι μήτε προσκυνήσωσιν ὁντιναοῦν θεὸν πλὰν τοῦ ἑαυτᾶν θεοῦ. [29] ἀπό τ' ἐμοῦ θέσις βουλᾶς ὡς ὁστισοῦν λαὸς, ἔθνος καὶ γλῶσσα, ὃς φαίη ἀπόνοιαν κατὰ τῶ θεῶ σφέων τῶ σεδράχω, μεσάχω καὶ ἀβεδναγῶνος, μελεοκοπήματα ποιηθήσεται καὶ ὁ τήνω δόμος σπατίλαι τεθήσεται· πᾶν πρόσθεν ὡς οὐκ ἐντὶ θεὸς ἄλλος ὃς δυνάσεται ῥύσασθαι κατὰ τόνδε. [30] ἐντῳτότε ὁ βασίλευς εὐώδωσε σαδράχαν, μεσάχαν καὶ ἀβεδναγῶνα ἐν τᾷ πόλει βαβέλας. [31] Νεβουχαδνεσάρος βασίλευς πᾶσι λαοῖς, ἔθνεσι καὶ γλώτταις τοῖς κατοικοῦσιν ἐν ὅλᾳ αἴᾳ· ἁ εἰρήνα ὑμέων πληθύνοιτο. [32] τὰ σαμεῖα καὶ τὰ θαύματα τάπερ εἴργασται ξὺν ἐμὶν ὁ θεὸς ὁ ὕψιστος χρηστὸν ἐνώπιον μεῦ ἀγγεῖλαι. [33] τὰ σαμεῖά οἱ πόσῳ μεγάλα, τά τε θαύματά οἱ πόσῳ κραταιά· ἁ βασιλεία οἱ βασιλεία αἰῶνος ἅ τ' ἀρχά οἱ ξὺν γενεᾷ καὶ γενεᾷ.

IV. [1] Ἐγὼν ὁ νεβουχαδνεσάρ ἀναπαυόμενος ὑπῆρξα οἴκοι μοι καὶ τεθηλὼς ἐν ἐμεῦ ἀνακτόρῳ. [2] ὄνειρον ἑώρακα κάδεδίξατό με, ἔννοιαί τ' ἐπὶ τᾶς ἐμᾶς ἀνακλίσεως αἵ θ' ὁράσεις τᾶς ἐμᾶς κεφαλᾶς θαμβησείαν με. [3] κάπ' ἐμαυτοῦ θέσις βουλᾶς ἀγαγεῖν ἐνώπιον μεῦ πάντας τὼς σοφὼς βαβέλας, ὡς τὰν ἑρμανείαν τῶ ὀνείρω μεῦ γνωρισείαν μοι.

[4] Ἐντῳτότε ἤρχοντο γενεθλιαλόγοι, ἀστρονόμοι, κασδαῖοι καὶ ἀποτελεσταί, τόν τ' ὄνειρον ἔλεγον ἐγὼν τήνων ἐνώπιον, τὰν μέντοι

---

27. δὲ (ὕπατοι) c. cd. ed. itemque v. 28 σώματα (αὐτᾶν). οὐχ ἄσθη (sic, non οὐκ ἄσθη ut ed., cod.)] l. οὐχ ἄφθη 28. οἰκέτως cod. et ed. τοῦ ἑαυ. θεοῦ] l. τῶ ἑαυ. θεῶ 31. τοῖς] τῶν τοῖς cod. et ed. εἰρήνα cod., non εἰράνα ut ed. πληθύνοιντο cod. 32. ἐνώπιον μεῦ] ita hic et IV, 3 cod. Cf. II, 5. 9. IV, 5 sqq.

IV. 1. τεθηλῶς cod. 2. θαμβησείαν] sic cod. (non θαμβήσειαν) itemque v. 3 γνωρισείαν (non γνωρίσειαν ut ed.). 3. (ὀνείρω) μευ c. cd. ed.

ἑρμανείαν ἕο οὐκ ἐγνώριζόν μοι. [5] καὶ μέχρις ἔσχατον ἦνθεν ἐνώπιόν μευ δανιέλος, ᾧ τοὔνομα βελτεσασὰρ κατὰ τοὔνομα τῶ ἐμῶ θεῶ ᾧ τε πνεῦμα θεῶν ἁγίων ἐν αὐτῷ, καὶ τὸν ὄνειρον ἐνώπιον ἕο ἔφαν· [6] βελτεσασάρ, διδάσκαλε γενεθλιαλόγων, ᾧ ἐγὼν γὰρ ἔγνων ὅτι πνεῦμα θεᾶν ἁγίων ἐν τὶν πᾶν τ' ἀπόρρητον οὐκ ἠδυνάτησέ σοι, τὰς ὁράσεις τῶ ὀνείρω μευ τὸν τεθέαμαι καὶ τὰν αὐτῶ ἑρμανείαν φάθι. [7] καὶ αἱ ὁράσεες τᾶς ἐμᾶς κεφαλᾶς ἐπὶ τᾶς ἀνακλίσεός μευ· ὁρῶν ἔην, αὐτίκα τε δένδρον μέσον τᾶς ἔρας, ὕψος τ' αὐτοῦ πολύ. [8] ἐμεγαλύνθη τὸ δένδρον καὶ ἐκραταιώθη, τό θ' ὕψος αὐτῶ φθαίη ἐς πόλως οἵ τ' ὅσδοι οἱ ἐς τέλος ὅλας χθονός· [9] τὸ πέταλόν οἱ ὡραῖον καὶ ὁ καρπός οἱ πολύς, ἃ τε τροφὰ πάντων ἐν αὐτῷ· ὑπ' αὐτῷ σκιάζοιτο τὸ ζῶον τῶ ἀγρῶ, κἀν τοῖς αὐτῶ πτόρθοισι μένοιεν οἱ ὄρνιθες τᾶν οὐρανᾶν, ἀπαί τ' αὐτῶ τρέφοιτο πᾶσα σάρξ. [10] ὁράων ἔην ἐν ὁράσεσι τᾶς ἐμεῦ κεφαλᾶς ἐπὶ τᾶς ἐμεῦ κοίτας, θεῶ τ' ἄγγελος ἅγιός τε ποτ' οὐρανᾶν κατέβαιεν· [11] ἐβόα ἐν ἰσχύϊ τῇδέ τ' ἔφα· τέμετε τὸ δένδρον κἀκκόψατε τὼς κλάδως ἕο, τινώσατε τὰ φύλλα οἱ καὶ σκορπίσατε τὸν καρπὸν εὑ· ἀποχωρησάτω τὸ ζῶον κάτωθεν αὐτῶ καὶ οἱ ὄρνιθες πρὸς τῶν πτόρθων εὑ· [12] πλὰν ῥίζαν τᾶν αὐτῶ ῥιζᾶν ἐν τᾷ γαίᾳ πάρετε, κἀν δεσμῷ τῶ σιδάρω καὶ χαλκῶ ἐν τᾷ χλόᾳ τῶ ἀγρῶ· κἀν δρόσῳ τᾶν οὐρανᾶν βαφήσεται, ξύν τε τῷ ζώῳ ἁ μερίς ἕο ἐν τῷ χόρτῳ τᾶς χθονός. [13] ἁ καρδία οἱ ποτὶ μερόπων ἀλλαγήσεται καρδία τε ζώοιο δοθήσεταί οἱ, ἑπτά τε καιροὶ ἀμειφθήσονται ἐπ' αὐτοῖο. [14] ἐν κελεύσει ἀγγέλων ὁ λόγος, λόγος θ' ἁγίων ἁ ζήτασις, ἄχρι τᾶς ῥήσεος τᾷπερ εἴσονται ζῶντες ὡς ἄρχει ὁ ὕψιστος ἐν βασιλείᾳ μερόπων καὶ ᾧτινι ἂν ἐθελήσεις δώσει ταύταν, καὶ ταπεινεῖν τᾶν βροτᾶν ἐγερέει ἐπ' αὐτᾶν. [15] τονδὶ τὸν ὄνειρον εἶδον ἐγὼν ὁ βασιλευς νεβουχαδνεσάρος· τὺ δέ, βελτεσασάρ, τὰν ἑρμανείαν αὐτῶ φάθι, πᾶν πρόσθεν ὅτι οἰτινεσοῦν σοφοὶ τᾶς ἐμᾶς βασιλείας οὐκ ἰσχύοντι τὰν ἑρμανείαν ἐμὶν γνωρίσαι· τὺ δὲ δύνα-

---

5. θεῶν] l. θεᾶν 6. τῶν (τεθέαμαι) cod. Emendationem Vill. praeivit. 7. ὁράσεες cod., non ὁράσεις ut ed. ἀνακλίσεως c. cd. ed. 8. ὅσδοι] וַחֲזִיוֹתַהּ eum pro וַחֲזוֹתַהּ legisse aut similitudine vocum deceptum esse temere C. T. conj. Cf. v. 17. 10. κατέβαιεν] sic cod. (non κατέβαινεν ut ed.), fort. pro κατέβασεν 11. τινώσατε] emendaverim τινάξατε ζῶον cod., non ζῶν ut ed. 14. εἴσονται cod., non εἴδονται ut ed. ταπεινεῖν] l. ταπεινὸν (Vill.). ἐπ' αὐτᾶς (עליה, Kerî עֲלַהּ)?

σαι, ὅτιὴ πνεῦμα ϑεᾶν ἁγίων ἐν τίν. [16]τανίκα δανιέλος, ᾧ τοὔνομά οἱ βελτεσασὰρ, ἀπόρησεν ἐν ὥρᾳ μιᾷ, αἵ τ' ἀναπολάσεις αὐτῶ ϑαμβήσαιέν ἑ. ἀπεκρίνατο ὁ βασίλευς κῆφα· βελτεσασὰρ, ὁ ὄνειρος ἅ ϑ' ἑρμανεία μὴ καταπλήξει τε. ἀπεκρίνατο βελτεσασὰρ κῆφα· δέσποτ' ἐμεῦ, οὔνειρος τοῖσι μισοῦσί τε ἅ ϑ' ἑρμανεία τοῖς ἐχϑροῖσι τεῦ. [17]τὸ δένδρον τὸ τεϑέασαι, τὸ μεγαλύνϑη κἀκρατύνϑη, τό ϑ' ὕψος τήνω φϑασαίη ἐς πόλως οἵ τ' ὄσδοι οἱ ἐς πᾶσαν τὰν ἔραν, [18]τά τ' αὐτῶ πέταλα ὡραῖα ὅ τε καρπὸς πολὺς, τροφὰ δὲ πάντων ἐν αὐτῷ· ὑπ' αὐτῷ μένοι ζῶον ἀγρῶ, κἀν τοῖσι πτόρϑοισιν εὖ κατοικοῖεν οἱ ὄρνιϑες τᾶν οὐρανᾶν· [19]τὺ τελέσεις, βασίλευ, ὅσπερ ἐμεγαλύνϑης ἐκραταιώϑης τε, τό τε τεὸν μεγαλεῖον ἐμεγαλύνϑη κῆφϑα ἐς πόλως, ἅ τ' ἀρχά τευ ἐς πέρας αἴας. [20]ὅτιὴ δ' ἐδέρχϑη βασίλευς ἄγγελον ἅγιόν τε κατιόντα ποτὶ τᾶν οὐρανᾶν, ἔφα δέ· τέμετε τὸ δένδρον φϑείρατέ τ' αὐτὸ, πλὰν ῥίζαν ῥιζᾶν αὐτῶ ἐν αἴᾳ πάρετε, κἀν δεσμῷ τῶ σιδάρω καὶ χαλκῶ ἐν τᾷ χλόᾳ τῶ ἀγρῶ, κἀν τᾷ δρόσῳ τᾶν οὐρανᾶν βαφήσεται, ξύν τε ζώῳ τῶ ἀγρῶ ἁ μερίς εὖ μέχρις ἂν ἑπτὰ καιροὶ ἀμειφϑεῖεν ἐπ' αὐτοῖο· [21]ἁδὶ ἁ ἑρμανεία, βασίλευ, κέλευσμά τε τῶ ὑψίστω ἐντὶ τόπερ ἔφϑα ἐπὶ τὸν ἐμὸν δεσπόταν τὸν βασίλεα· [22]καί τυ ἐλάοντι ποτὶ τᾶν βροτᾶν, ξύν τε τῷ ζώῳ τῶ ἀγρῶ κυρήσει ἁ σὰ μονὰ, χόρτον ϑ' ὡς βόας σιτίσοντί τυ, κἄπαὶ δρόσω πόλων τυ βάπτοντι, ἑπτά τε καιροὶ ἀμειφϑήσονται ἐπὶ σεῦ, μέχρις ἂν γνοίης ὡς ἄρχοι ὁ ὕψιστος ἐν τᾷ βασιλείᾳ τᾶν βροτᾶν, χᾦτινι ἂν ϑελήσεις δώσει ταύταν. [23]Ὅτι δ' ἔφασαν ἀφεῖναι ῥίζαν τᾶν εὖ ῥιζᾶν τῶ δένδρω· ἁ σὰ βασιλεία τεῒν κυρόεται, ἀφοῦπερ γνῷς ὃς ἀρ... οἱ τᾶν οὐρανᾶν· [24]ἀλλὰ, βασίλευ,

---

15. ἐν τίν] ἐντὶν cod., non ἐντὶ ut Mor. ait. 16. ἐν ὥρᾳ] בְּשָׁעָה (ita codd. nonn. et edd.) pro 'כְּשָׁ. Item LXX. ἀναπολάσεις] ἄνα... λάσεις (non λάσει ου ut apud Mor. legitur) cod. Cf. Eccl. I, 17. IV, 16. ἑρμανεία (2)] excidit ἕο vel αὐτῶ (וּפִשְׁרֵהּ). Cf. v. 4. 6 cet. 18. πτορϑοῖσιν c. cd. ed. 19. ἐκραταιώϑαντε (non -ϑατε ut ed. nec -ϑας τε ut Mor. ait) cod. τε (ἀρχά) c. cd. ed. 20. αἴᾳ] ita lego, non αἴῃ ut ed. σιδαρῶ cod. et ed. Recte σιδάρω v. 12 scriptum est. ἀμείφϑειεν c. cd. ed. 21. κέλευσμά τε cod. Ed. τε om. 22. καί τυ cod., non καίτοι ut ed. σίτισον (corr. ex σίτησον, id quod Morellium fugit) τὶ τύ cod., non σιτήσοντι τύ ut ed. ἄρχοι] l. ἄρχει ut v. 14. 29. 23. ἔφασαν] ἔφϑασαν cod. et ed. ἀφοῦπερ] sic cod. Cf. III, 22. ὃς κτλ.] l. ὡς (cf. v. 14. 22) ἄρχουσιν οἱ κτλ. (דִּי שַׁלִּטִין שְׁמַיָּא).

ἁ βουλά μευ ἀρεσάτω ἐπὶ σεῦ, καὶ τὰς τεὰς ἁμαρτίας ἐνὶ δικαιοσύνᾳ ἀπότριψον τά τ' ἀλιτάματα σεῦ ἐν οἰκτίσει πενήτων· ἠνὶ τελέσει ἰατρεία τᾷ τεᾷ λάϑᾳ. [25] ἅπαντ' ἔφϑασαν ἐπὶ νεβουχαδνεσάρον τὸν βασίλεα. [26] Ἄκρῳ μηνῶν δυοκαίδεκα ἐπὶ τῶ μεγάρω τᾶς βασιλείας τᾶς βαβέλας πορευόμενος ἐκύρεε, [27] ἀπεκρίνατο ὁ βασίλευς κῆφα· ἆρ' οὐχ ἅδ' ἐντὶ βαβέλα ἁ μεγάλα, τὰν ἐγὼν ἐδειμάμην ταύταν ἐς δόμον βασιλείας ἐν ἰσχύϊ κρατέος μεῦ κἀς τιμὰν τᾶς ἐμᾶς καλλονᾶς; [28] τῶ λόγω ἐνὶ τῷ στόματι τῶ βασίλεος, φωνὰ ἀπ' ὠρανᾶν πέσε· τεῒν λέγοντι, νεβουχαδνασάρε βασίλευ, ἁ βασιλεία παρῆλϑε ποτὶ τεῦ, [29] ἀπό τε τᾶν βροτᾶν τ' ἐλάοντι, ξύν τε ζώοις ἀγρῶ ἁ μονά τευ· χόρτον κατὰ βόας τε σιτίσοντι, χἁπτὰ καιροὶ ἀμειφϑήσονται ἐπὶ τεῦ, μέχρις ἂν γνοίης ὅτιπερ ἄρχει ὁ ὕψιστος ἐνὶ βασιλείᾳ τᾶν βροτᾶν χῴτινι ἂν ἐϑέλοι δώσει ταύταν. [30] ἐν ταύτᾳ τᾷ ὥρᾳ ὁ λόγος τετέλεσται ἐπὶ νεβουχαδνεσάρι, κἄπαι τᾶν βροτᾶν ἀπελαϑείς, χόρτον ϑ' ἃ βόες ἐσϑίοι κἄπαι τᾶς δρόσω τᾶν οὐρανᾶν τὸ σῶμά οἱ βαφείη, μέχρις ἂν ἁ τήνω ϑρὶξ ὡς ἀετᾶν ἐμεγέϑυνε καὶ οἱ ὄνυχες εὖ ὡς ὀρνίϑων. [31] τῷ δ' ἄκρῳ τᾶν ἁμερᾶν ἐγὼν νεβουχαδνεσάρος τὼ ὀφϑαλμώ μευ ἐς ὠρανὼς ἄειρα ἅ τ' ἐμὰ φρὰν ἐπ' ἐμὲ στραφείη, τόν ϑ' ὕψιστον εὐλόγησα τόν τε ζῶντ' αἰῶνα ᾔνεσα καὶ ὡραίωσα, ᾧπερ ἅ γ' ἀρχά εὖ ἀρχὰ αἰῶνος ἅ τ' αὐτῶ βασιλεία ξὺν γενεᾷ καὶ γενεᾷ. [32] πάντες ϑ' οἱ μένοντες γαίᾳ ὡς οὐδὲν λογίζονται, κατά τε τὰ βουλεύματά οἱ ἐργάζεται ἐν τᾷ δυνάμει τᾶν ὠρανᾶν καὶ τοῖς κατοίκοις αἴας, οὔτ' ἐντὶ ὃς ἀπα-

---

24. ἰατρεία] quasi אֲרֻכָה scriptum esset, non אַרְכָּא. Cf. VII, 12. 25. ἅπαντ' cod., non ἅπαντες ut ed. 27. ἅδ' cod., non ἁ δ' ut ed. κρατέος μεῦ] sic cod. καλλόνας c. cd. ed. 28. βασίλεος (in fine lineae), ὠρανᾶν πέσω (om. φωνὰ ἀπ') cod. Vix recte Vill. (in marg.): φωνὴ ἀπ' ὠρανᾶν πεσοῦσα 29. ἐλάοντα cod. et ed. Cf. v. 22 etc. χόρτον] χάρτον cod. τε σιτίσοντι] τέον τίσοντι cod., σὲ σιτίσοντι Vill. in marg. χἁπτὰ (addito spiritu asp.) cod., non χ' ἑπτὰ ut ed. 30. ἃ (ἁ cod. et ed.)] Vill.: „Pro ὡς“. Sane. Atticorum more etiam VII, 6 (cf. v. 9) ἅπερ pro ὥσπερ posuit. 31. δὲ (ἄκρῳ) c. cd. ed. ἐς ὠρανὼς] ἐσωρακὼς (non ἑωρακὼς ut ed.) corrupte cod. ζῶντ' ἐς αἰῶνα c. cd. ed. Praepositionem addere non ausus sum, quia abest a textu Hebr. (לְחַי עָלְמָא). ὡραίωσα] inter καὶ et ᾧπερ spatium octo fere literarum vacuum. Vill. (in marg.) ὡραίωκα. Cf. v. 34. Cant. I, 10. ἅ τ' ἀρχά cod. et ed. 32. τοῖς κατοίκον cod.

λείψει ἐν χερσίν οἱ φήσει τέ οἱ· τί εἴργασαι; [33] ἐν αὐτῷ τῷ χρόνῳ ἁ ἐμὰ φρὰν στραφείη ἐπ' ἐμέ, ἔς τε τὰν τιμὰν τᾶς ἐμᾶς βασιλείας καλλονά μου λαμπρότης τέ μευ στραφείη ἐπ' ἐμέ, κἀμέ τοι ξυνήϑεις μοι καὶ τοὶ μεγιστᾶνες ζητάσαιεν, κἀπὶ τᾶς ἐμᾶς βασιλείας κατέστην, μεγαλωσύνα τε περιττὰ προσετέϑη μοι. [34] νῦν ἐγὼν νεβουχαδνεσάρος αἰνῶ ὑψόω τε καὶ ὡραιῶ τὸν βασίλεα τᾶν ὠρανᾶν, ᾧ πᾶσαι αἱ εὖ ἐργασίαι ἀλάϑεια καὶ ἡ ἀτραπός οἱ δίκα, καὶ ὃς τὼς βαδίζοντας ἐν ὑπεροψίᾳ δύναται ταπεινόειν.

V. [1] Βελτεσασὰρ ὁ βασίλευς ἐποίησεν ἑστίασιν μεγάλαν τοῖσι μεγιστάνεσσιν εὖ χιλίοις, ἐνώπιόν τε τῶν χιλίων ἄκρατον ἔπινε. [2] βελτεσασάρος ἔφα ἐν γεύσει τῶ ἀκράτω ἐνεγκεῖν ἄγγεα τὰ χρύσεα τά τ' ἀργύρεα, τάπερ ἐξήνεγκε νεβουχαδνεσάρος ὁ τήνω πατὴρ ποτὶ τῶ νεὼ τῶ ἐν ἱερουσαλάμᾳ, καὶ πίνοιεν ἐν αὐτοῖς ὁ βασίλευς οἵ τ' αὐτῶ μεγιστᾶνες, ἁ ἄκοιτίς οἱ χἀ παλλακά οἱ. [3] ἐντῳτότε ἤνεγκαν τὰ σκεύεα τὰ χρύσεα, τάπερ ἐξήνεγκαν ποτὶ τῶ νεὼ τῶ δόμω τῶ ϑεῶ τῶ ἐν ἱερουσαλάμᾳ, κἄπινον ἐν αὐτοῖς ὁ βασίλευς, οἱ τήνω μεγιστᾶνες, ἁ τήνω ἄκοιτις ἅ τε παλλακά εὖ· [4] ἔπινον ἄκρατον, ᾔνεσάν τε τὼς ϑεὼς τὼς χρυσέως καὶ ἀργυρέως, χαλκέως, σιδαρέως, ξυλίνως καὶ λιϑίνως. [5] ἐν ταύτᾳ τᾷ ὥρᾳ ἐξῆνϑον δάκτυλοι χερὸς ἀνϑρώπω κἄγραφον ἐνώπιον τῶ λαμπτῆρος ἐπὶ τῶ τιτάνω τῶ τοίχω τῶ μεγάρω τῶ βασίλεος, ὅ τε βασίλευς ἐϑεᾶτο τὰν παλάμαν τᾶς χερὸς ἅπερ ἔγραψε. [6] τόϑ' ὁ βασίλευς, ταὶ τήνω φαιδρότητες ἠλλοίωσάν ἑ οἵ τε λογισμοί οἱ ϑαμβήσαιέν ἑ, οἵ τε δεσμοὶ τᾶς τήνω ὀσφύος ἐλύοντο τό τε γόνυ οἱ τοδὶ ἐς τοδὶ ἐδουπεέτην. [7] ἐβόα ὁ βασίλευς ἐν δυνάμει ἐνεγκεῖν τὼς ἀστρονόμως, τὼς χασδαίως, τὼς ἀποτελεστάς. ἀπεκρίνατο ὁ βασίλευς κῆφα τοῖς σοφοῖς βαβέλας, ὡς πᾶς ἀνὴρ ὃς ἂν ἀναγνοίη τὸ γράμμα τοδὶ καὶ τὰν ἑρμανείαν αὐτῶ ἀγγεῖλαι μοι, πορφύραν περιβαλεῖται κλοιόν τε χρύσεον ἐπὶ τῶ αὐχένος αὐτῶ, καὶ τοῦ τρίτου μεῦ ἐν τᾷ βασιλείᾳ

---

33. στραφείη (2) Villoisonio duce edidimus pro cod. στραφῆναι

V. 1. βελτεσασὰρ] בֵּלְטְשַׁאצַּר (ita cod. Kenn. 147) pro 'בֵּלְשַׁ. Item v. 2 (aliter v. 9) et VII, 1. τοῖς μεγιστάνεσιν c. cd. ed. ἄκρατος cod. 2. βελτασασάρος (sic) cod., non βελτεσάσαρος ut ed. νεῶ hic et v. sq. c. cd. ed. μεγιστάνες cod., at v. sq. et saepius μεγιστᾶνες ἁ ἄκοιτις κτλ.] sing. pro plur. (שֵׁגְלָתֵהּ וּלְחֵנָתֵהּ). Item v. sq. Cf. v. 23. 3. παλλακὰ εὖ c. cd. ed. 5. τιτάνου corr. τιτάνω cod. 6. ταὶ ἀτήνω cod., ταὶ αἱ τήνω ed. τό τε γόνυ] l. τώ τε γόνατε vel τά τε γόνα (γόννα).

ἄρξει. [8] ἀφικνοῦνται πάντες τοὶ σοφοὶ τᾶς βαβέλας, οὐ μὰν ἐδύναντο τὸ γράμμα ἀναγνῶναι καὶ τὰν ἑρμανείαν αὐτῶ γνωρίσαι τῷ βασίλει. [9] τόϑ' ὁ βασίλευς βελσασάρης ἄγαν ἐταράττετο, αἵ τε λαμπρότητες τήνω ἠλλοιοῦντο ἐπ' αὐτοῖο, οἵ τ' αὐτῶ μεγιστᾶνες ἐκπεπλήγασιν. [10] ἁ βασιλὶς ἐνώπιον τῶν λόγων τῶ βασίλεος καὶ τῶν εὖ μεγιστάνων οἴκαδε τῶ πότω ἀφῖκται. ἀποκέκριται ἁ βασιλὶς κῆφα· ἄνα, ἐς αἰῶνας βίος· μὴ ϑαμβείτωσάν τε οἱ τεοὶ λογισμοὶ αἵ τε φαιδρότητές τευ ἀλλοιοέσϑωσαν. [11] ἐντί γ' ἀνὴρ ἐνὶ τᾷ βασιλείᾳ τευ τῷ πνεῦμα ϑεᾶν ἁγίων ἐν αὐτῷ, κἀν ταῖς ἁμέραις τῶ τεῶ πατρὸς μνάμα καὶ νοαμοσύνα σοφία ϑ' ὡς σοφία ϑεᾶν εὑρέϑη ἐν αὐτῷ, χὠ βασίλευς νεβουχαδνεσάρος ὁ τεὸς πατὴρ, ἀγούμενον γενεϑλιαλόγων, ἀστρονόμων, κασδαίων, ἀποτελεσταίων ἤγειρέν ἑ τεὸς πατὴρ ὁ βασίλευς, [12] πᾶν πρόσϑεν ὅτι πνεῦμα περιττὸν, γνῶσίς τε καὶ νοαμοσύνα κρίνοντι ὀνείρως, ἀγγελία τε αἰνιγμάτων καὶ λύ.... δεδεμένα εὕρηται ἐν αὐτῷ, ἐν δανιέλῳ τῷπερ ὁ βασίλευς ἔϑηκεν ὄνομά οἱ βελτεσασάρην· ἀρτίως δανιέλος βωστρέεσϑαι, καὶ τὰν αὐτοῦ ἑρμανείαν ἀγγελεῖ.

[13] Ἐντωτότε δανιέλος ἤχϑη πρόσϑεν τῶ βασίλεος. ἀπεκρίνατο ὁ βασίλευς κῆφα τῷ δανιέλῳ· τύνη κυρέεις δανιέλος ὁ ποτὶ τᾶν υἱᾶν τᾶς ἀποικίας τῶ ἰεούδω, τὰν ἤγαγε βασίλευς οὑμὸς πατὴρ ποτὶ ἰεούδου; [14] ἔκλυον δὲ περί τεῦ ὡς πνεῦμα ϑεᾶν ἐπὶ τὶν, μνήμη τε καὶ νοαμοσύνα, σοφία τε περιττὰ εὕρηται ἐνὶ τίν. [15] ἄρτι τε ἤχϑησαν ἐπίπροσϑεν μεῦ σοφοὶ, ἀστρονόμοι, ὡς τὸ γράμμα τοδὶ ἀναγνοῖεν τάν ϑ' ἑρμανείαν αὐτῶ δηλώσαιέν μοι, οὐ μὰν ἰσχύοντι τὰν ἑρμανείαν τῶ λόγω ἀγγεῖλαι. [16] ἐγὼν δ' ἔκλυον περί τευ ὡς ἕξεις ἑρμανείας ἑρμανεῦσαι καὶ δεσμὼς λύσαι· αὐτίκ' εἴπερ δυνάσοιο τὸ γράμμα ἀναγνῶναι καὶ τὰν ἑρμανείαν δηλῶσαί μοι, πορφύραν περιβαλέῃ κλοιόν τε χρύσεον περὶ τὸν τεὸν αὐχένα, τρίτου τε ἐν τῇ βασιλείᾳ ἄρξεις.

---

8. ἀφικνοῦνται] excidit τότε antecedens (אֱדַיִן). βαβέλας] בָּבֶל (ita codd. pauci) pro מַלְכָּא 9. βελσασάρης cod., non βελτεσασ. ut ed. 10. ἀλλειοέσϑωσαν c. cd. ed. Sed legendum μὴ ἄλλοι. (אַל־יִשְׁתַּנּוֹ). 11. χὠ (add. spir. asp.) cod., non χ' ὁ ut ed. ἀποτελεσταίων] nonne ἀποτελεστῶν (cf. II, 27 sq.)? 12. κρίνοντι] fort. κρίνοντα (neutr. pl.). λύ....] λύουσα nescio an recte Vill. in marg. βωστρέεσϑαι] l. βωστρεέσϑω (יִתְקְרֵי). 15. ἐπὶ πρόσϑεν μευ c. cd. ed. 16. περί τευ] v. 14 περὶ τεῦ λύσαι] sic cod. καὶ τὰν ἑρμανείαν] וּפִשְׁרָהּ (ita pauci codd.) pro וּפִשְׁרֵהּ

[17] Ἐντωτότε ἀποκέκριται δανιέλος κῆφα ἐνώπιον τῶ βασίλεος· αἵ τεαὶ δωτίναι τὶν τελούντων, καὶ τὰ βραβεῖα ἑτέρῳ δός· πλὰν τὰν γραφὰν ἀναγνωσῶ τῷ βασίλει καὶ τὰν ἑρμανείαν δαλωσῶ οἱ. [18] τύνη, βασίλευ· ὁ θεὸς ὁ ὕψιστος βασιλείαν, μεγαλωσύναν τε καὶ τιμὰν, εὐπρέπειάν τ' ἔδωκε νεβουχαδνεσάρι τῷ τεῷ πατρί. [19] κἄπαὶ τᾶς μεγαλωσύνας τὰν ἔδωκέν οἱ, πάντα τὰ ἔθνη, οἱ λαοὶ καὶ αἱ γλῶσσαι ἐτύγχανον τρέμοντες καὶ δεδιότες ἀπαὶ τῶν πρόσθεν εὑ· τὼς ἐτύγχανε βουλόμενος ἔην κτείνων, τώς τ' ἔην θέλων ἔην παίων, τώς τ' ἔην ἔθελων ἐτύγχανεν ὑψόων, τώς τ' ἐτύγχανε θέλων ἐτύγχανε ταπεινόων. [20] ὅτε δ' ὕψωται ἁ καρδία οἱ τό τε πνεῦμά οἱ ἐκρατύνθη ὥστ' ἐθελοκακέειν, κατενήνεκται ποτὶ τῶ θάκω τᾶς αὐτῶ βασιλείας, καὶ τὰν τιμὰν εὗ ἀπήγαγον ἀφ' εὗ· [21] ποτί τε τᾶν υἱᾶν τᾶν ἀνθρώπων ἐλήλαται, καὶ ἁ καρδία οἱ ξὺν τῷ θηρίῳ τέθειται ξύν τ' ὀνάγροις ἁ κείνου μονά· χόρτον ὡς βόας ψωμίσαιέν ἑ κἄπαὶ τᾶς δρόσω τᾶν οὐρανᾶν τὸ σῶμά οἱ βαφείη, μέχρις ὧπερ ἔγνω ὅτι ἄρχει θεὸς ὁ ὕψιστος ἐν τᾷ βασιλείᾳ τᾶν βροτᾶν καὶ ὃν ἂν ἐθέλοι ἐγερεῖ ἐπ' αὐτᾶς. [22] τὺ δὲ τήνω υἱεὺς βελσασὰρ οὐκ ἐταπείνωσας τὰν σαυτῶ καρδίαν, πᾶν πρόσθεν ὅτι πᾶν τόπερ ἔγνως. [23] ἐπὶ δὲ τὸν κύριον τῶ πόλω ὑψώθης, τά τ' ἄγγεα τῶ δόμω τήνω ἤνεγκαν ἐνώπιόν τευ, τύ θ' οἵ τε σοὶ μεγιστᾶνες αἵ τ' ἀκοίτιδές τευ χαὶ παλλακαί τευ, ἄκρατον ἐπίνετε ἐν αὐτοῖς, τώς τε θεὼς τὼς ἀργυρέως χρυσέως τε, χαλκέως, σιδαρέως, ξυλίνως καὶ λιθίνως, τοίπερ οὐχ ὁράοντι οὔτ' ἀκούοντι οὔτε γινώσκοντι, ἤνεσας, τὸν δὲ θεὸν τῷ ἁ πνοά τευ ἐν χερσίν εὑ, πᾶσαί θ' αἱ τεαὶ ὁδοὶ τήνω, οὐχ ὡραίωσας. [24] ἐντωτότε ἐνωπιόθεν τήνω πέμφθη παλάμα χερὸς, καὶ γράμμα τόδ' ἐχάραξεν. [25] ἀδί θ' ἁ γραφὰ τὰν ἐχάραξε· μέτρον, μέτρον, σταθμὸς καὶ μερισμοί. [26] ἅδ' ἁ ἑρμανεία τῶ λόγω· μέτρον· ἐμέ-

17. δωτίναι] sic cod. 18. (εὐπρέπειάν) τ' cod., non γ' ut ed., nec τε ut Mor. ait. 19. τῶν πρόσθεν] τῶν προ.... cod., τῶν προσώπων Vill. in marg. Cf. II, 15. VI, 11. ἐτύγχανε (1)] ἐτύχανε cod. Etiam pro ἐτύγχανεν primo ἐτύχ. scriptum erat, sed γ postea additum. 20. καρδία οἱ] ita recte ed. Cod. οἱ om. 21. τέθειται] vix aliter legit ac text. Masor. (שַׁוִּי; vid. var. lect. apud Ross.). Cf. III, 29. ὄναγρος cod. 22. υἱεῦς cod. 23. τύ θ'] τοῖς θ' cod. Recte ed. ὡραίωσας] in codice nihil nisi ὡ (in fine lineae). Vill. in marg. ὡραίωκας. Cf. IV, 34. 24. χειρὸς c. cd. ed.

τρησεν ὁ θεὸς τὰν βασιλείαν κἀτελείωσεν αὐτάν. [27]σταθμός· ἐστάθης ἐν τρυτάναις εὑρέθης τ' ἐλλιπής. [28]μερισμός· μεμέρισται ἁ βασιλεία τευ καὶ δέδοται τῷ μαδαΐδι καὶ τῷ παράξῳ. [29]ἐντῳτότε εἶπε βελσασάρης, καὶ περιέβαλον τὸν δανιέλον πορφύραν, κλοιόν τε χρύσεον ἐπὶ τῶ τήνω αὐχένος, κἀκήρυξαν περὶ τήνω ὡς εἴη ἄρχων τρίτου ἐν τᾷ βασιλείᾳ. [30]ἐν τήνᾳ ἐν τᾷ νυκτὶ

VI. ἀνήρηται βελσασάρης ὁ βασίλευς κασδαίων. [1]δαριαυέσας δ' ὁ μῆδος ἐδέξατο τὰν βασιλείαν ὡς υἱεὺς ἐτέων ἑξήκοντα καὶ δυσίν. [2]ἀγάθυνεν ἐνώπιον δαριαυέσοιο καὶ ἤγειρεν ἐπὶ τᾶς βασιλείας μεγιστάνως ἑκατὸν καὶ εἴκοσι, τοίπερ εἶεν ἐν πάσᾳ τᾷ βασιλείᾳ, [3]ἄνω δ' ὑπὲρ αὐτὼς ἐπιστάτας τρεῖς, οἷς δανιέλον ἕνα ἐξ αὐτᾶν, ὡς εἶεν οἱ μεγιστᾶνες οἱ διδόντες τήνοις βουλάν, ὅ τε βασίλευς οὐκ εἴη ἐπηρεαζόμενος. [4]τότε δανιέλος ὅδε κρατυνόμενος ἦην ἐπὶ τᾶν ἐπιστατᾶν καὶ τῶν μεγιστάνων, πᾶν πρόσθεν ὅτι πνεῦμα περιττὸν ἐν αὐτῷ, ὅ τε βασίλευς ἐποίησεν ἐγεῖραί ε ἐπὶ πάσης τᾶς βασιλείας. [5]τόθ' οἱ ἐπιστάται καὶ οἱ μεγιστᾶνες ἐτύγχανον ζητοῦντες ἀφορμὰν εὑρεῖν δανιέλῳ ἀπὸ μέρους τᾶς βασιλείας, ἀντιναοῦν δ' ἀφορμὰν καὶ διαφθορὰν οὐκ ἴσχυον εὑρεῖν, πᾶσι πρόσθεν τι πιστὸς ἦην καὶ ἁτισοῦν ἐπιλασμονὰ διαφθορά τ' οὐχ εὕρηται ἐπ' αὐτοῖο. [6]τόθ' οἱ ἄνδρες τῆνοι ἔλεγον, ὡς οὐχ εὑρήσομεν τῷ δανιέλῳ τῳδὶ ἀντιναοῦν ἀφορμάν, πλὰν εὑράσομεν κατ' αὐτῶ ἐν τῷ δόγματι τῶ θεῶ οἱ. [7]τότε οἱ ἐπιστάται καὶ οἱ μεγιστᾶνες τῆνοι ξυναγηόχαται ἐπὶ τῶ βασίλεος, τῇδέ τ' ἔφασκον τήνῳ· δαριαυέσα βασίλευ, ἐς αἰῶνα βίοε. [8]βεβουλεύκαται πάντες οἱ ἐπιστάται τᾶς βασιλείας, οἱ ἁγεμόνες καὶ μεγιστᾶνες, οἱ ἐθάδες οἵ τ' ἀρχαγοί, κυρῶσαι κύρωσιν τὸν βασίλεα στηρίξαι τε δεσμῷ ὡς πᾶς ὃς ἂν αἰτήσοιτο αἴτησιν ποτὶ ὡτινοσοῦν θεῶ καὶ

---

27. ἐλλιπής cod., non ἐλλειπής ut ed.

VI. 1. δαριανέσας cod. (nec aliter ed.) itemque v. 2 δαριανέσοιο. Recte IX, 1 et XI, 1 per υ scriptum est. 2. τοίπερ] τόνπερ cod. Villoisonium secuti sumus. 3. οὐκ εἴη] cod. οὐκ om. 4. πᾶν πρόσθεν ὅτι] in codice post μεγιστᾶνες spatium decem fere literarum vacuum, ac dein pergit τι (πνεῦμα κτλ.). Cf. V, 12. 22 cet. ἐποίησεν] ἐνόησεν? Nisi vero עֲשִׁית cum 'עשׂ commiscuit. 5. (πρόσθεν) τι] l. ὅτι (cf. Vill. in marg.). 6. εὑράσομεν] α factum ex η, at supra εὑρήσ. non correctum est. 7. δαριανέσα rursus cod. et v. 10 δαριανέσας 8. δεσμῶ cod. et ed., fort. pro δεσμὸν (Vill.). Cf. v. 9.

ἀνϑρώπω μέχρις ἁμερῶν τριάκοντα εἰ μὴ πρὸς τεῦ, βασίλευ, ῥιφείη τῷ βοϑύνῳ τῶν λεόντων. [9] ἀρτίως, βασίλευ, κύρωσον δεσμὸν χάραξόν τε γραφὰν, μὴ ἀμεῖψαι κατὰ τὸ δόγμα μαδάϊδος καὶ παραξέω, ὡς μὴ παραβαίη. [10] πᾶν πρόσϑεν τοδὶ ὁ βασίλευς δαριαυέσας ἐχάραξε γράμμα ἐξακόν τε. [11] δανιέλος δ' ἐπείπερ ἔγνω ὡς ἐχάραξε τὰν γραφὰν, ἦνϑεν οἴκαδ' ἑαυτῶ· ϑυρίδες δ' ἀνέῳγά οἱ ἐν τῷ ὑπερῴῳ οἱ ἀντικρὺ ἱερουσαλάμης, καιροῖς τε τρισὶν ἐν ἡμέρᾳ ἔην γονυκλιτῶν ἐπὶ τοῖν ἑαυτοῦ γονάτοιν προσευχόμενός τε καὶ ὁμολογέων ἐνώπιον τῶ ϑεῶ οἱ, πᾶν πρόσϑεν ὅτι ἔην ποιέων ποτὶ τῶν πρόσϑεν τοδί. [12] τόϑ' οἱ ἄνδρες τῆνοι ξυνηϑροίσϑησαν, εὗρόν τε δανιέλον ζητέοντα καὶ ἱκετεύοντα ἐνώπιον τῶ ϑεῶ εὑ. [13] ἐντῳτότε ἤγγισαν κἄφασκον ἐνώπιον τῶ βασίλεος περὶ τῶ δεσμῶ· βασίλευ, ἆρ' οὐ δεσμὸν ἐχάραξας ὡς πᾶς ἀνὴρ ὃς ζητήσειε ποτὶ τῶ ϑεῶ καὶ ἀνϑρώπω μέχρις ἁμερῶν τριάκοντα πλὰν ποτὶ τεῦ, βασίλευ, ῥιφησεῖται τῷ βόϑρῳ τῶν λεόντων; ἀπεκρίνατο ὁ βασίλευς κῆφα· ἀλαϑὴς ὁ λόγος κατὰ τὸ δόγμα μαδάϊδος καὶ παραξέω, ὃ οὐ παραβαίη. [14] ἐντῳτότε ἀπεκρίναντο κἄφασκον ἐνώπιον τῶ βασίλεος, ὡς δανιέλος ὁ πρὸς τᾶν υἱᾶν τᾶς μετοικίας τῶ ἰεούδου, ουκ ἔϑηκεν ἐπὶ σεῦ, βασίλευ, φρένα, κἀπὶ τῶ δεσμῶ τὸν ἐχάραξας, χρόνοις δὲ τρισὶν ἐν ἁμέρᾳ ζητέει ζητήσεις ἑαυτῶ.

[15] Τόϑ' ὁ βασίλευς ὡς τὸν λόγον πέπυσται, δαρὸν ἀργαλέον ἐπ' αὐτῶ, κἀπὶ δανιέλω ἔϑηκεν οὐ..... ὡς ἐξέλοιτό ἑ, μέχρι τῶ δύναι τῶ ἡλίω ἐτύγχανε σπουδάζων ὡς ἐλευϑερώσειέν ἑ. [16] ἐντῳτότε οἱ ἄνδρες τῆνοι ξυνηϑροίκαται ἐπὶ τῶ βασίλεος κἄφασκον τῷ βασίλει· γνῶϑι, βασίλευ, ὡς τὸ δόγμα μαδάϊδος καὶ παραξέω ὅτιπερ ὁστισοῦν δεσμὸς κύρωμά τε, τὸ βασίλευς βεβαιώσει, ἄκιστα τῷ ἀμεῖψαι. [17] Ἐντῳτότε ὁ βασίλευς ἔφα, ἤγα-

9. ἀμείψαι c. cd. ed. 10. ἐξακόν] legendum procul dubio δεσμόν. Cf. Prol. I, 3, a, ubi confusionem syllabarum δε et εξ exemplis illustravimus. 11. δὲ (ἐπείπερ) c. cd. ed. ἀνέῳγά] l. ἀνεῴγασίν (cf. Vill.) vel ἀνεῳγυῖαί (פְּתִיחָן). γονυκλινῶν? 13. ὡς πᾶς cod., non ὥσπερ ut ed. ῥιφήσειται c. cd. ed. 14. ζητέει — ἑαυτῶ] ita emendandum duximus cod. ζητέα — ἑαυτοῖς. Vix recte Vill. ζητῶν — ἑαυτῷ 15. Inter οὐ et ὡς spatium quinque fere literarum vacuum. Suspicor interpretem vocem בָּל primo negatione reddidisse, tum pro οὐ aliud quoddam substituisse vocabulum (Vill. φρένα vel καρδίαν vel ϑυμὸν), quod librarius legere non poterat. δύναι] sic cod. Cf. V, 16.

γόν τε δανιέλον κἄρριψαν τῷ βόϑρῳ τῶν λεόντων. ἀπεκρίνατο ὁ βασιλευς κῆφα τῷ δανιέλῳ· ὁ τεὸς ϑεὸς ᾧ τὺ λατρεύεις αὐτῷ συνεχῶς, τῆνός τυ ῥύσαιτο. [18] ἠνέχϑη τε λίϑος εἰς κάτέϑη ἐπὶ τῶ στόματος τῶ βόϑρω, κἀσφράγισέν ἑ ὁ βασιλευς ἐν τῷ δακτυλίῳ οἱ κἀν τῷ δακτυλίῳ τῶν αὐτῶ μεγιστάνων, ὡς μὴ ἀμειφϑείη βούλημα ἐν δανιέλῳ. [19] τότ' ἀπῆλϑεν ὁ βασίλευς ἐς τἀνάκτορά εὐ κἄμεινεν ἀσιτίᾳ, τράπεζάν τ' οὐκ ἤνεγκον εὐ ἐνώπιον, ὅ ϑ' ὕπνος τήνω ἀπέστη ἐπὶ τήνω. [20] ἐντωτότε ὁ βασιλευς ἐν ὄρϑρῳ ἐγερϑείη ἐν τᾷ φαύσει, κἀν ἐπειγωλᾷ τῷ βόϑρῳ τῶν λεόντων ἀπῆνϑε. [21] κἀν τῷ ἠγγικέναι ἑ τῷ βόϑρῳ, τῷ δανιέλῳ ἐν φωνᾷ ἀλγεινᾷ ἐβόασεν. ἀπεκρίναϑ' ὁ βασιλευς κῆφα τῷ δανιέλῳ· δανιέλε οἰκέτα τῶ ϑεῶ τῶ ζῶντος· ὁ τεὸς ϑεὸς ᾧ τὺ λατρεύεις αὐτῷ ἐν ξυνεχείᾳ, ἄρ' ἴσχυσεν ἐξελέσϑαι τε ποτὶ τῶν λεόντων; [22] τότε δανιέλος ξὺν τῷ βασιλει διείλεκται· βασιλευ, ἐς αἰῶνας βίοε. [23] ϑεὸς οὑμὸς ἔπεμψε τὸν ἄγγελον ἑαυτοῖο κἄκλεισε τὸ στόμα τῶν λεόντων, οὔκουν ἔφϑειράν με, πᾶν πρόσϑεν ὡς ἐνώπιόν εὐ καϑαρότης εὑρέϑη μοι· κἄτιπερ ἐνώπιόν τευ, ἄνα, διαφϑορὰν οὐκ ἐποίησα. [24] ἐντωτότε ὁ βασίλευς ἄγαν ἠγαϑύνϑη ἐπ' αὐτῷ, τόν τε δανιέλον ἔφη ἀναγαγεῖν ποτὶ τῶ βόϑρω. ἀνήχϑη τοίνυν δανιέλος ἀπὸ τῶ βόϑρω· ἡτισοῦν φϑορὰ οὐχ εὕρηται ἐν τήνῳ, ὅτιπερ ἐπίστευσεν ἐν τῷ ϑεῷ οἱ. [25] ἔφα δ' ὁ βασίλευς, ἤγαγόν τε τὼς ἄνδρας τήνως τὼς βαδίσαντας τῇ καταμανύσει εὐ τῶ δανιέλω, καὶ τῷ βόϑρῳ τῶν λεόντων ἔρριψαν σφέας, τοὺς υἱέας τήνων τάς τε γυναῖκας τήνων· οὔκουν ἤγγισαν τῷ πυϑμένι τῶ βόϑρω μέχρις. οὗπερ ἦρξαν ἐν σφίσιν οἱ λέοντες, καὶ πάντα τὰ τήνων ὀστέα ἐλέπτυναν. [26] ἐντωτότε δαριαυέσας ὁ βασιλευς ἔγραψε πᾶσι τοῖς λαοῖς, ἔϑνεσι καὶ γλώτταις, τοῖς κατοικοῦσιν ἐν πάσᾳ τᾷ αἴᾳ· ἁ ὑμέων εἰρήνη πληϑυνϑείη. [27] ἐνωπιόϑεν μεῦ ϑέσις γνώμας ὥστ' ἐν πάσᾳ τᾷ ἀρχᾷ τᾶς ἐμᾶς βασιλείας τελέειν τρέμοντας καὶ δεδιότας ἐνωπιόϑεν τῶ ϑεῶ αὐτῶ τῶ δανιέλω, ὅς ἐντὶ

---

19. τὰν ἄκτορα cod., τὸ ἀνάκτορον temere Vill. Immo crasi utitur (pl. τὰ ἀνάκτορα apud Euripidem occurrit). ἐπὶ τήνω] perperam, sed ad literam (עֲלוֹהִי). 21. ἀπεκρίνατό ϑ' c. cd. ed. 22. ξὺν] ζῶ cod., σὺν Vill. Cf. III, 33. IV, 31 cet. 23. καϑαρότης pro cod. καϑαροίης jam Vill. substituerat. 24. ἔφην cod. et ed. An voluit ἔφα? 25. καὶ (τῷ βόϑρῳ)] κἀν nescio an recte Vill. in margine (לְגֹב).

ϑεὸς ζῶν βεβατός τ' ἐς αἰῶνας, ἅ τε βασιλεία οἱ ἅπερ οὐκ οἰχήσεται, ἅ τ' ἀρχά οἱ μέχρι τέλως. [28] ἐξαιρέεται καὶ ῥύεται, ποιέει τε σημεῖα καὶ ϑαύματα ἐν πόλοισι κἀν χϑονί, ὃς ἐξεῖλετο δανιέλον ποτὶ χερὸς τῶν λεόντων. [29] καὶ δανιέλος οὑτοσὶ κατιϑύνϑη ἐν τᾷ βασιλείᾳ δαριαυέσαο κἀν τᾷ βασιλείᾳ κορέσαο τῶ παράξαο.

VII. [1] Ἐν ἔτει ἑνὶ βελτεσασάρος τῶ βασῖλεος βαβέλας δανιέλος ὄνειρον ἑώρακεν, αἱ δ' ὁράσεις τᾶς κεφαλᾶς τήνω ἐπὶ τᾶς ἀνακλίσεος τήνω. ἐντῳτότε τὸν ὄνειρον ἔγραψε, κεφαλὰν λόγων ἔφα. [2] ἀπεκρίνατο δανιέλος κῆφα· ὁράων ἔτυχον ἐν ὁράσει μευ σὺν νυκτί, τυΐ δὲ πίσσυρα πνεύματα τῶν πόλων πνέον ἐς ϑάλατταν μεγάλαν. [3] πίσσυρά τε ϑηρία μέγιστα ἀνήεσαν ποτὶ τᾶς ϑαλάττης παρηλλαγμένα τοδὶ ποτὶ τουδί· [4] τὸ πρῶτον ὡς λέων, πτέρυγες δ' ἀετῶ τῷδε· ὁράων ἐκύρεον ἄχρις ὧπερ τετῖλκαται τὰ πτερά εὖ κἀνέβη ποτὶ τᾶς γαίας, ἐπί τε ποδῶν ὡς ἄνϑρωπος ἠγέρϑη, καρδία τ' ἀνϑρώπω δέδοταί οἱ. [5] ϑεῶ δὲ ζῶον ἕτερον, δεύτερον, ἐοικὸς ἄρκῳ, ἐς τε μέρος ἓν ἠγέρϑη, τρεῖς τε πλευραὶ ἐν τῷ στόματί οἱ ἀνὰ τοὺς ὀδόντας εὖ, τᾷδέ τ' ἔφασκόν οἱ· ἔγειραι φάγε κρέας πολύ. [6] Μετὰ τοῦτο ὁράων ἐτύγχανον, αὐτίκα ϑ' ἕτερον ἅπερ πάρδαλις, τήνω τε πτέρυγες πίσσυρες ὀρνέοιο ἐπὶ τῶν νώτων αὐτοῦ, πίσσυρές τε κάραι τῷ ϑηρίῳ, ἀρχά τε δέδοταί οἱ. [7] Μετὰ τοῦτο δερκόμενος ἐκύρησα ἐν ὁράσεσι τᾶς νυκτός, ἴδου τε ζῶον τέταρτον δεεινόν, καταπληκτράον τε καὶ κραταιὸν περιττῶς· ὀδόντες δὲ σιδάροιό οἱ, μέγιστον βέβρωκεν ἐλέπτυνέ τε καὶ τὸ λοιπὸν ἐν ποσίν οἱ πεπάτηκεν· ἦν τε παρηλλαγμένον ἁπαὶ παντὸς ϑηρίω τῶν πρὸ αὐτῶ, κέραα δὲ δέκα οἱ. [8] κατατενίζων

---

27. βεβατός] nonne βέβαιός (Vill.)?

VII. 1. βελτεσασάρος (sic, non βελτεσάσαρος ut ed.)] cf. not. ad V, 1 (לְבֵלְאשַׁצַּר). 2. σὺν νυκτί] sic ipse translator (עִם־לֵילְיָא). τυΐ δὲ] ita quoque II, 31 reddidit וַאֲלוּ. Cf. v. 5 (ϑεῶ δὲ), v. 8 (ἠνί τε), IV, 24 (הֵן ἠνί). πνέον] πνέοντα temere Vill. Cf. II, 35 (κύρησεν pro ἐκύρ.). 38 (δῶκεν pro ἔδωκεν), III, 2. 22 cet. 5. ἄρκῳ] non opus est emendatione (ἄρκτῳ Vill.). ἐς τε μέρος] וְלִשְׂטַר (ita multi codd.) aut וְלִסְטַר (ita tres codd. Ross., octo Kenn.) pro וְלִשְׂטָר. Consentiunt versiones antiquae. ἔγειραι cod., non ἔγειρε ut ed. 7. ἴδου] sic cod. καταπληκτράον] codicis scripturam servavimus. μέγιστον] μέγιστοι (sc. ὀδόντες)? 8. κατατενίζων] sic cod., non κάτενίζων ut ed.

ἐκύρησα ἐς τὰ κέραα, ἠνί τε κέρας ἕτερον μικρὸν ἀναταμέσον αὐτᾶν, τρία δὲ ποτὶ τῶν κεράων τῶν πρώτων ἐξερρίζωνται ἐνωπιόϑεν αὐτῶ· ϑεῶ δ' ὦπες ὡς ὦπες βροτῶ ἐν τῷ κέραϊ τῳδί, στόμα τε διαλεγόμενον μέγιστα. [9] ὁράων ἔην ἄχρις οὗ ϑρόνοι ἐρρίφαται, παλαιός ϑ' ἀμέραις ἐκαϑέσϑη· τὸ περιβόλαιόν εὑ ἃ χιὼν λευκὸν, ἔϑειρα δὲ τᾶς κεφαλᾶς εὑ ἅτε ἔριον καϑαρὸν, ὁ τήνω ϑάκος σπινϑῆρες πυρὸς, οἱ τροχοὶ οἱ πῦρ φλέγον· [10] ποταμὸς πυρὸς εἵλκετο κἀξῄει ποτὶ τῶν πρόσϑεν αὐτῶ· χίλιαι χιλιάδες ὑπηρετοῖεν τήνῳ, μύριαί τε μυριάδες ἐνώπιόν εὑ ἐγείροιντο. δίκα ἐκαϑέσϑη, βίβλως τ' ἀνέῳξαν. [11] δερκόμενος ἐκύρησα ἐντῳτότε ποτὶ φωνᾶς λόγων μεγίστων τῶς τὸ κέρας ἐλάλεεν· ὁρῶν ἔτυχον ἄχρις ὥπερ ἀνῄρηται τὸ ϑηρίον, ὄλωλέ τε τὸ σῶμά οἱ καὶ δέδοται καύσει πυρός. [12] τοῦ τε λοιποῦ τῶν ϑηρίων παρήνεγκαν τὰν αὐτᾶν ἀρχὰν, μᾶκός τ' ἐν ζωᾷ δέδοται σφίσιν ἄχρι χρόνω καὶ καιρῶ. [13] ὁράων ἐκύρησα ἐν ὁράσεσιν εὐφρόνας, αὐτίκα τε ξὺν ταῖς νεφέλαις τῶν πόλων ὡς υἱεὺς ἀνϑρώπω ἀφικνούμενος ἔην, μέχρι τε τῶ παλαιῶ ταῖς ἀμέραις ἔφϑασε, κἀνώπιον τήνω προσήγαγόν ἑ. [14] τήνῳ τ' ἐδόϑη ἀρχὰ τιμά τε καὶ βασιλεία, πάντες τε λαοὶ, ἔϑνεα καὶ γλῶτται τήνῳ λατρευσείοντι· ἁ ἀρχά εὑ ἀρχὰ αἰῶνος ὃς οὐ παρελευσείεται, ἅ τε βασιλεία εὑ ἅπερ οὐκ οἰχησείεται. [15] τεϑάμβηται τοὐμὸν πνεῦμα, ἐγὼν δανιέλος, ἐν μέσῳ τῶ κολεῶ εὑ, αἵ ϑ' ὁράσεες τᾶς ἐμᾶς κεφαλᾶς ταράξαιέν με. [16] ἤγγισά γε ἐφ' ἕνα ποτὶ τῶν ἐγηγερμένων, τάν τε ἀλάϑειαν ζητήσαιμι ποτ' αὐτῶ ἐπὶ παντὶ τῳδί, κῆφα μοι, τάν ϑ' ἑρμανείαν τῶν λόγων γνωρίσαἱ μοι· [17] οὗτοι οἱ ϑῆρες οἱ μέγιστοι τοίπερ ἐντὶ πίσσυρες, πίσσυρες βασιλέες ἐγηρέονται ποτὶ τᾶς χϑονός· [18] δέξονται δὲ τὰν βασιλείαν ἅγιοι τῶν ὑψίστων, καὶ κληρονομήσουσι τὰν βασιλείαν ἄχρις αἰῶνος αἰώνων. [19] τότε βεβούλημαι ἐς τὰν ἀλάϑειαν περὶ τᾶν ϑηρᾶν τῶ τετάρτω, ὅσπερ ἔην παρηλλαγμένος ἀπὸ πάντων, δειι-

---

ἠνί τε, non ἠνίδε, cod. Cf. IV, 24. ἀναταμέσον] l. ἀνῄει μέσον (סָלְקָה). Cf. v. 3. 20. κέραϊ cod., non κέρᾳ ut ed. 9. ἁ χιὼν cod. Cf. not. ad IV, 30. ϑάκος] sic cod. Cf. Gen. XLI, 40. Sed pluralem exspectaveris (כָּרְסְיֵהּ). 14. ὅς] nonne ἃ (sc. ἀρχὰ)? 15. τεϑάμβηται] ταϑάχβεται corrupte cod., τεϑορύβηται Vill. Cf. V, 10. Exod. XV, 15. τῷ χολεῷ c. cd. ed. 16. (ἤγγισά) γε cod., non τε ut ed. (τάν) τ' c. cd. cd. 17. μέγισται cod. 19. τᾶν ϑηρᾶν] l. τῶ ϑηρὸς. Vix חֵיוָתָא (cf. v. 12. 17) legit pro חֵיוְתָא. παρηλλαγμένοι cod.

νὸς ἄγαν, ὀδόντες τήνω σιδάρεοι οἵ τ' ὄνυχές εὖ χάλκεοι, βέβρωκεν ἐλέπτυνέ τε, τὸ δὲ λοιπὸν ἐν ποσίν εὖ πεπάτηκε· [20] καὶ περὶ κεράων τῶν δέκα τῶν ἐν κρατί οἱ, χἀτέρου, τό γ' ἀνήει, ἔπεσον δὲ ποτὶ τῶν προτὶ αὐτῶ τρία, τῶ τε κέραος τῶ τοιῶδε καὶ τᾶν ὠπᾶν αὐτῶ τῶ τε στόματος τῶ λαλέοντος μέγιστα, ἁ δ' ὅρασις τήνω μείζων τῶ τήνω συμμόρω. [21] ὀρῶν ἐκύρησα, κέρας τε τὸ τοιόνδε ἐποίει μάχαν σὺν τοῖς ἁγίοις ἴσχυσέ τ' αὐτοῖς, [22] ἄχρις οὗπερ ἀφῖκται ὁ παλαιὸς τᾶς ἁμέρας, καὶ δίκαν ἐχορήγησε τοῖς ἁγίοις τῶν ὑψίστων, ὅ τε χρόνος πέφθακε, καὶ τὰν βασιλείαν κεκλήρωνται ἅγιοι. [23] οὕτωπερ εἶπεν· ὁ θὴρ ὁ τέταρτος, βασιλεία τετάρτα τελέσει ἐν τᾷ γαίᾳ, ἅπερ ἀλλαγήσεται ποτὶ πασᾶν τᾶν βασιλειᾶν, καὶ βρωσεῖται πᾶσαν γᾶν, ἀλοησεῖ τ' αὐτὰν καὶ λεπτυνέει ταύταν. [24] κέραα δὲ τὰ δέκα, ποτὶ τήνω τᾶς βασιλείας δέκα βασῖλεες ἐγερέονται· ἔσχατός τ' ἐγερέεται μετ' αὐτάς, τῆνός τε παραλλαγήσεται ποτὶ τῶν προλαβόντων καὶ τρεῖς βασιλέας ταπεινωσεῖ, [25] λόγους τ' ἐς μέρος τοῦ ὑψίστου φήσει καὶ τὼς ἁγίως τᾶν ὑψίστων παλαιωσεῖ, ἐννοήσει δ' ἀμεῖψαι χρόνους δόγμα τε, καὶ δοθήσονται ἐν χερσίν οἱ μέχρι καιρῶ καιρῶν τε καὶ ἡμίσεος καιρῶ. [26] δίκα τε καθεδέεται, τάν τ' ἀρχὰν αὐτοῖο ἀπάξοντι ἐς φρούδωσιν ὄλεθρόν τ' ἄχρι τέλεος. [27] ἁ δὲ βασιλεία ἅ τ' ἀρχὰ χἀ μεγαλωσύνα τᾶν βασιλειᾶν ὑπὸ πᾶσι τοῖς οὐρανοῖς δέδοται τῷ λεῷ τῶν ἁγίων τᾶν ὑψίστων· ἁ βασιλεία οἱ βασιλεία αἰῶνος, πάντες θ' οἱ ἄρχοντες αὐτῷ λατρεύοντι καὶ ὑπακουσείονται. [28] μέχρι τωνῶδε πέρας τῶ λόγω. Ἐγὼν δανιέλος, ἐπιεικῶς αἱ ἐμεῦ ἔννοιαι θαμβεῖέν με, φαιδρόπες τ' ἐμαὶ παραλλάττοιντο ἐπ' ἐμεῦ, λόγον τ' ἐν καρδίᾳ μευ τετήρηκα.

VIII. [1] Ἐν ἔτει τρίτῳ τῆς βασιλείας βελεσασάρος τοῦ βασιλέως θεωρία ὦπται πρός με, ἐγὼ δανιέλος, μετὰ τὴν ὀφθεῖσαν πρός με ἐν τῇ

βίβρωκεν cod. Cf. v. 7. 20. μείζων cod., non μείζω ut ed. 21. ὀρῶν] ὀρῶ cod. Recte ed. 22. τᾶς ἁμέρας] l. ταῖς ἁμέραις (Vill.) ut v. 9. 13. ἐχορήγησε] יְהִב pro יְהַב. Item LXX et Theod. 23. ἀλοησεῖ, non ἀλ., cod. Cf. Lev. XXVI, 5. 24. βασιλέες c. ed. ed. 27. λατρεύεντι c. ed. ed. 28. τωνῶδε] cf. Prol. I, 4, d. φαιδρόπες] l. φαιδρότητες (cf. V, 6. 10). λόγον τ'] λόγοις (non λόγοι οὐ ut ed., nec λογοίους ut Mor. legit) cod.

VIII. 1. βελεσασάρος cod., non βελσασάρου ut ed., nec βελεσασάρου ut Mor. ait. Cf. V, 1. βασιλέως] ita recte scriptum erat. Male postmodo correctum βασίλεος (ita ed.).

ἀρχῇ. [2] τεϑέαμαι γοῦν ἐν ϑεωρίᾳ, κάτελεσεν ἐν τῷ ϑεᾶσϑαί με, ὑπῆρχον δ' ἐν σουσᾶνι τῷ μεγάρῳ τῷ ἐν αἰλάμῃ τῇ ἐπαρχίᾳ· τεϑέαμαι γοῦν ἐν ϑεωρίᾳ, ἐγώ τ' ἦν ἐπὶ οὐβάλου οὐλάϊδος. [3] ἦρα τοίνυν τὼ ὀφϑαλμώ μου τεϑέαμαί τε, καὶ ϑεῶ κριὸς εἷς εἱστήκει πρόσϑεν τοῦ οὐβάλου, κείνῳ τε κέρα, καὶ τὰ κέρα μετέωρα, τὸ δ' ἓν μετέωρον μᾶλλον τοῦ δευτέρου, τὸ δὲ μετέωρον ἀνήει ἐν ὑστέρῳ. [4] τεϑέαμαι τὸν κριὸν κυρίττοντα πρὸς ϑάλατταν πρός τ' ἄρκτους καὶ πρὸς νότον, ἁτιναοῦν δὲ ζῶα οὐκ ἂν σταῖεν ἐπίπροσϑεν ἐκείνου, καὶ μηδενὸς ἐξαιρουμένου πρὸς τῆς ἐκείνου χειρός· ἐποίησε δὲ κατὰ τὸ ϑέλημά οἱ, κἀμεγαλύνϑη. [5] κἄγωγ' ἔτυχον συνιείς, αὐτίκα δὲ χίμαρος τῶν αἰγῶν ἀφικνεῖτο πρὸς τῶν δυσμῶν ἐπὶ προσώπου πάσης τῆς γῆς, οὔτ' ἔϑιγεν ἐν τῇ γῇ· ὁ δὲ χίμαρος, κέρας ξυμπλοκῆς ἀνὰ τὼ ὄμματέ οἱ· [6] ἧκει δ' ἄχρι τοῦ κριοῦ τοῦ δεσπότου τῶν κερῶν ὃν τεϑέαμαι ἑστῶτα πρόσϑεν οὐβάλου, κἄδραμε πρὸς αὐτὸν ἐν χόλῳ τῆς ἑαυτοῦ ἰσχύος. [7] τεϑέαμαί τ' αὐτὸν φϑάνοντα παρὰ τὸν κριόν· καϑύψωται δὲ πρὸς ἐκεῖνον, κἄβαλε τὸν κριὸν καὶ ξυνέτριψεν ἄμφω τὼ κέρατέ οἱ, καὶ οὐκ ἦν ἰσχὺς ἐν τῷ κριῷ στῆναι πρόσϑεν ἐκείνου· τοιγαροῦν ἔρριψεν ἐκεῖνον ἐς γῆν καὶ κατεπάτησέν ἑ, οὐϑ' ὑπῆρξεν ἐξαιρούμενος τὸν κριὸν τῆς ἐκείνου χειρός. [8] ὁ δὲ χίμαρος τῶν αἰγῶν ἐμεγεϑύνϑη μέχρι τωνάγαν· κατὰ δὲ τὸ κράτος ἐκείνου ξυντέτριπται τὸ κέρας τὸ μέγα, ἀνέβησάν τε ξυμπλοκὴ τεττάρων ἀντ' αὐτοῦ ἐς τοὺς τέτταρας ἀνέμους τῶν οὐρανῶν· [9] πρὸς δὲ τοῦ ἑνὸς ἐκείνων ἐξῆλϑε κέρας ἓν μικρὸν, ἐμεγαλύνϑη δὲ περιττῶς πρὸς τὸν νότον καὶ πρὸς ἀνατολὰς καὶ πρὸς τὸ βούλημα· [10] κἀμεγεϑύνϑη μέχρι τοῦ στρατοῦ τῶν οὐρανῶν, ἔρριψέ τ' ἐς γῆν πρὸς τοῦ στρατοῦ πρός τε τῶν ἄστρων καὶ κατεπάτησε σφᾶς· [11] μέχρι τε τοῦ ἄρχοντος τοῦ στρατοῦ ἐμεγεϑύνϑη, κἀπ' ἐκείνου ἔρριπται τὸ διηνεκές, ἀπέρριπταί ϑ' ὁ χῶρος τοῦ ἱεροῦ οἱ. [12] καὶ στρατὸς δοϑήσεται ἐπὶ τοῦ διηνεκοῦς ἐν παραβάσει, ῥίψει δὲ τὴν ἀλήϑειαν

---

3. εἱστήκει cod., non ἑστ. ut ed. 5. συνιείς] συνιεῖν cod., συνιών Vill. (in marg.). Cf. v. 23. 27. 6. τοῖν κερῶν (הַקְּרָנַיִם)? Item v. 20. Cf. Prol. II, 2, b. οὐβάσου cod. et ed. Cf. v. 2 sq. 7. καϑύψωται δὲ cod. Ed. δὲ om. 8. τωνάγαν] sic cod., non τῶ ἄγαν ut ed. 10. κατεπάτηκε cod. et ed. (cf. v. 7). An voluit καταπεπάτηκε? 11. ἔρριπται] הוּרַם (הרים) videtur a רָמָה (cf. Exod. XV, 1. 21) derivasse.

ἐς γῆν, ποιήσει τε καὶ κατιϑυνεῖται. [13] πέπυσμαί ϑ' ἕνα ἅγιον διαλεγόμενον, ἔφη ϑ' εἷς ἅγιος τῷ δεῖνι τῷ διαλεγομένῳ· μέχρι τίνος ἡ ϑεωρία ἡ διηνεκὲς ἥ τε παράβασις τὸ φροῦδον διδόναι, καὶ ἅγιον καὶ στρατὸν πατήματος; [14] ἔφη τοίνυν πρός με· μέχρις ἑσπέρας ἕω δισχίλιοι καὶ τριακόσιοι, καὶ δικαιοϑήσεται ἅγιον. [15] ὑπῆρξε δ' ἐπείπερ ὁρῴην ἐγὼ δανιέλος τὴν ϑεωρίαν, ἐζήτησα γοῦν σύνεσιν, ϑεῶ τοίνυν ἵστατό μου ἀντικρὺ ὡς ὄψις ἀνδρός. [16] πέπυσμαί τε φωνὴν ἀνϑρώπου μέσον τοῦ οὐλάϊδος, κἀβόησεν ἔφη τε· γαβριέλε, ξυνέτισον τοῦτον τὴν ὄψιν. [17] ἀφῖκται τοίνυν παρὰ τὴν ἐμὴν στάσιν· ἐν δὲ τῷ ἀφικνεῖσϑαί ἑ ἐκπέπληγγα κἄπεσον ἐπὶ πρόσωπόν μοι. ἔφη δὲ πρός με· ξύνες, υἱεῦ ἀνϑρώπου, εἰς γὰρ καιρὸν ἄκρου ἡ ϑεωρία. [18] ἐν δὲ τῷ διαλέγεσϑαί ἑ ξὺν ἐμοὶ κεκάρωμαι ἐπὶ πρόσωπόν μοι ἐς γῆν· ἥψατο δ' ἐν ἐμοὶ κἄστησέ με ἐπὶ τῆς ἐμῆς στάσεως. [19] ἔφη γοῦν· αὐτίκ' ἐγὼ γνωρίζω σοι ἅπερ ἔσεται ἐν ἐσχάτῳ τοῦ χόλου· ἐς γὰρ καιρὸν ἄκρου. [20] ὁ κριὸς ὃν τεϑέασαι, ὁ κύριος τῶν κεράτων, οἱ βασιλεῖς μαδάϊδος καὶ παράσσου· [21] ὁ δὲ τράγος, ὁ χίμαρος, βασιλεὺς ἴωνος· τὸ δὲ κέρας τὸ μέγα τὸ ἀνὰ τὼ ὄμματέ οἱ, ἔστιν ὁ βασιλεὺς ὁ πρῶτος. [22] τὸ δὲ τεϑραυσμένον, ἔστησαν δὲ τέτταρα ἀντ' αὐτοῦ, τέτταρες βασιλεῖαι πρὸς ἔϑνους στήσονται, οὐ μὴν ἐν τῇ κείνου ῥώμῃ. [23] ἐν δ' ἐσχάτῳ τῆς βασιλείας αὐτῶν, κατὰ τὸ τετελέσϑαι τὰς παραβάσεις, στήσεται βασιλεὺς κραταιὸς τὸ πρόσωπον συνιείς τ' αἰνίγματα· [24] κρατυνεῖ τε τὴν ῥώμην ἑαυτοῦ, οὐ μὴν ἐν τῇ ἑαυτοῦ ῥώμῃ, ϑαυμαστά τε φϑερεῖ καὶ κατιϑυνεῖται ποιήσει τε, καὶ φϑερεῖ κραταιοὺς λεὼν τε τῶν ἁγίων· [25] ἐπί τε τοῦ νοῦ οἱ καὶ κατιϑυνεῖ δόλον ἐν χειρί οἱ, κἀν καρδίᾳ οἱ μεγαλυνεῖ κἀν ἀναπαύσει φϑερεῖ πολλούς, κατά τ' ἄρχοντος ἀρχόντων στήσεται· ἐν ἀχειρίᾳ δὲ ξυντριβήσεται. [26] ἥ τ' ὄψις τῆς ἑσπέρας τῆς ϑ' ἕω ἥπερ εἴρηται, ἀληϑεία ἐστί· σὺ δὲ φράξον τὴν ϑεωρίαν, ἐς γὰρ ἡμέρας πολλάς.

[27] Κἀγὼ δανιέλος ξυντέτριμμαι καὶ νενόσωμαι ἡμέραις· ἐγερϑείην

---

12. ποιήση cod., ποιήσῃ ed. Cf. v. 24. 13. πέπυσμαί] πέπυσμέναι (sic) cod. διηνεκὴς? 15. ἵστατό μου cod., non ἱστατόμενος ut ed. 17. ἐκπέπληγγα] l. ἐκπέπληγμαι 19. ἐν ἐσχάτῳ cod. Ed. ἐν om. 20. κύριος (τῶν κεράτων) cod., non κριὸς ut ed. παράσσου cod., non παράσου ut ed. Alibi per ξ (cf. V, 28. VI, 9. 13). 22. τεϑραυμένον c. cd. ed.

μέντοι καὶ ποιοίην τὴν ἐργασίαν τοῦ βασιλέως· ἠπόρησα δ' ἐπὶ τῇ ὄψει, καὶ μὴ ξυνιείς.

IX. [1] Ἐν ἔτει πρώτῳ δαριαυέσου τοῦ υἱέως ἀχασβερώσου πρὸς τοῦ σπόρου μαδαΐδος, ὃς βεβασίλευται ἐπὶ τῆς βασιλείας κασδαίων· [2] ἐν ἔτει ἑνὶ τοῦ βασιλεύειν · αὐτὸν ἐγὼ δανιῆλος ξυννενόηκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, οἷς ἐτέλεσε λόγος τοῦ ὀντωτοῦ πρὸς ἱρμεῖαν τὸν προφήτην ὡς πληρωθεῖεν ταῖς ἐρημώσεσιν ἱερουσαλάμης ἑβδομήκοντα ἔτη. [3] κἄδωκα τοὐμὸν πρόσωπον πρὸς τὸν ἐμὸν δεσπότην τὸν θεὸν, ὡς ζητοῖ προσευχὴν καὶ δεήσεις ἐν νηστείᾳ σάκκῳ τε καὶ σποδῷ. [4] προσηῦγμαι τοίνυν τῷ ὀντωτῇ τῷ θεῷ κἀξωμολόγημαι κἄφην· ὦ ὀντωτὰ, ὁ θεὸς ὁ μέγας καὶ φοβερὸς, τηρῶν τὴν ξυνθήκην καὶ τὸν ἔλεον τοῖς αὐτὸν φιλοῦσι τοῖς τε τηροῦσι τὰς αὐτοῦ κελεύσεις· [5] ἡμάρτομεν ἠλίτομέν τε καὶ ἠσεβήσαμεν καὶ ἀντήραμεν, τῷ τ' ἀποκλίνειν τῶν σῶν ἐντολῶν καὶ τῶν σῶν κρίσεων, [6] οὔκουν ἠκούσαμεν πρὸς τοὺς σοὺς οἰκέτας τοὺς προφήτας, οἳ διειλέχαται ἐν ὀνόματί σου πρὸς τὸν ἡμῶν βασιλέα, τοὺς ἡμῶν ἄρχοντας τούς θ' ἡμῶν πατέρας καὶ πρὸς πάντα τὸν λεὼν τῆς γῆς. [7] σοί, ὀντωτὰ, ἡ δικαιοσύνη, ἡμῖν δ' ἡ αἰσχύνη τῶν προσώπων, ὡς τῇ ἡμέρᾳ τῃδί, τῷ ἀνδρὶ ἰεούδου τοῖς τε καθέδροις ἱερουσαλάμης καὶ παντὶ ἰσραῆλῳ, τοῖς ἐγγίοσι καὶ τοῖς πορρωτέροις ἐν πάσαις ταῖς γαίαις, αἷς ὦσας αὐτοὺς ἐκεῖσε ἐν τῇ σφῶν ὑπερβασίᾳ ἣν ὑπερέβησαν εἰς σέ. [8] ὀντωτὰ, ἡμῖν ἡ αἰσχύνη τῶν προσώπων, τοῖς ἡμῶν βασιλεῦσι τοῖς θ' ἡμῶν ἄρχουσι καὶ τοῖς ἡμῶν πατράσιν, οἵπερ ἡμάρτομέν σοι· [9] τῷ ὀντωτῇ τῷ ἡμετέρῳ θεῷ οἱ οἰκτιρμοὶ καὶ ἡ συγγνώμη, ἐπείπερ ἀντήραμεν εἰς αὐτὸν, [10] οὔκουν ὑπηκούσαμεν φωνῇ τοῦ ὀντωτοῦ τοῦ ἡμετέρου θεοῦ ὡς βαδίζοιμεν ἐν τοῖς αὐτοῦ νόμοις, οὓς ἔδωκεν ἐπίπροσθεν ἡμῶν διὰ τῶν οἰκετῶν αὐτοῦ τῶν προφητῶν. [11] πᾶς τ' ἰσραῆλος παρέβησαν τοὺς σοὺς νόμους καὶ τῷ ἐκκλίνειν

27. ξυνιεῖς cod. Cf. v. 23.

IX. 3. ζητοῖ] l. ζητοίην vel (ὥστε) ζητεῖν δεήσεις] hoc reponendum duximus pro cod. ἐξήσεις (δεξήσεις ed.). Cf. Prov. XVIII, 23. 4. τῷ θεῷ] μου videtur excidisse (אֱלֹהַי). ὀντωτὰ] יְהוָה pro אֲדֹנָי (cf. I, 2) plures codd. Item v. 7 sqq. 6. τὸν ἡμ. βασιλέα] sing. pro plur. (מְלָכֵינוּ). Cf. v. 8. 7. ὦσας] sic cod. Cf. Deut. XXX, 1. 9. ὀντωτᾷ c. ed. ed. 10. φωνῇ cod., non φωνῆς ut ed. 11. τοὺς σοὺς νόμους] plur. pro sing. (תּוֹרָתֶךָ).

ὡς μὴ ὑπακούοιεν τῇ φωνῇ σου· ἔχεας τοίνυν καθ' ἡμῶν τὴν ἀρὰν καὶ τὸν ὅρκον τὸν γεγραμμένον ἐν τῷ νόμῳ μωσέως τοῦ θεράποντος τοῦ θεοῦ, ἡμάρτομεν γὰρ αὐτῷ. [12] κἀκύρωσε τοὺς αὐτοῦ λόγους οὓς διείλεκται περὶ ἡμῶν καὶ περὶ τῶν ἡμετέρων κριτῶν, οἵπερ ἡμᾶς ἔκριναν ὥστ' ἐνεγκεῖν καθ' ἡμῶν κάκωσιν μεγάλην, ἥπερ οὐ πεποίηται ὑπὸ πᾶσι τοῖς οὐρανοῖς καθὰ πεποίηται ἐν ἱερουσαλάμῃ. [13] καθὰ γέγραπται ἐν τῷ νόμῳ μωσέως· ξύμπασα ἡ κάκωσις ἥδε ἀφῖκται καθ' ἡμῶν· οὐ μὴν ἱκετεύσαμεν τὸ πρόσωπον ὀντωτοῦ τοῦ ἡμετέρου θεοῦ, στραφῆναι πρὸς τῶν ἡμετέρων ἀλιτημάτων ξυνιέναι τ' ἐν τῇ ἀληθείᾳ σου. [14] τοίνυν ἔσπευσεν ὁ ὀντωτὴς ἐπὶ τὴν κάκωσιν ἐπήνεγκέ τε ταύτην ἡμῖν, ὅτι δίκαιος ὁ ὀντωτὴς ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ ἅπερ ἔδρασεν· οὐ μὴν ὑπηκούσαμεν τῇ φωνῇ οἱ. [15] καὶ νῦν, ὀντωτὰ θεὲ ἡμῶν, ὃς ἐξήγαγες τὸν σὸν λεὼν ἀπὸ γῆς αἰγύπτου ἐν χειρὶ κραταιᾷ κἀποίησας σαυτῷ ὄνομα ὡς τῇ ἡμέρᾳ τῃδί· ἡμάρτομεν, ἠσεβήσαμεν. [16] δέσποτ' ἐμέ, κατὰ πάσας τὰς σὰς δικαιοσύνας στραφήτω δὴ ὁ σὸς θυμὸς ὅ τε σὸς χόλος ἀπὸ τῆς σῆς πόλεως ἱερουσαλάμης, ὅρους τοῦ ἁγίου σου· ἐν γὰρ τοῖς ἡμῶν ἁμαρτήμασι καὶ τοῖς ἀλιτήμασι τῶν ἡμῶν πατέρων ἱερουσαλάμη καὶ ὁ σὸς λεὼς εἰς ὄνειδος πᾶσι τοῖς κύκλῳ ἡμῶν. [17] νῦν οὖν ἄκουσον, ἡμέτερε θεέ, πρὸς τὴν προσευχὴν τοῦ σοῦ οἰκέτου πρός τε τὰς ἱκεσίας αὐτοῦ, φαῦσόν τε τὸ σὸν πρόσωπον ἐπὶ τοῦ σοῦ ἱεροῦ τοῦ φρούδου, χάριν τοῦ ὀντωτοῦ. [18] κλῖνον, ἐμὲ θεέ, τὸ σὸν οὖς πυθοῦ τε, δίαρον τοὺς σοὺς ὀφθαλμοὺς καὶ θέασαι τὰς ἡμῶν ἀπορίας καὶ τῆς πόλεως ἧπερ ἐπικέκληται τὸ σὸν ὄνομα ταύτῃ· οὐ γὰρ ἐπὶ ταῖς ἡμῶν δικαιοσύναις ἡμεῖς ῥίπτομεν τὰς ἡμῶν ἱκετείας ἐνώπιόν σου, ἀλλ' ἐπὶ τοῖς σοῖς οἰκτιρμοῖς τοῖς πολλοῖς. [19] δέσποτ' ἐμὲ πυθοῦ, δέσποτ' ἐμὲ ξύγγνωθι, δέσποτ' ἐμὲ ακρόασαι ποίησόν τε, μὴ ὑπέρθῃ, χάριν σοῦ, θεέ μου· τὸ γὰρ σὸν ὄνομα ἐπικέκληται τῇ σῇ πόλει καὶ τῷ σῷ λεῷ. [20] ἔτι τ' ἐμοῦ διαλεγομένου προσευχομένου τε κἀξομολογουμένου τὴν ἐμὴν ἁμαρτίαν

ἔχεας (וַתִּתַּךְ)] cf. v. 27. 12. αὐτοῦ] αὐτοὺς cod. et ed. ὥστε ἐνέγκειν c. cd. ed., item paullo inferius ἧπερ pro ἥπερ 15. ὀντωτὰ] יְהוָה pro אֲדֹנָי (cf. v. 4) permulti codd. Item v. 17. κραταιᾷ] σου invito codice Vill. addidit. 16. ὅρους] ὄρους cod. ἱερουσαλάμη] ἱερουσαλάμης cod. Recte ed. 19. ἀκρόασαι cod., non ἀκρόασον ut ed. ὑπέρθῃ, non ὑπερθῇ, cod.

